γεγονὸς ἤδη καὶ ὡς τετελεσμένον τοῦ γίνεσθαι παύεται, τοῦτο ἡ τελειότης αὐτοῦ· παύεται δὲ τοῦ γίνεσθαι, ὅταν ὁλοκλήρως ἐν τῷ εἴδει γένηται), εὐλόγως ἑκάστῳ τῶν σωμάτων ἐν τῷ εἴδει ἡ τελειότης ἂν εἶναι λέγοιτο. ἀλλὰ εἰ κατὰ τὸ εἶδος ἑκάστῳ τῶν τε κατὰ τέχνην συνεστώτων καὶ πολὺ πρότερον ἔτι τῶν κατὰ φύσιν τὸ εἶναι τοῦτο ὅ ἐστι, καὶ τοῦτ' ἔστιν ἡ ἑκάστου τελειότης, καὶ ἀντιστρέψαντι ἀληθὲς τὸ καθ' ὃ τὸ εἶναί ἐστιν ἑκάστῳ τῶν ἐξ ὕλης τε καὶ εἴδους συνθέτων, τοῦτ' εἶναι τὸ εἶδος αὐτοῦ καὶ τὴν τελειότητα.

Οὐ μόνον δὲ παρὰ τοῦ εἴδους τό τε εἶναι ἑκάστῳ καὶ αἱ πρὸς τὰ ἄλλα τὰ ὄντα διαφοραί, ἀλλὰ καὶ αἱ κατὰ τὸ ποιεῖν τε καὶ πάσχειν διαφοραὶ τοῖς σώμασι γίνονται κατὰ τὰ εἴδη. ποιοῦντα γὰρ καὶ πάσχοντα καθὸ σώματα τὸ τόδε τι ποιεῖν καὶ τόδε τι πάσχειν παρὰ τοῦ εἴδους ἔχει. κατὰ γὰρ τὴν κατ' εἴδη διαφορὰν καὶ τούτων ἑκάτερον. διὸ καὶ εὐλόγως λέγεται τὸ κατὰ τὰ ἀσώματα ποιεῖν τε καὶ πάσχειν τὰ σώματα. οἷς μὲν οὖν φυσικοῖς σώμασιν ἁπλοῦν τὸ ὑποκείμενον (ἔστι δὲ τοῦτο ἡ κυρίως ὕλη, ἥτις ὑπόκειται τοῖς ἁπλοῖς τε καὶ πρώτοις σώμασιν, ἃ στοιχεῖα τῶν ἄλλων ἐστὶ σωμάτων), τούτων ἁπλοῦν καὶ τὸ εἶδος καὶ ἡ φύσις. διὸ καὶ μιᾶς τε καὶ ἁπλῆς κινήσεως τούτοις ἡ φύσις αἰτία. εἰ γὰρ ἡ φύσις ἀρχὴ κινήσεως, εἴη ἂν καὶ ἡ ἁπλῆ φύσις ἁπλῆς ἀρχὴ κινήσεως. ἡ δὲ ἁπλῆ καὶ κυρίως μία. διὸ ἢ ἄνω τι τούτων μόνον ἢ κάτω μόνον κατὰ τὴν αὑτοῦ κινεῖται φύσιν. οἷς δ' οὐκέθ' ἁπλοῦν τὸ προσεχῶς ὑποκείμενον, ἀλλ' ἔστιν ἤδη σῶμά τι καὶ σύνθετον (πᾶν γὰρ σῶμα σύνθετον τοιοῦτον), ἐν τούτοις καὶ τὸ εἶδος ποικιλώτερόν τε καὶ τελειότερον, καὶ ἡ φύσις τούτων τοιαύτη. καὶ εὐλόγως· συντελεῖ γάρ τι πρὸς τὸ τούτων εἶδος καὶ τὸ εἶδος τὸ ἐν

---

1 παύεται] in einer Grenze [ist] 2 ὅταν—γένηται] wenn sich die Form über das Ganze verteilt 4—5 τῶν τε κατὰ τέχνην—φύσιν] der Körper, deren Bestand durch die Kunst und um ihretwillen die natürlichen Körper benannt werden. [P et p in mg.: Es spricht Samuel der Uebersetzer: ich wollte die 4 bezeichneten Wörter wären nicht geschaffen. Ich kann mich in keiner Weise über das Verständniss derselben beruhigen. Aber so fand ich und so habe ich gelassen. Man könnte auch das Wort „sie werden genannt" übersetzen: „sie werden herausgebracht" oder „sie werden". Ich möchte in keiner Weise entscheiden] 6 τὸ εἶναι] das Etwas sein 9 τό τε εἶναι] seine Qualität 11—13 ποιοῦντα—ἑκάτερον] Denn im Thun und Leiden der Körper wirkt dieser so der andere leidet so von Seiten seiner Form, weil jedes von diesen beiden je nach der Verschiedenheit der Form stattfindet 17—18 μιᾶς τε καὶ ἁπλῆς κινήσεως] für eine einfache Bewegung 19 δὲ] und 21 τὸ προσεχῶς ὑποκείμενον] der Träger, [nämlich] im Range des Trägers, der annähernd so genannt wird 22 ἤδη om. 22—23 τοιοῦτον—ποικιλώτερον] die Qualität eines derartigen unter den Körpern ist mehrgestaltig

---

1 ἤδη V: εἴδη a 2 εἴδει a: εἴδη V 3 τῷ] τω in lit. V 4 ἑκαστω a 6 ἑκάστω a 9 „ὅτι κατὰ τὰ ἀσώματα ποιεῖ καὶ πάσχει τὰ σώματα." οὐ (sic) μόνον V: „ὅτι κατὰ τὰ ἀσώματα ποιεῖν καὶ πάσχειν." οὐ μόνον a 11 γίνονται] νται in lit. V 20 αὑτοῦ scripsi: αὐτοῦ Va 22 γὰρ supra lineam V 24 πρὸς τὸ τούτων a: πρὸς τούτων V

τῇ ὕλῃ τε καὶ τῷ ὑποκειμένῳ· ἔτι δὲ μᾶλλον τοῦτο, εἰ μηδὲ ἓν εἴη μόνον σῶμα τὸ ὑποκείμενον αὐτῷ, ὃ ἐπὶ τῶν φυσικῶν τε καὶ συνθέτων σωμάτων ἀναγκαῖον. οὐδενὶ γὰρ τούτων ἓν τὸ ὑποκείμενον σῶμα τῶν ἁπλῶν. τοῦ γὰρ ἑνὸς καὶ ἁπλοῦ σώματος ἡ κατὰ φύσιν μεταβολὴ εἰς ἁπλοῦν ἄλλο σῶμα γίνεται. ὥστ' εἴ τι μέλλει παρὰ τὰ ἁπλᾶ σώματα σύνθετόν τι φυσικὸν ἔσεσθαι σῶμα, δεῖ τούτῳ πλείω τῶν ἁπλῶν σωμάτων εἶναι τὰ ὑποκείμενα, ὃ πλῆθος παρὰ τὴν τῶν εἰδῶν τῶν ἐν αὐτοῖς διαφοράν ἐστι πλῆθος, καὶ διὰ τοῦτο τὰ τοιαῦτα σώματα σύνθετα. ᾧ δὴ πλείω καὶ διαφέροντα εἴδη τὰ μετὰ τῆς ὕλης ὑποκείμενα, ἐξ ἀνάγκης τούτου καὶ ἡ φύσις καὶ τὸ εἶδος ποικιλώτερόν τε καὶ τελειότερον, ἑκάστης φύσεως τῶν ἐν τοῖς ὑποκειμένοις αὐτῇ σώμασιν συντελούσης τι πρὸς τὸ ἐπὶ πᾶσιν κοινὸν εἶδος αὐτοῖς. εἶδος γάρ πως εἰδῶν γίνεται τὸ τοιοῦτον εἶδος καὶ τελειότης τις τελειοτήτων. διὸ καὶ οὐ δεῖ θαυμάζειν τὴν ἐν τοῖς φυσικοῖς σώμασιν τῶν εἰδῶν διαφορὰν ἔχοντας αὐτῶν τῆς παραλλαγῆς φανερῶς ἐν τοῖς ὑποκειμένοις τὰς αἰτίας. τό τε γὰρ πλῆθος τῶν εἰδῶν τῶν ἐν τοῖς ὑποκειμένοις αὐτοῖς σώμασιν καὶ ἡ τούτων διάφορος μίξις τῆς τοσαύτης παραλλαγῆς εὐλόγως ἂν τὰς αἰτίας φέροιτο. εἰ γὰρ ἑνὸς ὄντος τοῦ ὑποκειμένου καὶ εἰς μηδεμίαν διαφορὰν τοῖς γινομένοις ἐξ αὐτοῦ συντελοῦντος (ἡ γὰρ ὕλη τοιοῦτον) ξηρότης καὶ ὑγρότης καὶ θερμότης καὶ ψυχρότης σύνδυο ἐν αὐτῇ γινόμενα τοσαύτης γίνεται διαφορᾶς τοῖς ἐξ αὐτῆς γινομένοις αἰτία, ὡς τὸ μὲν αὐτῶν πῦρ γίνεσθαι, τὸ δὲ ἀέρα, τὸ δὲ γῆν, τὸ δὲ ὕδωρ, καὶ τὸ μὲν βαρύ, τὸ δὲ κοῦφον, τὰ δὲ δευτέρως ἑκάτερον τούτων ἔχειν, πῶς οὐκ εὔλογον καὶ τὰ ἐκ τῆς τούτων ἁπάντων ποιᾶς μίξεώς τε καὶ κράσεως γινόμενα σώματα πάμπολυ διαφέρειν ἀλλήλων κατὰ τὰ εἴδη τε καὶ τὰς δυνάμεις τὰς κινητικὰς αὐτῶν; τοῦτό τοι καὶ τὰ δένδρα καὶ τὰ φυτὰ πάντα φυσικὰ ὄντα καὶ σύνθετα σώματα τῶν ἁπλῶν σωμάτων ταῖς κινητικαῖς

1—2 ἔτι δὲ μᾶλλον — τὸ ὑποκείμενον αὐτῷ] Die Körper sind also geeigneter zur Vielgestaltung als jene und vollendeter, wenn ihr Träger noch dazu nicht ein Körper allein ist 4 γὰρ] indem 5—6 ὥστ' — ὑποκείμενα] Daher muss das (bei dem), was verlangt, dass aus den einfachen Körpern irgend ein natürlicher zusammengesetzter Körper werde, sein Träger von den natürlichen Körpern mehr als ein Körper sein 8—9 ᾧ δὴ — ὑποκείμενα] Derjenige von den Körpern, deren Träger mehr als einer, und die in den Formen, welche mit der Hyle sind, verschieden sind 10—12 ἑκάστης — αὐτοῖς] denn jede der Naturen, die sich an den dieselbe tragenden Körpern finden, trägt etwas bei zum Vorhandensein der Form, welche sich in ihnen allen verbreitet 13 θαυμάζειν] läugnen 13—14 τὴν ἐν — διαφοράν] die Verschiedenheit der Formen, welche sich im Einzelnen in den natürlichen Körpern finden 16 εὐλόγως] notwendiger Weise 24 σώματα] einige von den Körpern 25 τοῦτό τοι] aus dieser Ursache

4 ἁπλοῦ a 5 παρὰ cf. παρὰ τὴν διαφοράν v. 7 οὐ παρὰ τὸ πλέον ἢ ἔλαττον ἔχειν γῆς τὸ ἀντιτυπὲς αὐτῷ, ἀλλὰ παρὰ τὴν οἰκείαν φύσιν 148r17 et Ind. 6 τούτῳ scripsi: τούτων Va 8 ᾧ δὴ scripsi: ὡ δὴ V: ὡς δὴ a 12 αὐτῇς sic V: αὐτῆς a 16 μίξις semper V παλλαγῆς a 19 σὺν δύο V 20 γινόμενα] cf. ἡ δὲ ὁρμή τε καὶ ὄρεξις δραστικὰ μᾶλλον καὶ ποιητικά 137r6 et Ind. s. v. neutrum nonne αἴτια? 21 αὐτῶν V: αὐτῆς a 23 ποιῆς a 25 τοῦτό τοι cf. τοῦτό τοι καὶ ἐν τοῖς φόβοις κτλ. 141r1

δυνάμεσιν πλεῖστον ὅσον διαφέρει. τὰ μέν γε μιᾶς καὶ ἁπλῆς κινήσεως ἀρχὴν ἐν αὐτοῖς ἔχει, τούτων δὲ ἕκαστον ἐν αὑτῷ καὶ τοῦ τρέφεσθαι τὴν ἀρχὴν ἔχει καὶ τῆς ἐπὶ πάσας τὰς διαστάσεις κατὰ τὴν αὔξησιν κινήσεως. ἔχει δὲ δύναμιν καὶ τοῦ γεννᾶν ἕκαστον αὐτῶν ὅμοιον αὑτῷ. ἔχοντα δὲ τὰ φυτὰ κοινὰ πάντα ταῦτα πλεῖστον ὅσον ἀλλήλων πάλιν κατ' εἶδος διαφέρει τῷ τὴν ὕλην τε καὶ τὴν τῆς ὕλης τῆς ὑποκειμένης αὐτοῖς μῖξίν τε καὶ κρᾶσιν εἶναι διαφέροντα. τά τε γὰρ δένδρα ἀλλήλων πλεῖστον κεχώρισται καὶ πολὺ πλέον ἔτι τῶν | λαχάνων καὶ αὐτῶν φυτῶν τε καὶ φυσι- 124v κῶν καὶ συνθέτων ὄντων σωμάτων. ἀλλὰ καὶ τούτων αὐτῶν πρὸς ἄλληλα πάλιν πλείστην ὁρῶμεν οὖσαν διαφοράν, ἧς οὐκ ἄλλη τις αἰτία τῆς προειρημένης. καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἤδη καὶ ἡ τοιαύτη τελειότης ἡ πρώτη δύναμις ψυχῆς. εἰ γὰρ πᾶν τὸ ζῶν ζῇ κατὰ ψυχήν, τὰ δὲ φυτὰ ζῇ, εἴ γε ζῆν ἐστι τὸ δι' αὑτοῦ τρέφεσθαι καὶ αὔξεσθαι, τὰ φυτὰ ἂν ψυχὴν ἔχοι, καὶ εἴη ἂν ψυχὴ τὸ εἶδος αὐτῶν. ὥσπερ δὲ ἐπὶ τῶν ἁπλῶν σωμάτων τὸ εἶδος οὐ κατὰ τὴν ἐνέργειαν τὴν ἀπὸ τῆς δυνάμεώς ἐστιν, ἀλλὰ κατὰ τὴν δύναμιν, ἀφ' ἧς ἡ ἐνέργεια (οὐ γὰρ τὸ κάτω φέρεσθαι τῆς γῆς ἦν ἡ φύσις, ἦν γὰρ οὐδὲν ἧττον γῆ καὶ μένουσα, ἀλλ' ἡ δύναμις, ἀφ' ἧς αὐτῇ τὸ κάτω φέρεσθαι, ὅπερ ἡ βαρύτης ἦν, καὶ ἔστιν ἑκάτερον μὲν τελειότης, ἥ τε βαρύτης, εἴ γε εἶδος, ἥ τε κατὰ ταύτην ἐνέργεια, εἴ γε τελειότητές τε τῶν ἕξεών τε καὶ δυνάμεων αἱ ἀπ' αὐτῶν ἐνέργειαι, πρώτη μέντοι ἡ κατὰ τὸν χρόνον προϋφισταμένη, ἐν οἷς ἄμφω γίνεται, ἡ κατὰ τὴν ἕξιν τε καὶ τὴν δύναμιν τελειότης τῆς κατ' αὐτὴν ἐνεργείας), οὕτως ἔχει καὶ ἐπὶ τῶν συνθέτων σωμάτων. εἰ δὴ οὐχ αἱ ἀπὸ τῶν δυνάμεων ἐνέργειαι τὰ εἴδη, ἀλλ' αἱ δυνάμεις, αἳ διὰ τὸ προϋφίστασθαι τῶν ἀπ' αὐτῶν ἐνεργειῶν πρῶταί τε καὶ πρὸ ἐκείνων εἰσίν, εἴη ἂν καὶ τῶν φυτῶν εἶδός τε καὶ ψυχὴ ἡ πρώτη τελειότης. τούτων τοίνυν ὁμολογουμένων τε καὶ κειμένων, οὐκ

7 κεχώρισται] unterscheidet sich 9 τούτων αὐτῶν] auch die Kräuter selbst 16—17 οὐ γὰρ—φύσις] denn es ist nicht die Natur der Erde [p. des Steines] dass sie sich nach unten beuge 17—18 ἀλλ—βαρύτης ἦν] sondern die Kraft ... ist die Schwere 19 ἥ τε βαρύτης] ich meine die Schwere 20—22 πρώτη—ἐνεργείας] nur dass die Vollendung, welche in Erwerbung und Kraft, der Zeit nach die erste, und ihr Vorhandensein an den Dingen, in welchen beide Zustände zugleich [vorhanden sind], vorangeht der Vollendung, welche in actu durch die Erwerbung und die Kraft 22—26 οὕτως ἔχει—τελειότης] ebenso ist die Form in den zusammengesetzten Körpern nicht die Wirkungen, welche von den Kräften [kommen]; sondern die Kräfte gleichfalls, weil ihre Existenz der der Wirkungen vorangeht, welche von ihnen entstanden, sind erste, diesen [den Wirkungen] vorangehende; daher ist die Form der Pflanze und ihre Seele gleichfalls die erste Vollendung.

2 ἐν αὐτοῖς scripsi: ἐν αὑτοῖς V: ἐν αὐτοῖς om. a αὑτῷ scripsi: αὐτῷ Va 4 δε V γεννᾷν a αὑτῷ scripsi: αὐτῷ Va 5 ταῦτα πάντα a 7 κράσιν V ut solet 11 τὸ τοιοῦοῦτον diphthongo in initio versus repetita, τὸ et ι infra lineam V: τὸ τοιοῦτο a 13 αὑτοῦ scripsi: αὐτοῦ Va 15 ἄπο V 18 αὐτῇ a: αυτη V τὸ om. a ὅπερ] cf. ὅπερ ἐστὶν ἡ κουφότης 126v31 ὅπερ ἦν ἡ ἁρμονία 147v14 et saepe. ἦν ἐστιν καὶ ἔστιν a 20 fortasse μέντοι καὶ κατὰ cf. v. 25 πρῶταί τε καὶ πρὸ ἐκείνων 22 τὴν om. a 23 δὲ a 24 αἳ scripsi: αἱ Va 25 εἴη ἂν a: εἰ ἂν V 26 ὁμολογουμένων] vide Ind.

οἶμαί τινα ἀμφισβητήσειν. ὡς οὐχὶ καὶ τὸ ζῷον φυσικόν ἐστι σῶμα καὶ σύνθετον, ἐκ ψυχῆς καὶ σώματος συγκείμενον. εἰ δὲ σῶμα ὂν ἐκ τούτων τὸ εἶναι ἔχει, πᾶν δὲ σῶμα ἐξ ὕλης τε καὶ εἴδους σύνθετον, δῆλον ὡς καὶ τούτων τὸ μὲν ὕλη τοῦ ζῴου, τὸ δὲ εἶδος ἔσται. ἔστι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων περὶ τῶν φυτῶν δῆλον τὸ τὴν ψυχὴν τὸ εἶδος εἶναι. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ κατ᾽ ἀρχὰς ἡμῖν τῶν λόγων δεδειγμένου τοῦτο γνώριμον. ἦν γὰρ κείμενον τὸ καθ᾽ ὃ ἑκάστῳ τὸ εἶναί ἐστι, τοῦτ᾽ εἶναι τὸ εἶδος αὐτοῦ καὶ τὴν τελειότητα. τῷ δὲ ζῴῳ ἐστὶ τὸ εἶναι ζῴῳ κατὰ τὴν τοιάνδε ψυχήν (τὴν γὰρ αἰσθητικήν), ταύτῃ γὰρ τῶν ἄλλων ἁπάντων ἃ μὴ ζῷά ἐστι τὸ ζῷον διαφέρον ζῷόν ἐστιν. εἶδος ἄρα ἐν τῷ ζῴῳ ἡ ψυχὴ τοῦ σώματος, εἴ γε ἐν πᾶσιν τοῖς σώμασιν τὰ εἴδη τῆς ὑποκειμένης ἐν αὐτοῖς ὕλης ἐστὶν εἴδη, τοσούτῳ τελειότερον ἡ ψυχὴ εἶδος οὖσα τῆς ἐν τοῖς φυτοῖς, ὅσον ἡ ἐν ἐκείνοις ψυχὴ τῶν εἰδῶν τῶν ἐν τοῖς ἁπλοῖς τε καὶ πρώτοις σώμασιν. καὶ αἱ κατὰ τὴν αἰσθητικὴν δὲ ψυχὴν πάλιν διαφοραὶ τὴν αὐτὴν ἀναλογίαν σῴζοιεν ἂν πρὸς ἀλλήλας, ἣν εἶχεν τὰ μὲν τῶν ἁπλῶν σωμάτων εἴδη πρὸς τὴν τῶν φυτῶν ψυχήν, αὕτη δὲ πρὸς τὴν αἰσθητικήν, καὶ τῆς ἀνάλογον αὐτοῖς διαφορᾶς αἰτία ἡ τῶν ὑποκειμένων αὐτοῖς σωμάτων κατά τε πλῆθος καὶ κατὰ ποιὰν κρᾶσίν τε καὶ μῖξιν καὶ σύστασιν διαφορά. καὶ εὐλόγως· εἰ γὰρ ἡ ἀρχὴ οὐχ ἥμισυ μόνον, ἀλλὰ καὶ τὸ πλεῖστον τοῦ παντὸς μέρος, καὶ ἡ κατὰ τὰς ἀρχὰς διαφορά, κἂν ᾖ βραχεῖα, μεγάλης ἂν εὐλόγως γίνοιτο διαφορᾶς αἰτία. καὶ τοῦτο δῆλον καὶ ἐκ τῶν κατὰ τὰς ὁδοὺς ἐκτροπῶν. βραχεῖα γὰρ ἐν ταύταις παραλλαγὴ πολλάκις αἰτία τῆς ἐπὶ τοὺς πλεῖστον ἀλλήλων διεστῶτας τόπους κινήσεως. ἀρχὴ δὲ καὶ ἡ προσεχὴς ἑκάστῳ τῶν γινομένων ὕλη. ὥστε καὶ ταῖς ταύτης διαφοραῖς τὴν τῶν γινομένων ἐπ᾽ αὐταῖς εἰδῶν διαφορὰν εὔλογον ἕπεσθαι. οὐ γὰρ πᾶσα ὕλη τῆς αὐτῆς τελειότητός ἐστιν ἐπιδεκτική. οἷς μὲν οὖν τὴν ἀρχὴν τὸ ὑποκείμενον οὐδέπω σῶμα, τούτων καὶ τὸ εἶδος ἁπλούστερον· οἷς δὲ τὸ ὑποκείμενον σῶμά τε καὶ τοῦτο σύνθετον καὶ ἔχον μέρη διάφορα, ὡς ἄλλο πρὸς ἄλλην ἐνέργειαν εἶναι χρήσιμον, τούτων δὲ καὶ τὸ

3 δὲ] om. δῆλον] also ist es klar 5 οὐ μὴν ἀλλὰ om. 6 τοῦτο] dasselbe 12 τοσούτῳ τελειότερον ὅσον] nur ist sie vollendeter gemäss der Erhabenheit .. 14 πάλιν om. 15 ἣν εἶχεν] welche wir angaben als bestehend 21 εὐλόγως] und das ist notwendig so 22 παραλλαγή] Abweichung und Ablenkung 24 προσεχὴς—ὕλη] die Hyle, welche die nächste ist für jedes der entstandenen Dinge 26 ἐπιδεκτική] es passt dass an ihr gesehen werde 27 οὖν] denn 28 σύνθετον] addit: aus den Kõrpern

2 σῶμα ὂν a 4 ζώου a ut semper 7 respicit p. 6,25 sq. de imperfecto v. Ind. 9 γὰρ i. e. λέγω cf. Ind. ταύτη a 11 ἄγε a 12 τοσούτω V: τοσοῦτο a 15 σώζοιεν πάλιν ἂν a 17 ἀνάλογον V: ἀναλόγου a, at cf. δύναμις ἀνάλογον ἔχουσα 127r15 αἴσθησις ἀνάλογον ἔχουσα 130r47 ὡς εἶναι τὰ εἴδη τῶν ὀσφραντῶν ἀνάλογον τοῖς τῶν χυμῶν εἴδεσιν 132r9 (ψυχῆς δυνάμεις) ἀνάλογον ἔχουσαι 137r8. plura vide in Ind. αὐτῆς a 18 κρᾶσιν a: κράσιν V 20 κᾆν ut saepe a 22 βραχεία a 25 αὐταῖς] αι in lit. V: αὐτῆς a

εἶδος μετὰ δυνάμεων πλειόνων, ἅτε ὂν εἶδος καὶ τελειότης ὀργανικοῦ τε καὶ ποικίλου σώματος· διὸ τοῦ τοιούτου σώματος εἶδος ἤδη ἡ ψυχή. ἀλλ' ἡ μὲν ἁπλουστέρα, ἧς καὶ τὸ σῶμα τὸ ὀργανικὸν ἁπλούστερον, ἡ δὲ ἐκ πλειόνων δυνάμεων καὶ τελειοτέρα, ἧς καὶ τὸ ὑποκείμενον σῶμα, οὗ ἐστιν εἶδος ἡ τοιάδε ψυχή, ποικιλώτερόν τε καὶ ὀργανικώτερον. εἰ δέ τῳ δοκεῖ αὐτόθεν ἀκούσαντι παράδοξον εἶναι τὸ τὴν ψυχὴν εἶδος εἶναι λέγειν τοῦ τοιούτου σώματος καὶ φύσιν, ὡς τοῦ πυρὸς τὴν κουφότητα, εἰς τὴν τῶν σωμάτων ἀπιδὼν διαφοράν, ὧν ταῦτα εἴδη, καὶ τὴν ἐν τοῖς ἐμψύχοις σώμασιν ἰδὼν κατασκευὴν ἀμύθητον ὅσον διαφέρουσαν τῆς τῶν ἁπλῶν σωμάτων, οὐκ ἂν ἔτι παράδοξα λέγειν τοὺς οὕτω λέγοντας ὑπολαμβάνοι, εἴ γε μὴ παράδοξον, ἀλλὰ παντὸς μᾶλλον εὔλογον, τὸ ἣν ἔχει τὰ ὑποκείμενα τοῖς εἴδεσιν σώματα ἀναλογίαν πρὸς ἄλληλα, ταύτην καὶ τὰ εἴδη αὐτῶν σώζειν πρὸς αὐτά.

Ὅτι γὰρ εἶδος ἡ ψυχή, καὶ ὧδε ἂν δεικνύοιτο. ὁμολογεῖται τὸ ζῷον ἐκ ψυχῆς εἶναι καὶ σώματος. ἔκ τινων δὲ εἶναί τι λέγεται ἤτοι ὡς ἐκ μερῶν σωζομένων ἐν τῷ ὅλῳ καὶ τοιούτων, εἰς ἃ καὶ διαιρεῖται, ὡς τὴν οἰκίαν λέγομεν ἐκ πλίνθων, ἢ ὡς τὸ κεχραμένον ἔκ τινων, ὡς τὸ μελίκρατον (τοῦτο γὰρ ἐξ ὕδατος καὶ μέλιτος εἶναί φαμεν, εἰς ἃ οὐκέτι τὸ μελίκρατον διαιρεῖται τῷ μήτε σώζεσθαί τι αὐτῶν μήτε μετὰ τὴν κρᾶσιν ἔτι τὴν αὐτῶν φυλάσσειν φύσιν), ἢ ὡς ἐξ ὕλης τε καὶ εἴδους, ὡς τὸν ἀνδριάντα λέγομεν ἐκ χαλκοῦ τε καὶ σχήματος. κατὰ τούτους δὴ τοὺς τρόπους τοῦ ἔκ τινων εἶναι λεγομένου καὶ τὸ | ζῷον ἂν ἐκ ψυχῆς καὶ σώματος 125r

1 μετὰ — πλειόνων] eingerichtet für (entsprechend) verschiedene Kräfte 2 διὸ om. 4 τελειοτέρα] hebr. vertit τελειοτέρων ὑποκείμενον om. 5—9 εἰ δέ τῳ — κατασκευὴν] Wenn aber jemand, der gehört hat, was wir hier gesagt haben, dass [nämlich] die Seele fürwahr eine Form für einen derartigen Körper und eine Natur desselben sei, wie die Leichtigkeit im Verhältniss zum Feuer, glauben sollte, dass das Ketzerei sei, so wird er, wenn die Verschiedenheit der Körper betrachtet wird, denen diese Form gehört, und wenn die Einrichtung in den beseelten Körpern bedacht wird, und er sieht 12—13 ταύτην — πρὸς αὐτά] ganz dasselbe Verhältniss ist zwischen ihren Formen; [nämlich] der einen zur andern 14 γὰρ] aber καὶ ὧδε ἂν δεικνύοιτο] die Erläuterung davon kann auch von der folgenden Seite aus begriffen werden ὁμολογεῖται] nämlich davon dass zugegeben [worden] 16 καὶ — ὡς] so dass es [das Ganze] in sie geteilt werden kann, wie 17 ἐκ πλίνθων] aus Ziegeln und Steinen 19 τῷ μήτε .. μήτε] denn keines bleibt — noch bewahren sie

1 ὂν Va 2 ποικίλλου a 3 τὸ post σῶμα om. a 5 ποικιλλώτερόν a δε V τω a 6 αὐτόθεν] cf. περὶ κράσεως καὶ αὐξήσεως 142v53: αὐτόθεν ἤδη προσπίπτει τὸ μὴ σῶμα εἶναι τὸ σῶμα δεδεγμένον 7 καὶ φύσιν V: καὶ παρὰ φύσιν a, cf. 3,20 τὸ οὕτως γινόμενον εἶδος ἡ φύσις 11 ἣν ἔχῃ a 13 fortasse πρὸς ἄλληλα vide int. hebr. et cf. οὐ σώζουσιν οἱ οὕτως λέγοντες τὴν τοῦ εἴδους ἀναλογίαν τοῦ ἐν τῷ ζῴῳ πρὸς τὰ εἴδη τά τε τῶν ἁπλῶν σωμάτων καὶ τὰ τῶν γινομένων κατὰ τέχνην 126v27 14 „Ἀρχὴ τῆς ἀποδείξεως. ὅτι εἶδος ἡ ψυχή.“ ὅτι γὰρ V (ἀρχὴ—ψυχὴ in marg.) a: „ἀρχὴ τῆς ἀποδείξεως.“ ὅτι γὰρ K 15 ἐκ τινῶν V 16 καὶ τούτων Ka 17 οἰκίαν] ι corr. ex ει V κεχραμμένον a 19 μήτε ... μήτε scripsi: μὴ δὲ ... μὴ δὲ VKa κράσιν V 20 αὐτῶν Va ἀνδριάνδα a

εἴη κατά τινα τούτων τῶν τρόπων. ἀλλ' οὔτε κατὰ τὸν πρῶτον οἷόν τε (παράθεσις γὰρ ἔσται ψυχῆς τε καὶ σώματος, οὕτως δὲ οὐκέτ' ἂν εἴη τὸ σῶμα διόλου ἔμψυχον, ἔσται τε εἰ οὕτως ἔχοι οὐκ εἰς τὸ ποιόν, ἀλλ' εἰς τὸ ποσὸν ἡ ψυχὴ τῷ ζῴῳ συντελοῦσα), ἀλλ' οὐδὲ κατὰ τὸν δεύτερον. οὐ γὰρ φθειρομένης τῆς ψυχῆς τε καὶ τοῦ σώματος ἡ τοῦ ζῴου γένεσις ὡς τῶν γινομένων ἐκ κράσεώς τινων. λείπεται τοίνυν οὕτω λέγειν συγκεῖσθαι τὸ ζῷον ἐκ ψυχῆς τε καὶ σώματος, ὡς ἐξ ὕλης καὶ εἴδους. ὅτι δὲ εἶδος ἡ ψυχὴ τοῦ σώματος καὶ οὐκ οὐσία τις αὐτὴ καθ' αὑτήν, μάθοι τις ἂν καὶ ἀπὸ τῶν ἐνεργειῶν αὐτῆς. οὐ γὰρ οἷόν τε ἐνέργειάν τινα ψυχικὴν γενέσθαι χωρὶς σωματικῆς κινήσεως, ὥσπερ οὐδὲ κατὰ τὰς φυσικὰς ῥοπὰς φοράν, ὡς τοῦ σώματος ἐνεργοῦντος αὐτὰς κατὰ τὴν δύναμιν τὴν ἐν αὐτῷ. τό τε γὰρ τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ γεννᾶν οἷον αὐτὸ γίνεται μὲν κατὰ δύναμιν ψυχικήν, αἱ δὲ κινήσεις τοῦ σώματος. ἀλλὰ καὶ αἰσθάνεται τὸ ζῷον διὰ τῶν αἰσθητηρίων σωμάτων ὄντων, αἵ τε ὀρέξεις αὐταὶ φανερῶς κινουμένου τινὸς γίνονται σώματος. αἵ τε γὰρ ἐπιθυμίαι καὶ οἱ θυμοί τε καὶ ὀργαὶ ἐν τοῖς ζῴοις τοῦτον γίνονται τὸν τρόπον. ἀλλὰ καὶ ἐν τοῖς φόβοις τοῦ σώματος ἡ ἀλλοίωσίς τε καὶ συστολή. καὶ ἡ φαντασία δὲ διὰ σώματος, εἴ γε ἤρτηται τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ὡς δειχθήσεται. ὅτι δὲ καὶ ἐν ταῖς ὁρμαῖς σῶμά ἐστι τὸ κινούμενον, οὐδεὶς ἂν ἀντείποι. καὶ τὸ φρονεῖν δέ, εἰ μὴ ἄνευ φαντασίας γίνεται, καὶ αὐτὸ ἂν εἴη γινόμενον διὰ σώματος. εἰ δὲ μηδεμίαν οἷόν τε ψυχῆς ἐνέργειαν χωρὶς σωματικῆς λαβεῖν κινήσεως, δῆλον ὡς τοῦ σώματός ἐστί τι καὶ ἀχώριστος αὐτοῦ. μάτην γὰρ ἂν εἴη χωριστὴ μηδεμίαν τῶν οἰκείων ἐνεργειῶν καθ' αὑτὴν ἐνεργῆσαι δυναμένη. δηλοῖ δὲ τὸ εἶδος αὐτὴν εἶναι τοῦ σώματος καὶ τὸ κατὰ τὰς τοῦ σώματος ἐπιτηδειότητας καὶ τὰς κατ' αὐτὴν κινήσεις γίνεσθαι.

---

2 παράθεσις] Anreihung und Anordnung, sed addit: denn wenn es so wäre   οὕτως δὲ] addit: denn wenn ihr Verhältniss so wäre   3 εἰ οὕτως ἔχοι om.   4 ἀλλ' om.   6 ἐκ κράσεως om.   7 ὡς ἐξ ὕλης καὶ εἴδους] wie das Ding, welches aus Hyle und Form, wie das Abbild (צלם)   δὲ om. sed addit „fürwahr"   8 καὶ om.   μάθοι τις ἂν] wir wissen   10—11 ὥσπερ—ἐν αὐτῷ] dies ist klar daraus dass der Leib in natürlichen Bewegungen sich bewegt durch die Kraft, die in ihm ist   13 αἱ—σώματος] Nur dass diese Bewegungen des Körpers sind   14 διὰ—ὄντων] durch die Sinne; die Sinne sind Körper   αἵ τε—σώματος] die Begierde, welche ihr ebenfalls angehört, ist nur, wenn sich etwas im Leib bewegt   16 ὀργαὶ] Sorge   21 δὲ] also   εἰ οἷόν τε λαβεῖν] weil ist   23 οἰκείων om.   25 ἐπιτηδειότητας] addit: für dieselben   κατ' αὐτὴν] welche sie hat

---

1—4 οὔτε—ἀλλ' οὐδὲ] cf. p. 14,5 οὔτε ὡς μέρος οὖσα .., ἀλλ' οὐδὲ et οὔτε γὰρ τὸ ἀσώματον σώματι μὴ συμπάσχειν ἀληθές ..., ἀλλ' οὐδὲ 146r14. 153,a,29. contra excidit fortasse alterum οὔτε p. 5,19 et, nisi fallor, 146v43, et mutandum videtur οὐδὲ οὔτε excipiens p. 146v54 in οὔτε   2 τε om. Ka   3 δι' ὅλου V   ἔχει Ka   εἰς] ἰ in lit. V   5 ζῴου V   7 ὅτι V: ἄρα Ka   9 ψυχικὴν] inter ι et κ paululum erasum V   10 κατ' αὐτὰς Usenerus. hoc dicit philosophus: *neque anima sine corpore neque corpus sine anima quidquam agere potest, quia corpus secundum facultatem insitam, si agit, agit*   13 τοῦ σώματος scil. εἰσίν   14 αὐταὶ scripsi: αὗται Va   18 ἤρτηται] alterum η in lit. V   20 γίνεται scripsi: γίνηται V: γίνοιτο Ka   25 ἐπιτηδειότητας V: ἰδιότητας Ka

ποτὲ μὲν γὰρ ἰσχυρῶν ὄντων τῶν ἐκτὸς αἰτίων, ἃ ἢ ὀργὴν ἢ φόβον ἢ ἐπιθυμίαν ἤ τι τοιοῦτο πάθος ἄλλο κινεῖν οἷά τε, ἢ οὐδὲν πάσχομεν παντάπασιν ἢ ἐπιπολαίως τε καὶ πρὸς ὀλίγον, ποτὲ δὲ μικρῶν καὶ τῶν τυχόντων τῶν ἐκτὸς ὄντων ὑπερβάλλομεν τοῖς πάθεσιν, ὅταν ὀργᾷ τε καὶ προπαρεσκευασμένον ᾖ καὶ ἐπιτήδειον πρὸς τὸ πάθος τὸ σῶμα ἢ διά τινα ἔνδειαν ἢ διὰ πλῆθος ἢ διὰ χυμῶν τινων παράθεσιν. καὶ γὰρ ὀργιζόμεθα ῥᾷον χολῆς πλεοναζούσης καὶ φοβούμεθα καὶ λυπούμεθα πολλάκις ἐπὶ τοῖς τυχοῦσιν τῷ τὸ σῶμα ἡμῶν οὕτω πως ἔχειν.

Δεικνύοιτο δ' ἂν εἶδος οὖσα ἡ ψυχὴ τοῦ σώματος καὶ διὰ τοῦ εἶναι μὲν αὐτὴν ἐν τῷ σώματι τοῦ ζῴου πρὸς πάντων ὁμολογεῖσθαι, πλεοναχῶς δὲ τοῦ εἶναι ἔν τινι λεγομένου κατὰ μηδὲν ἄλλο σημαινόμενον τοῦ ἔν τινι τῷ σώματι τὴν ψυχὴν εἶναι δύνασθαι. ἔν τινι γάρ τι εἶναι λέγεται ἢ ὡς εἶδος ἐν γένει, ὡς ἄνθρωπος ἐν τῷ ζῴῳ, ἢ ὡς γένος ἐν εἴδεσιν, ὡς τὸ ζῷον ἐν πτηνῷ καὶ πεζῷ καὶ ἐνύδρῳ (ἐν γὰρ τοῖς ἐκ τοῦ γένους ἀντιδιαιρουμένοις ἀλλήλοις εἴδεσιν τὸ εἶναι τῷ εἰς αὐτὰ διαιρουμένῳ γένει), ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς ἡ χεὶρ ἐν τῷ σώματι, ἢ ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν· ὅλον γὰρ τὸ τοῦ ἀνθρώπου σῶμα εἶναι λέγεται ἐν κεφαλῇ καὶ τραχήλῳ καὶ θώρακι καὶ τοῖς ἄλλοις, μεθ' ὧν τὸ ὅλον ἀναπληροῦται σῶμα. ἔστι τι ἔν τινι καὶ ὡς ἐν ἀγγείῳ καὶ ὡς ἐν τόπῳ, ὡς λέγομεν Δίωνα ἐν ἀγορᾷ εἶναι καὶ τὸν οἶνον ἐν τῷ κεραμίῳ. καὶ τὰ συμβεβηκότα δέ τισιν ἐν ἐκείνοις εἶναι λέγεται, ὡς τὸ λευκὸν ἐν τῷ λευκῷ σώματι λέγεται, καὶ τὰ κεκραμένα ἐν τῷ ἐξ αὐτῶν εἶναι κράματι, ὡς ἐν τῷ οἰνομέλιτι τό τε μέλι καὶ ὁ οἶνος. παρὰ τοὺς εἰρημένους τρόπους ἔν τινι εἶναι λέγεται καὶ ὡς εἶδος ἐν ὕλῃ. καθ' ὃ γάρ τι ἔκ τινων ὂν αὐτὸ τὸ εἶναι ἔχει, τοῦτ' ἔστι

1 ὀργὴν] Sorge (Kummer) 3 καὶ τῶν τυχόντων] schwache 4 ὑπερβάλλομεν τοῖς πάθεσιν] es überwältigen uns ihre Eindrücke sehr 4—6 ὅταν ὀργᾷ — ἔνδειαν] Das geschieht wenn sie den Leib treffen, nachdem er von früherer Zeit her bereit war, passend für das Empfangen des Eindrucks, sei es durch den Mangel 6 παράθεσιν] Ueberhandnehmen und Verbreitung 10 τοῦ ζῴου om. 11 τοῦ εἶναι ἔν τινι] das Ding in einem Dinge [videtur igitur non legisse εἶναι] κατὰ μηδὲν ἄλλο] addit: als in jenem 13 ἐν τῷ ζῴῳ] im Lebenden τὸ ζῷον] das Lebende 14—15 ἐν γὰρ — γένει] denn die Existenz der Gattung ist fürwahr in ihren Arten, in welche geteilt zu werden ihre Weise ist, indem einige den anderen gegenüber (= entgegen) gesetzt [sind] 15—16 ἢ ὡς μέρος — ἐν τῷ σώματι om. 18 σῶμα om. 18—19 ἔστι — τόπῳ] Man sagt auch von den Körpern, dass ein Ding in einem [anderen] Dinge sei entweder in der Weise dessen, das in einem Gefässe ist, oder in der Weise dessen, das in einem Orte ist 19 Δίωνα] Zeid 20—21 καὶ τὰ — εἶναι λέγεται] Man sagt auch in der Weise des Zufalls, dass ein Ding in einem Dinge sei 21 λέγεται] ist

3 ἐπιπολαίως K: ἐπιπολέως Va πρὸς ὀλίγον VK: προσολίγον a 6 τινων] τι in lit. V 8 πῶς in lit. V: πως Ka 9 „ποσαχῶς τὸ ἔν τινι“. δειχνύοιτο VKa ἡ ψυχὴ οὖσα Ka 11 εἶναι om. Ka 12 fortasse ἐν τῷ σώματι cf. 14,15 ἐν τοῖς εἴδεσιν ἐν τῷ σώματι et 14,12,25. 15,10 τι εἶναί τι Ka 16. 17 ἡ χεὶρ — εἶναι λέγεται om. K 17 κεφαλῇ] sub ε paululum erasum V 20 κεραμείῳ K 24 ὂν] ὃν a τουτέστιν a

ὡς εἶδος ἐν ὕλῃ τῷ λοιπῷ. οὕτως ἔχει τὸ μὲν τοιόνδε σχῆμα ἐν τῷ ἀνδριάντι ὄντι ἐκ χαλκοῦ τε καὶ σχήματος, ἡ δὲ βαρύτης ἐν τῇ γῇ οὔσῃ ἐξ ὕλης τε καὶ ταύτης. κατὰ τούτους δὴ τοὺς τρόπους τοῦ ἔν τινι λεγομένου (ὁ γὰρ κυβερνήτης ἐν τῇ νηὶ κατά τινα τῶν προειρημένων ἂν εἴη τρόπον), ἡ ψυχὴ ἐν τῷ σώματι οὖσα οὔτε ὡς μέρος οὖσα αὐτοῦ ἐστιν ἐν αὐτῷ (σῶμά τε γὰρ ἂν εἴη, σῶμα γὰρ τὸ τοῦ σώματος μέρος, καὶ εἰς τὸ ποσὸν ἄν, οὐκ εἰς τὸ ποιὸν τῷ ζῴῳ συντελοῖ· ἔτι τε οὐκ ἂν ἦν πᾶν ἔμψυχον τὸ σῶμα, ἀλλὰ ἑκάτερον αὐτῶν τοῦ ἑτέρου κεχώριστο, εἰ μὴ σῶμα διὰ σώματος οἷόν τε χωρεῖν τε καὶ διιέναι, οὗ οὐδὲ ἐπίνοιαν σχεῖν ῥᾴδιον), ἀλλ' οὐδὲ ὅλον μέν τι ἡ ψυχή, μέρη δὲ τῆς ψυχῆς τὰ μέρη τοῦ σώματος, ὡς εἶναι τὴν ψυχὴν ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν τοῖς αὐτοῦ. ἀλλ' οὐδὲ ὡς εἶδος ἐν γένει ἐν τῷ σώματι ἡ ψυχή. οὐ γὰρ γένος τὸ σῶμα τῆς ψυχῆς ἐν ᾧ ἐστιν· ἑκάτερον γὰρ αὐτῶν ἕν τι κατ' ἀριθμόν, τὰ δὲ γένη τε καὶ εἴδη κοινά τε καὶ καθόλου· ἔτι τε σῶμα ἂν ἡ ψυχὴ εἴη. ἀλλ' οὐδὲ ὡς τὸ γένος ἐν τοῖς εἴδεσιν ἐν τῷ σώματι ἡ ψυχὴ διά τε τὴν προειρημένην αἰτίαν καὶ ὅτι, εἰ ἡ ψυχὴ γένος τοῦ σώματος λέγεται, πᾶν σῶμα ψυχή, ὡς πᾶς ἄνθρωπος ζῷον. ἀλλ' οὐδὲ τόπος τὸ σῶμα τῆς ψυχῆς· σῶμά τε γὰρ ἂν ἡ ψυχὴ εἴη (πᾶν γὰρ τὸ καθ' αὑτὸ ἐν τόπῳ σῶμα) καὶ ἔτι τὸ σῶμα τόπος ἔσται. οὕτως γὰρ ἔσται τὸ σῶμα ἢ διάστημά τι κενὸν ἢ πέρας τοῦ περιέχοντος· αὗται γὰρ αἱ περὶ τόπου δόξαι. ἔτι τῷ μὲν τόπῳ οὐδὲν τὸ ὂν ἐν αὐτῷ συντελεῖ πρὸς τὸ εἶναι τοιῷδε, τὸ δὲ ἔμψυχον σῶμα παρὰ | τῆς ψυχῆς ἔχει τὰς διαφορὰς τὰς πρὸς τὰ ἄλλα σώματα. 125v οὐδ' ὡς ἐν ἀγγείῳ δ' ἂν εἴη· καὶ γὰρ τὸ ἀγγεῖον τόπος τοῦ ἐν αὐτῷ, διάφορον τοῦ τόπου μόνῳ τῷ συμμεταφέρεσθαι τοῖς ἐν αὐτῷ. ἀλλ' οὐδ' ὡς ἐν ὑποκειμένῳ τε καὶ ὡς συμβεβηκὸς ἐν τῷ σώματι ἡ ψυχή· οὐσία

1 ὡς om. τῷ λοιπῷ] und das ist das zweite (p: dann ist das eine) von den zwei Dingen woraus das Ding geworden 6 σῶμα] addit: denn wenn sie es wäre 6—7 εἰς τὸ ποιὸν συντελοῖ] der Teil würde sich anlehnen an das Thier [p. var. l. zusammenhängen mit dem Thier] in der Categorie der Qualität 9 χωρεῖν—διιέναι] übergehen und eintreten 11 τοῖς αὐτοῦ] des Körpers 16 λέγεται] wäre 17 ἀλλ' κτλ.] addit: denn wenn es so wäre 18—19 καὶ ἔτι ἔσται] also wäre auch γὰρ om. 19 οὕτως nach dieser Analogie 20—21 ἔτι — τοιῷδε] Ferner was in einem Orte ist, trägt zu dem, worin es ist, in Bezug auf das, was es ist, nichts bei, so dass es dieses bestimmte Ding würde 23 οὐδ'] addit: sie kann nicht im Leibe sein, wie 24 διάφορον — ἐν αὐτῷ] der Unterschied besteht nur in dieser Einheit allein, ich meine dass jenes übertragen (räumlich bewegt) wird, wenn das worin es ist [sic Steinschneider coniecit. libri: das was in ihm ist] übertragen wird

1 fortasse ἐν τῷ λοιπῷ 5 τρόπον V: τρόπων Ka 7 συντελεῖ K πᾶν om. Ka 8 σῶμα πᾶν Ka 11 τὸ ὅλον VK: τὸ τόλον a αὐτου V: αὐτοῦ Ka 14 ἔτι τε V: ἔτι τε καὶ Ka cf. ἔτι τε οὐκ ἂν ἦν v. 7 ἔτι τε βίᾳ ἂν κινοίη p. 15,17 ἔτι τε πῶς οὐκ ἄτοπον 128r20 et Ind. s. v. τε 19 οὕτως γὰρ ἔσται] οὔ ς γὰρ ἐσ in lit. V: γὰρ om. Ka. γὰρ ineleganter iteratum, ut κοινότερον γὰρ λέγεται τὸ ὕδωρ εἶναι τροφὴ τῷ πυρί. μόνα γὰρ κυρίως τρέφεται τὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα· τὸ γὰρ τρέφειν ταύτης 129v in. v. Ind. 21 τοιῶδε a 24 διάφορον scripsi: διαφόρων V: διαφέρων Ka

μὲν γὰρ ἡ ψυχὴ καὶ τῶν ἐναντίων ἐπιδεκτική· οὐδὲν δὲ συμβεβηκὸς οὐσία· ἔτι τε τὸ μὲν ἐν ὑποκειμένῳ τινὶ οὐκ ἔστι τῷ ὑποκειμένῳ αὐτῷ αἴτιον τοῦ εἶναι· δύναται γὰρ καὶ χωρὶς τούτου εἶναι τὸ ὑποκείμενον αὐτῷ· τῷ δὲ ὀργανικῷ σώματι, ἐν ᾧ ἐστιν ἡ ψυχή, τὸ εἶναι ὀργανικῷ παρὰ τῆς ψυχῆς. ἀλλ' οὐδὲ ὡς ἐν τῷ κεκραμένῳ τὰ ἐξ ὧν κέκραται ἐν τῷ σώματι ἡ ψυχή. οὐδὲν γὰρ τῶν οὕτως ὄντων ἔν τινι ἔτι σώζει τὴν αὑτοῦ φύσιν· οὔτε γὰρ ὁ οἶνος οὔτε τὸ μέλι ἐν τῷ οἰνομέλιτι σώζεται, ἡ δὲ ψυχὴ καὶ τὸ σῶμα ἀμφότερα ἐν τῷ ζῴῳ μένει· ἔτι πᾶσα κρᾶσις σωμάτων, ὥστε εἴη ἂν καὶ ἡ ψυχὴ σῶμά τι. ἀλλ' οὐδὲ ὡς ὁ κυβερνήτης ἐν τῇ νηὶ οὕτως οἷόν τε εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι. εἰ μὲν γὰρ τὸν κυβερνήτην οὕτως λαμβάνοι τις ὡς τὴν τέχνην τὴν κυβερνητικήν, εἴη ἂν ὡς ἕξις τις καὶ εἶδος ἐν ὕλῃ ἡ ψυχὴ ἐν τῷ σώματι (οὕτως γὰρ αἱ ἕξεις εἰσὶν ἐν τοῖς ὧν εἰσιν ἕξεις· ἀσώματοί τε γάρ εἰσι καὶ ἀχώριστοι τῶν ἐν οἷς εἰσιν), εἰ δ' ὡς αὐτὸν τὸν κυβερνήτην τὸν ἔχοντα τὴν ἕξιν, σῶμά τε ἔσται ἡ ψυχή (καὶ γὰρ ὁ κυβερνήτης μετὰ σώματος), καὶ ἔσται ἔν τινι μέρει τοῦ σώματος ἀποκεκριμένῳ ὡς ἐν τόπῳ, οὐκ ἔσται τε πᾶν τὸ σῶμα ψυχὴν ἔχον οὐδὲ συμπαθὲς ἑαυτῷ οὐδὲ ἔχον συναίσθησιν· ἔτι τε βίᾳ ἂν κινῴη τὸ σῶμα, δύναιτό τε ἂν οὖσα ἡ ψυχὴ τοιαύτη καὶ χωριζομένη τοῦ σώματος εἰσιέναι πάλιν εἰς αὐτό, ὡς τὸ αὐτὸ σῶμα ποτὲ μὲν ἔμψυχον εἶναι, ποτὲ δὲ μή. τίς τε ἡ αἰτία, δι' ἣν τοιοῦτόν τι οὖσα ἡ ψυχὴ εἴσεισιν εἰς τὸ σῶμα, καὶ τίς τῆς εἰσόδου τρόπος; καὶ τί τοῦ συμμένειν αἴτιον, καὶ πολὺ πρότερον ἔτι τίς ἡ οὐσία αὐτῆς καὶ ἡ φύσις; εἴ τέ ἐστιν ἡ ψυχὴ ὡς ὁ κυβερνήτης, οὐχ ὡς ἡ κυβερνητική, εἴη ἂν καὶ αὐτὴ ἐξ ὕλης καὶ εἴδους τινός, ὃ εἶδος εἴη ἂν ἡ ψυχή, εἴ γε παρ' οὗ τὸ εἶναι κυβερνήτῃ αὐτῇ, παρὰ τούτου καὶ τὸ εἶναι ψυχῇ· κατὰ γὰρ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστι· παρὰ δὲ τοῦ εἴδους, οὐ παρὰ τῆς ὕλης τῷ κυβερνήτῃ τὸ κυβερνήτῃ εἶναι. εἰ δὲ κατὰ μηδένα τῶν προειρημένων τρόπων οἷόν τε εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι, λείποιτ' ἂν τὸ εἶναι αὐτὴν ἐν αὐτῷ ὡς εἶδος, εἴ γε εἶδος μὲν ἑκάστου, καθ' ὅ ἐστι τοῦτο ὅ ἐστι, κατὰ δὲ τὴν ψυχὴν τὸ ζῷον ζῷόν ἐστι. ἐπεὶ

---

6 τὴν αὑτοῦ φύσιν] seine Natur, die es specificirt 7 ὁ οἶνος] Wasser 9 ἀλλ' οὐδὲ] addit: wenn es sich so verhielte 15—16 καὶ ἔσται—τόπῳ] sie wäre begriffen in einem der Glieder des Leibes, in ihm abgeschlossen, wie ein Ding in einem Orte abgeschlossen ist 17 ἔτι τε—τὸ σῶμα om. 20 τίς τε ἡ αἰτία—τὸ σῶμα] Welches wäre die Ursache für die Seele, dass ihr Zustand so [werde], dass sie in den Leib trete 21 τοῦ συμμένειν] ihres Aufenthaltes in ihm und Bleibens in ihm 22 εἴ τε] ferner wenn 22 ὡς om. 24—25 εἴ γε—ψυχῇ] da das Ding wodurch der Steuermann selbst ist, was er ist, dasselbe ist, wodurch die Seele ist 25 ἑκάστῳ] jeder von Beiden 26 δὲ (τοῦ)] nämlich

---

3 γὰρ om. K 6 αὑτοῦ scripsi: αὐτοῦ VKa 7 τὸ μέλι V: τὸ μὲν μέλι Ka 8 κράσις VKa 11 κυβερνητικήν] κήν in lit. V 16 fortasse ἀποκεκριμένη 17 βία Ka κινῴη V: κινώη Ka 18 δύναιτό τε] cf. ἔτι τε p. 14,14 οὐδέν τε 128r20 ἐν ἀσφαλεστάτῳ τε κτλ. 141r28 20 εἰσεισίν Ka: εἴσισιν V 21 τοῦ ex. Vict.: τὸ VKa 23 αὐτη V 24 αὐτῇ a: αυτη V 25 ψυχῇ scripsi: ψυχή Va 26 κυβερνήτη εἶναι a (ut 24)

τοίνυν ἡ ψυχὴ [ἣν καὶ τελειότητα καὶ ἐντελέχειαν ἔθος Ἀριστοτέλει λέγειν] εἶδός τε ἐστιν, ὡς δέδεικται, καὶ εἶδος ἔνυλον (σώματος γάρ, καὶ σώματος φυσικοῦ· οὐ γὰρ τεχνικοῦ, ὡς τὸ τοῦ ἀνδριάντος· καὶ φυσικοῦ οὐχ ἁπλοῦ ὡς τὸ τοῦ πυρός, ἀλλὰ συνθέτου τε καὶ ὀργανικοῦ), τὸ δὲ εἶδος, οὗ ἐστιν εἶδος, ἐδείχθη καὶ τελειότης ὄν. ἔθος δὲ Ἀριστοτέλει τὴν τελειότητα καὶ ἐντελέχειαν λέγειν, ὡς τοῦ ἐν τῷ τέλει εἶναι τὸ πρᾶγμα οὗ ἐστιν οὖσαν αἰτίαν, εἰκότως αὐτῆς ἀπέδωκε τοιοῦτον τὸν λόγον· ἐντελέχεια ἡ πρώτη. διττὴ γὰρ ἦν ἡ τελειότης, ἡ μὲν ἕξις τε καὶ δύναμις, ἡ δὲ ἀπὸ τῆς δυνάμεως ἐνέργεια, ὧν ἡ δύναμις ἦν πρώτη καὶ τὸ εἶδος ἦν ἡ κατὰ τὴν δύναμιν τελειότης. ἐντελέχεια οὖν ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. ἔστι γὰρ ὀργανικὸν σῶμα τὸ ἔχον πλείω τε καὶ διαφέροντα μέρη ψυχικαῖς δυνάμεσιν ὑπηρετεῖσθαι δυνάμενα. διὸ τὸ ὀργανικὸν σῶμα καὶ δυνάμει ζωὴν ἔχειν λέγει, τῷ δυνάμει ζωὴν ἔχον ἀντὶ τοῦ δυναμένου κατ' ἐνέργειαν ζῆν χρώμενος. τὸ γὰρ ἤδη τὴν τέλειον ψυχὴν ἔχον πολλὰ κατ' αὐτὴν δύναται ποιεῖν τε καὶ πάσχειν, τρέφεσθαι, αὔξεσθαι, γεννᾶν, αἰσθάνεσθαι, ὀρέγεσθαι, διανοεῖσθαι, λέγειν, πράττειν, ὑγιαίνειν, νοσεῖν. ἔμψυχα γὰρ οὐδὲν ἧττον, κἂν μὴ ἐνεργῇ μέν, δύνηται δέ, καὶ ἔστι τὸ δυνάμει, τὸ προσκείμενον, τῆς πρώτης ἐντελεχείας δηλωτικόν. καὶ αὕτη μὲν ἡ τῆς ψυχῆς οὐσία, ὡς ἑνὶ λόγῳ περιλαβεῖν πλείους ψυχὰς οὔτε ὁμοειδεῖς ἀλλήλαις τάξιν τε ἐχούσας πρὸς ἀλλήλας, ὡς εἶναι τὴν μέν τινα αὐτῶν ἀτελεστέραν τε καὶ πρώτην, τὴν δὲ μετὰ ταύτην τελειοτέραν ἐκείνης τῷ πρὸς ἐκείναις καὶ ἄλλην δύναμίν τινα προσειληφέναι, καὶ μετὰ ταύτην τρίτην τινὰ πάλιν πρὸς ἐκείναις ταῖς

---

1 ἣν καὶ—λέγειν om. 2 γὰρ] und 4—5 τὸ δὲ εἶδος—τελειότης ὄν] aber bereits erläutert ist, dass die Form, **welche** für das, dessen Form sie ist, auch eine Vollendung desselben ist. 6–7 ὡς τοῦ—ἡ πρώτη om. 8 γὰρ om. 9—10 ὧν—τελειότης] die Kraft ist von jenen beiden die erste **Vollendung**, die Form die Vollendung in der Weise der Kraft 9 ἦν v. 8 et 9 ist 10 οὖν] also ist sie 11—12 ψυχικαῖς—δυνάμενα] welche die Arbeit ertragen durch die Kräfte der Seele BP. p: welche den Kräften der Seele dienen 12—13 διὸ—χρώμενος] er sagt dass in ihm Leben in potentia sei, anstatt dass er sage, er vermöge in actu zu leben 15 ante τρέφεσθαι addit: denn es vermag γεννᾶν] das **ähnliche** zu erzeugen 16 οὐδὲν ἧττον] sind beseelte 18—19 καὶ αὕτη—πρὸς ἀλλήλας] Dies ist der wesentliche Inhalt des Wesens der Seele, wenn sie in eine Definition gefasst wird. Die Theile der Seele sind vollkommen, keiner derselben ist passender der Art nach [P: Form], als (ist untergeordnet?) der andere; jedoch ist eine Abstufung zwischen einzelnen, ich meine 20 καὶ πρώτην] und geringer τὴν δὲ] p. addit: derselben 21 πρὸς] mit 22 τρίτην τινὰ] addit: für dieselbe

---

1 ἣν καὶ—λέγειν] haec verba cum male ex v. 5 praecepta sint et in interpretatione hebraica desint, uncis circumscripsi 6 πρᾶγμα Ka: πρᾶμα V 7 εἰκότως] incipit apodosis 10 ἐντελέχεια—ὀργανικοῦ scil. ἐστι ψυχή 12 διὸ τὸ ὀργανικὸν σῶμα om. Ka 13 ἔχειν V: ἔχει Ka ἔχον m[1], ἔχειν m[2] V: ἔχον Ka ἀντι m[2], παντι m[1] V: παντὶ Ka. Alexandrum puto scripsisse τῷ „δυνάμει ζωὴν ἔχον“ ἀντὶ τοῦ „δυνάμενον κατ' ἐνέργειαν ζῆν“ χρώμενος ut l. II p. 143r 7 καὶ ἔστιν ἴσον τὸ δυνάμει ζωὴν ἔχον τῷ „ὀργανικόν“ 15 γεννᾶν] post α una lit. er. V 18 ψηχῆς a

δυνάμεσιν καὶ ἄλλας τινὰς δυνάμεις ἔχουσαν. οὐ γὰρ οἷόν τε τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα σαφῆ τὸν κοινὸν εἶναι λόγον τῷ δεῖν μὲν τὸν ὁρισμόν τινων κατὰ πάντων αὐτῶν κατηγορεῖσθαι, μὴ δύνασθαι δὲ ἐν τῷ τοιούτῳ λόγῳ διασημαίνεσθαί τι τῶν τελειοτέρων ἐν αὐτοῖς. οὐκέτι γὰρ ἂν τὰ ἀτελέστερα ἐν τῷ ὁρισμῷ περιλαμβάνοιτο. δι' ἣν αἰτίαν καὶ ὁ τῆς ψυχῆς κοινὸς λόγος ἁπλούστερός τε καὶ κοινότερος ὢν οὐδεμιᾶς τῶν μάλιστα δοκουσῶν εἶναι ψυχικῶν δυνάμεών ἐστιν ἐνδεικτικός. ἀπὸ γάρ τινος κοινῶς πάσαις αὐταῖς ὑπάρχοντος ὁ τοιοῦτος λόγος. |

Εἰ δέ ἐστιν εἶδος ἡ ψυχή, ὡς δέδεικται, ἀναγκαῖον αὐτὴν ἀχώριστόν 126r τε εἶναι τοῦ σώματος οὗ ἐστιν καὶ ἀσώματον καὶ ἀκίνητον καθ' αὑτήν. πᾶν γὰρ εἶδος τοιοῦτον. τὸ μὲν γὰρ σῶμα συναμφότερόν τε καὶ ὑφεστὸς καθ' αὑτό, τὸ δὲ εἶδος ἄλλου ὂν (τοιοῦτον γὰρ ἡ ἐντελέχειά τε καὶ τελειότης) οὐχ οἷόν τε ἄνευ ἐκείνου οὗ ἐστιν εἶναι, ὡς οὐδὲ τὸ πέρας χωρὶς τοῦ οὗ πέρας ἐστί, ὥστ' οὐδὲ τὴν ψυχὴν οἷόν τε εἶναι χωρισθῆναι καὶ καθ' αὑτὴν ὑφεστάναι. οὐδὲ σῶμα ἄρα. ἀλλ' οὐδὲ κατὰ τοὺς λέγοντας, πᾶν σῶμα, ἢ ὕλην ἢ ἐξ ὕλης, εἶναι (ὡς τοῖς ἀπὸ τῆς Στοᾶς δοκεῖ) εἴη ἂν τὸ εἶδος σῶμα. οὔτε γὰρ ὕλη τὸ εἶδος (ἡ μὲν γὰρ ἄποιος, τὸ δὲ ποιότης τις), οὔτε ἐξ ὕλης· εἰ γὰρ εἴη τὸ εἶδος ἐξ ὕλης καὶ εἴδους, πρῶτον μὲν ἔσται ταὐτὸν τὸ ἕτερον τῷ συναμφοτέρῳ, ἔπειτα εἰς ἄπειρον προελεύσεται, εἴ γε τὸ μὲν εἶδος ἐξ ὕλης τε καὶ εἴδους, πάλιν δὲ ἐκεῖνο τὸ εἶδος ὕλης τε καὶ εἴδους δεήσεται. εἰ γὰρ οὕτως λέγοιεν τὸ εἶδος ἐξ ὕλης τε καὶ

3 μὴ δύνασθαι διασημαίνεσθαι] man kann nicht andeuten mit solcher Definition, so dass sie es bedeute 7—8 ἀπὸ—λόγος] denn jene Definition ist fürwahr genommen von irgend einer Gemeinschaftlichkeit, die sich in ihnen findet 12 τὸ δὲ εἶδος ἄλλου ὄν] die Form hingegen, wenn sie ist, so ist sie fürwahr für einen anderen Gegenstand ἐντελέχεια] p: erste Entelechie 13—14 οὐχ—πέρας ἐστί] sie kann nicht entblösst von jenem Dinge sein, da (nachdem) auch in Bezug auf das Ende sie nicht von dem Dinge getrennt werden kann, dessen Ende sie ist 15—17 ἀλλ'—ποιότης τις] denn es ist nicht möglich, auch nicht nach dem Ausspruch derjenigen, welche sagen dass sie ein einfacher Körper oder Hyle oder aus Hyle und Form [sei] (wie die Leute der Finsterniss [arab. Ahlal-ruwak, quod interpres hebraeus non intellexerit? St.] glauben), dass die Form Körper sei. [Pp in mg: nachdem er gesagt hat, dass die Form Körper sei, hätte er einen diese Frage erläuternden Beweis bringen sollen, nämlich dass die Form nicht Körper sei; wenn aber dies selbstverständlich ist, so hätte er fortfahren müssen: die Form ist nicht Hyle.] Die Form ist nämlich nicht Hyle, weil die Hyle nicht qualificirbar, die Form ist aber irgend eine Qualität 18 οὔτε ἐξ ὕλης] addit: und Form εἰ γὰρ—εἴδους] nach dieser Analogie 20 εἴ γε] addit: notwendig 20—21 πάλιν—δεήσεται om.

1 ἀλλάς τινας K: ἄλλά τινας a 7 κοινῶς m[2] κοινὸς m[1]V: κοινῶς Ka 9 „ὅτι ἀχώριστος ἡ ψυχὴ τοῦ σώματος οὗ ἐστι ψυχή.“ εἰ δέ VKa (nisi quod K οὗ ἐστι ψυχή om.) 10 καὶ ante ἀσώματον om. Ka 11 καὶ ὑφεστὸς] καὶ ὑ in lit. V 12 αὐτὸ] ὁ in lit. V 13 χωρὶς om. Ka 15 ὑφεστᾶναι Ka 16 σῶμα et ἢ interpunxi. sine dubio enim haec dicit Alexander: *ne secundum eos quidem, qui omne corpus esse dicunt, forma corpus est*

εἴδους, οὐχ ὡς ἐξ ἄλλου τινὸς εἴδους, ἀλλ' ὡς αὐτοῦ σὺν ὕλῃ τὸ εἶναι ἔχοντος, οὐδ' ἂν ἡ ὕλη κατ' αὐτοὺς ἄποιος εἴη κατὰ τὸν αὑτῆς λόγον· καὶ γὰρ αὕτη πρὸς τὸ εἶναι εἴδους τινὸς δεῖται καὶ ποιότητος. εἰ δὲ ταύτην καίτοι μὴ δυναμένην ὑποστῆναι χωρὶς ποιότητος ἄποιον λέγουσιν, ὅτι ἐν τῇ οἰκείᾳ φύσει αὐτῆς οὐκ ἔστιν ἡ ποιότης, καὶ τὸ εἶδος ἂν καὶ ἡ ποιότης κατὰ τὸν αὐτὸν λόγον χωρὶς ὕλης εἶεν, εἰ καὶ μεθ' ὕλης ἡ ὑπόστασις αὐτοῖς, τῷ ἐν τῇ οἰκείᾳ φύσει αὐτῶν τὴν ὕλην μὴ περιέχεσθαι. ἔτι δὲ πῶς οὐκ ἄτοπον τὸ τὴν ὕλην λέγειν ἐν τῷ τὸ εἶδος καὶ τὴν ποιότητα λαμβάνειν καὶ ὕλην τινὰ προσλαμβάνειν; ὃ ἀναγκαῖόν ἐστι λέγειν τοῖς τὸ εἶδός τε καὶ τὴν ποιότητα σῶμα ἔνυλον λέγουσιν. τὸ δὲ λέγειν τῶν τοῦ σώματος μερῶν ἀνάγκην εἶναι καὶ τὰ μέρη σώματα εἶναι, ὥσπερ καὶ τῆς ἐπιφανείας καὶ τῆς γραμμῆς καὶ τοῦ χρόνου τὰ μέρη, τῆς μὲν ἐπιφάνειαι, τῆς δὲ γραμμαί, τοῦ δὲ χρόνοι, μέρη δὲ τοῦ ζῴου σώματος ὄντος τό τε εἶδος καὶ ἡ ὕλη, ὥστε καὶ σῶμα, πεπλανημένων. οὐ γὰρ οὕτως μέρη ταῦτα τοῦ σώματος, ὡς εἰς αὐτὰ τέμνεσθαι τὸ σῶμα. τὰ μὲν γὰρ μέρη τοῦ σώματος, εἰς ἃ τέμνεται, εἴς τε τὸ ποσὸν συντελεῖ τῷ σώματι καὶ τμηθέντα ὑφέστηκέν τε καὶ μένει. οὐχ οὕτως δὲ μέρη τοῦ σώματος τό τε εἶδος καὶ ἡ ὕλη, ἀλλὰ ὡς τοῦ ἀνδριάντος ὅ τε χαλκὸς καὶ ἡ μορφή, εἰς ἃ οὐκέτι ἡ τοῦ ἀνδριάντος γίνεται διαίρεσις, ὡς εἰς κεφαλὴν καὶ θώρακα καὶ σκέλη, καίτοι καὶ ἐξ ἐκείνων ὡς μερῶν τοῦ συναμφοτέρου συγκειμένου, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν τρόπον. τὸ γὰρ σχῆμα τοῦ ἀνδριάντος μέρος οὐχ ὡς εἰς τὸ ποσὸν αὐτῷ συντελοῦν τι, ἀλλ' ὡς εἰς τὸ ποιόν, καὶ οὐχ ὡς ἐν τῷ ἀπὸ τῆς ὕλης χωρισμῷ σῴζεσθαι δυνάμενον. εἰς δὲ τὰ ὡς ποσοῦ μέρη καὶ εἰς τὰ σωζόμενα μετὰ τὴν διαίρεσιν ἡ προειρημένη τοῦ τε σώματος καὶ τῶν ἄλλων συνεχῶν διαίρεσις. διὸ οὐδὲ μέρη ταῦτα ἁπλῶς σώματος, ἀλλὰ τοιοῦδε σώματος, οὗ μέρος καὶ τὸ δι' ὃ τοιόνδε ἐστὶν οὐκ ὂν σῶμα. ἀλλ' οὐδὲ ὁ λέγων λόγος ᾧ τὸ μέρος σῶμα καὶ αὐτὸ σῶμα, τῆς δὲ ψυχῆς ἡ αἴσθησις μέρος οὖσα σῶμά ἐστι, καὶ αὕτη ἄρα σῶμα,

1—2 ἀλλ'—ἔχοντος] sondern in der Weise dass sie fürwahr sich finde mit Hyle 6 κατὰ—λόγον] ihrem Wesen nach 6—9 εἰ καὶ—προσλαμβάνειν] wenn aber deren Bestehen fürwahr mit der Hyle ist, weil insbesondere ihre Natur nicht eine Hyle umfasst: so ist es also offenbar (ἔτι δὲ πῶς οὐκ) tadelhaft, dass man sage, dass die Hyle [Pp in margine coniciunt Form pro Hyle] derart sei, dass, wenn eine Form oder Qualität sich finde, sich mit derselben auch eine weitere Hyle finde 10—11 τὸ δὲ λέγειν—σώματα εἶναι] Sagt aber jemand, dass die Teile des Körpers auch Körper sein müssen 14—15 οὐ γὰρ—τὸ σῶμα] denn diese beiden sind nicht zwei Teile des Körpers, weil (indem) der Körper in sie geteilt wird 18 post μορφὴ addit: zwei Teile sind 19 ὡς εἰς] wenn es sich teilt in 20 σκέλη] die beiden Füsse 21 εἰ—τρόπον] obwohl seine Zusammensetzung aus jenen nicht von ein und derselben Seite [anzusehen ist] 22 καὶ οὐχ ὡς κτλ. om. usque ad p. 20,23

1 οὐχ ὡς, ἀλλ' ὡς cf. p. 18,22 τὸ εἶναι scripsi: τὸ εἶδος Va cf. τὸ νοούμενον ἐπ' ὕλῃ τινὶ τὸ εἶναι ἔχει 138r fin. 2 αὑτῆς scripsi: αὐτῆς VKa 3 αὐτη V 10—11 τὰ τοῦ σώματος μέρη a 11 τὰ μέρη om. a 20 ᾧ post συγκειμένου videtur erasum esse V: ᾧ εἰ a 23 δυνάμενον scripsi: δυναμένῳ Va 28 αυτη V

δείκνυσίν τι· τὴν γὰρ αἴσθησιν, εἰ μὲν ὡς τὸ αἰσθητήριον λαμβάνει, σῶμα μὲν τὸ λαμβανόμενον, ἀλλ' οὐ τῆς ψυχῆς μέρος, εἰ δὲ ὡς τὴν δύναμιν τὴν αἰσθητικήν, μέρος μὲν ψυχῆς, ἀλλ' οὐ σῶμα λήψεται. καὶ γὰρ εἰ σῶμα ἡ ψυχή, καὶ σῶμα οὐχ ὡς ἡ ὕλη, ἔσται ἐξ ὕλης καὶ εἴδους, εἴ γε πᾶν σῶμα κατ' αὐτοὺς τῷ παρὰ τὴν ὕλην τοιοῦτον. ἀλλ' εἰ τοῦτο, ἔσται καὶ ἐν ἐκείνῳ τῷ σώματι τὸ εἶδος ἡ ψυχή. εἰ γὰρ τὸ ὑποκείμενον αὐτῷ σῶμα τόδε τι ὂν καὶ καθ' αὑτὸ ὑφίστασθαι δυνάμενον εἴτε πνεῦμα ὂν εἴτε ἄλλο τι οὐκ ἔμψυχον, ὃ σωζομένῳ τῷ σώματι τούτῳ προσγινόμενον ἔμψυχον αὐτὸ ἐξ ἀψύχου ποιεῖ, τοῦτ' ἂν εἴη ἡ ψυχὴ κατ' αὐτούς. οὐ γὰρ οἷόν τε λέγειν κατὰ τὴν τῆς ποιότητος τῷ πνεύματι προσθήκην ψυχὴν γίνεσθαι τὸ πνεῦμα. εἰ μὲν γὰρ ἡ τῆς ποιότητος προσθήκη τῷ πνεύματι κατὰ τὴν οὐσίαν ἐποίει τοῦ πνεύματος μεταβολήν, ἐνῆν λέγειν εἰς ψυχὴν τὸ πνεῦμα μεταβάλλειν. εἰ δὲ καὶ μετὰ τὴν τῆς ποιότητος προσθήκην μένει πνεῦμα, οὐκ ἦν δὲ ψυχὴ τὸ πνεῦμα, οὐδ' ἂν ἡ προστιθεμένη ποιότης αὐτῷ ψυχὴν αὐτὸ ποιοῖ ἅτε μὴ μεταβάλλουσα αὐτοῦ τὴν οὐσίαν, ἀλλ' οὖσα συμβεβηκός τι τῷ πνεύματι. οὐδὲν γὰρ σῶμα φυσικὸν μὴ κατ' οὐσίαν μεταβάλλον οἷόν τε ἐξ ἄλλης φύσεως εἰς ἄλλην τινὰ μεταστῆναι. ἄλλη δὲ φύσις ψυχῆς τε καὶ πνεύματος. οὐ γὰρ δὴ γένος οἷόν τε λέγειν τῆς ψυχῆς τὸ πνεῦμα, ἔχον ὑπόστασιν καθ' αὑτό. οὐδὲν γὰρ γένος τοιοῦτον, ὡς ὑφεστάναι καθ' αὑτό. |

Οἱ δὲ λέγοντες εἶδος μὲν εἶναι τὴν ψυχὴν τοῦ σώματος, ἓν δέ τι τῶν 126v ὑποκειμένων ἐν τῷ ζῴῳ σωμάτων ποιοῦντες αὐτήν, οἷον πῦρ ἢ ἀέρα ἤ τι ἄλλο, λανθάνουσιν αὑτοὺς τὸ μέρος τῆς ὕλης εἶδος τῆς λοιπῆς ὕλης ποιοῦντες, τοῦτο δὲ ἄτοπον. ἄλλη γὰρ φύσις εἴδους τε καὶ ὕλης, ὡς δέδεικται. τὸ μὲν γὰρ ὑποκείμενον, τὸ δὲ ἐν ἐκείνῳ, καὶ τὸ μὲν σχηματιζόμενον, τὸ δὲ καθ' ὃ σχηματίζεται, ἀκολουθήσει τε τοῖς οὕτως λέγουσιν τελειότητα τῶν λοιπῶν τριῶν σωμάτων λέγειν τὸ πῦρ ἢ τὸν ἀέρα, καὶ τὴν γένεσιν ἔχειν αὐτὸ ἐκ τῆς ἐκείνων μίξεως· τοιοῦτον γὰρ ἡ τελειότης. οὕτως δὲ οὐκέτ' ἂν ἁπλοῦν εἴη σῶμα. ᾧ γὰρ ἡ γένεσις ἐκ μίξεως πλειόνων σωμάτων, οὐχ ἁπλοῦν τοῦτο. οὕτως τε οὐκ ἂν εἴη τὰ ἁπλᾶ σώματα τέτταρα. ἀλλ' οὐδὲ οἷόν τε τῶν τεσσάρων τι σωμάτων ἐκ τῆς τῶν καταλιπομένων γενέσθαι μίξεως, εἴ γε δεῖ μὲν ἐμφαίνεσθαι τῷ ἐκ τῆς μίξεώς τινι ὄντι πάσας τὰς δυνάμεις τὰς ἐκείνων, ἐξ ὧν μέμικται· ταύτῃ γὰρ φθορᾶς μῖξις διαφέρει, ὅτι μὴ ὁλόκληρος ἡ τῶν μιγνυμένων φθορά. ἀδύνατον δὲ ἢ ἐν τῷ πυρὶ λέγειν εἶναι ὑγρότητά τε καὶ ψυχρότητα, ἢ ἐν τῷ ἀέρι ξηρότητα τε καὶ ψυχρότητα. ἔτι τί μᾶλλον τόδε τι τῶν τεσσάρων, ἢ ἄλλο

1 αἰσθητηρίον a 5 τῷ Usenerus: τὸ erasum in V: τὸ a 6 ὑποκείκενον a
9 ⊣ ἀψύχου sic V 13 καὶ om. a 15 την V 21 „ὅτι οὐδὲν τῶν ἁπλῶν σωμάτων ἡ ψυχή.“ οἱ δὲ Va 23 αὑτοὺς scripsi: αὐτοὺς Va 24 ὕλης τε καὶ εἴδους a
25 ἐν infra lineam m[1]V 27 σωμάσων a 28 τοιοῦτον γὰρ ἡ τελειότης] cf. τοιοῦτον γὰρ ἡ ψυχή 127v21 τοιοῦτον γὰρ ἡ πέψις 129r41 τοιοῦτον μὲν ἡ τροφή 129v14 etc.
32 τῷ τινι ὄντι] cf. οἷς διαφέρουσιν ἀλλήλων τά τινα σώματα 146r in. ὥστε ἐκ τοῦ τινος σώματός τι σῶμα γίνεται 147r26 33 ταύτη a 36 fortasse τόδε τῶν, ut ὁμοίων γὰρ ὄντων ἑκατέρων οὐδὲν μᾶλλον τόδε μεῖζον ἂν ἐν τῇ συνθέσει γεγονὸς εἴη 129v10 cf. Ind.

τι εἶδος ἂν εἴη τῶν λοιπῶν τριῶν; ἔτι μόναι ἂν εἶεν ἐν τῷ ζῴῳ δυνάμεις αἱ τοῦ σώματος τοῦ ἐκ τῆς τῶν ἄλλων κράσεως γεγονότος, εἰ μὲν εἴη τὸ γεγονὸς πῦρ, θερμότης τε καὶ ξηρότης, εἰ δ' ἄλλο τι αἱ ἐκείνου, τῷ τοῦτ' εἶναι τὸ γεγονὸς ἐξ ἐκείνων. εἰ δὲ μηδὲν μᾶλλον τῶν ἐκείνου δυνάμεων αἱ τῶν ἄλλων ἐν τῷ ζῴῳ μένουσιν, οὐκ ἂν εἴη τοῦτο γεγονὸς ἐξ ἐκείνων, ὥστε οὐδὲ εἶδος. εἰ δὲ μὴ τοῦτο, οὐδὲ ψυχή. ἔτι εἰ ἕν τι τούτων ἐστὶν ἡ ψυχή, ἢ οὐ πᾶν τὸ ζῷον ἔμψυχον ἔσται, ἢ σῶμα διὰ σώματος διελεύσεται, ἧς δόξης τίς ἂν ἀτοπωτέρα γένοιτο; πῶς γὰρ οἷόν τε σῶμά τι μεστὸν ὂν αὑτοῦ καὶ μηδὲν ἔχον ἐν αὑτῷ κενὸν ἄλλο ἐν αὑτῷ σῶμα δέξασθαι ὁμοίως μεστὸν αὑτοῦ; εἰ γὰρ τὸ πλῆρες ὂν αὑτοῦ ἄλλο τι πάλιν καὶ αὐτὸ ὁμοίως ὂν πλῆρες αὑτοῦ δέξεται, οὐδὲν ἔσται τὸ κωλῦον καὶ ἄλλο πάλιν αὐτὸ καὶ ἄλλο δέξασθαι. οὐδὲν γὰρ ἔλαττον πλῆρες ὄν, ὅτε ἦν μόνον, τοῦ νῦν, ὅτε ἐδέξατό τι ἄλλο ἐν αὑτῷ, οὐκ ἐκωλύθη δέξασθαί τι καὶ δεύτερον, οὕτως τε οὐδὲν κωλυθήσεται τὸ μέγιστον ἐν τῷ μικροτάτῳ γενέσθαι σώματι. πῶς δὲ οὐκ ἄτοπον καὶ τὸ τὸν πεπληρωμένον τόπον ὑπὸ σώματός τινος λέγειν δύνασθαι καὶ ἄλλο τι σῶμα δέξασθαι τὸν αὐτὸν μένοντα τοῦ πεπληρωκότος αὐτὸν σώματος ἐν αὐτῷ μένοντος καὶ μὴ μεθισταμένου που; ἀλλὰ περὶ μὲν τῆς τούτου τοῦ δόγματος ἀτοπίας ἐν ἄλλοις ἡμῖν ἐπὶ πλεῖον εἴρηται. ἔτι δὲ οὐ σώζουσιν οἱ οὕτως λέγοντες τὴν τοῦ εἴδους ἀναλογίαν τοῦ ἐν τῷ ζῴῳ πρὸς τὰ εἴδη τά τε τῶν ἁπλῶν σωμάτων καὶ τὰ τῶν γινομένων κατὰ τέχνην. οὐ γὰρ τοιοῦτον ἡ βαρύτης εἶδος οὐδὲ ἡ κουφότης οὐδὲ τὸ σχῆμα. ἔτι δὲ εἰ ἕν τι τῶν ἁπλῶν σωμάτων τὴν ὡς ψυχὴν εἶδος λέγοιεν, ἐπεὶ τὸ εἶδος τὸ τὴν ὕλην εἰδοποιοῦν ἐστιν, ἀλλ' οὐ τὸ συναμφότερον, εἴη ἂν καὶ ψυχὴ κατὰ τοὺς οὕτω λέγοντας τὸ εἶδος τούτου τοῦ σώματος, ὅπερ ἐστὶν ἡ κουφότης ἢ ἡ μετὰ ταύτης θερμότης τε καὶ ξηρότης ἤ τι εἶδος τῶν ἁπλῶν τινος σωμάτων. οὐδὲ οἱ εἶδος δὲ λέγοντες τὴν ψυχὴν τοῦ ζῴου, εἶδος δὲ ὡς οὐσίαν τινὰ χωριστήν τε καὶ αὐτὴν καθ' αὑτήν, ὡς τῆς νεὼς τὸν κυβερνήτην (εἶναι γὰρ κἀκεῖνον εἶδος τῆς νεὼς καὶ τελειότητα) ὀρθῶς λέγουσιν. οὐ γάρ ἐστι τῆς νεὼς εἶδος οὔτε τελειότης ὁ κυβερνήτης. ἔστι γὰρ ναῦς καὶ χωρὶς τοῦ κυβερνήτου.

23—26 ἐπεὶ τὸ εἶδος—σωμάτων] Denn wenn die Form nach dieser Ansicht fürwahr das Bildende [sic P in mg. PpB: die Form] der Hyle ist, nicht das aus den beiden Gegenständen Verbundene, so wird auch die Seele fürwahr die Form dieses Körpers sein, das ist die Leichtigkeit und die Wärme mit ihr und Trockenheit oder irgend eine der Formen der einfachen Körper. Ita pergit post lacunam, quam indicavi p. 18,22, praemissis his verbis: Es darf auch niemand sagen, dass die Form, welche in Bezug auf die Seele [angenommen wird] fürwahr der Unterschied sei, welcher zwischen den Körpern stattfindet, wegen der Hyle. Adscripsit autem interpres hebr. in P et p ad „es darf“: „Von hier bis „einfachen Körper“ ist schwierig und uns nicht verständlich“.

3 τῷ] post ω paululum erasum V   4 ἐκείνου] inter ο et υ paululum erasum V
6 δὲ om. a   9 αὑτοῦ etc. scripsi: αὐτοῦ etc. Va   13 δέξατο a   18 ἐν ἄλλοις] cf. de an. II 151v 18 sq. et de mixt. 142v 16 sq.   22. 23 τὴν ὡς sic V: τὸ ὡς Usenerus
25 ἢ ἡ scripsi: ἡ et una litera erasa V: ἢ a   28 κἀκεῖνον a, saepe

ἀλλ' οὐδ' ὡς τῆς ἐνεργείας τῆς νεὼς εἶδος ὁ κυβερνήτης λέγοιτ' ἄν. γίνεται μὲν γὰρ τῇ νηῒ κατὰ τοιόνδε σχῆμα, ὅ ἐστιν εἶδος αὐτῆς, ὡς νεὼς ἡ ἐνέργεια, πρὸς δὲ ταύτην ὁ κυβερνήτης συντελεῖ τι. ἡ δὲ ψυχὴ εἶδος τοῦ ζῴου καθὸ ζῷον καὶ οὐχ, ὅτε ἐνεργεῖ μόνον, τότε ἔμψυχον. διὰ τοῦτο γὰρ ἡ πρώτη ἐντελέχεια ἡ ψυχή. ὅτι γὰρ μή ἐστιν ὁμοίως ὡς ἡ ψυχὴ τοῦ ζῴου, οὕτως καὶ ὁ κυβερνήτης εἶδος τῆς νεώς, δῆλον ἐκ τοῦ τὴν μὲν ναῦν μένειν, κἂν ὁ κυβερνήτης ἀπέλθῃ, τὸ δὲ ζῷον ἀπελθούσης τῆς ψυχῆς μηκέτι ζῷον εἶναι. διὸ μᾶλλον ἂν πρὸς τὸ σχῆμα τῆς νεὼς ἡ ψυχὴ τὴν ἀναλογίαν ἔχοι. κατὰ γὰρ τοῦτο τὸ εἶναι τῇ νηΐ, ὡς τῷ ζῴῳ κατὰ τὴν ψυχήν. ἔτι ὁ μὲν κυβερνήτης οὐ διὰ πάσης ἐστὶ τῆς νεώς. ἔμψυχον δὲ πᾶν τὸ τοῦ ζῴου σῶμα. ἀλλὰ καὶ εἰ οὕτως ἦν ἐν τῷ σώματι ἡ ψυχή, ἐνεδέχετ' ἂν αὐτὴν καὶ χωρισθεῖσαν αὐτοῦ εἰσιέναι πάλιν εἰς αὐτό. τί γὰρ ἔσται τὸ τοιαύτην οὖσαν τὴν ψυχὴν κατέχον ἐν τῷ σώματι; ἔτι οὐ κατὰ τὴν αὑτοῦ φύσιν ἔσται τὸ σῶμα κινούμενον· παρὰ φύσιν ἄρα. ἀλλὰ μὴν πᾶσα βίαιος κίνησις παρὰ φύσιν καὶ διὰ σωματικῆς ἀντερείσεως γινομένη, ὥστε γένοιτο ἂν κατὰ τὸν λόγον τοῦτον πάλιν ἡ ψυχὴ σῶμα. ἀλλὰ καὶ καθόλου τις ἂν εὐλόγως ἀπαιτήσαι τοὺς οὕτως λέγοντας τὴν ψυχὴν εἶδος εἶναι τοῦ σώματος, τί τὸ συνάγον καὶ τί τὸ συνέχον ἀμφότερα κεχωρισμένα τε ἀλλήλων ὄντα καὶ τὰς φύσεις διαφέροντα, ὡς ἕν τι γίνεσθαι τὸ ἐξ αὐτῶν καὶ συμμένειν; χαλεπὸν γὰρ εὑρεῖν τὸ αἴτιον τῆς τῶν τοιούτων τὴν ἀρχήν τε συνόδου καὶ μετὰ τὴν σύνοδον ἑνώσεως. |

Οὖσα δὲ ἡ ψυχὴ εἶδος τοῦ σώματος, ὁποῖον προείρηται, τῷ ἀχώριστον 127r εἶναι τοῦ σώματος τὸ τοιοῦτον εἶδος καὶ συμφθείροιτο ἂν τῷ σώματι, ὅση γε αὐτῆς φθαρτοῦ σώματος εἶδός ἐστιν. εἴη δ' ἂν καὶ ἀκίνητος καθ' αὑτήν. οὐ γὰρ πᾶν ἀνάγκη τὸ κινήσεως αἴτιόν τινι καὶ αὐτὸ κινεῖσθαι. ἀλλ' ὅσα μὲν ἀπολελυμένα καὶ κεχωρισμένα τῶν κινουμένων ὑπ' αὐτῶν τῇ ἁφῇ καὶ σωματικῶς αὐτὰ κινεῖ, ταῦτα ἀνάγκη κινούμενα καὶ αὐτὰ κινεῖν. τά τε γὰρ ὠθοῦντά τι καὶ τὰ ἕλκοντα καὶ τὰ δινοῦντα καὶ

1—3 ἀλλ' οὐδ' ὡς—συντελεῖ τι] wenn aber ohne Zweifel Jemand sagen möchte, dass der Steuermann eine Form sei für das Thun des Schiffes, da das Thun des Schiffes fürwahr von dem Schiffe stattfindet in derjenigen Gestalt, welche es hat, und diese ist seine Form, insofern es ein Schiff ist; der Steuermann ist derjenige, der beiträgt zur Vollkommenheit dieses Thuns   11 οὕτως] wie der Steuermann im Schiffe   12 τί γὰρ] addit: wenn es so wäre   14 ἔσται] ist   17 εὐλόγως ἀπαιτήσαι] stellt eine notwendige Frage   18 καὶ τί τὸ συνέχον om.   19—20 ὡς - συμμένειν] so dass aus beiden Verbundenen eins wird, oder eins bleibt was es ist   21 καὶ μετὰ—ἑνώσεως] während ihr Zustand noch in ihrer Vereinigung nach der Verbindung so ist

1 οὐδ' ὡς scripsi: εἰ ὅλως Va   4 καὶ V: ἀλλ' a   5 γὰρ ante ἡ om. a   7 κ'ἂν V: κἂν a   ἀπέλθῃ a   8 δι' ὁ an δ' ὁ dubium V   9 τῷ ζῴῳ scripsi: τῶι ζῶιον V: τὸ ζῷον a   14 αὐτοῦ Va   15 ἀντερείσεως a: ἀντερίσεως V   17 τὶς a: τίς V   ἀπαιτῆσαι a   20 χαλεπὸν] χα supra lin. V   22 „ὅτι ἡ ψυχὴ ἀκίνητος αὐτὴ καθ' ἑαυτήν." οὖσα δὲ Va (nisi quod a αὐτή omisit.)   27 καὶ om. a   28 τὰ δεινοῦντα sic V: δινοῦντα a

τὰ ὀχοῦντα αὐτὰ κινούμενα οὕτως καὶ τοῖς ὑπ' αὐτῶν κινουμένοις αἴτια κινήσεως γίνεται. ὅσα δὲ δυνάμεις τε καὶ ἕξεις ὄντα τῶν κινουμένων αἴτια τοῖς ἔχουσιν αὐτὰ ποιᾶς κινήσεως γίνεται, ταῦτα οὐ μόνον οὐκ ἀνάγκη κινεῖν κινούμενα αὐτά, ἀλλὰ καὶ ἀδύνατον. ἀδύνατον γὰρ καθ' αὑτὸ κινεῖσθαι μὴ ὂν χωριστόν τε καὶ καθ' αὑτό. τοιαῦται δὲ αἵ τε ἕξεις καὶ αἱ δυνάμεις καὶ ὅλως τὰ τῶν σωμάτων εἴδη, ὧν οὖσα καὶ ἡ ψυχὴ δέδεικται. ὡς γὰρ ἡ βαρύτης αἰτία μὲν γίνεται τῇ γῇ τῆς εἰς τὸ κάτω φορᾶς καὶ κατὰ τοῦτ' αὐτῆς ἐστι κινητική, οὐ μὴν κινουμένη καθ' αὑτήν (πῶς γὰρ ἂν βαρύτης κινηθείη καθ' αὑτὴν εἶδος οὖσα καὶ φύσις τοῦ ἔχοντος αὐτὴν σώματος;), οὕτως καὶ ἡ ψυχὴ τῶν ζῴων πασῶν τῶν ὡς ζῴου κινήσεων ἔχουσα τὴν αἰτίαν, ἐπεὶ κατὰ ταύτην αὐτῷ ἡ τοῦ κινεῖσθαι τοῦτον τὸν τρόπον ἐξουσία, οὐκ αὐτὴ κινουμένη καθ' αὑτὴν οὕτως κινεῖ τὸ σῶμα· κινουμένῳ μέντοι τῷ σώματι συγκινεῖται καὶ αὐτή, καὶ γίνεται κινουμένη κατὰ συμβεβηκός, ὅπερ καὶ πᾶν εἶδος πάσχειν ἀνάγκη συνὸν καὶ συνοδεῦον τῷ σώματι, οὗ ἐστι, τῷ εἶναι ἀχώριστον αὐτοῦ. καὶ ὅταν γε τῆς κινήσεως τῷ σώματι τὸ εἶδος ᾖ τὸ οἰκεῖον αἴτιον, τότε γίνεται τὸ εἶδος προηγουμένως μὲν κινοῦν τὸ σῶμα, κατὰ συμβεβηκὸς δὲ καὶ αὑτὸ τῷ συγκινεῖσθαι τῷ σώματι τὴν κίνησιν, ἣν αὐτὸ κινεῖ. ἡ γὰρ βαρύτης αὑτὴν κινεῖ κατὰ συμβεβηκός, ὅταν αὐτὴ τῆς εἰς τὸ κάτω φορᾶς τῷ ἔχοντι αὐτὴν σώματι αἰτία ᾖ. καὶ ἡ ψυχὴ δὴ κατὰ συμβεβηκὸς ἑαυτὴν κινήσει τότε, ὅταν τὸ ἔχον αὐτὴν ζῷον κινῆται κατ' αὐτήν. κινηθήσεται μὲν γὰρ κατὰ συμβεβηκὸς κἂν δι' ἄλλην τινὰ αἰτίαν τὸ ζῷον κινῆται κατὰ τόπον, ὑφ' αὑτῆς δὲ ἐν τῇ καθ' αὑτὴν γινομένῃ κινήσει μόνῃ. καὶ γὰρ εἰ, διότι κινεῖ, διὰ τοῦτο κινεῖσθαι λέγουσιν αὐτήν, καὶ ἐπεὶ καὶ ἠρεμίας αἰτία γίνεται τῷ σώματι, ἠρεμεῖν ἂν τότε λέγοιτο. τίς γὰρ ἡ ἀποκλήρωσις τοῦ κινεῖν μὲν αὐτὴν κινουμένην, μηκέτι δὲ ἠρεμοῦσαν ἠρεμίζειν τὸ σῶμα; εἰ δὲ τοῦτο, οὐκέτ' ἂν ἐν τῇ οὐσίᾳ αὐτῆς ἡ κίνησις εἴη. καὶ γὰρ εἰ τὸ οἰκεῖον ἔργον

---

1 ὀχοῦντα] was drückt (drängt) 8 οὐ μὴν—αὑτήν] nur dass die Schwere fürwahr **nicht bewegt** in dem sie sich selbst bewegt 10—12 οὕτως—ἔχουσα τὴν αἰτίαν—κινεῖ] so **ist** auch die Seele die Ursache — also bewegt sie, cetera paria 13 κινουμένῳ μέντοι—καὶ αὐτή] **nur** wenn der Leib sich bewegt, bewegt sie sich. [Ar. non μέντοι, sed μόνῳ legisse videtur] 14 συνὸν καὶ συνοδεῦον] verknüpft und **gleich** 15—16 καὶ—αἴτιον] Ist also die eigentümliche Form des Leibes Ursache seiner Bewegung 16 προηγουμένως] wegen ihres [der Form] Voranseins. 18 αὑτὴν] sich selbst 22—23 ὑφ' αὑτῆς—μόνῃ] so ist jedoch **seine** [des Thier's] Bewegung durch dieselbe bei [p var. lect.: wegen] der Bewegung welche durch sie allein stattfindet 23 καὶ om. 24 τῷ σώματι om. 25 τίς—ἀποκλήρωσις] denn es ist [etwas] was uns nicht genügt κινεῖν] addit: den Körper 27 καὶ om.

---

3 τοῖς] οι in lit. V οὐκ om. a 8 καὶ καθ' a 12 αὐτὴ] α in lit. V 13 συ- |≶-κινεῖται i. e. συν |≶-κινεῖται V αὐτή a: αυτη V 14 post εἶδος quinque lit. erasae V 16 ειδος a 17 αὑτὸ scripsi: αὐτὸ Va 18 κίνοσιν a αὑτὴν scripsi: αὐτην Va 19 αὐτὴ a: αυτη V 22 κᾂν a 23 μόνη a 25 ἠρεμεῖν a: ἠρεμεῖν V ubique cf. καὶ τίς μὲν ἡ ἀποκλήρωσις τοῦ .. εἶναι 147 v4 27 εἰ in lit. V

αὐτῆς ἐν ἠρεμίᾳ μᾶλλον ἢ κινήσει περιγίνεται. οἰκειότερον ἂν αὐτῇ καὶ κατὰ φύσιν μᾶλλον εἴη τὸ ἠρεμεῖν. ἀλλὰ μὴν τὸ πρῶτον.. τὸ γὰρ νοεῖν, οἰκειότατον ὂν ἔργον αὐτῆς, ἠρεμούσῃ μᾶλλον, ἢ κινουμένῃ περιγίνεται. διὰ τοῦτο γὰρ τὸ νοεῖν ἐν γήρᾳ μᾶλλον ἢ νεότητι, καὶ νήφουσιν μᾶλλον ἢ μεθύουσιν, καὶ ἠρεμοῦντος τοῦ σώματος μᾶλλον ἢ φερομένου. μᾶλλον ἄρα αὐτῇ τὸ ἠρεμεῖν τοῦ κινεῖσθαι κατὰ φύσιν. διὸ ἀληθέστερον τὸ λέγειν μήτε κινεῖσθαι μήτε ἠρεμεῖν τὴν ψυχὴν καθ' αὑτήν, ἀλλ' ἑκάτερον τούτων ποιεῖν τὸ ζῷον κατ' αὐτήν. ὡς γὰρ οὐ λέγομεν βαδίζειν τὴν ψυχὴν ἢ ὁρᾶν ἢ ἀκούειν, ἀλλὰ κατὰ τὴν ψυχὴν τὸν ἄνθρωπον, οὕτως καί, ὅσας ἄλλας ἐνεργείας τε καὶ κινήσεις ὡς ἔμψυχός τε καὶ ὡς ἄνθρωπος ἐνεργεῖ, οὐχ ἡ ψυχή ἐστιν ἡ ἐνεργοῦσά τε καὶ κινουμένη, εἰ καὶ ἡμεῖς πολλάκις ἐπὶ τοῦτο φερόμεθα διὰ τὸ μὴ ὁμοίως εἶναι γνώριμον ἡμῖν τὸ κινούμενον ἐν ταῖς τοιαύταις ἐνεργείαις σῶμα. ἀλλ' ἔστιν καὶ ἐν ἐκείναις τὸ ζῷον καὶ ὁ ἄνθρωπος κατὰ τὴν ψυχὴν ἐνεργῶν, καθ' ἥν ἐστιν αὐτῷ τὸ εἶναι ἀνθρώπῳ. καὶ γὰρ ἥδεται καὶ λυπεῖται καὶ ὀργίζεται καὶ φοβεῖται καὶ φιλεῖ καὶ μισεῖ καὶ μανθάνει καὶ νοεῖ καὶ ἀναμιμνήσκεται καὶ μνημονεύει ὁ ἄνθρωπος κατὰ τὴν ψυχήν. δύναται γὰρ ταῦτα τῷ τοιοῦτον εἶδος ἔχειν καὶ τοιαύτην τελειότητα. ὡς γὰρ ὁ παλαιστὴς παλαίει κατὰ τὴν ἕξιν τὴν παλαιστικὴν αὐτῆς τῆς παλαιστικῆς οὐ παλαιούσης, καὶ ὁ αὐλητὴς αὐλεῖ κατὰ τὴν αὐλητικὴν οὐκ αὐλούσης τῆς αὐλητικῆς, καὶ ὁ ὑφαντὴς ὑφαίνει τῆς ὑφαντικῆς οὐχ ὑφαινούσης, οὕτως ἔχειν ὑποληπτέον καὶ ἐπὶ τῶν ἐνεργειῶν. ἃς ἐνεργεῖ τὰ ψυχὴν ἔχοντα καθό ἐστιν ἔμψυχα. οὐδὲ γὰρ ἐπὶ τούτων ἡ ψυχή τινα τῶν ζωτικῶν ἐνεργειῶν ἐνεργεῖ καθ' αὑτήν, ἀλλὰ κατὰ ταύτην τὸ ἔχον αὐτήν. οὐδὲ γὰρ οὐδὲ ἐκεῖνο ἀληθὲς τὸ ὅτι τῆς ψυχῆς εἰσιν αἵδε αἱ ἐνέργειαι προσχρωμένης ὡς ὀργάνῳ τῷ σώματι. ὡς γὰρ ἐπὶ τῶν ἄλλων δυνάμεων καὶ ἕξεων οὐδεμία δύναμις οὐδὲ ἕξις ἐνεργεῖ χρωμένη τούτῳ οὗ ἐστιν ἕξις, ἀλλ' ἔμπαλιν τὰ τὰς δυνάμεις τε καὶ τὰς ἕξεις ἔχοντα κατὰ τὰς δυνάμεις τε καὶ τὰς ἕξεις ἐνεργεῖ (οὐδὲ γὰρ ἡ βαρύτης κάτω φέρεται προσχρωμένη τῇ γῇ, ἧς δύναμίς ἐστιν, ἀλλ' ἡ γῆ φέρεται κάτω κατὰ τὴν βαρύτητα δύναμιν οὖσαν αὐτῆς καὶ εἶδος

1 ἐν] durch περιγίνεται] vollendet wird 2 ἀλλὰ μὴν τὸ πρῶτον] Jedoch ist das Frühere wahr 4 νήφουσιν] deren Verstand lauter ist 6 ἀληθέστερον] die wahreste 9 τὸν ἄνθρωπον] addit: dies thue 11 κινουμένη] addit: durch sie 11—12 εἰ καὶ — διὰ τὸ] Wenn uns aber auch die Sache dazu trägt, dass wir häufig sagen [so geschieht das], weil 25 προσχρωμένης] weil sie sich bedient und unterstützt wird Item. v. 29

1 αὐτη V 2 cf. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον 147 r 42, 156 v 1 3 ἠρεμούση a κινουμένη a 4 γῆρα a 6 αὐτῇ a: αὐτη V 8 κατ' αὐτήν scripsi: καθ' αὑτήν Va 9 fortasse ἄνθρωπον ταῦτα ποιεῖν cf. int. hebr. 13 ἐκείναις] κε in lit. V 18 παλαίει V ex. Vict.: om. a 19 παλαιστικῆς a: παλαιστηκῆς V

21 ὑφάνει a ὑφαινοῦσ[ς], ὁ in lit. V 24 οὐ γὰρ a 25 ὅτι V: ἄρα a αἵδε αἱ V: αἱ δὲ a 26 οὐδεμιᾶ a 27 τούτῳ V: τούτων a

καὶ τελειότητά τε καὶ ἐντελέχειαν), οὕτως καὶ ἐπὶ τῆς ψυχῆς ἔχει, ἐπεὶ 50 καὶ αὐτὴ δύναμίς τε καὶ εἶδος καὶ ἐντελέχειά ἐστι τοῦ ἔχοντος αὐτὴν σώματος. ἡ γὰρ γένεσις αὐτῆς ἐκ τῆς ποιᾶς μίξεώς τε καὶ κράσεως τῶν πρώτων σωμάτων, ὡς ἐδείχθη. καὶ τὸ μὲν ἐνεργοῦν κατὰ τὴν ψυχὴν ἐκεῖνο, ἐν ᾧ τὸ τῆς ψυχῆς ἡγεμονικόν | (ἐκεῖνο γὰρ καὶ τὸ πρώτως τε ἔμψυχον 127v καὶ καθ' αὑτό), πρὸς δὲ τὰς κατὰ ταύτην ἐνεργείας χρῆται τοῖς ὀργανικοῖς μέρεσιν τοῦ σώματος. τοῖς γὰρ ζῴοις τὰ ὄργανα, οἷς πρὸς τὰς κατὰ τὴν ψυχὴν ἐνεργείας χρῆται, σύμφυτά τε καὶ μέρη τοῦ σώματος, ἀλλ' οὐχ ὡς ἐπὶ τῶν τεχνῶν κεχωρισμένα. τοιαῦτα γὰρ μέρη τοῦ σώματος νεῦρά τε καὶ χεῖρες καὶ πόδες καὶ τὰ αἰσθητήρια. ἔστιν γὰρ αἰσθητήριον μόριον σώματος ὀργανικοῦ πρὸς ἀντίληψιν αἰσθητοῦ. ἔστι δὲ ἡ ψυχὴ τοῖς ἐμψύχοις ἀρχή τε καὶ αἰτία, οὐ μόνον ὡς τῶν ζωτικῶν κινήσεων ποιητικὴ αὐτὴ ἐν αὐτοῖς, ἀλλὰ καὶ ἡ κατὰ τὸ εἶδος αἰτία, ὡς δέδεικται, καὶ πρὸς τούτοις καὶ ὡς οὗ ἕνεκα, τουτέστιν ἡ ὡς τέλος, εἴ γε τέλος μὲν καὶ τελειότης ἥδε τῶν ψυχὴν ἐχόντων, τοῦ δὲ τέλους χάριν τὰ πρὸ τοῦ τέλους. πάντα γὰρ τὰ κατὰ φύσιν γινόμενα ἕνεκά του γίνεται, τοῦτ' ἔστιν τέλος ἐν αὐτοῖς.

Οὐ δεῖ δὲ ὑπολαμβάνειν τὴν ψυχὴν ἁρμονίαν λέγειν τοὺς λέγοντας αὐτὴν εἶδος εἶναι γινόμενον ἐπὶ τῇ τοιᾷδε μίξει τε καὶ κράσει τῶν ὑποκειμένων αὐτῇ σωμάτων. οὐ γὰρ εἰ χωρὶς τῆς τοιαύτης κράσεώς τε καὶ μίξεως ἀδύνατον αὐτὴν εἶναι, ἤδη ταὐτὸν αὐτῇ γίνεται. οὐ γὰρ ἡ τοιάδε τῶν σωμάτων κρᾶσις ἡ ψυχή, ὅπερ ἦν ἡ ἁρμονία, ἀλλ' ἡ ἐπὶ τῇ τοιᾷδε κράσει δύναμις γεννωμένη, ἀνάλογον ἔχουσα ταῖς δυνάμεσιν τῶν ἰατρικῶν φαρμάκων ταῖς ἀθροιζομέναις ἐκ μίξεως πλειόνων. καὶ γὰρ ἐν ἐκείνοις ἡ μὲν τῶν φαρμάκων μῖξίς τε καὶ σύνθεσις καὶ ὁ λόγος, καθ' ὃν τὸ μὲν αὐτῶν διπλάσιόν ἐστι, τὸ δ' ἥμισυ, τὸ δ' ἡμιόλιον, ἂν οὕτω τύχῃ, ἀναλογίαν τινὰ πρὸς ἁρμονίαν ἔχει. οὐ μέντοι ἔτι καὶ ἡ ἐκ τῆς κατὰ τὴν ἁρμονίαν ταύτην καὶ τὸν λόγον τῶν φαρμάκων μίξεως δύναμις γεννωμένη ἁρμονία. ἡ μὲν γὰρ ἁρμονία ὁ λόγος καὶ ἡ σύνθεσις τῶν μεμιγμένων, ἡ

8 σύμφυτά] elementar oder zur Grundlage gehörig 9—10 τοιαῦτα—αἰσθητήρια] denn jene sind in der Stufe der Gefässe der Hände der Füsse der Sinne zum Leibe [i. e. verhalten sich zu] 11 ὀργανικοῦ om. πρὸς ἀντίληψιν] addit: geeignet zu 14 ὡς τέλος] addit: welcher beabsichtigt ist durch dasselbe 15 τὰ πρὸ τοῦ τέλους] das was um des Endzweckes willen geschieht 18 ἁρμονίαν] Verbindung ut solet 20 τε καὶ μίξεως om. 23—24 ἀνάλογον—πλειόνων] es verhält sich damit so wie mit den medicinischen aus vielen Mischungen zusammengesetzten Mitteln 26 ἂν—τύχῃ om.

---

2 ἐντελέχεια καὶ εἶδος a 7 ὄργανα] alterum α supra lin. V 8 ἐνεργείαις a 13 αὐτὴ ἐν αὐτοῖς a: αυτη ἐν αυτοῖς V 14 καὶ ante ὡς om. a εἴ γε V: εἰ a 15 ἥδε a: ἡ δὲ V 16—17 τέλους ἐν αὐταῖς a 18 „ὅτι οὐκ ἔστιν ἁρμονία ἡ ψυχή." οὐ δεῖ Va 19 τοιάδε a 20—21 μίξεώς τε καὶ κράσεως a 21 αυτη V: αὐτῇ a 22 τοιᾶδε a 23 γενομένη a 24 μίξεων legisse videtur Arabs sed cf. μίξεως καὶ συνθέσεώς τινων p. 26,14 ἡ γὰρ ἐκείνοις a 26 τύχη a 28 γενομένη a 29 ἁρμονία] μο supra lin. V

δὲ τῆς ἐμπλάστου δύναμις οὐκ ἔστιν ὁ λόγος καθ' ὃν μέμικται τὰ μεμιγμένα. τοιοῦτον δὲ καὶ ἡ ψυχή. ἡ γὰρ δύναμις καὶ τὸ εἶδος τὸ ἐπιγινόμενον τῇ κατὰ τὸν τοιόνδε λόγον κράσει τῶν σωμάτων ψυχή, ἀλλ' οὐχ ὁ λόγος τῆς κράσεως οὐδὲ ἡ σύνθεσις. μᾶλλον γὰρ ἂν τὴν ὑγίειάν τις εὐλόγως ἁρμονίαν, ἢ τὴν ψυχὴν λέγοι. ἐγγυτέρω γὰρ ἁρμονίας ἥδε τῆς ψυχῆς. ἡ μὲν γὰρ ὑγίεια συμμετρία τῶνδέ τινων, ἥτις συμμετρία σύνθεσίς τινων καὶ μῖξίς ἐστι κατὰ λόγον τινά, ἡ δὲ ψυχὴ οὐχ ἡ συμμετρία, ἀλλ' ἡ ἐπὶ τῇ συμμετρίᾳ δύναμις οὐκ ἄνευ μὲν ταύτης εἶναι δυναμένη, οὐκ οὖσα δὲ αὕτη. διχῶς δὲ τῆς ἁρμονίας λεγομένης, τῆς μὲν ἐπὶ τῆς τῶν σωμάτων συνθέσεως (ὅταν γὰρ οὕτως ᾖ συγκείμενα, ὡς μηδὲν αὐτῶν συγγενὲς παραδέχεσθαι μεταξύ, ἡρμόσθαι λέγεται, καὶ ἁρμονία ἡ τοιάδε σύνθεσις), τῆς δὲ ἐπὶ τοῦ λόγου τῶν μιγνυμένων, οἷον εἰ κατὰ διπλάσιον λόγον ⟨ἢ⟩ ἐπίτριτον εἴη μεμιγμένον (τὸ γὰρ οὕτως μεμιγμένον, φέρ' εἰπεῖν ὡς τὸ μὲν εἶναι διπλάσιον, τὸ δὲ ἥμισυ τῶν ἐν τῇ μίξει, καθ' ἁρμονίαν τινὰ μεμῖχθαι δοκεῖ καὶ εἶναι καὶ ἡ τοιάδε μῖξις ἁρμονία), ἐπὶ τῆς πρώτης ἁρμονίας οὐ ταὐτὸν ἡ ἁρμονία καὶ τὸ γινόμενον ἐκ τῶν ἡρμοσμένων. οὐ γὰρ ἐπεὶ καθ' ἁρμονίαν παράκειται τὰ ξύλα ἀλλήλοις τὰ ἐν τῷ βάθρῳ, διὰ τοῦτο τὸ βάθρον ἁρμονία. οὐδ' ἐπεὶ οἱ λίθοι εἰσὶν καθ' ἁρμονίαν συγκείμενοι, ἤδη καὶ ὁ νεὼς ἁρμονία ὁ ἐκ τῆς τούτων γεγονὼς ἁρμονίας. ὡς δὲ ἐπὶ ταύτης τῆς ἁρμονίας ἄλλο ἡ ἁρμονία καὶ ἄλλο τὸ γεγονὸς ἐκ τῶν καθ' ἁρμονίαν συγκειμένων, οὕτως ἔχει καὶ ἐπὶ τῆς κατὰ τὸν λόγον ἁρμονίας. οὐ γὰρ εἴ τινα ἐν λόγῳ τινὶ μέμικται καὶ καθ' ἁρμονίαν, ἤδη καὶ τὸ ἐκ τῆς τοιαύτης γεγονὸς μίξεως ἁρμονία τε καὶ λόγος, οὐδὲ ταὐτόν. τὸ ἡρμό-

2 τοιοῦτον—ψυχή om. 2—3 ἡ γὰρ—ψυχή] Ebenso ist auch die Seele das Verhältniss und die Zusammensetzung der Kraft und die Form, welche entsteht durch die Mischung der Körper in irgend einem der Verhältnisse 4—5 μᾶλλον—λέγοι] denn das Wahrscheinlichste und das am ehesten sich Ergebende ist, dass man sage, dass die Verbindung des Leibes die Gesundheit sei, nicht die Seele 6 συμμετρία] addit: irgend eine 8 δύναμις] addit: welche entsteht 10 συγκείμενα] angeordnet 10—11 ὡς—μεταξύ] wobei es unmöglich ist, dass sie zwischen sich Etwas von anderer Gattung aufnehmen 12—15 οἷον εἰ κατὰ—ἁρμονία] z. B. dass das Ding im Verhältniss des doppelten, oder im Verhältniss der Aehnlichkeit (Gleichheit) und des Drittels gemischt sei. Denn was gemischt wird, so dass in ihm zum Beispiel das eine das Doppelte des anderen und das andere die Hälfte jenes Gemengten, das hält man für ein Gemengtes in irgend einer Verbindung und dass es verbunden (harmonisirt) sei, und man hält diese Mengung für eine Verbindung 17 παράκειται] geordnet ist βάθρῳ] Sessel 18 συγκείμενοι] geordnet, et addit: in einer Mauer 19 νεώς] Mauer 22 τινα] die Dinge, var. lect.: zwei Dinge

3 ψυχή] ψ in lit. V ὁ V: οἱ a 4 ὑγιειαν a: ὑγεῖαν V τις] ι in lit. V 9 αὕτη scripsi: αυτη V: αὐτή a 12 ἢ addidi cf. vers. hebr. 13 μεμιγμένον a: μεμιγμεν' V 15 καὶ ἡρμοσμένον εἶναι vertit Arabs offensus fortasse solita καὶ particulae abundantia. Cf. καὶ πρὸς τούτοις καὶ ὡς p. 24,14 ἀλλὰ καὶ ἐμφαίνεταί τινα χρώματα καὶ ἐν τῷ 153r16 et Ind. 16 καὶ] κα in lit. V 18 ἁρμονίαν a 23 καὶ καὶ a

σθαι τὴν κιθάραν τῷ τοιοῦτον ἠχεῖν. ἥρμοσται μὲν γὰρ οὐδὲν ἧττον καὶ μηδὲν ἠχοῦσα· ὁ δὲ ἐκ τῆς τοιαύτης καὶ ἐπὶ τῇ τοιαύτῃ ἁρμονίᾳ γινόμενος ψόφος ἄλλος τῆς ἁρμονίας ἐφ' ᾗ γίνεται. λέγοι δ' ἄν τις μηδὲ πάντων τῶν κατὰ λόγον τινὰ μιγνυμένων ἁρμονίαν εἶναι τὸν λόγον. οὐ γὰρ ἁρμονία ὁ διπλάσιος λόγος, ὅταν ἐν οἴνῳ καὶ μέλιτι ᾖ. ἐν γὰρ ποιᾷ συνθέσει μελῶν τε καὶ ῥυθμῶν ἡ ἁρμονία, ἀλλ' οὐ τῶν τυχόντων οὐδὲ κατὰ τὸν τυχόντα γινομένη λόγον. πᾶσα μὲν γὰρ ἁρμονία ἐν ὡρισμένῳ λόγῳ. οὐκ ἐν ὡρισμένῳ δὲ λόγῳ ἡ τῶν θερμῶν τε καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν μῖξις, τουτέστιν ἡ τῶν στοιχείων, ἧς μίξεως εἶδος ἡ ψυχή. ἡ γὰρ αὐτὴ ψυχὴ μένει καὶ ἐπιτεινομένων καὶ ἀνιεμένων ἕως τινὸς τῶν ἐν τῇ μίξει δυνάμεων. ὅλως γὰρ εἰ λέγοι τις ἁρμονίαν τὴν τῶν τυχόντων μῖξιν κατὰ λόγον τινά, συμβήσεται τούτῳ πάντα τὰ συγκείμενα ἡρμόσθαι λέγειν. εὑρεθήσεται γάρ τις λόγος ἐν πᾶσιν τοῖς συγκειμένοις. μᾶλλον δὲ κατὰ τοὺς τὴν ψυχὴν γεννῶντας ἐκ ποιᾶς μίξεώς τε καὶ συνθέσεώς τινων εἴη ἂν ἡ ψυχὴ ἤτοι ἁρμονία ἢ σύνθεσις καθ' ἁρμονίαν τινῶν σωμάτων. ὧν εἰσιν οἵ τε ἀπὸ τῆς Στοᾶς, πνεῦμα αὐτὴν λέγοντες εἶναι συγκείμενόν πως ἔκ τε πυρὸς καὶ ἀέρος, καὶ οἱ περὶ Ἐπίκουρον· καὶ γὰρ κατ' ἐκείνους σύνθετος ἡ ψυχὴ ἐκ πλειόνων τινῶν καὶ διαφερόντων σωμάτων. καὶ κατὰ Πλάτωνα δὲ ἐκ συνθέσεώς τινων ἡ τῆς ψυχῆς οὐσία κατὰ λόγον τινὰ συγκειμένων, ὡς ἐν τῷ Τιμαίῳ λέγει. μᾶλλον, ὡς εἶπον, κατὰ τοὺς | οὕτω λέγοντας 128r εἴη ἂν ἁρμονία ἡ ψυχή, ἢ κατὰ τὸν λέγοντα αὐτὴν ἕξιν τε καὶ δύναμιν καὶ εἶδος ἐπιγινόμενον ποιᾷ κράσει τε καὶ μίξει τῶν ἁπλῶν σωμάτων. καθ' οὓς μὲν γὰρ αὐτὰ τὰ συγκείμενά πώς ἐστιν ἡ ψυχή, κατὰ τούτους παρὰ τῆς ποιᾶς συνθέσεως τὸ ψυχῇ εἶναι τῷ συγκειμένῳ. ἥτις σύνθεσις εἰ ἔστιν ἁρμονία, παρὰ τῆς ἁρμονίας ἂν τὸ ψυχῇ εἶναι ἔχοι τὸ συγκείμενον. καθ' ὃν δέ ἐστιν ἡ ψυχὴ οὐχ ἁπλῶς τὰ συγκείμενα, ἀλλ' ἐπὶ τῇ ποιᾷ τῶν πρώτων σωμάτων κράσει τε καὶ μίξει δύναμις γεννωμένη, ἡ μὲν κρᾶσις ὕλης ἕξει λόγον, τὸ δ' εἶναι τῇ ψυχῇ οὐ κατὰ τὴν ἁρμονίαν τε καὶ κρᾶσιν ἔσται, ὡς ἐκείνοις ἕπεται λέγειν, ἀλλὰ κατὰ τὴν ἐπ' αὐτῇ δύναμιν γεννωμένην.

1 τὴν κιθάραν] addit: wenn sie geschlagen wird 1—2 καὶ μηδὲν ἠχοῦσα] auch wenn sie nicht geschlagen und ein Ton aus ihr gehört wird 2 δὲ om. καὶ ἐπὶ τῇ τοιαύτῃ om. 3 ἄλλος] etwas anderes 7—9 οὐκ—μῖξις] Dies (so) ist aber die Mengung des Warmen etc. 9 γὰρ om. Hebr. 9—11 ἡ γὰρ—δυνάμεων] Es bleibt die Seele in ihrem Zustande, sei sie stark oder schwach, bis zu einem gewissen Grade der Schwäche und der Stärke, welche in jener Mengung 15 ἢ—σωμάτων] oder Zusammensetzung für eine Art der Verbindung der Körper 16 Στοᾶς] cf. p. 17 πνεῦμα] Paarung 17 κατ' ἐκείνους] Epikur 23 παρὰ] in 24 τῷ συγκειμένῳ] dem Verbundenen 25 τὸ συγκείμενον] cf. 24 28 ἁρμονίαν τε καὶ κρᾶσιν] Verbindung der Mischung

1 ἠχεῖν V ex. Vict.: ἔχειν a 5 ποιᾶ a 8 καὶ ξηρῶν] καὶ ξ in lit. V 12 τούτω a 20 Τιμαίῳ] p. 34c sq. 21 ἢ ex. Vict.: ἡ Va 24 τῆς ἐκ ποιᾶς a ψυχῇ a: ψυχὴ V 25 ψυχῇ a: ψυχὴ V

Τίς μὲν οὖν ἡ τῆς ψυχῆς οὐσία, καὶ τίνα τὰ ἑπόμενα αὐτῇ, ὡς ἦν οἷόν τε δι' ὀλίγων καθόλου συλλέξαντας εἰπεῖν περὶ αὐτῆς, δεδηλώκαμεν· ἀκόλουθον δὲ ἑξῆς περὶ τῶν μερῶν αὐτῆς εἰπεῖν, πόσα τε καὶ τίνα, δείξαντας πρῶτον, ὅτι πλείω τέ ἐστι καὶ πεπερασμένα. τοῦ μὲν οὖν πλείους δυνάμεις τῆς ψυχῆς εἶναι καὶ μὴ τὴν αὐτὴν ταῖς μεταβολαῖς καὶ ἄλλοτε πρὸς ἄλλα τε καὶ δι' ἄλλων ἐνεργείαις δοκεῖν πλείους εἶναι, ὡς Δημοκρίτῳ τε καὶ ἄλλοις τισὶν δοκεῖ, ἱκανὴ δεῖξαι καὶ ἡ ἐπὶ τῶν ἐγκρατῶν τε καὶ ἀκρατῶν μάχη πρὸς ἀλλήλας τῶν δυνάμεων. φανερώτατα δ' ἂν δεικνύοιτο καὶ διὰ τοῦ μηδὲν τὴν φύσιν δοκεῖν μάτην ποιεῖν. εἶναι δέ τινα ⟨ζῷα⟩, ἃ δύναμιν ψυχῆς ἔχοντα μηκέτ' ἐνεργεῖν κατὰ τὰς ἄλλας ἐνεργείας δύναται καίτοι τῶν πραγμάτων ὄντων περὶ ἃ αἱ κατ' ἐκείνας τὰς δυνάμεις ἐνέργειαι. εἰ γὰρ λέγοι τις δι' ὀργάνων ἀπορίαν ἐν τούτοις μὴ γίνεσθαι τὰς ἐνεργείας, ἀναιρήσει τὸ μηδὲν μάτην ποιεῖν τὴν φύσιν. μάτην γὰρ ἔσται πλείους ἐνεργείας ἐνεργεῖν ἡ ψυχὴ ἡ ἐν ἐκείνοις δυναμένη, εἴ γε ὑπ' αὐτῆς τῆς φύσεως ἐνεργεῖν καὶ αὐτὰς δι' ἀπορίαν ὀργάνων κωλύεται. ἔτι τε πῶς οὐκ ἄτοπον τὸ τὸν ἄνθρωπον λέγειν τῶν βατράχων καὶ τῶν τυχόντων ζῴων διαφέρειν μὴ τῇ τῆς ψυχῆς δυνάμει, ἀλλὰ ὀργανικῷ τινι σώματι; οὐδέν τε διοίσει τῆς ὑπό τινων λεγομένης μετεμψυχώσεως ἥδε ἡ δόξα, εἰ μὴ παρὰ τὰς τῆς ψυχῆς δυνάμεις, ἀλλὰ παρὰ τὰ ὄργανα ἡ τῶν ζῴων καὶ τῶν ἐνεργειῶν αὐτῶν γίνεται διαφορά. ἡ αὐτὴ μὲν γὰρ ἐν πᾶσι τοῖς ἐμψύχοις

1 καὶ—αὐτῇ] von den Dingen welche ihr zukommen 3 ἀκόλουθον] daran knüpft sich und damit verbindet sich 4—8 τοῦ μὲν—δυνάμεων] wir sagen es genügt zur Nachweisung, dass die Kräfte der Seele mehr als eine sind, und dass sie fürwahr nicht eine Kraft sind, und [damit] geglaubt werde, dass sie mehr als eine sind in ihren Veränderungen und ihren Wirkungen zu verschiedenen Zeiten und in verschiedenen Dingen, wie Demokritos und andere Leute meinen, bei (sic) dem Krieg welcher unter den Kräften stattfindet zwischen der einen und der anderen, indem der seine Seele bewältigt und sie überwindet [i. e. sich beherrscht] 8 φανερώτατα] klar und im höchsten Grade offenbar 9—10 εἶναι—δύναται] Wir finden manches Thier, welches eine der Kräfte der Seele besitzt, aber die anderen Wirkungen derselben nicht gleichfalls ausüben kann 11 καίτοι—ἐνέργειαι] obwohl die Zustände (Gegenstände), deren es für die Wirkungen bedarf, die man durch jene Kräfte ausübt, vorhanden sind 12 δι'—ἀπορίαν] wegen des Mangels an Organen μὴ] in interpretatione arabica deesse notat Hebraeus 13 μάτην] zwecklos inhaltlos 15 ἐνεργεῖν καὶ αὐτὰς] jene Wirkungen auszuüben δι' ἀπορίαν ὀργάνων] dadurch dass sie entzieht und mangeln lässt die Organe κωλύεται] addit: bei einigen von ihnen 16 τῶν τυχόντων ζῴων] dem geringsten der Thiere 18 οὐδὲν διοίσει .. ἥδε ἡ δόξα] diese Ansicht widerspricht nicht [der Ansicht]

2 οἴονται V 3 „πόσα καὶ τίνα μέρη τῆς ψυχῆς.“ ἀκόλουθον δὲ V: πόσα—ψυχῆς post γεννωμένην (26,29) inserit a: Post δεδηλώκαμεν in interpretatione hebraica maior incisio 7 ἐγκράτων .. ἀκράτων Va 9 μάτην δοκεῖν a ζῷα addidi cf. int. hebr. 10 κατὰ] Arabs καὶ legisse videtur ἐνεργείας insiticium videtur 12 ἀπορίαν om. m[1] ἀνεπιτηδειότητα ἢ ἀπορίαν m[2] in mg. adscripsit V: om. a cf. Praef. 13 ante τὸ paululum erasum V μά τὴν V 15 καὶ αὐτὰς] cf. p. 25,15 et Ind. 17 ὀργανικῶ a 18 τε cf. p. 15,18

ἔσται ψυχή, κατὰ δὲ τὰς τῶν σωμάτων διαφορὰς διαφόρως ἐνεργήσει· ὃ κἀκεῖνοι λέγουσιν.

Ὅτι μὲν οὖν πλείους αἱ τῆς ψυχῆς δυνάμεις, δῆλον ἐκ τῶν εἰρημένων, ὅτι δ' οὐκ ἄπειροι, καὶ τοῦτο δῆλον ἐκ τοῦ μηδὲν μὲν μάτην ποιεῖν τὴν φύσιν, μάτην δὲ λέγεσθαι τὴν τῶν δυνάμεων ἀπειρίαν, εἴ γε μὴ οἷόν τέ ἐστι ζῷόν τι κατὰ ἀπείρους δυνάμεις ἐνεργεῖν. ἔτι ὡς τὰ τοῦ σώματος τοῦ ἔχοντος τὴν ψυχὴν μόρια πεπερασμένα, εὔλογον καὶ τὰ τῆς ἐν αὐτῷ ψυχῆς. ἔτι πάντα ἡ φύσις ἕνεκά του ποιεῖ, καὶ ἐν οἷς τὸ μὲν πρῶτόν ἐστι, τὸ δὲ δεύτερον, ἀεὶ τὸ πρῶτον ἐπὶ τὸ δεύτερον ἔχει τὴν ἀναφοράν. ἡ δὲ ψυχὴ φύσις καὶ φύσει τε καὶ τάξις τίς ἐστι τῶν ἐν αὐτῇ δυνάμεων. ἔστιν ἄρα τις ἐν αὐταῖς τελευταία, ἧς χάριν αἱ πρὸ αὐτῆς. ἀναιρεθήσεται γὰρ τὸ τὴν φύσιν ἕνεκά του ποιεῖν πάντα, εἰ ἐπ' ἄπειρον ἡ πρόοδος εἴη τῶν τῆς ψυχῆς δυνάμεων· ἐπεὶ δὲ πλείους τε αἱ τῆς ψυχῆς δυνάμεις καὶ πεπερασμέναι, ἐπισκεπτέον, πόσαι τε καὶ τίνες. ἐπεὶ γάρ, ὡς ἤδη προείρηται, τῶν ἐχόντων ἐν αὐτοῖς τὸ πρῶτόν τε καὶ δεύτερον καὶ τὸ ἀτελέστερόν τε καὶ τελειότερον οὐχ οἷόν τε διά τινος κοινοῦ λόγου τὴν οὐσίαν ἀκριβῶς τε καὶ προσεχῶς παραστῆσαι τῷ μάλιστα μὲν ἐν τοῖς τελειοτέροις διασημαίνεσθαι τὴν τοῦ πράγματος φύσιν, τὸν δὲ κοινὸν λόγον μὴ δύνασθαι τούτων εἶναι δηλωτικὸν τῷ μηκέτ' ἐφαρμόζειν τὸν τοιοῦτον λόγον τοῖς ἀτελεστέροις, οὕτως δὲ μηδὲ κοινὸν ἔτι μένειν (τῶν τοιούτων δὲ καὶ ἡ ψυχή· εἰσὶν γὰρ τῶν τῆς ψυχῆς δυνάμεων αἱ μὲν πρῶταί τε καὶ ἁπλούστεραι, διὰ τοῦτο δὲ καὶ ἀτελέστεραι, αἱ δὲ μετὰ ταύτας καὶ ἐπὶ ταῖσδε πάλιν ἄλλαι, καὶ οὕτως ἔχουσι πρὸς ἀλλήλας ἅπασαι, ὡς τὴν μὲν πρώτην δύνασθαι χωρίζεσθαι τῶν μετ' αὐτάς, τὰς δὲ ὑστέρας ἄνευ τῶν πρώτων εἶναι μὴ δύνασθαι· γίνεται δὲ ἡμῖν ὡς προεῖπον ὁ λόγος περὶ ψυχῆς τῆς τῶν ἐν γενέσει καὶ φθορᾷ· ταύτης γὰρ καὶ ὁ προειρημένος ὁρισμός· ἡ γὰρ τῶν θεῶν ψυχή, εἰ καὶ ταύτην δεῖ ψυχὴν καλεῖν, ὁμωνύμως ἂν ταύτῃ ψυχὴ λέγοιτο), ἀναγκαῖον τῷ περὶ ψυχῆς λέγοντι περὶ ἑκάστης δυνάμεως

5 μάτην—ἀπειρίαν] das Dasein unendlicher Kräfte im Thiere hat aber keinen Zweck 6 κατὰ] mit 8 ψυχῆς] addit: unendlich sind 9 ἔχει τὴν ἀναφοράν] steigt, erhebt sich zu 10 δὲ om. καὶ φύσει τε om. 11 ἔστιν ἄρα—αὐτῆς] also ist in ihr eine Kraft, welche die würdigste ist unter den Kräften und sie ist es, um derentwillen das, was um ihretwillen 13 πρόοδος] Uebergang 14 (δυνάμεις) καὶ] jedoch 15 προείρηται] vorausgeschickt und gesagt 16 κοινοῦ λόγου] Definition 17 παραστῆσαι] erkennen 19—20 τῷ μηκέτ'—ἔτι μένειν] denn eine derartige Rede hängt auch mit dem Mangelhafteren zusammen und wäre dann nicht allgemein beide Gegenstände umfassend 20—21 τῶν τοιούτων—ψυχή] mit der Seele aber es sich ebenso verhält 27—28 ὁμωνύμως—λέγοιτο] so sagt man von ihr Seele nur in der Weise des Zusammentreffens mit dieser im Namen

3 „ὅτι οὐκ ἄπειροι αἱ τῆς ψυχῆς δυνάμεις.“ ὅτι μὲν Va 4 μὲν om. a 5 fortasse ἔσεσθαι cf. μάτην γὰρ ἔσται πλείους ἐνεργείας ἐνεργεῖν ἡ ψυχὴ ἡ ἐν ἐκείνοις δυναμένη p. 27,13 et Ind. s. v. Futurum 8 ποιεῖν a 10 φύσις τε καὶ φύσει καὶ a: φύσις καὶ φύσει ⟨σύνθεσίς⟩ τε καὶ τάξις Usenerus 12 ἐπάπειρον V 14 ὡς ἤδη προείρηται] p. 17,1 sq. 15 τὸ δεύτερον a 16 οἴονται V 26 φθορά a 27 ταύτῃ a

αὐτῆς ἰδίᾳ ποιήσασθαι τὸν λόγον. τῆς δὴ ψυχῆς τῆς τῶν ἐμψύχων τῶν ἐν γενέσει τε καὶ φθορᾷ πρώτη μέν ἐστιν ἡ θρεπτική, ᾗ συνέζευκται ἥ τε αὐξητικὴ καὶ ἡ γεννητική. ταύτῃ γὰρ τῇ δυνάμει πρώτῃ τὸ ἔμψυχον τοῦ ἀψύχου χωρίζεται. ζῆν γοῦν ἤδη τῶν ταύτην ἐχόντων τὴν δύναμιν κατηγοροῦμεν, ὃ διὰ ψυχῆς παρουσίαν | γίνεται. καὶ ἔστι τὸ ζῆν πᾶσιν τοῖς 128v ἐμψύχοις, οὐ τοῖς φυτοῖς μόνον παρὰ τῆς θρεπτικῆς δυνάμεως, ὡς τοῖς αἰσθανομένοις τὸ αἰσθάνεσθαι παρὰ τῆς αἰσθητικῆς. ἀποθνήσκει τε γὰρ τὰ ζῶντα ἐξ ἀνάγκης ταύτης τῆς δυνάμεως στερηθέντα καὶ ζῇ πάντα ταύτης κεκοινωνηκότα, καὶ ὅσα πλείους δυνάμεις ἔχει τῇ τοῦ πρώτου ζῇ παρουσίᾳ. διὸ καὶ τὸ ζῆν ὁριζόμεθα τῇ δι' αὑτοῦ τροφῇ τε καὶ αὐξήσει. δευτέρα δὲ ψυχὴ ἡ αἰσθητική τε καὶ ὁρμητική, ἔτι δὲ ἥ τε ὀρεκτικὴ καὶ φανταστική, αἵτινες αὗται μὲν οὐχ οἷαί τε ἔν τινι χωρὶς τῆς θρεπτικῆς γενέσθαι, ἡ μέντοι θρεπτικὴ καὶ χωρὶς τούτων ὑφίσταται. τοιαύτη γὰρ ἡ τῶν φυτῶν. ὅσα δὲ τὴν αἰσθητικὴν ἔχει (ταῦτα δέ ἐστι τὰ ζῷα· ταύτῃ γὰρ τῇ δυνάμει τὸ ζῷον ὁρίζεται), ταῦτα ἐξ ἀνάγκης ἔχει καὶ τὴν θρεπτικήν. ἀλλὰ καὶ οἷς ἡ ὀρεκτική τε καὶ φανταστική, τούτοις καὶ ἡ αἰσθητικὴ συνέζευκται. καὶ γὰρ τῇ αἰσθητικῇ πάλιν ἥ τε ὀρεκτικὴ καὶ ἡ φανταστική. καὶ οἷς δὲ ἡ ὁρμητική τε καὶ κατὰ τόπον κινητική, τούτοις καὶ ἡ φανταστική τε καὶ ἡ αἰσθητική. πᾶν μὲν γὰρ τὸ κατὰ τὴν ἐν αὑτῷ ψυχὴν κατὰ τόπον τε καὶ μεταβατικῶς κινούμενον καὶ φανταστικὸν καὶ αἰσθητικὸν καὶ θρεπτικόν ἐστιν ἐξ ἀνάγκης. οὐ μὴν πᾶν τὸ φανταστικόν τε καὶ αἰσθητικὸν ἤδη καὶ μεταβατικῶς κινητικόν. ἔσχατον δὲ εἶδος ψυχικῶν δυνάμεων, ὃ λογικὸν μὲν κοινῶς καλεῖται, εἰσὶν δὲ ἐν αὐτῷ δυνάμεις ἥ τε βουλευτικὴ καὶ δοξαστική, καὶ ἡ ἐπιστημονική τε καὶ νοητική, αἳ καὶ τελειόταται τῶν τῆς ψυχῆς εἰσι δυνάμεων τῷ τε τὸ τιμιώτερον ἐν αὑταῖς ἔχειν καὶ τῷ τὴν ἔχουσαν τάσδε τὰς δυνάμεις ψυχὴν καὶ τὰς ἄλλας

4—5 ζῆν—γίνεται] das Lebende nämlich, womit bezeichnet wird, was diese Kraft besitzt, ist fürwahr [lebend] durch das Vorhandensein dieser Kraft an ihm 5—7 καὶ ἔστιν αἰσθητικῆς] Das Leben alles dessen, was eine Seele hat, um so viel mehr der Pflanzen insbesondere, [kommt] fürwahr von der nährenden Kraft, wie das, was wahrnimmt, die Kraft der Wahrnehmung hat von der sinnlichen Kraft 9 τῇ—παρουσίᾳ], [Alles] hat sie [i. e. diese Kräfte] nach dem Vorhandensein des Lebens in ihm als erste [Seele?] (zuerst) 10 δι' αὑτοῦ] dem Wesen (Substanz) nach 11.—12 αἰσθητική—φανταστική] sinnliche, vergleichende (vorstellende Phantasie?), dann die Wolgefallen findende begehrende 12—13 αἵτινες—γενέσθαι] diese können aber in keinem Dinge ohne die ernährende sein 14—15 ταύτῃ—ὁρίζεται] denn diese Kraft findet sich am Thier 17 post φανταστική addit: und findet sich beim Finden derselben 18 καὶ οἷς ἡ ὁρμητική τε καὶ κατὰ τόπον κινητική] was die Wolgefallen findende Kraft besitzt [und?] im Orte fortgerückt wird 24 βουλευτική] kraft der Leitung (Hegemonie) δοξαστική] des Denkens 25—30,2 τῷ τε—δυναμένων] Denn das Schätzbarere unter dem, was in der Seele ist,

1 ἰδίᾳ V: ἰδία a δὴ supra lin. V 2 ἥ τε V: καὶ ἡ a 3 γενητική a ταύτη a πρώτη Va 10 αὑτοῦ scripsi: αὐτοῦ Va 11 ἡ ὀρεκτική τε καὶ a 12 αὗται scripsi: αὗται Va 14 ταύτη a 18 ὁρμητική τε καὶ V: ὀρεκτική τε καὶ a 19 fortasse αὑτῷ 23 κοινῶς μὲν a 25 αὑταῖς Va

ἁπάσας δυνάμεις αὐτῆς ἔχειν, οὐ πασῶν τῶν ἐκείνας ἐχουσῶν καὶ τούτων κοινωνεῖν δυναμένων. διὰ τοῦτο γὰρ καίτοι πολλῶν οὐσῶν τῶν ψυχικῶν δυνάμεων, ἐν οἷς ἡ λογικὴ δύναμίς ἐστι, μία ἡ ἐξ ἁπασῶν ψυχή, ὅτι μηδεμία τῶν ὑστέρων δυνάμεων ἄνευ τῆς πρὸ αὐτῆς οἵα τε εἶναι, ἀλλ᾽ εἰσὶν ὡς μέρη τῆς αὐτῆς ἅπασαι προστιθεμένων ταῖς πρώταις τῶν δευτέρων καὶ διὰ τοῦτο αὔξησίν τε καὶ ἐπίδοσιν τῶν πρώτων λαμβανουσῶν. κατὰ δὲ τὴν προειρημένην τῶν ψυχῶν τε καὶ ψυχικῶν δυνάμεων διαφορὰν γίνεταί τις καὶ τῶν ἐμψύχων κοινοτέρα διαίρεσις, καθ᾽ ἣν λέγομεν τῶν ψυχὴν ἐχόντων τὰ μὲν εἶναι φυτά, τὰ δὲ ζῷα, καὶ τῶν ζῴων τὰ μὲν λογικά, τὰ δὲ ἄλογα. ὅσα μὲν γὰρ πάσας τὰς προειρημένας δυνάμεις ἔχει, ταῦτα λογικά τε καὶ τέλεια ἀπὸ τῆς κυριωτάτης τῶν ἐν αὐτοῖς δυνάμεων καλούμενα. τοιοῦτο δὲ ὁ ἄνθρωπος ζῷον μόνον. τὰ δὲ λόγου μὲν μὴ κεκοινωνηκότα, αἴσθησιν δὲ ἔχοντα, ἄλογα ζῷα πάντα, τά τε πρὸς τῇ αἰσθήσει καὶ τὴν κατὰ τόπον κινητικὴν ἔχοντα καὶ τὰ χωρὶς ταύτης ἐκείνην, κατὰ ἀπουσίαν καὶ στέρησιν τῆς κυριωτάτης δυνάμεως οὕτως καλούμενα. ὅσα δὲ ὑπὸ τῆς θρεπτικῆς τε καὶ γεννητικῆς μόνης διοικεῖται δυνάμεως, φυτὰ ταῦτα. οὔσης τοίνυν τοιαύτης τῆς ψυχῆς, καὶ διὰ τοῦτο μὴ δυναμένης ὑπὸ τοῦ κοινοῦ λόγου δηλωθῆναι γνωρίμως, ἀναγκαῖον τοῖς περὶ ψυχῆς λέγουσιν ἰδίᾳ περὶ ἑκάστης τῶν δυνάμεων αὐτῆς ποιήσασθαι τὸν λόγον. οὕτως γὰρ ὁποία τις ἐστιν ἡ οὐσία τε καὶ ἡ φύσις αὐτῆς φωραθήσεται. ἔσται δὲ ἡμῖν ὁ περὶ αὐτῶν λόγος μέχρι τοῦ τήν τε φύσιν ἑκάστης αὐτῶν ἐνδείξασθαι καὶ τὰς διαφορὰς τῶν δυνάμεων. τὰ γὰρ περὶ ἑκάστης αὐτῶν ἀπορεῖσθαί τε καὶ ζητεῖσθαι δυνάμενα πλείονος σχολῆς δεόμενα οὐκ ἂν εἴη τῆς προκειμένης οἰκεῖα πραγματείας· πρὸς γὰρ τὸ γνωρίμως παραστῆσαι τὴν τῆς ψυχῆς φύσιν ἐμποδὼν ἡ τῶν περὶ ἑκάστης δυνάμεως αὐτῆς εἰρημένων τε καὶ ἠπορημένων ἐπικύκλησις. οὐκ ἐπεὶ μέρη δὲ τῆς ψυχῆς λέγομέν τινα, ἤδη καὶ μέγεθος αὐτὴν ποιοῦμεν. οὐ γὰρ πᾶν τὸ μέρη ἔχον ἀναγκαῖον εἶναι μέγεθός τι. οὐδὲ γὰρ ὁ ἀριθμὸς μέγεθος καίτοι συγκείμενος ἐκ μερῶν. ἡ δὲ ψυχὴ οὐ μόνον οὐχ ὡς μέγεθος, ἀλλ᾽ οὐδὲ ὡς

und das Wichtigere darunter ist fürwahr in diesen (durch diese?) Kräften, und da die Seele, welche diese Kräfte hat, auch alle anderen Kräfte der Seele besitzt, aber nicht jede Seele, welche diese Kräfte besitzt, vermögend ist einen Theil von ihnen zu nehmen 11 τε καὶ om. 14 τὴν — κινητικὴν] die im Orte bewegende Kraft 17 καὶ διὰ τοῦτο] incipit apodosis 22 διαφορὰς τῶν δυνάμεων] deren Arten und Unterschieden 22—23 ἀπορεῖσθαι—δυνάμενα] was bezweifelt werden kann und erforscht werden muss 24—26 πρὸς γὰρ — ἐπικύκλησις] da die Beschäftigung mit der Speculation über das, was von den einzelnen ihrer Kräfte gesagt wird, und die Zweifel, welche darüber vorgekommen, bedrängen und zurückhalten die Erkenntniss der Natur der Seele, so dass sie erkannt werde 28 οὐδὲ] nicht 29 μόνον om.

2 δυναμένων scripsi: δυνάμεων Va 4 τῶν om. a 11 post καὶ paululum erasum V τελεία a ἐν αὐτῇ a 19 ἰδία a 23 δυνάμενα] m[2] in marg. adscripsit post ζητεῖσθαι, om. m[1] V: om. a 24 προειημένης a 25 ἐμποδῶν V 28 μέγεθος m[1] in marg. V

ἀριθμός ἐστι μεριστή. οὐ γὰρ εἰς ἃ διαιροῦμεν αὐτήν, ὡς ἐκ τούτων κεχωρισμένων συγκειμένην διαιροῦμεν, ἀλλὰ τῇ τῶν δυνάμεων ὧν ἔχει καταριθμήσει καὶ τῇ τῶν διαφορῶν αὐτῶν εὑρέσει τὴν διαίρεσιν αὐτῆς ποιούμεθα, ὡς ἂν εἰ τὸ μῆλόν τις διαιροίη εἴς τε εὐωδίαν καὶ εἰς εὔχροιαν καὶ εἰς σχῆμα καὶ εἰς χυμόν. ἡ γὰρ τοιαύτη τοῦ μήλου διαίρεσις οὔτε ὡς σώματος γίνεται, εἰ καὶ ὅτι μάλιστα σῶμα τὸ μῆλον, οὔτε ὡς ἀριθμοῦ. ἐπεὶ τοίνυν τὸ ζῆν τῷ ζῶντι παντὶ ψυχῆς παρουσίᾳ, τὰ δὲ φυτὰ ζῇ, τὰ φυτὰ ψυχὴν ἂν ἔχοι καὶ εἴη ἂν αὐτῶν ψυχὴ ἡ δύναμις, καθ' ἣν ζῇ. ζῇ δὲ καθὸ τρέφεταί τε καὶ αὔξεται, ἡ θρεπτικὴ ἄρα καὶ ἡ αὐξητικὴ δύναμις ἐν αὐτοῖς ψυχή τε καὶ εἶδος τῶν φυτῶν. πᾶν γὰρ σύνθετον εἶναί τε καὶ ἐνεργεῖν λεγόμενον καθ' ἑκάτερον τῶν ἐν τῇ συνθέσει, καθὸ μὲν πρῶτόν ἐστί τε ὅ ἐστι καὶ ἐνεργεῖ τὰς οἰκείας ἐνεργείας, τοῦτο ἕξις τε καὶ εἶδός ἐστιν αὐτοῦ, καθὸ δὲ δεύτερον, τοῦτο ἐν αὐτῷ ὕλη τε καὶ ὑποκείμενον ἐκείνῳ, καὶ ἔστι τὸ μέν, καθ' ὃ δεύτερόν ἐστί τι, τὸ δεδεγμένον ἐν αὐτῷ, τὸ δέ, καθ' ὃ πρῶτον, ὃ τοῦτο δέδεκται. οἷον τὸ ὑγιαῖνον ζῷον, ἐξ ὑγιείας καὶ σώματος συγκείμενον, λέγεται μὲν ὑγιαίνειν καὶ τῇ ὑγιείᾳ, λέγεται δὲ καὶ τῷ σώματι, καὶ ἔστιν ἡ μὲν ὑγίεια ἡ ἕξις τε καὶ τὸ εἶδος ὃ δέδεκται τὸ σῶμα, τὸ δὲ σῶμα, καθὸ δευτέρως ὑγιαίνει, ἡ ὕλη τε καὶ τὸ ὑποκείμενον καὶ δεδεγμένον τὴν ὑγίειαν. εἰ δὴ καὶ ἐπὶ τοῦ ζῆν τὰ ζῶντα συγκείμενα ἔκ τε ψυχῆς καὶ σώματος ἀμφοτέροις ζῆν λεγόμενα τῇ τε ψυχῇ καὶ τῷ σώματι πρώτῃ μὲν τῇ ψυχῇ ζῇ, δευτέρῳ δὲ τῷ σώματι, εἴη ἂν καὶ ἐκ τούτου δεικνύμενον, ὅτι ἡ μὲν ψυχὴ εἶδός τε τοῦ σώματος καὶ ὃ δέδεκται τὸ τοιόνδε σῶμα, τὸ δὲ σῶμα ὕλη τε τῆς | ψυχῆς καὶ τὸ δεδεγμένον. 129r καὶ ἡ θρεπτικὴ ἄρα ψυχὴ εἶδος τοῦ ἔχοντος αὐτὴν σώματος. ὅτι γὰρ ἡ ψυχὴ τοῦτο καὶ οὐχ ἁπλῶς φύσις, δῆλον ἐκ τοῦ μηδὲν τῶν ἄλλων ζῆν, ἃ ὡμολόγηται φύσιν ἔχοντα μὴ ἔχειν ψυχήν. οὐδὲν γὰρ τῶν ἁπλῶν σωμάτων ζῆν λέγεται, ὡς τοῦ ζῆν λεγομένου κατὰ ψυχῆς παρουσίαν. πάντα

3 εὑρέσει] Existenz 10—15 πᾶν — δέδεκται] Denn in Bezug auf alles Zusammengesetzte, wovon wir sagen, dass es vorhanden sei, und dass es wirke durch jedes der beiden Dinge, aus denen seine Zusammensetzung [besteht], ist das Ding, wodurch jenes [das Zusammengesetzte] zuerst ist, was es ist, und wodurch es seine Wirkungen ausübt, welche dasselbe specificiren, — jenes Ding (subiect. repet.) ist dessen Aneignung und Form, und das Ding, wodurch jenes so ist, das Ding ist in ihm die Hyle und der Träger für jenes. Das Ding, wodurch jenes zweitens ist, ist das in ihm Aufnehmende und das, wodurch jenes erstens ist, ist das, was dieses aufgenommen hat 18 post σώματι addit: Es ist aber zuerst gesund durch die Gesundheit und es ist zweitens gesund durch den Leib ὃ δέδεκται τὸ σῶμα] welche der Leib angenommen hat 23—24 ὃ—τὸ τοιόνδε σῶμα] welches der bestimmte Körper aufgenommen hat 24 τὸ δεδεγμένον] das Aufnehmende 25 τοῦ ἔχοντος αὐτὴν om. 27 ἃ ὡμολόγηται] bei denen vorkommt

1 κεχωρισμένην a 2 συγκειμένην om. a 8 ἂν ἔχοι V: ἄρα ἔχει a 10 πᾶν γὰρ κτλ.] cf. p. 4,4 13 ἐν αὐτῷ om. a 14 ἐκείνω a αὑτῷ scripsi: αὐτῷ Va 15 τοῦτο sc. ἡ ὕλη δέδεκται V: δέδειχται a, corr. ex. Vict. ὑγιείας V: ὑγείας a 16 ὑγείᾳ Va 18 fortasse τῷ σώματι. ⟨ἔστι δὲ πρώτως ὑγιαῖνον τῇ ὑγιείᾳ, δευτέρως δὲ τῷ σώματι⟩ καὶ ἔστιν cf. int. hebr. ὃ δέδεκται] cf. v. 5 ὃ τοῦτο δέδεκται et v. 23 ὃ δέδεκται τὸ τοιόνδε σῶμα 19 δεύτερον ὑγιαίνη a 24 δεδεγμένον] δεδ in lit. V

γοῦν τὰ ψυχὴν ἔχοντα ζῇ καὶ οὐδὲν ζῇ τῶν μὴ ψυχὴν ἐχόντων. ἔτι δὲ εἰ αἱ δυνάμεις, καθ' ἃς τὰ σπέρματα ἐνεργεῖ, συγγενεῖς καὶ οἰκεῖαι τοῖς, ἀφ' ὧν τὰ σπέρματα, καθ' ἃς δυνάμεις ἐνεργεῖ τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα, εἶεν ἂν αὗται ψυχικαί. ἀλλὰ μὴν κατὰ πρώτην τὴν θρεπτικὴν δύναμιν ἐνεργεῖ πάντα τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα. ψυχικὴ ἄρα ἡ δύναμις ἡ θρεπτική. ἐπεὶ τοίνυν ψυχή τε ἡ θρεπτικὴ δύναμις καὶ πρώτη τῶν τῆς ψυχῆς δυνάμεων, περὶ ταύτης πρῶτον ῥητέον καὶ τὴν οὐσίαν αὐτῆς καὶ τὴν φύσιν δεικτέον, ἥτις ποτέ ἐστι. συνέζευκται δὲ τῷ περὶ τῆς θρεπτικῆς ψυχῆς λόγῳ καὶ ὁ περὶ τῆς γεννητικῆς. τῆς γὰρ θρεπτικῆς ψυχῆς οἰκεῖα ἔργα ὥσπερ τὸ θρέψαι τε καὶ αὐξῆσαι, οὕτως δὲ καὶ τὸ γεννῆσαι ὅμοιον τῷ σπείραντι. τῶν γὰρ ζώντων ὅσα τέλειά ἐστι καὶ μὴ πηρώματα, ὡς οἱ εὐνοῦχοι, μηδὲ τὴν γένεσιν αὐτομάτην ἔχει, ἔργον τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ἵνα τοῦ ἀεὶ εἶναι καὶ τῆς πρὸς τὸ θεῖον ὁμοιότητος ὡς δύναται πάντα μετέχῃ. πάντα γὰρ τὰ κατὰ φύσιν συνεστῶτα ἐκείνου ἐφίεται καὶ πάντα πράττει κατὰ φύσιν ἐκείνου χάριν. ἀλλὰ μὴν ψυχὴ αἰτία τῷ ἐμψύχῳ τοῦ πράσσειν τὰ κατὰ τὴν αὑτοῦ φύσιν. ἓν δὲ τῶν ὑπὸ τοῦ ἐμψύχου κατὰ φύσιν γινομένων καὶ ἡ τοῦ αὐτῷ ὁμοίου γένεσις. καὶ γὰρ τὰ φυτὰ καὶ τῶν ζῴων ὅσα μὴ πεπήρωται κατὰ τὴν οἰκείαν φύσιν ὁμοίων αὐτοῖς ἐστι γεννητικά. ψυχικὴ ἄρα καὶ ἡ δύναμις ἡ γεννητική. ἀλλὰ μὴν τὰ φυτὰ μόνην τὴν θρεπτικὴν ψυχὴν ἔχοντα πρὸς τῷ τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ τὸ γεννᾶν ἔχει. τῆς θρεπτικῆς ἄρα δυνάμεώς τε καὶ ψυχῆς μόριον καὶ τὸ γεννητικόν. κοινὸς οὖν ἡμῖν ὁ περὶ ἀμφοτέρων λόγος. ἐπεὶ δὲ ἐν πᾶσιν ἡ τῶν ἀσαφεστέρων γνῶσις διὰ τῶν σαφεστέρων γίνεται, καὶ ἐπὶ τῶν προκειμένων οὕτω χρὴ ποιεῖν. καὶ ἐπεὶ αἱ κατὰ τὰς τῆς ψυχῆς δυνάμεις ἐνέργειαι σαφέστεραι τῶν δυνάμεων, ἀφ' ὧν ἐνεργοῦνται, τὸ αἰσθάνεσθαι τῆς αἰσθήσεως καὶ τὸ τρέφεσθαι τῆς θρεπτικῆς δυνάμεως, ἀρκτέον ἀπὸ τοῦ τρέφεσθαι. καὶ γὰρ πρὸς τῷ γνωριμώτερον εἶναι καὶ πρῶτόν ἐστι κατὰ τὸν λόγον τῆς δυνάμεως ἀφ' ἧς γίνεται. ταῦτα γὰρ πρῶτα τῷ λόγῳ, ἃ ἐν τῷ οἰκείῳ λόγῳ περιέχει τινὰ ὧν οὐκέτ' αὐτὰ ἐν τῷ λόγῳ παραλαμβάνεται. οὕτως δὲ ἔχει καὶ τὸ τρέ-

2 συγγενεῖς καὶ οἰκεῖαι] ähnlich der Gestalt nach und ähnlich der Gattung nach 4—5 κατὰ—ἐνεργεῖ] wirken zuerst durch die nährende Kraft 6 τοίνυν om. ψυχή] seelisch 8 συνέζευκται] es ziemt sich, dass wir verbiuden 9 γεννητικῆς] der wachsenmachenden und erzeugenden 10 ὥσπερ—γεννῆσαι] das Nähren Wachsen-Machen und Erzeugen 11—12 μὴ πεπηρωμένα] nicht impotent 12 ὡς οἱ—ἔχει] wie der Verschnittene und dessen Erzeugung nicht von selbst 16 τοῦ—φύσιν] dass es durch seine Natur wirke 18—19 κατὰ τὴν οἰκείαν φύσιν] durch seine Natur und das Wesen seiner Seele 20 τὰ φυτὰ—ἔχοντα] die Pflanze und das, was hat 23 δὲ om. 29—30 ταῦτα γὰρ—παραλαμβάνεται] Denn die in der Definition ersten Dinge sind die Dinge, welche in der Definition, die dieselben specificirt, die Dinge begreifen, durch welche sie in einer Definition gefasst werden.

10 ἔργω a θρέψαι] ψαι in lit. V 14 μετέχη a 16 αὐτοῦ Va 21 γεννᾷν a 27 τρέφεσθαι] post τρεφε 3 lit. erasae V 30 ὧν pendet ab ἐν τῷ λόγῳ. ideo enim τὸ τρέφεσθαι est πρῶτον τῷ λόγῳ, quod in sua definitione τὴν δύναμιν τὴν θρεπτικὴν continet, in cuius definitione ipsum non inest.

φεσθαι πρὸς τὴν δύναμιν τὴν θρεπτικήν. τῷ μὲν γὰρ τρεφομένῳ τὸ τρέφεσθαι ἀπὸ τῆς δυνάμεως τῆς θρεπτικῆς. οὐ μὴν ἡ δύναμις ἡ θρεπτικὴ πρὸς τὸ εἶναι δεῖται τῆς ἐνεργείας. τὰς μὲν γὰρ ἀπὸ τῶν ἕξεων γινομένας ἐνεργείας ἀδύνατον εἶναι χωρὶς τῶν ἕξεων, αἱ δὲ ἕξεις καὶ χωρὶς τῶν ἐνεργειῶν εἶναι δύνανται. ἀλλὰ μὴν τὸν περὶ τοῦ τρέφεσθαι λέγοντα δεῖ πρῶτον περὶ τροφῆς εἰπεῖν. ἀδύνατον γὰρ γνώριμον γενέσθαι τὸ τρέφεσθαι ἀγνοουμένης τῆς τροφῆς, ᾗ τὸ τρεφόμενον τρέφεται. ἡ δὲ αὐτὴ τῆς ζητήσεως τάξις εἴη ἂν καὶ ἐπὶ τῶν ἄλλων τῆς ψυχῆς δυνάμεων. καὶ γὰρ ἐπ' ἐκείνων αἱ ἐνέργειαι τῶν ἕξεων γνωριμώτεραι. συνέζευκται δὲ τῷ τῶν ἐνεργειῶν λόγῳ καὶ ὁ τῶν περὶ ἃ αἱ ἐνέργειαι λόγος. δεῖ ἄρα τῷ μέλλοντι δεικνύναι, τίς ποτέ ἐστιν ἡ θρεπτικὴ ψυχή, πρῶτον εἰπεῖν περὶ τροφῆς.

Διττὴ δὴ ἡ τροφὴ δοκεῖ εἶναι. ἥν τε γὰρ προσφερόμεθα ἔξωθεν, τὴν ἄπεπτον ἔτι, τροφὴ καλεῖται [τροφὴ λέγεται] καὶ ἡ κατειργασμένη τε ἤδη καὶ προσκρινομένη. καὶ διὰ τὸ διττὸν τοῦτο τῆς τροφῆς ποτὲ μὲν λέγεται τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεσθαι, ποτὲ δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ. ἡ μὲν γὰρ ἄπεπτος ἔτι καὶ ἀκατέργαστος τροφή. αὕτη δ' ἐστὶν ἡ πρώτη ἐναντία τῷ τρεφομένῳ τῷ δεῖν μὲν αὐτῇ μεταβολῆς, ὅπως ἐξομοιωθῇ τῷ τρεφομένῳ, τοιοῦτον γὰρ ἡ πέψις. ἡ δὲ μεταβολὴ πᾶσιν εἰς τὸ ἐναντίον. οὔτε γὰρ τῷ λευκῷ εἰς ἄλλο τι καθὸ λευκόν ἐστιν ἡ μεταβολή, ἢ εἰς τὸ μέλαν ἤ τι τῶν μεταξὺ χρωμάτων, ὃ καὶ αὐτὸ κατὰ τὴν εἰς τοὐναντίον μεταβολὴν γίνεται, οὔτε τῷ θερμῷ εἰς ἄλλο τι ἢ τὸ ψυχρόν, καὶ τῷ ψυχρῷ πάλιν εἰς ἐκεῖνο· ἀλλ' οὐδὲ τὸ γλυκὺ εἰς λευκὸν ἢ μέλαν ἢ εἰς ψυχρὸν ἢ θερμὸν μεταβάλλει καθὸ γλυκύ, ἀλλ' εἰς τὸν ἐναντίον χυμόν. καὶ ἡ ἄπεπτος δὴ τροφή, εἰ διὰ τῆς πέψεως μεταβάλλουσα ὁμοία γίνεται τῷ τρεφομένῳ, πρὸ τῆς πέψεώς τε καὶ μεταβολῆς εἴη ἂν ἐναντία αὐτῷ. διὸ δεῖ πᾶσαν τὴν τοιαύτην τροφὴν πέττεσθαι δύνασθαι καὶ μεταβάλλειν εἰς τὸ τρεφόμενον ὑπ' αὐτῆς. οὕτως μὲν οὖν τὸ ἐναντίον τῷ ἐναντίῳ

2—3 οὐ μὴν—ἐνεργείας] nur braucht die nährende Kraft nicht zum Act (in actu) vorhanden zu sein 3 ἀπὸ τῶν ἕξεων] von den Aneignungen 5 ἀλλὰ μὴν] also λέγοντα] gesprochen hat. var. lect. spricht 10 περὶ ἃ] in welchen 13 δοκεῖ εἶναι] wir sehen vom Wissen aus 13—14 ἥν—ἔτι] das Ding nämlich, das er erreicht, das zu ihm von aussen gelangt, das noch nicht verdaut ist 14 τροφὴ λέγεται] aber Nahrung wird genannt 17 ἡ μὲν γὰρ—αὕτη δ' ἐστὶν] Die Nahrung nämlich, welche noch nicht verdaut und verkocht ist, das ist die erste Nahrung, ist das dem von ihm Ernährten Entgegengesetzte 19 τοιοῦτον—πέψις] das ist der Sinn der Verdauung 23—24 ἀλλ' οὐδὲ—καθὸ γλυκύ] die Veränderung des Süssen ist nicht [anders], als in den Geschmack, der das ihm Entgegengesetzte 27 διὸ δεῖ] daher muss 28 τὸ ἐναντίον τῷ ἐναντίῳ] das E. dem E.

---

3 ἕξεων m^2 ἔξωθεν m^1 V: ἕξεων ex. Vict.: ἔξωθεν a 5 δύνανται] ται in lit. V 6 τὸ τρέφεσθαι m^1 in mg. V 13 „ὅτι διττὴ ἡ τροφή.“ διττὴ δὴ Va 14 τροφὴ λέγεται uncis seclusi τε om. Ka 17 αὕτη a: αυτη V 18 αὐτῇ a: αυτη V 21 ἢ a: ἡ V 26 corr. ex πρὸς m^1 V 27 δεῖ Ka: δὴ V 28 τῷ ἐναντίῳ τὸ ἐναντίον Ka

τροφή. οὐ μὴν πᾶν· οὐ γὰρ πᾶν τὸ μεταβάλλον εἰς τὸ ἐναντίον ἤδη τρέφειν αὐτὸ δύναται. τὸ γοῦν ὀξὺ εἰς τὸ βαρὺ μεταβάλλει καὶ τοῦτο εἰς ἐκεῖνο καὶ τὸ ἀσχημάτιστον εἰς τὸ ἐσχηματισμένον καὶ τὸ λευκὸν εἰς τὸ μέλαν, ἀλλ' οὐ διὰ τοῦτο ἤδη τρέφεται καὶ αὔξεται ὧν ἡ μεταβολὴ γέγονεν εἰς τἀναντία. ἀλλ' ἔστι ταῦτα τῶν ἐναντίων τροφή, ἃ μεταβάλλοντα εἰς τὰ ἐναντία αὔξειν δύναται τὰ εἰς ἃ ἡ μεταβολὴ γέγονεν αὐτοῖς. αὐξητικὰ δὲ τὰ σώματα· | δεῖ ἄρα τὴν τροφὴν ἐναντίον τε εἶναι καὶ σῶμα ἄλλο τοῦ 129v
τρεφομένου. οὐκ εἰ τὴν τροφὴν δὲ δεῖ τοιαύτην εἶναι ὡς δύνασθαι συναύξειν, ἤδη καὶ πᾶν τὸ συναῦξόν τι ὡς τροφὴ συναύξει. τὰ γοῦν ἁπλᾶ τῶν σωμάτων, ἃ στοιχεῖα καλοῦμεν, συναύξεται μὲν ὑπὸ τῶν εἰς αὐτὰ μεταβαλλόντων, οὐ μὴν ὡς ὑπὸ τροφῆς. κοινότερον γὰρ λέγεται τὸ ὕδωρ εἶναι τροφὴ τῷ πυρί· μόνα γὰρ κυρίως τρέφεται τὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα· τὸ γὰρ τρέφειν ταύτης. διὸ τῶν ἀψύχων οὐδὲν τρέφεται, εἰ καὶ αὔξεται. καὶ οὕτως μὲν ἡ τροφὴ τὸ ἐναντίον. ἡ γὰρ πρώτη τοιαύτη. καθὸ δὲ καὶ τὸ προσκρινόμενον ἤδη τροφή, προσκρίνεται δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ, κατὰ τοῦτο πάλιν τὸ ὅμοιον τρέφει. τροφῆς γάρ, ὥς φασιν, τὸ τρέφον τροφή, τρέφον δὲ τὸ προσκρινόμενον, τοιοῦτον δὲ τὸ ὁμοιούμενον ἤδη τῷ τρεφομένῳ. ὅτι δὲ τὸ ἔχον τὴν θρεπτικὴν ψυχὴν τρέφεται καὶ οὐκ ἄλλο τι, δῆλον καὶ ἐκ τοῦ ἐν τῇ τῶν ὁμοίων συνθέσει τοῦ τρέφοντος καὶ τοῦ τρεφομένου μεῖζον μὲν ἑκάτερον αὐτῶν δύνασθαι λέγεσθαι γεγονέναι (ὁμοίων γὰρ ὄντων ἑκατέρων οὐδὲν μᾶλλον τόδε μεῖζον ἂν ἐν τῇ συνθέσει γεγονὸς εἴη), τεθράφθαι δὲ καὶ διὰ τροφῆς ηὐξῆσθαι τὸ μὲν ἐκ τῆς τροφῆς μεταβεβληκὸς μὴ δύνασθαι λέγεσθαι, ἐκεῖνο δὲ ᾧ τοῦτο προστίθεται διὰ τὸ καὶ τὴν τρέφουσαν ψυχὴν ἐκεῖνο ἔχειν, κἀκεῖνο μὲν ἀμετάβλητον μένειν, τὴν δὲ τροφὴν μεταβαλλομένην ὑπ' αὐτῆς τῆς δυνάμεως προσκρίνεσθαι τῷ ἐμψύχῳ τε καὶ μένοντι.

Καὶ τοιοῦτον μὲν ἡ τροφή· ἡ δὲ κατὰ τὸ τρέφεσθαι ἐνέργεια γίνεται τῆς θρεπτικῆς ψυχῆς μεταβαλλούσης τὴν ἔξωθεν προσενεχθεῖσαν τροφὴν διὰ

1—2 οὐ μὴν—δύναται] aber nicht Alles, was sich in das ihm Entgegengesetzte verändert, ist so angethan, dass es ihn dadurch (davon) ernähre 4 τρέφεται om. 4—5 αὔξεται—τἀναντία] wachsen nicht auch die Dinge, in welche sie sich verändert haben 6—7 αὐξητικὰ—σώματα] die Vergrössernden sind aber Körper 8 post τοῦ τρεφομένου addit: für den er angemessen ist, Nahrung zu sein 11 γὰρ] denn 12 γὰρ] denn μόνα] fürwahr 19—22 δῆλον—γεγονὸς εἴη] wird daraus klar, dass wir von dem, in dessen Zusammensetzung die beiden ähnlichen Dinge, ich meine das Nährende und das Genährte, in Bezug auf jedes Eine von ihnen sagen müssen, dass es mehr war, als es [gewesen] war, denn da sie alle beide ähnlich waren, so war keines von beiden das erste vor dem andern durch Zusammensetzung grösser geworden zu sein, als es [gewesen] war 28—35,2 τῆς θρεπτικῆς—αὕτη] [die Wirkung ist die], dass

---

1 μεταβάλλου, ου ex corr. V 5 τἀναντία Usenerus restituit: ταὐτά Va 6 αὐξητικὴ Ka 7 ἐναντίαν K καὶ τὸ σῶμα K 11 κοινότερον] vid. Ind. γὰρ κτλ.] cf. p. 14,19 18 ἔχον καὶ θρεπτικὴν Ka 21 τόδε scripsi: τὸ δὲ Va, exspectas τόδε ἢ τὸ ἕτερον 23 ἐκεῖνο δὲ ᾧ τοῦτο προστίθεται] suppl. τεθράφθαι καὶ διὰ τροφῆς ηὐξῆσθαι 27 „περὶ τῆς θρεπτικῆς ἐνεργείας." ἡ δὲ Va 28 μεταβαλούσης a

πέψεως καὶ ἐξομοιούσης καὶ προσκρινούσης τῷ σώματι, οὗ ἐστιν εἶδός τε καὶ δύναμις αὕτη. ὄργανον δ' αὐτῇ πρὸς τὰς τοιαύτας ἐνεργείας τε καὶ μεταβολὰς τὸ θερμόν. διὸ καί τισιν ἔδοξεν ἤδη τοῦτ' εἶναι τὸ τρέφον τὴν τῆς ποιούσης ἀρχῆς δύναμιν ἐπὶ τὸ δι' οὗ ποιεῖ μεταφέρουσιν διὰ τὸ ὁρᾶν χωρὶς ταύτης μὴ δυνάμενον τρέφεσθαί τι. κινητικὸν μὲν γὰρ καὶ τὸ θερμόν, ἀλλ' οὔτε ὡρισμένη οὔτε τεταγμένη κίνησις, ἧς προηγουμένως ἀρχὴ τὸ θερμόν. τὸ δὲ τρεφόμενον τάξει τινὶ καὶ ὁδῷ πρόεισιν καὶ ὅρον ἔχει τινά, ἃ οἰκεῖα ψυχῆς, ἀλλ' οὐ πυρός. ᾧ δὲ τρέφεται τὰ τρεφόμενα, τούτῳ καὶ αὔξεται, ὡς ἤδη προείρηται. οὐ μὴν ταὐτόν ἐστιν αὔξεσθαί τε καὶ τρέφεσθαι, οὐδὲ ἅμα γίνεται οὐδὲ ἑκατέρῳ αὐτῶν ὁ αὐτὸς σκοπός. τρέφεται μὲν γὰρ ἀεὶ τὸ ζῷον, ἔστ' ἂν ᾖ (διὸ καὶ συνεχεστάτη ἥδε τῶν ψυχικῶν ἐνεργειῶν), αὔξεται δὲ οὐκ ἀεὶ τρεφόμενα, εἴ γε τρέφεται μὲν ἔστ' ἂν ᾖ, ἔστι δὲ καὶ τὰ γηράσκοντά τε καὶ μειούμενα. σκοπὸς δὲ τῷ μὲν τρέφοντι ἡ τοῦ τρεφομένου σωτηρία, τῷ δὲ αὔξοντι εἰς μέγεθος ἡ συντέλεια τῷ τρεφομένῳ. διὸ καὶ τῶν δυνάμεων ἡ μὲν τοῦ εἶναί τε καὶ τῆς οὐσίας ἐστὶ τηρητική (τοιαύτη γὰρ ἡ θρεπτική), ἡ δὲ αὐξητικὴ προηγουμένως ἐστὶ τῆς κατὰ τὸ ποσὸν ἐπιδόσεως ποιητική. ἔστι δὲ καὶ τὸ γεννᾶν τε καὶ ὅμοιον ἑαυτῷ καταλιπεῖν ἑπόμενον ταῖς προειρημέναις ἐνεργείαις ταῖς κατὰ τὸ αὔξεσθαί τε καὶ τρέφεσθαι, οὐ πᾶσιν μὲν ὑπάρχον οἷς κἀκείνων ἑκάτερον, τοῖς μέντοι μήτε πεπηρωμένοις μήτε ἀτελέσιν ἅπασιν, ὡς προείρηται. καὶ ἔστι τῶν τῆς θρεπτικῆς ψυχῆς δυνάμεων ἥδε τελειοτάτη. τελεία γὰρ ἤδη ἡ κατὰ ταύτην ἐνέργεια οὖσα κατὰ φύσιν καὶ ἤδη τελείων. παντὶ γὰρ τῷ κατὰ φύσιν ἔχοντι τέλος ἐστίν, ὡς ἤδη προείρηται, τὸ γεννῆσαι οἷον αὐτό. καὶ αὗται μὲν αἱ τῆς φυτικῆς τε καὶ πρώτης ψυχῆς ἐνέργειαι· τρέφειν αὔξειν γεννᾶν. εἶεν δ' ἂν καὶ αἱ δυνάμεις ἀφ' ὧν αἵδε αἱ ἐνέργειαι φανεραί· ἡ μὲν θρεπτικὴ δύναμις, οὖσα ἡ πρώτη ψυχῆς, σωστικὴ τοῦ ἔχοντος αὐτὴν διὰ τῆς οἰκείας ἐνεργείας, ἥτις ἐπὶ παρουσίᾳ τροφῆς γίνεται, ἡ δὲ

---

die nährende Seele die Nahrung verdaut, welche von aussen genommen wird (?), sie verändert, assimilirt und mit dem Körper zusammenhängend macht 6 ἧς — θερμόν] so dass das Warme selbst das vorangehende Princip wäre 6—7 τὸ δὲ — ἔχει τινά] Das Nährende aber befolgt Abstufung, Ordnung und Gesetz 11 συνεχεστάτη] niedrigere von den (als die) Wirkungen der Seele. Interpres hebr. se in margine legisse contendit: ausser (verschieden von) 12—13 ἔστι — μειούμενα] und das Abgenutzte und Mangelhafte dauert fort 16—17 ἡ δὲ — ποιητική] und fürwahr der Zweck, den das Wachsenmachen zuerst beabsichtigt, ist etwas von der Kategorie der Quantität 21 τελειοτάτη] die letzte und das worin ihre Vollendung 21—22 τελεία — τελείων] und es ist eine natürliche Wirkung der zwei Vollendeten [i. e. Mann und Weib, adn. interpr. hebr.] 24 φυτικῆς τε καὶ πρώτης] der nährenden Seele, welche die erste Seele ist

---

2 „ὅτι ὄργανον τὸ θερμὸν τῆς θρεπτικῆς ψυχῆς.“ ὄργανον δ' Va αὐτῇ a: αὐτη V τοιαύτας m² τοιαύτης m¹ V: τοιαύτας a 4 ὁρᾶν a 10 γὰρ supra lin. V 11 ἥδε V 12 ἔστ' a. etiam ἔστι δὲ — μειούμενα pendent ab εἴ γε 17 γεννᾶν a: γενᾶν V 20 μήτε ante πεπηρωμένοις om. a 21 δυνάμεως a ἥδε V 24 φυτικῆς ex Vict.: φυσικῆς Va. cf. p. 38,12 μετὰ δὲ τὴν ζωτικὴν καὶ φυτικὴν ψυχήν verba confundi solent vid. Ind. 27 παρουσία a cf. ὁ ἐπὶ τῇ τοιαύτῃ ἁρμονίᾳ γινόμενος ψόφος p. 26,2

αὐξητικὴ δύναμις ψυχῆς, διὰ τροφῆς αὐξητικὴ τοῦ ἔχοντος αὐτὴν σώματος διὰ τῆς οἰκείας ἐνεργείας, ἡ δὲ γεννητικὴ δύναμις ψυχῆς, γεννητικὴ ὁμοίου τῷ ἔχοντι αὐτήν, ᾗ καὶ αὐτὴ τροφῇ πως χρῆται, εἴ γε τὸ σπέρμα δι' οὗ ἡ γέννησις τῆς ἐσχάτης τροφῆς περίττωμα, ὡς ἐν ἄλλοις δέδεικται, τελειοτέρα τις οὖσα τῶν πρὸ αὐτῆς. οὐ γὰρ εἰς αὐτὸ καὶ τὴν αὑτοῦ σωτηρίαν τε καὶ τελείωσιν συντελεῖ ἡ κατὰ τὴν γεννητικὴν δύναμιν ἐνέργεια, ἀλλὰ τοῖς ἤδη τελείοις οὖσιν αἰτία γίνεται τῆς ἄλλου ὁμοίου γενέσεως ἐφέσει ἀθανασίας ἐπισκευαστῆς τινος, ὡς ἐνδέχεται τὸ θνητὸν ἀθανασίας μετέχειν οὕτως αὐτῷ χορηγούσης αὐτὸ τῆς φύσεως διὰ τῆσδε τῆς δυνάμεως. τριῶν δὲ ὄντων ἐξ ὧν τὸ τρέφεσθαι γίνεται, τοῦ τρέφοντος, τοῦ τρεφομένου, ᾧ τρέφεται, τὸ μὲν τρέφον ἐστὶν ἡ θρεπτική τε καὶ πρώτη ψυχή, τὸ δὲ τρεφόμενον τὸ σῶμα, οὗ εἶδος ἡ προειρημένη δύναμις, τὸ δὲ ᾧ τρέφεται ἡ τροφή. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ αὔξεσθαί τε καὶ γεννᾶν. ἐπεὶ δὲ πάντα ἀπὸ τοῦ τέλους καὶ ἀπὸ τοῦ τελειοτάτου τῶν ἐν αὐτοῖς δίκαιον ὀνομάζειν (διὰ τοῦτο γοῦν καὶ τὸν ἄνθρωπον λέγομεν λογικὸν καίτοι ὄντα καὶ αἰσθητικόν), τέλος δὲ τῆς πρώ|της ψυχῆς ὡς ἐδείχθη τὸ γεννῆσαι ὅμοιον 130r αὑτῷ, καὶ ἡ πρώτη ἂν ψυχὴ εὐλόγως καλοῖτο γεννητικὴ ὁμοιοῦσα τῷ ἔχοντι αὐτήν, εἰ καὶ ὅτι μάλιστά ἐστι πρὸς τούτῳ καὶ θρεπτικὴ καὶ αὐξητική. ἔστι δ' ἡ θρεπτικὴ ψυχή τε καὶ δύναμις αἰτία καὶ τῆς συστάσεως τὴν ἀρχὴν τῷ τοῦ ζῴου σώματι, ὥσπερ οὖν καὶ τοῦ εἶναί τε καὶ τῆς ἐπιδόσεώς τε καὶ αὐξήσεως. ταύτης γὰρ ἔργον τὸ ἐν ᾧ ἂν ῇ παρασκευάζειν αὐτὸ τρέφεσθαί τε δι' αὑτοῦ καὶ αὔξεσθαι δύνασθαι, ἥτις ἐν τῷ καταβαλλομένῳ σπέρματι ἐνυπάρχουσα, ὅταν ὕλης ἐπιτηδείου λάβηται, πρὸς τοῦτο συνίστησίν τε αὐτὴν οὕτως, ὡς ἐν τῇ τροφῇ τε καὶ τῇ αὐξήσει τὸ συνιστάμενον ἐξ αὐτῆς ὅμοιον γίνεσθαι τῷ προεμένῳ, καὶ τοῦ τρέφεσθαί τε αὐτὸ καὶ αὔξεσθαι παρούσης τῆς τροφῆς αἰτία γίνεται. καὶ κατὰ ταύτην μόνην τὴν ψυχικὴν δύναμιν ἐνεργεῖ τὸ κατὰ γαστρὸς ὂν ἐξ αὑτοῦ ἔχον

---

4 ἐσχάτης om. 5—6 εἰς αὐτὸ—τελείωσιν] in der Substanz des Dinges, dessen Rettung und Vollständigkeit 7 τοῖς ἤδη—οὖσιν] in den zwei Vollendeten (vide 35,22) 8 ἐπισκευαστῆς—μετέχειν] welche erworben wird in dem möglichen Maasse in dem Teile, der [v. l. dem, was] ihm zukommt an Unsterblichkeit 9 οὕτως—δυνάμεως] und dies ist ihm Leben von der Natur durch diese Kraft 17—18 γεννητικὴ—αὐτήν] welche etwas erzeugt, dem sie ähnlich ist 18 μάλιστα om. πρὸς τούτῳ] vordem 19 ἔστι—δύναμις] Auch die nährende Seele hat eine Kraft, welche 21 γὰρ] om. 21—22 ταύτης γὰρ—δι' αὑτοῦ] die Wirkung dessen ist, dass sie das, worin sie ist, vermögend macht, dass es sich selbst ernähre 23—25 πρὸς τοῦτο—τῷ] so versetzt er dieselbe in einen Zustand, dass mit ihm (dabei) das Ding, woraus er es macht, auf die Weise der Nahrung und des Wachsens ähnlich wird dem 27 ἐνεργεῖ ἐξ αὑτοῦ] wirkt von selbst

---

1 ψυχῆς om. a 3 αὐτὴ τροφῇ m[2] αυτη τροφη m[1] V: αὐτὴ τροφῆ a 5 αὑτοῦ scripsi: αὐτοῦ Va 8 ἐπισκευαστῆς V: ἐπισκευαστικῆς a 9 αὐτῷ V: αὐτὸ a χωρηγούσης V 13 αὐτὸς a: αὐτος V γεννᾶν a 17 αὑτῷ scripsi: αὐτῷ a καλοῖτο a: καλλοῖτο V ὁμοιοῦσα] fortasse ὅμοιον ποιοῦσα cf. καὶ τὸ γεννῆσαι ὅμοιον τῷ σπείραντι 32,11 ποιῆσαι ἕτερον οἷον αὐτό 32,13 18 ὅτι V: ἄρα a 21 ἐν ᾧ ἂν ῇ] cf. quae coll. ad 137 r 20 22 ἥτις a 23 πρὸ a 27 αὐτοῦ Va

μὲν καὶ τῶν ἄλλων δυνάμεων ἀρχάς τε καὶ ἐπιτηδειότητας, ὧν τὰς ἕξεις εἶχεν καὶ τὸ γεννῆσαν αὐτό, οὐ μὴν ἤδη καὶ ἔχον αὐτὰς ἐνεργείᾳ, τῷ μηδὲ μόριά πως ἔχειν, δι' ὧν αἱ κατ' ἐκείνας τὰς δυνάμεις ἐνέργειαι.

Αἰτίαν δὲ ἡγητέον καὶ τοῦ ἀπὸ μὲν τῶν φυτῶν ἀφαιρούμενά τινα μέρη ζῆν τε καὶ τελειοῦσθαι δύνασθαι, μηκέτι δὲ καὶ τῶν ζῴων, ὅτι ταῦτα μὲν τὴν θρεπτικὴν μόνην ψυχὴν ἔχοντα, ἥτις ἐστὶν ἐν παντὶ τῷ σώματι, καὶ διὰ τοῦτο ὄντα ἁπλούστερά τε καὶ οὐ δεόμενα τοσούτων ὀργάνων, ὅτι ἂν μόριον αὐτῶν ἀφαιρεθὲν δυνηθῇ τὴν ἐν αὐτῷ δύναμιν θρεπτικὴν τηρῆσαι δι' εὐπορίαν τροφῆς, σώζεταί τε καὶ ὅμοιον τῷ ὅλῳ γίνεται. καθ' ἣν γὰρ δύναμιν ἐνεργεῖ καὶ τὰ ἀπὸ σπέρματος γεννώμενα, κατὰ ταύτην ἐνεργεῖν καὶ ταῦτα οἷά τε, οὔσης αὐτοῖς ἐν ταύτῃ καὶ τῆς τελειότητος· ἐπὶ δὲ τῶν ζῴων οὐχ ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι. διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει. οὐ γὰρ ὁμοιομερὴς ἡ τῶνδε ψυχή, ὥσπερ ἡ τῶν φυτῶν, οὔτε δύναμίς ἐστιν ἐν αὐτοῖς ἐκείνων τινός, ὥσπερ ἐν τοῖς σπέρμασιν, τῷ τὴν ἀρχὴν τὰ μέρη ταῦτα μηδὲ δεκτικὰ ἐκείνων αὐτῶν εἶναί τινος, ἔπειτα δὲ καὶ τὴν τροφὴν αὐτὰ μηδὲ ὡς ἔτυχεν δύνασθαι λαμβάνειν, ἀλλὰ διά τινων ἀφωρισμένων ὀργάνων, ἃ οὐχ οἷόν τέ ἐστι τοῖς μὴ ἀπὸ σπερματικῆς ἀρχῆς συνισταμένοις προσγενέσθαι, ὡς τὰς ῥίζας τοῖς φυτοῖς. ἐκεῖναι μὲν

1 ἀρχάς om. 6 post ἔχοντα addit: wie erläutert worden 6 ἐστὶν] sich findet var. lect. verbreitet ist 6—7 καὶ διὰ τοῦτο — δεόμενα] daher weil sie einfacher ist und nicht bedarf, addit: wie das Thier 7—9 ὅτι ἂν — γίνεται] welcher Teil derselben auch abgesondert worden, so vermag er die nährende Kraft, die in ihm ist, zu bewahren, wenn er die Nahrung gesund und gut findet: er gleicht also der Totalität, von der er abgesondert worden 9—11 καθ' ἣν — τελειότητος] Durch die Kraft nämlich, wodurch das wirkt, was aus dem Samen erzeugt wird, können auch jene Teile wirken, da sie gleichfalls in dieser Kraft die Vollendung besitzen 11—18 ἐπὶ δὲ τῶν — ῥίζας τοῖς φυτοῖς] Beim Thiere ist aber das unmöglich, weil in ihm fürwahr nicht die

2 ἐνεργία a 4 „διὰ τί ἀπὸ μὲν τῶν φυτῶν ἀφαιρούμενα μέρη ζῇ καὶ τελειοῦται, ἀπὸ δὲ τῶν ζῴων οὐκέτι." αἰτίαν δὲ Va, nisi quod a τὰ μέρη 6 ἔχοντα δέδεικται legebat Arabs 7 ὅτι V: ἄρα a 9 cf. 32,4: ἀλλὰ μὴν κατὰ πρώτην τὴν θρεπτικὴν δύναμιν ἐνεργεῖ πάντα τὰ ἀπὸ τῶν ἐμψύχων σπέρματα 11—15 ἐπὶ δὲ τῶν ζῴων — εἶναί τινος] supra παρεσπαρμέναι manus recentissima μέρει scripsit V (12) αὐτῷ a (15) haec manca esse et apertum est et confirmat interpretatio hebraica. quam secutus totum locum ita fere restituere conatus sum. ἐπὶ δὲ τῶν ζῴων ⟨οὐχ οἷά τε (sc. τὰ μέρη ταῦτα ἐνεργεῖν), ὅτι οὐ μόνον ἡ θρεπτική, ἀλλὰ καὶ ἄλλαι ψυχαί εἰσιν ἐν τῷ ζῴῳ⟩ οὐχ ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι (διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει· οὐ γὰρ ὁμοιομερὴς ἡ τῶνδε ψυχή, ὥσπερ ἡ τῶν φυτῶν) οὐδὲ δύναμίς ἐστιν ἐν αὐτοῖς ἐκείνων τινός, ὥσπερ ἐν τοῖς σπέρμασιν, τῷ τὴν ἀρχὴν τὰ μέρη ταῦτα μηδὲ δεκτικὰ ἐκείνων αὐτῶν εἶναί τινος ad διὸ οὐδὲ ἐν τῷ ἀφαιρουμένῳ μέρει suppleas ὁμοίως ἐν παντὶ αὐτῷ παρεσπαρμέναι εἰσὶν αἱ ψυχαί. ὅτι usque ad φυτῶν primam rationem, cur desectae animalium partes agere nequeant, continent. de quibus disserere pergit verbis οὐδὲ — εἶναί τινος, quae sic intellegas: *„neque facultas inest in eis (partibus)* τινος ἐκείνων *(i. e. ullius illorum animalium), quali facultate praedita sunt semina"*. cuius rei ea est causa *„quod hae partes nihil omnino eorum recipere possunt, quae illis ipsis* (ἐκείνων αὐτῶν sc. *animalibus) propria sunt"*. οὔτε mutavi in οὐδέ, ut 145v7 153r29, nisi mavis οὔτε μόνον ἡ θρεπτική, .. οὔτε δύναμίς ἐστιν

γὰρ ῥᾳδίως τῇ τῆς τροφῆς παρουσίᾳ συνίστανταί τε καὶ αὔξονται οὐ πολλῆς τῆς οἰκονομίας δεόμεναι. οὐδὲν δὲ τῶν ζῴων οἷόν τε οὔτε χωρὶς τῶν ἀφωρισμένων πρὸς τὴν τροφὴν ὀργάνων τρέφεσθαι, οὔτε οἷά τε ταῦτα συστῆναι μὴ τοῦ σπέρματος τὰς δυνάμεις αὐτῶν ἔχοντος. διὸ καὶ κατὰ γαστρὸς ὄντα ἔτι ὡς μέρη τῆς φερούσης αὐτὰ τὴν τροφὴν λαμβάνει. τρέφεται μὲν γὰρ κατὰ τὴν δύναμιν τὴν ἐν αὐτοῖς, δέχεται δὲ τὴν τροφὴν ὡς μέρη. διὸ οὔτε ζῷον ἤδη οὔτε ἁπλῶς ζῆν καὶ καθ' αὑτὰ λέγεται τὰ ἔτι κατὰ γαστρὸς ὄντα. ζῇ μέντοι καὶ τὰ τῶν ζῴων μέρη πολλάκις διαιρεθέντων αὐτῶν ἐπὶ χρόνον τινά, εἰς ὅσον ἐπὶ τῶν ψυχικῶν δυνάμεων ἔχειν οἷά τε τὰ μέρη ἐγκαταλείμματά τινα τῶν τε ἐνεργειῶν καὶ τῶν δυνάμεων ὧν εἶχον ὅτε ἦν ἡνωμένα τε καὶ συνεχῆ τῷ ὅλῳ.

Καὶ τοιάδε μὲν ἡ πρώτη τῆς ψυχῆς δύναμις, μετὰ δὲ τὴν ζωτικήν τε καὶ φυτικὴν ψυχήν, ἣ δέδεικται διὰ τῶν περὶ αὐτῆς λόγων εἶδος οὖσα τοῦ ἔχοντος αὐτὴν σώματος, ἧς δυνάμεις αἱ προειρημέναι ἥ τε θρεπτικὴ καὶ ἡ αὐξητικὴ καὶ ἡ γεννητική, μετὰ δὴ τὸν περὶ ἐκείνης λόγον εἴη ἂν ἑπόμενον λέγειν περὶ τῆς αἰσθητικῆς. δευτέρα γὰρ ἥδε μετ' ἐκείνην. πάντα γὰρ τὰ ἄλλην τινὰ δύναμιν ἔχοντα ψυχικὴν ἀναγκαῖον, ὥσπερ ἔχει τὴν θρεπτικήν, οὕτως δὲ ἔχειν καὶ τὴν αἰσθητικήν· καὶ ἔστιν ἡ δύναμις αὕτη, καθ' ἣν τὰ ζῶντα πρὸς τῷ ζῆν καὶ ζῷά ἐστιν ἤδη. ἔστι μὲν οὖν ὁ περὶ αἰσθήσεως λόγος πλείων τε καὶ οἰκείας δεόμενος πραγματείας, ὡς δὲ συνελόντι καθόλου περὶ τῆς αἰσθητικῆς ψυχῆς εἰπεῖν, δύναμίς ἐστι ψυχῆς, καθ'

ernährende Seele allein ist, sondern [auch] andere Seelen, welche nicht nach jenem Beispiele (wie jene) in seinem ganzen Körper gestellt sind (Stand haben), daher findet sie sich nicht einmal in einem Gliede, welches von ihm abgesondert wird; denn die Seele des Thieres ist nicht von gleichartigen Teilen, wie die Seele der Pflanze, und in ihm (ihr) ist nicht die Kraft zu Manchem, was in jenen ist, wie in den Samen, weil es (sie) überhaupt Manches nicht annimmt, was jene besitzen. Ferner nach diesem, wenn die Glieder die Nahrung nehmen (würden?), so wäre es unmöglich, dass ein empfangender Teil vorkomme (?), [deest: es sei denn] mit irgend welchen bestimmten Organen. Denn es ist unmöglich, dass jene in (mit?) Organen entstehen, wie die Wurzeln [an] der Pflanze entstehen, es sei denn, dass sie vom Beischlaf ihren Anfang nehmen. 1—2 οὐ—δεόμεναι] da in dem Regimen ihres Zustandes keine grosse Arbeit ist 3—4 οὔτε—ἔχοντος] diese Organe können aber nur vorhanden sein durch Beischlaf, da durch denselben ihr Bestand ist 4—5 διὸ—λαμβάνει] daher so lange der Foetus im Mutterleibe bleibt, nimmt er fürwahr die Nahrung, insofern er ein Teil der Schwangeren ist, die ihn trägt 7 ζῷον] ein Lebendes καὶ om. 8 πολλάκις] viele 8—9 διαιρεθέντων—αὐτῶν] wenn sie abgeschnitten werden 9 εἰς ὅσον—δυνάμεων] in dem Maasse als es möglich ist, dass in diesen Gliedern von den Kräften der Seele ein Rest von den Wirkungen und Kräften übrig bleibe 18—19 καὶ ἔστιν—καθ' ἣν] diese Kraft ist die, durch welche 19—20 ἔστι—πλείων] die Rede über den Sinn ist lange 20—21 ὡς δὲ συνελόντι—εἰπεῖν] die kurze summarische Rede über die sinnliche Seele ist die, dass man von ihr sagt

5 φερούσης scripsi cf. int. hebr.: τρεφούσης Va 8 τοι supra lin. V 9 ἐπὶ] fortasse ἀπὸ 12 „περὶ τῆς αἰσθητικῆς ψυχῆς“. καὶ τοιάδε Va (τοιᾶδε) 13 οὖσα a 15 τὸν a: τῶν V 16 ἥδε V 17 ἔχειν a 18 αὕτη ex. Vict.: αὐτὴ Va 19 καὶ om. a 20 αἰσθήσεων a

ἣν τὸ ἔχον αὐτὴν οἷόν τέ ἐστιν ὁμοιούμενον τοῖς δεκτοῖς αἰσθητοῖς διά τινος ἀλλοιώσεως τῇ πρὸς αὐτὰ ἐνεργείᾳ κρίνειν αὐτά. ὡς γὰρ ἡ θρεπτικὴ δύναμις τροφῆς ἐδεῖτο πρὸς τὸ ἐνεργεῖν (περὶ γὰρ ταύτην ἡ ἐνέργεια αὐτῆς), οὕτως καὶ ἡ αἰσθητικὴ τῶν αἰσθητῶν. περὶ γὰρ ταῦτα ἡ ἐνέργεια καὶ ταύτης καὶ τούτων ἐστὶν ἀντιληπτική τε καὶ κριτική. διὸ μὴ παρόντων αὐτῶν οὐκ ἐνεργεῖ, ἀλλ' ἔστιν δυνάμει αἴσθησις, ἀνάλογον ἔχουσα τοῖς ἔχουσι μέν τινα ἐπιστήμην, μὴ ἐνεργοῦσι μέντοι κατ' αὐτήν. ὁμοίως γὰρ ἐκεῖνά τε δυνάμει ἐπιστήμονα καὶ ἡ ἀνενέργητος αἴσθησις δυνάμει αἴσθησις. ἐκτὸς δὲ τὰ αἰσθητά, ὅτι ἡ αἴσθησις ἐπὶ χρήσιμόν τι τὴν ἀναφορὰν ἔχει· ἢ γὰρ τοῦ λαβεῖν τι χάριν, ἢ τοῦ φυγεῖν, ἐκτὸς δὲ ταῦτα. ἔστι δὲ τὸ αἰσθητόν τε | καὶ ἡ αἴσθησις πρὸ μὲν τῆς ἐνεργείας ἀνόμοια, ἐν δὲ τῇ 130v ἐνεργείᾳ ὅμοια γίνεται. κατὰ ὁμοίωσιν γάρ τινα γινομένην δι' ἀλλοιώσεως τὸ αἰσθάνεσθαι. τὸ γὰρ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης γινόμενον ἐν τῷ αἰσθητικῷ ἡ κατ' ἐνέργειάν ἐστιν αἴσθησις. εἰ δὲ δι' ἀλλοιώσεως ἡ ὁμοίωσις, δῆλον ὡς πρὸ τῆς ἀλλοιώσεως ἕτερά τε καὶ ἀνόμοια ἦν, ὡς ἐδείχθη καὶ ἐπὶ τῆς τροφῆς. διὸ καὶ εὐλόγως λέγεται ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου πάσχειν τὴν αἴσθησιν, ἔστι δ' ὡς ὑπὸ τοῦ ἀνομοίου. παθοῦσα γάρ ἐστιν ὁμοία. γίνεται δὲ τὸ πάθος τοῦτο ἐν τῷ πρώτῳ τὴν αἰσθητικὴν ψυχὴν ἔχοντι σώματι διά τινων ὀργάνων ὄντων ἄλλης φύσεως τῶν αἰσθητῶν οἷς διακονεῖται τῷ δύναμιν ἔχειν πάσχειν ὑπ' αὐτῶν, ἃ ὅταν πάθῃ εἶτ' ἐκεῖνο τὸ πάθος διαδίδωσιν. ἔστι δὲ ἐκεῖνο ἱδρυμένον περὶ τὴν καρδίαν, ἔνθα καὶ ὅλως τὸ τῆς ψυχῆς ἡγεμονικόν, ὡς προϊὼν ὁ λόγος δείξει. ἐν ᾧ γὰρ μάλιστα τὸ εἶναι τῷ ζῴῳ, ἐν ἐκείνῳ εὔλογον εἶναι καὶ τὸ εἶδος

---

1 τὸ ἔχον αὐτὴν] sie [i. e. die Kraft] δεκτοῖς om. 2 πρὸς αὐτά om. κρίνειν αὐτά] so dass sie über dieselben allgemein urteilt [p mg: in Allgemeinheit] 4—5 περὶ—κριτική] denn an ihnen ist ihr Wirken und durch dieses Wirken ergreift sie und urteilt über dieselben 7—8 ὁμοίως—αἴσθησις] Denn dieses und jenes (dieser und jener) ist einerlei, denn dieser erkennt virtualiter und der Sinn ohne Wirkung ist fürwahr [nur] virtualiter ein Sinn 9—10 ἐκτὸς—ταῦτα om. 12 κατὰ ὁμοίωσιν] [die Wahrnehmung] ist eine Aehnlichkeit 17 πάσχειν] zum Wirken gebracht [var. lect. mit Abbild versehen] werden 17—18 παθοῦσα—ὁμοία] Es wird nämlich zum Wirken gebracht (afficirt?) durch den Umriss (von dem Eindruck?), der nicht ähnlich ist; dann werden sie einander ähnlich 20—21 οἷς διακονεῖται—διαδίδωσιν] durch welche dasjenige, was die Kraft besitzt, den Umriss von ihnen anzunehmen vermag; wenn es den Umriss angenommen hat, dann bringt (?) es selbst den Umriss 22 ἔνθα] weil (weil in ihm??) 23 ἐν ᾧ γὰρ] durch welches ἐν ἐκείνῳ—εἶδος] das muss in ihm die Form sein

---

1 δεκτικοῖς a 3 ἐνεργείᾳ a: ἐνέρ|α V 4 Arabs ἡ ἐνέργεια αὐτῆς καὶ ταύτῃ τούτων legisse videtur 7 τινὸς a 8 ἐκεῖνα .. ἐπιστήμονα] cf. Alexandri de sensu comment. 105,11 ed. Thurot et ib. 422: κατὰ γὰρ ποιὰν σχέσιν .. τῶν ὁρωμένων .. πρὸς τὰ ὁρῶντα. de an. 42,17 εἴ τινες παρεστῶτες τύχοιεν .. τοῦ πεφωτισμένου διαδιδόντος καὶ ἐπὶ ταῦτα τὸ χρῶμα, Ind. s. v. neutrum 10 ἐκτὸς] sc. τὰ ληπτὰ καὶ φευκτά (Diels) 19 τινων] sub ι litura V 20 οἷς διακονεῖται] *quibus* (i. e. sensibilibus) *inserviunt organa, quippe quae ita instituta sint, ut a sensibilibus patiantur.* de διακονεῖσθαι cf. Ind. 21 πάθη a εἶτ' scripsi: εἴτ' Va 22 δείξει] 140r48 sq.

τὸ κυριώτατον. ἐν θερμῷ δὲ καὶ ὑγρῷ τὸ εἶναι μάλιστα τῷ ζῴῳ. τοιοῦτος δὲ ὁ περὶ καρδίαν τόπος. ἀρχὴ γὰρ αὕτη καὶ πηγὴ τοῦ αἵματος, ᾧ τρεφόμεθα, καὶ τοῦ πνεύματος, ταῦτα δὲ ὑγρά τε καὶ θερμά. καὶ τοιοῦτος μὲν ὁ κοινὸς τῆς αἰσθήσεως λόγος. ἐπεὶ δέ ἐστι μέρη τῆς αἰσθήσεως πέντε, καὶ ἔχει ταῦτα πρὸς ἄλληλα ὁμοίως τοῖς τῆς ⟨φυτικῆς⟩ ψυχῆς μέρεσιν τὸ πρῶτόν τε καὶ ὕστερον (ἐν δὲ τοῖς οὕτως ἔχουσιν οὐκ ἦν ὁ κοινὸς λόγος γνωρίμως τὴν τοῦ προκειμένου πράγματος σημαίνων φύσιν, ἀλλ' ἔδει περὶ ἑκάστου αὐτῶν ἰδίᾳ ποιεῖσθαι τὸν λόγον τῷ βουλομένῳ περὶ αὐτῶν οἰκείως τε καὶ προσεχῶς λέγειν), δεῖ καὶ τὸν περὶ αἰσθήσεως λέγοντα ἰδίᾳ περὶ ἑκάστου μέρους εἰπεῖν. μέρη δὲ τῆς αἰσθητικῆς δυνάμεως ἁφή, γεῦσις, ὄσφρησις, ἀκοή, ὅρασις ἢ ὄψις. ὧν ἡ μὲν ἁφὴ τῶν ἄλλων χωρίζεται (ἔστι δὲ τρόπον τινὰ καὶ ἡ γεῦσις ἁφή)· ἔστι γοῦν τινα τῶν ζῴων, ἃ ταύτην τὴν αἴσθησιν ἔχει μόνην. τῶν δὲ ἄλλων τινὰ αἰσθήσεων ἀδύνατον παρεῖναί τινι χωρὶς ἁφῆς. οὐδὲ γὰρ τὴν ἀρχὴν οἷόν τε ζῷον εἶναί τι χωρὶς ταύτης τῆς αἰσθήσεως. μέλλοντας δὲ λέγειν περί τε τῶν αἰσθητικῶν δυνάμεων καὶ περὶ τῶν ἐνεργειῶν τῶν κατ' αὐτάς, ἐπεὶ αἱ ἐνέργειαι αὐτῶν ἑκάστης γίνονται περὶ οἰκεῖόν τι αἰσθητόν, ἀναγκαῖον πρὸς τὴν δήλωσιν αὐτῶν πρῶτον ἐπ' ὀλίγον περὶ τῶν αἰσθητῶν διαλαβεῖν, ἐπεὶ ὁμοιώσει τούτων τὸ αἰσθάνεσθαι.

Καθόλου δὴ τῶν αἰσθητῶν τὰ μὲν καθ' αὑτά ἐστιν αἰσθητά, τὰ δὲ κατὰ συμβεβηκός, καὶ τῶν καθ' αὑτὰ αἰσθητῶν τὰ μὲν ἰδίᾳ ἑκάστῃ αἰσθήσει ἐστὶν αἰσθητά (ἄλλα μὲν γὰρ ὄψεως ἴδια αἰσθητά, ὡς τὰ χρώματα, ἄλλα δὲ ἀκοῆς, ὡς ψόφοι, ἄλλα δὲ ὀσφρήσεως, ὀσμαὶ γάρ, ἄλλα δὲ γεύσεως, χυμοὶ γάρ, ἄλλα δὲ ἁφῆς, αἱ γὰρ ἁπταὶ ἐναντιώσεις, ὧν θερμότητες, ψυχρότητες, ξηρότητες, ὑγρότητες, τραχύτητες, λειότητες· ἔστι γὰρ ἑκάστῃ αἰσθήσει αἰσθητά, ὧν οὐχ οἷόν τε αἰσθέσθαι ἄλλην τινὰ αἴσθησιν καθ'

2 ὁ—τόπος] die Beschaffenheit des Gliedes Herz 3 ᾧ τρεφόμεθα—πνεύματος] wodurch der Geist (Hauch) ernährt wird 5 τῆς ψυχῆς] der vitalen Seele 6 τὸ πρῶτόν τε καὶ ὕστερον] dass nämlich das eine ein erstes, das andere ein letztes ist 7 γνωρίμως] so dass sie erkannt werden τοῦ προκειμένου πράγματος] des Gegenstandes, welcher gemeint ist durch sie [plur. die Dinge?] 8—9 ἀλλ' ἔδει—προσεχῶς λέγειν] sondern derjenige, der darüber in einer Rede reden will, wodurch sie (?) erkannt werden (γνωρίμως?), die Rede über jedes Einzelne trennen muss 11 ὅρασις ἢ ὄψις] und das Gesicht 15 δὲ om. 17—18 πρὸς τὴν δήλωσιν] in einer Belehrung 18—19 ἐπεὶ—αἰσθάνεσθαι] da die Wahrnehmung durch das ihnen ähnlich werden geschieht 20 ἐστιν] wir sagen, dass ist 21—23 τὰ μὲν—ἀκοῆς] teils specifische Sinnesobjekte für je einen der Sinne, z. B. die Sinnesobjecte des Gesichts sind ihm specifisch, wie wenn du sagst, die Farben, die Sinnesobjekte des Gehörs sind andere

5 τέντε a ἔχῃ a φυτικῆς addidi cf. int. hebr. sed potest etiam ζωτικῆς legisse Arabs 6 ἦν cf. 17,1. 28,14 7 λόγον γνώριμος a 8 ἔδη a ἰδία a 10 ἰδία a 11 ἢ a: η V. cur ἢ ὄψις adiunxerit nescio 13 μόνην] η in lit. V 14 οἴονται V 17 ανα-|καῖον i. e. ἀναγκαῖον V 19 ὁμοιώσει scripsi cf. int. hebr. ὁμοίως εἰ Va τι ἐσθάνεσθαι a 20 „περὶ αἰσθητῶν (αἰθητῶν V) τῶν τε καθ' αὑτὰ ὄντων καὶ τῶν κατὰ συμβεβηκός.“ καθόλου δή Va 21 ἰδία ἑκάστη a 22 ἰδιά ἐστιν αἰσθητά a ἄλλα V: ἀλλὰ a (item 23) 25 ξυρότητες a

αὐτά), τὰ δέ τινα τῶν καθ' αὐτὰ αἰσθητῶν ἐστι κοινά. ἔστι δὲ τοιαῦτα, ὅσα τὸ μὲν γνωρίζεσθαι δι' αἰσθήσεως ἔχει, πλείους μέντοι εἰσὶν αὐτῶν αἰσθήσεις διάκονοι. μεθ' ὧν γὰρ τὸ ἑκάστῃ αἰσθήσει ἴδιον αἰσθητὸν ὑποπίπτει, μετὰ τούτων καὶ τὰ αἰσθητήρια τὴν ἐπὶ τὴν αἴσθησιν αὐτῶν ποιεῖται διάδοσιν. τοιαῦτα δέ ἐστι κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος. κατὰ συμβεβηκὸς δὲ αἰσθητὰ τῷ συμβεβηκέναι τι αὐτοῖς αἰσθητὸν αἰσθητὰ καὶ αὐτὰ καλοῦμεν, οἷον εἴ τις τὸν ἄφρον αἰσθητὸν εἶναι λέγοι, διότι συμβέβηκεν αὐτῷ λευκῷ εἶναι, τοῦτο δὲ αἰσθητόν. τὰ μὲν οὖν οὕτως λεγόμενα αἰσθητὰ οὐδὲ αἰσθητὰ τὴν ἀρχήν, ὅτι μηδὲ πάσχει τι ἡ αἴσθησις ὑπ' αὐτῶν ᾗ τοιαῦτα. τῶν δὲ καθ' αὐτὰ αἰσθητῶν περὶ μὲν τὰ κοινὰ συμβαίνει τὰς αἰσθήσεις ἀπατᾶσθαι, ὡς μὴ πάσχειν, ὡς ἔχει τὰ ὑποκείμενα. αὕτη γὰρ αἰσθήσεως διαμαρτία τὸ διά τινα περίστασιν ἀλλοῖον αὐτῇ γίνεσθαι τὸ πάθος καὶ μὴ ὅμοιον τῷ ἀφ' οὗ γίνεται. περὶ δὲ τὰ ἴδια αἰσθητὰ ἀληθεύουσι μάλιστα, ὅταν αὐταῖς φυλάσσηται ταῦτα, μεθ' ὧν εἰσιν αὐτῶν ἀντιληπτικαί. ὧν πρῶτον μὲν ἂν εἴη τὸ ὑγιαίνειν τε καὶ κατὰ φύσιν ἔχειν τὰ αἰσθητήρια, δεύτερον δὲ ἡ θέσις τοῦ αἰσθητοῦ (οὐ γὰρ τοῦ ὄπισθεν κειμένου ἡ ὄψις ἀντιληπτική), τρίτον ἡ τοῦ διαστήματος συμμετρία. οὐ γὰρ ἀπὸ παντὸς διαστήματος τοῖς αἰσθητηρίοις ἡ τῶν αἰσθητῶν ἀντίληψις γίνεται. καὶ ἐπὶ τούτοις δεῖ τὸ μεταξύ, δι' οὗ ἡ τῶν αἰσθητῶν ἀντίληψις, ἐπιτηδείως ἔχειν πρὸς τὸ τοῖς αἰσθητηρίοις διακονεῖσθαι (οὐ γὰρ

---

1 τὰ δέ — κοινά] Einige Sinnesobjecte sind ihrem Wesen nach gemeinschaftlich 3—5 μεθ' ὧν — διάδοσιν] und zwar was die Dinge anbetrifft, bei welchen das einem einzelnen der Sinne specifische Sinnesobject dem Sinne unterliegt, mit diesen [Dingen] gelangen wir zur Wahrnehmung jener (durch jene?) 6—7 κατὰ συμβεβηκὸς — αἰσθητὸν εἶναι λέγοι] Was man Sinnesobjekte per accidens nennt, das sind die Dinge, die nicht nach dem Wesen ihrer Natur Sinnesobjecte sind, aber da sie zufällig trifft und erreicht ein sinnlich wahrnehmbares Ding, so nennen wir auch sie Sinnesobjekte, z. B. dass Jemand von dem Nachdenkenden (Einsichtigen) sagt, er ist ein Sinnesobjekt 10 ᾗ] insofern 11—15 ὡς μὴ πάσχειν — ἀντιληπτικαί] so dass sie nicht einsehen (richtig wahrnehmen), wie ihnen passirt, in dem, was wir vor uns sehen von diesem Buche. Denn der Irrtum kommt vor im Sinn, wenn ihm der Gegenstand ähnlich vorkommt (?), und er irre wird, und der Umriss, welcher in ihm ist (wird), verschieden ist von dem Dinge, von welchem er kommt, wegen seiner Aehnlichkeit. Was die Dinge anbetrifft, welche den Sinnen dienen, so ist er in ihnen insbesondere wahrhaft, so lange die Dinge, mit welchen ihnen die Wahrnehmung stattfindet, erhalten (gegenwärtig?) sind 17 ἡ — συμμετρία] dass die Entfernung zwischen e. u. d. a. kurz sei 19 μεταξύ] zwischen dem Wahrnehmenden und dem Wahrgenommenen 20 τοῖς αἰσθητηρίοις] durch das Sinnesorgan

---

2 αὐτῶν V ex. Vict.: αὐτῷ a 3 ἑκάστη a 5 ἠρεμία ut solet V 6 post αἰσθητὰ plura excidisse interpretatio hebraica docet. fortasse κατὰ συμβεβηκὸς δὲ αἰσθητὰ ⟨τὰ καθ' αὑτὰ οὐκ αἰσθητά, ἃ⟩ τῷ σ͂υμβεβηκέναι τι αὐτοῖς αἰσθητὸν αἰσθητὰ καὶ αὐτὰ καλοῦμεν 7 ἄφρον] ἄφορον a. casu sensibilia Aristoteles nominis appellativi exemplo solet notare [Διάρους υἱός de an. 2,6. 418a21]. latet fortasse Εὔφρον', quod Arabs der Einsichtige vertit 10 ᾗ scripsi: ἣ V: om. a 11 ἀπατᾶσθαι a 12 αὐτῇ a: αὐτη V 14 ἀληθεύουσι sc. αἱ αἰσθήσεις φυλάσσηται V 17 ὄπισθεν a: ὄπιθεν V

οἷόν τε ὁρᾶν μὴ ὄντος τοῦ διαφανοῦς πεφωτισμένου), ἔτι ὑπὸ μηδενὸς ἐνοχλεῖσθαι· οὐ γὰρ οἷόν τε ἀκούειν οὗ τις βούλεται, ὅταν ἐνοχλῶσιν ψόφοι μείζονες.

Τῆς μὲν οὖν ὄψεως ἴδιά ἐστιν αἰσθητὰ τά τε χρώματα καὶ ὅσα φωτὸς οὐχ ὁρώμενα σκότους ὁρᾶται, ἃ οὐκ ἂν εἴη χρώματα, ὅτι μὴ ὑποπίπτει τῷ τοῦ χρώματος ὁρισμῷ, εἴ γε χρῶμά ἐστι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. ἔστι δὲ διαφανῆ μὲν ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ καὶ ὅσα τῶν στερεῶν οἰκείῳ οὐ κέχρηται χρώματι, κινούμενα δέ πως ὑπὸ τῶν χρωμάτων διακονεῖσθαι τῇ ὄψει δύναται πρὸς τὴν ἀντίληψιν αὐτῶν. ταῦτα δὲ κατ' ἐνέργειαν γίνεται διαφανῆ, ὅταν ᾖ πεφωτισμένα. οὕτως γὰρ ἐχόντων αὐτῶν κινητικὰ τὰ χρώματα. ὅτι γὰρ τὸ φῶς καὶ τὰ πεφωτισμένα τῶν διαφανῶν ὑπὸ τῶν χρωμάτων κινεῖταί πως. | δῆλον ἐκ τοῦ πολλοῖς τῶν 131r χρωμάτων τῶν διὰ τοῦ φωτὸς ὁρωμένων ὁμόχροον ὁρᾶν γινόμενον αὐτὸ καὶ συναναφέρον αὐτῷ τὸ χρῶμα. ἀπὸ γὰρ χρυσοῦ χρυσοειδὲς καὶ αὐτὸ φαίνεται καὶ ἀπὸ ἁλουργοῦς πορφυροειδές, καὶ ἀπὸ τῶν χλωρῶν ποῶδες. πολλάκις δὲ ἔστιν ἰδεῖν καὶ τοὺς καταντικρὺ τοίχους τοῦ τοιούτου χρώματος καὶ τὸ ἔδαφος ὥσπερ χρωννύμενα τῷ ἐκείνων χρώματι, καὶ εἴ τινες δὲ παρεστῶτες τύχοιεν, ὡς τοῦ πεφωτισμένου τῷ πάσχειν ἀπ' αὐτῶν διαδιδόντος καὶ ἐπὶ ταῦτα τὸ τοιόνδε χρῶμα. γίνεται δὲ τὸ χρῶμα ἐν τῷ πεφωτισμένῳ τε καὶ φωτὶ οὕτως ὡς καὶ τὸ φῶς ἐν τῷ διαφανεῖ, οὔτε κατὰ ἀπόρροιάν τινα, οὔτε ὡς ὕλης ἢ τοῦ διαφανοῦς δεχομένου τὸ φῶς ἢ τοῦ φωτὸς τὸ χρῶμα (ἀπελθόντων γοῦν τῶν ταῦτα ἐμποιούντων εὐθὺς συναπέρχεται τὸ μὲν χρῶμα ἐκ τοῦ φωτός, εἰ τὰ χρωννύντα αὐτὸ ἀπέλθοι, τὸ

3 μείζονες] addit: als die Töne jenes Dings, das er hören will 7 καὶ om. 12—14 δῆλον—χρῶμα] der Beweis [ist], dass du, wenn du viele der Farben im Lichte siehst, auch von ihren Farben das Licht gefärbt siehst, welches ihre Farben mit sich fortgetragen 14—15 ἀπὸ—ποῶδες] wir sehen nämlich, dass es von der goldenen Farbe zur Farbe des Goldes werde, und von der Farbe der Violen zur Farbe des Purpurs und von den grünen Farben grasartig (grün) 16—19 πολλάκις—χρῶμα] Häufig sehen wir die Wände, welche einer von jenen Farben gegenüberstehen, und die Erde (der Boden) der Pflanze von der (den) Farbe(n) derselben (desselben) gefärbt werden [i. e. Wände und Boden werden gefärbt, jene von der gegenüberstehenden Farbe, dieser von der Farbe der Pflanze. St.], ebenso auch, wenn es sich trifft, dass ein Mensch in der Nähe derselben steht, so wird er von ihren Farben gefärbt, weil das Licht von ihnen afficirt wird und die Farbe, die er empfängt, auch zu diesen Dingen bringt 20—22 οὔτε—χρῶμα] nicht indem Etwas aus beiden sich ergiesst auch nicht in der Weise, dass das Saphirische, indem es das Licht aufnimmt, Hyle für das Licht wird, und das Licht, indem es die Farbe aufnimmt, Hyle für die Farbe [wird] 22—23 ἀπελθόντων—τοῦ φωτός] denn wenn die beiden Wirkenden (Wirkungen?) für diese entweichen, so entweicht auch der Umriss mit ihrem Entweichen, also entweicht auch die Farbe dem Licht

1 ὁρᾷν a 2 οὗ τις βούλεται om. a 8 οἰκείω a κέχρηται χρώματα a 13 αὐτὸ] i. e. τὸ φῶς ὁρᾶν] ante V ι erasum V: ὁρᾷν a τὸ γινόμενον a 14 fortasse αὐτῷ 15 ἀλουργους V: ἀλλουργοῦ a 16 κατ' ἄντικρυ V: κατ' ἀντικρὺ a. plura aut legit aut coniecit Arabs. cf. int. hebr. sed fortasse tantummodo ἐκείνων corruptum ex παρακειμένῳ cf. 153r 16 sq. 17 χρωνούμενα a 19 ἐπὶ ταῦτα] cf. p. 39,8 20 οὕτως] υ et ς in lit. V 22 Arabs legerat εὐθὺς συναπέρχεται ⟨καὶ τὸ πάθος⟩ τὸ μὲν

δὲ φῶς ἐκ τοῦ διαφανοῦς, εἰ τὸ φωτίζον αὐτὸ μὴ παρείη), ἀλλ' ἔστι τις ἡ ἀπ' ἀμφοτέρων κίνησις ἐν τοῖς δεχομένοις αὐτὰ γινομένη κατὰ παρουσίαν τε καὶ ποιὰν σχέσιν, ὡς γίνεται καὶ ἐν τοῖς κατόπτροις τὰ ἐν αὐτοῖς ὁρώμενα. ἔστιν οὖν κατ' ἐνέργειαν, ὥσπερ εἶπον, διαφανῆ τὰ πεφωτισμένα. ὅτε γὰρ δύναται διαφαίνεσθαί τι κατ' ἐνέργειαν δι' αὐτῶν, τότε ἐστὶ κυρίως τε καὶ κατ' ἐνέργειαν διαφανῆ τὴν τελειότητα καὶ τὸ οἰκεῖον εἶδος καθό ἐστι διαφανῆ παρὰ τοῦ φωτὸς λαμβάνοντα. ἔστι γὰρ φῶς ἐνέργεια καὶ τελειότης τοῦ διαφανοῦς καθὸ τοιοῦτον. γίνεται δὲ τόδε τὸ φῶς ἐν τῷ διαφανεῖ παρουσίᾳ πυρὸς ἢ τοῦ θείου σώματος. κατὰ σχέσιν γὰρ τοῦ φωτίζειν δυναμένου πρὸς τὰ φωτίζεσθαι πεφυκότα τὸ φῶς. οὐ γὰρ σῶμα τὸ φῶς. διὸ καὶ ἀχρόνως γίνεται. εἰ δὲ τὸ χρῶμα ἐν φωτὶ ὁρατόν, καὶ τούτου κινητικόν. τῷ γὰρ τὸ κατ' ἐνέργειαν διαφανές, τοῦτο δ' ἐστὶ τὸ πεφωτισμένον, πρῶτον πάσχειν ὑπὸ τοῦ χρώματος (τούτου γὰρ τὸ χρῶμα κινητικόν), τὴν δὲ ὄψιν ὑπὸ τούτου, οὖσαν καὶ αὐτὴν διαφανῆ, τούτῳ ἡ τῶν χρωμάτων αἴσθησίς τε καὶ κρίσις γίνεται, ὡς δέδεικται ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν ἐζητημένοις (ὥστε οὐκ ἂν εἴη χρώματα ὅσα ὁρᾶται σκότους· πῶς δὲ ταῦτα ὁρᾶται καὶ τίνος γινομένου, ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν καὶ αὐτὸ εἴρηται). ἀφ' ἑκάστου γὰρ τῶν ὁρατῶν ἀνακεχρωσμένον τὸ φῶς κατ' εὐθυωρίαν τεταγμένον ταῖς κατὰ τοῦτο οὔσαις ὄψεσιν διαδίδωσιν τὸ ἴδιον πάθος, ὡς ἀπ' ἐκείνων ἔπαθεν

1—3 ἀλλ'—σχέσιν] Vielmehr die Bewegung von beiden fürwahr entsteht in den (durch die) Dingen, welche dieselben aufnehmen durch das Gesehenwerden und durch eine Art von Beziehung   5 ὅτε—δι' αὐτῶν] wenn es nämlich möglich ist, dass irgend eines der Dinge sapphirisch in actu sei   6—7 τὸ—διαφανῆ] die Form und dasjenige, was ihnen, in sofern sie sapphirisch sind, angemessen ist   11 εἰ δὲ] wenn auch   12—16 τῷ γὰρ—ἐζητημένοις] denn die Wahrnehmung der Farben geschicht fürwahr, wenn das Sapphirische in actu ist, und dasjenige, welches schon beleuchtet ist, wird zuerst von der Farbe afficirt, nachdem die Farbe dasjenige ist, was es bewegt. Davon wird das Gesicht afficirt, nachdem das Gesicht ebenfalls beleuchtet worden, wie erläutert werden wird in unserer Forschung über das Gesicht, wie es sei   18 εἴρηται] Futur   18—20 ἀφ' ἑκάστου—ἴδιον πάθος] denn wenn das Licht von jedem einzelnen der sichtbaren Dinge dessen Farbe erhalten hat, und ein Jedes von diesen Beiden gegenübergestellt ist in grader Linie dem Anblicken [adspectus מבטים = v 21 (καὶ αὐταῖς). conf. p. 44,7 מביטים, die Betrachtenden = κόραι, St.], welches im Sehen, so bringt es ihnen den Umriss, welchen es insbesondere von ihnen erhalten hat

1 τις κίνησις ἡ γινομένη] cf. 152r31 καὶ εἴ τις τοιαύτη ἐστὶν ἐν διαφέρουσιν σώμασιν κοινὴ φύσις ἡ τοῦτο δυναμένη   2 ἡ om. a   ἀμφωτέρων a   4 διαφανῆ] δι in lit. V   5 τότὲ (sic) V   ἐνέργειαν αὐτῶν legerat Arabs   8 „πῶς γίνεται τὸ φῶς ἐν τῷ διαφανεῖ.“ γίνεταί δὲ V: γίνεται δὲ a   9 παρουσία a   15 τούτῳ] cf. τῷ γὰρ εὔκρατον μάλιστα εἶναι τὸ σῶμα αὐτῷ (διὰ τοῦτο γὰρ κτλ.), τούτῳ καὶ τὴν ἁφὴν ἀκριβεστάτην ἔχει 132v19 τῷ δὲ ἄλλοτε ἄλλη ταῦτα εἶναι καὶ δύνασθαι πᾶν τὸ ὂν ἢ νοηθῆναι ἢ ὑπὸ αἴσθησιν πεσεῖν, τούτῳ πάντα γίνεται 140r in.   16 ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν ἐζητημένοις] hunc librum exstare in l. qui fertur de anima altero coniecit Fabricius B. G. V, 660, frustula ibi eius servata esse Val. Rose, Arist. Pseud. 274 sq. et hoc verum est de visu secundum Aristotelem agi 152r22—153v13 passim. locus 43,18 citatus ibi non legitur   18 τοῦ a: τὸ V   19 εὐθεωρίαν a   20 οὔσαις a: fortasse βλεπούσαις

αὐτό, λείαις τε οὔσαις καὶ διαφανέσιν καὶ αὐταῖς καὶ προσέτι δυναμέναις δέχεσθαι τὴν ἔμφασιν. ἐπεὶ δὲ τῷ δέξασθαι τὸ χρῶμα τὸ αἰσθητήριον καὶ ὁμοιωθῆναι αὐτῷ πως τὸ ὁρᾶν γίνεται, δεκτικὸν δὲ χρώματος τὸ ἢ μὴ ἔχον οἰκεῖον χρῶμα ἢ τοιοῦτον ὡς ὁρᾶσθαι μόγις (τοιοῦτον δὲ μάλιστα τὸ ὑγρόν τε καὶ ἀόριστον διαφανές, τοιαῦτα δὲ ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ), τὸ αἰσθητήριον, δι' οὗ ἡ τῶν χρωμάτων ἀντίληψις, ἐκ τοιούτων. ἐξ ὕδατος γὰρ ἡ κόρη, ἐπεὶ τοῦτο τῶν ἀορίστων διαφανῶν ἤδη καὶ στέγειν οἷόν τε τὸ πάθος τὸ ὑπὸ τοῦ χρώματος γινόμενον ἐν αὐτῷ διὰ παχύτητά τε καὶ σύστασιν· ὁ γὰρ ἀὴρ οὐ τοιοῦτος. τὸ μὲν οὖν ὁρᾶν γίνεται διὰ τῆς περὶ τὰ ὁρατὰ ἐνεργείας διὰ τῶν ὀμμάτων τῆς ὁρατικῆς δυνάμεως κατὰ ὁμοίωσιν τὴν πρὸς αὐτά. ἡ δὲ ὁρατικὴ δύναμίς ἐστι, καθ' ἣν τὸ ἔχον αὐτὴν οἷόν τέ ἐστιν ἀλλοιούμενον ὑπὸ τῶν ὁρατῶν διὰ τῆς περὶ αὐτὰ ἐνεργείας ἀντιλαμβάνεσθαί τε αὐτῶν καὶ κρίνειν αὐτά. τὸ μὲν οὖν φῶς, ὃ μάλιστά τέ ἐστιν ὁρατὸν καὶ τοῖς ἄλλοις τοῖς ὁρατοῖς αἴτιον τοῦ ὁρᾶσθαι γίνεται, τί ποτέ ἐστιν εἴρηται, ὅτι γὰρ ἐνέργεια τοῦ ἀορίστου διαφανοῦς ᾗ διαφανές. λέγεται δὲ καὶ χρῶμα τοῦ διαφανοῦς ᾗ διαφανές· ὡς γὰρ ἐν τοῖς χρῶμα ἔχουσιν τὸ χρῶμα, οὕτως ἐν τοῖς διαφανέσιν τὸ φῶς γινόμενον ἐν αὐτοῖς καὶ αἴτιον ὃν προειρήκαμεν τρόπον. τὸ δὲ χρῶμα, ὃ κινητικόν ἐστι τοῦ οὕτως διαφανοῦς, ἔστι μὲν καὶ αὐτὸ ἐν διαφανεῖ, ἀλλὰ ἐν ὡρισμένῳ. πᾶν γὰρ σῶμα, ἐπεὶ χρώματός ἐστι δεκτικόν, ἢ μᾶλλον ἢ ἧττον κεκοινώνηκεν τῆς φύσεως ταύτης, ἣν διαφάνειαν καλοῦμεν. αὕτη γὰρ προσεχὴς ὕλη τῶν χρωμάτων· δεῖ γὰρ ὄντος χρώματος εἶναι καὶ τὴν φύσιν τὴν τούτου δεκτικήν. τὸ μὲν οὖν ἀόριστον διαφανές, ὃ καὶ μάλιστά ἐστί τε καὶ καλεῖται διαφανές, τῷ τε τὸ φάος, τουτέστι τὸ φῶς δέχεσθαι καὶ τῷ τοῖς ἄλλοις αἴτιον τοῦ φαίνεσθαι εἶναι ὑπό τινος ἐκτὸς ὄντος χρωματίζεται. τὸ

2 ἔμφασιν] das Sehen 7 ἡ κόρη] das Betrachtende 7 9 ἐπεὶ - σύστασιν] denn das Wasser ist aus dem sapphirischen Unbegrenzten, und wenn in ihm der Umriss entsteht, welcher von der Farbe entsteht, [so geschieht es] wegen seiner Dicke und Festigkeit 9 ὁ γὰρ—τοιοῦτος om. 9—10 τὸ μὲν οὖν—δυνάμεως] Das Sehen geschieht [var. l. P. in mg: mit zwei Gegenständen, indem die Sehkraft die Dinge aufnimmt] mit den Augen durch die Wirkung der Kraft, welche die sichtbaren Dinge sieht 11—13 καθ' ἣν —αὐτά] wodurch der, welcher sie besitzt, vermögend ist, aufzunehmen die Veränderung von den sichtbaren Dingen, indem er auf sie wirkt und sie erreicht und über sie urteilt 16—18 λέγεται—τρόπον om. 20 κεκοινώνηκεν] hat Teil und Gemeinschaft 21—22 προσεχὴς τῶν χρωμάτων] welche den Farben nahe ist 22—25 δεῖ γὰρ χρωματίζεται] denn es ist notwendig, wenn die Farbe sich in dem unbegrenzten Sapphirischen findet, dass auch die Natur, welche die Farbe aufnimmt, sich finde, das ist das, was insbesondere sapphirisch genannt wird. Dies ist selbst so, weil es das Offenbarwerden, ich meine das Licht aufnimmt, und weil es Ursache für das Gesehenwerden der übrigen Dinge vom Auge ist, und von einem von aussen befindlichen Dinge gefärbt wird

1 ουσαις a προς' ἔτι V 2 δὲ τῷ V: δὲ τὸ a 3 αὐτῷ V: αὐτό a 6 τοιούτων m[2] τοιοῦτον m[1] V: τοιούτων a 8 ὑπὸ scripsi cf. int. hebr.: αὐτὸ Va 15 γὰρ] cf. 10,9 16 λέγεται—ᾗ διαφανὲς om. a 17—18 τὸ φῶς—τρόπον] temptavi τὸ φῶς, γινόμενον ἐν αὐτοῖς ⟨ὥσπερ χρῶμα, οὐχ ἁπλῶς μέν, ἀλλὰ κατὰ συμβεβηκός [cf. Al. de sens. 90,2], ἀρχὴ δὲ τοῦ ὁρᾶσθαι τοῖς χρώμασιν αὐτοῖς⟩ καὶ αἴτιον ὃν προειρήκαμεν τρόπον. meliora invenienda sunt 24 τε τὸ om. a

γὰρ φῶς χρῶμά πως γίνεται τοῦ οὕτως διαφανοῦς, ὡς προείρηται, ὃ ἐν αὐτῷ γίνεται παρουσίᾳ τοῦ φωτίζειν αὐτὸ πεφυκότος, τοιοῦτον δὲ τό τε πῦρ καὶ τὸ θεῖον σῶμα. κατὰ γὰρ τὴν τούτων ποιὰν σχέσιν πρὸς αὐτὰ τὸ φῶς γίνεται. διὸ καὶ παρόντων μὲν αὐτῶν πεφώτισται, ἀπελθόντων δὲ συναπέρχεται καὶ τὸ φῶς. ἡ δὲ ἐν τοῖς στερεοῖς διαφάνεια ἐντὸς καὶ μεμιγμένον καὶ συνὸν ἔχει τὸ χρῶμα. διὸ οὐ ποτὲ μὲν πάρεστιν αὐτῇ, ποτὲ δ' οὔ, ὡς τοῖς ἀορίστοις διαφανέσιν τὸ φῶς. ἔστι δὲ τῶν οὕτως διαφανῶν τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον διαφανῆ, ὃ γίνεται ποσῇ μίξει τοῦ ἥκιστα διαφανοῦς σώματος. τοιοῦτον δὲ ἡ γῆ· αὕτη γὰρ ἐν οἷς ἂν μιχθῇ ἐμποδίζει τὴν διαφάνειαν αὐτῶν. παρ' ἣν αἰτίαν καὶ ἡ τῶν χρωμάτων γίνεται διαφορά. τὸ μὲν γὰρ χρῶμα ἐν παντὶ διαφανεῖ γίνεται λευκοῦ τινος παρουσίᾳ, τοιοῦτον γὰρ καὶ τὸ πῦρ, ἀλλὰ ἢ ἐκτὸς ὄντος, ἢ μεμιγμένου αὐτῷ. ἡ δὲ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τοῦ διαφανοῦς διαφορὰ καὶ τοῦ φωτίζειν αὐτὸ πεφυκότος πλείονος ἢ ἐλάττονος μῖξις ποιεῖ τὰς τῶν χρωμάτων διαφοράς. λευκὸν μὲν γὰρ καὶ φωτοειδές, ἐν οἷς καθαρώτερόν τε τὸ διαφανὲς καὶ πλεῖον τὸ χρωννύον, ἔλαττον δὲ καὶ ὑφειμένον, ἤδη δὲ καὶ εἰς τὸ μέλαν ἀποκλῖνον, ἐν οἷς ἐπὶ τοσοῦτον καὶ τὸ διαφανές. ἐν οἷς μέντοι διαφανέσιν τὸ ἐνεργείᾳ αὐτὰ ποιοῦν τοιοῦτον μέμικται, ταῦτα συνὸν ἔχει καὶ οἰκεῖον τὸ χρῶμα, ὃ καὶ κυρίως | καλεῖται χρῶμα. τὸ γὰρ φῶς οὐ τοιοῦτον. 131v καὶ ἔστι τὸ πέρας τῶν ὡρισμένων διαφανῶν καθό ἐστι διαφανῆ τὸ χρῶμα. καθὸ μὲν γὰρ σῶμα, πέρας αὐτῶν ἐπιφάνεια, καθὸ δὲ διαφανῆ, τὸ χρῶμα. διὸ καὶ σύνεστιν τῇ ἐπιφανείᾳ τὸ χρῶμα. ἐν ταύτῃ γὰρ ἡ φαντασία τῶν χρωμάτων. μόνον τε γὰρ τῶν σωμάτων τὸ πέρας φανερόν, καὶ τὸ χρῶμα φανερόν τε καὶ φαινόμενον· καθὸ μὲν γὰρ ὁρατὰ τὰ σώματα, κατὰ τοῦτο καὶ κέχρωσται· κατὰ δὲ τὸ πέρας ὁρατά. διὸ εὐλόγως τὸ χρῶμα λέγεται

1 ὡς προείρηται om. 5 δὲ om. 5–6 ἐντὸς—ἔχει τὸ χρῶμα] die Farbe (das Färbende? מצבע) findet sich von inwendig (P: darin vermengt) 6 οὐ Arabem omisisse vidit int. Hebr. 8 ἥκιστα διαφανοῦς] addit: unter den Körpern 12 ἢ ἐκτὸς—αὐτῷ] von aussen oder von innen oder darin vermengt. alterum „oder“ absurdum esse notat Hebr. δὲ om. 13—14 καὶ τοῦ φωτίζειν—μῖξις] und wenn (ob?) das Gemenge von einem Dinge, dessen Natur es ist, dass es dasselbe beleuchte, und dessen Art, dass es dasselbe beleuchte in grösserem oder geringerem Maasse 15—19 λευκὸν—οὐ τοιοῦτον] Es wird nämlich die Farbe des Dinges weiss [var. lect. des Weissen], leuchtend, wenn das Sapphirische in ihm lauter und rein ist und es mehr Färbendes (?) hat, aber geringer an Weisse und Licht ist, und schwächer von (in?) jenen beiden Gegenständen, zum Schwarzen neigend. Wie (?) das Sapphirische ebenfalls, wenn das, was dasselbe in actu in diesem Maasse macht (und) dieser Gegenstand, der vermengt ist in ihm, wird demselben eine besondere Farbe Und das ist das Ding, welches in Wahrheit Farbe genannt wird, denn das Licht ist nicht so 20 διαφανῆ] begrenzte, sapphirische 23—24 μόνον τε γὰρ—φαινόμενον] die Fläche ist nämlich allein das Ende der Körper und ist auch das Offenbare, was von ihnen gesehen wird 24—25 καθὸ—ὁρατά] om.

3 fortasse αὐτὸ 5 στερᾶιοις (sic) V 6 αὐτῇ m^2, αὐτη m^1 V: αὐτῇ a δὲ a 8 ἥκιστα] ἢ supra lin. V 9 μιχθῇ a 15—17 λευκὸν—διαφανές] Arabs legisse videtur ἔλαττον ⟨κατὰ λευκότητά τε καὶ φῶς⟩ καὶ ὑφειμένον. sed ut int. hebr. ita verba graeca gravius corrupta videntur, velut postulatur v. 16 ⟨τὸ χρωννύον⟩ καὶ τὸ διαφανές 17 ἐν οἷς ἐπὶ] ν οἷ in lit. V 23 μόνον scripsi: μόνων Va 24 σώματα scripsi: χρώματα Va

εἶναι πέρας τοῦ ἐν ὡρισμένῳ διαφανοῦς ᾗ διαφανές. ἥτις δὲ ἐν τῷ πυρὶ καὶ ἐν τοῖς ἄλλοις τοῖς φωτὸς ποιητικοῖς ἐνοῦσα δύναμις αὐτά τε μάλιστα ὁρατὰ ποιεῖ, καὶ τοῖς ἄλλοις χρώμασιν αἴτια τοῦ ὁρᾶσθαι, τῷ φωτὸς αὐτὰ εἶναι ποιητικά, δι' οὗ ὁρᾶται τὰ ὁρώμενα, ταύτην ἡγητέον τὴν φύσιν καὶ ἐν τοῖς ὡρισμένοις διαφανέσιν μεμιγμένην ἢ μᾶλλον ἢ ἔλαττον τῆς τε τῶν χρωμάτων γενέσεως καὶ τῆς διαφορᾶς αὐτοῖς αἰτίαν εἶναι. τοῦ δὲ εἶναι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς, ᾗ διαφανές, σημεῖον τὸ καὶ τῶν διαφανῶν ὅσα μὲν οἰκεῖον πέρας οὐκ ἔχει, τοιαῦτα δὲ τὰ ἀόριστα, ταῦτα δὲ μηδὲ χρῶμα ἔχειν οἰκεῖον. τῷ γὰρ πέρατι τοῦ σώματος σύνεστι καὶ τὸ ὡς διαφανοῦς αὐτοῦ πέρας. ὡς γὰρ ὑπό τινος ἔξωθεν περατοῦταί τε καὶ σχηματίζεται, οὕτω δὲ καὶ χρώννυται. ὧν γὰρ ὡς σωμάτων τὸ πέρας ἀόριστον, τούτων καὶ ὡς διαφανῶν. ὧν δὲ ὥρισται τὸ πέρας διαφανῶν, ταῦτα καὶ χρῶμα οἰκεῖον ἔχει ὡς συνημμένου τοῦ τε πέρατος καὶ τοῦ χρώματος. συνῆπται μὲν οὖν, οὐ μὴν ταὐτόν ἐστιν. τοῦ μὲν γὰρ ἑνὸς κατ' ἀριθμὸν σώματος μία κατ' ἀριθμὸν καὶ ἐπιφάνεια, οὐ μήν, εἰ μία κατ' ἀριθμὸν ἐπιφάνεια, καὶ ἓν χρῶμα κατ' ἀριθμόν. ἐνδέχεται γὰρ τὴν αὐτὴν ἐπιφάνειαν καὶ τὰ ἐναντία ἔχειν ἐν αὐτῇ χρώματα. καὶ τὰ ὁριστὰ διαφανῆ πέρας μὲν ἔχει, ἄν τε ᾖ πεφωτισμένα ἄν τε μή, χρῶμα δὲ ἔχει τότε μόνον, ὅτε καὶ πεφώτισται.

Ἡ δέ γε ἀκοή ἐστι μὲν τῶν κατ' ἐνέργειαν ψόφων ἀντιληπτική τε καὶ κριτική, γίνεται δὲ ὁ κατ' ἐνέργειαν ψόφος ὑπὸ πληγῆς. ἡ δὲ πληγὴ ὑπό τέ τινος καὶ πρός τι καὶ διά τινος. ὑπὸ μέν τινος, τοῦ γὰρ πλήσσοντος· πρός τι δέ, πρὸς γὰρ τὸ πλησσόμενον· διά τινος δέ, δι' οὗ ἡ πληγή. ἡ γὰρ πληγὴ κίνησίς τίς ἐστι κατὰ τόπον· πᾶσα δὲ ἡ τοιαύτη κίνησις διά τινος· ὥστε καὶ ἡ πληγὴ μὲν διά τινος, οὐ μὴν τοῦ τυχόντος. οὔτε γὰρ διὰ στερεοῦ, ὅτι μὴ οἷόν τε διὰ τοιούτου κίνησιν γενέσθαι, οὔτε διὰ κενοῦ,

---

1—4 ἥτις—ὁρώμενα] die Kraft, die sich im Feuer findet und in den übrigen Körpern, welche das Licht bewirken, das sie insbesondere sichtbar macht, sie ist auch die Ursache für die anderen Farben, dass sie gesehen werden, weil sie selbst das Licht bewirkt und das ist dasjenige, wodurch die durch dasselbe gesehenen Dinge gesehen werden 9—11 τῷ γὰρ πέρατι—χρώννυται] weil nämlich ihr Zustand zur Zeit der Aufnahme der Farbe [so ist], wie ihr Zustand während der Aufnahme des Beendetwerdens und der Form von einem Dinge ausserhalb 11 ἀόριστον] unbegrenzt 14—15 τοῦ μὲν γὰρ—ἐπιφάνεια] denn das Sein, in dem es ist, ist Eines der Zahl nach und die Fläche, in welchem sie ist, auch Eines der Zahl nach 17 ὁριστὰ] die nicht begrenzten 20 δέ γε om. ἐστι ἀντιληπτική] ist dasjenige, was wahrnimmt 22—23 ὑπὸ—ἡ πληγή] Das Ding, von welchem das Klopfen kommt, ist das Klopfende. Das Ding, an welches geklopft wird, ist das Angeklopfte. Das Ding, durch welches das Klopfen entsteht, ist dasjenige, durch dessen Vermittlung das Klopfen wird

---

1 ῃ̊ V 3 τῷ m² τὸ m¹ V: τῷ a 6 αἰτίαν scripsi: αἴτια litera post ια eras. V: αἴτια a 7 ῃ̊ V: ἡ a 9–11 γὰρ] cf. 14,19 11 ἀόριστον scripsi cf. int. hebr.: ὁριστόν Va; apertum enim est v. 6—12 (τοῦ δὲ εἶναι—ὡς διαφανῶν) de rebus non terminatis dici, de terminatis 12 sq. (ὧν δὲ ὥρισται κτλ.) 20 „περὶ ἀκοῆς.“ ἡ δέ Va γε om. a. cf. ἡ δέ γε τῶν ἀγαθῶν ὄρεξις 136v28 26 στεραίου (sic) V ὁ (τ supra) μὴ V: τῷ μὴ ex. Vict.: τὸ μὴ a

ὅτι μηδὲ τὴν ἀρχὴν τὸ κενόν ἐστί τι. ἀλλὰ μάλιστα μὲν ἐν ἀέρι καὶ δι' ἀέρος ὁ ψόφος, ἤδη δὲ καὶ δι' ὕδατος. οὔτε τὸ πλῆσσον δὲ οὔτε τὸ πλησσόμενον τὰ τυχόντα ὄντα ψόφον ποιεῖ, ἀλλὰ δεῖ στερεῶν γενέσθαι πληγὴν πρὸς ἄλληλα. οὐ γὰρ πάντα τὰ πλησσόμενα οἷά τε ψοφεῖν. ἡ γοῦν τῶν ἐρίων πρὸς ἄλληλα πληγὴ οὐ ποιεῖ ψόφον. οὐδὲ τὰ στερεὰ δὲ πάντα τὰ ψοφητικὰ ποιεῖ ψόφον. αἱ γοῦν βελόναι οὔτε πλήσσουσαι ἀλλήλας, οὔτε πλησσόμεναι ὑπ' ἀλλήλων ποιοῦσι ψόφον. ὁ γὰρ ἀὴρ ἀθρόος ἀπολαμβανόμενος πρὸς τῷ πλησσομένῳ λείῳ ἢ κοίλῳ ὄντι ὑπὸ τοῦ πλήσσοντος ὄντος καὶ αὐτοῦ τοιούτου ψοφεῖ. τὸ μὲν οὖν λεῖον τυπτόμενον ψόφον ποιεῖ διὰ τὸ ἀθρόον ὑπὸ τοῦ τύπτοντος πρὸς τῷ τοιούτῳ σώματι ἀπολαμβάνεσθαι τὸν ἀέρα. τὸ δὲ κοῖλον, ὅτι ὁ ἀὴρ ἐν τούτοις ἀδυνατῶν ἐξελθεῖν ὁ πρῶτος πληγεὶς διὰ τὴν κοιλότητα τοῦ περιέχοντος αὐτὸν ἄλλοτε πρὸς ἄλλα μέρη αὐτοῦ φερόμενος καὶ ἀνακλώμενός τε καὶ ἐνειλούμενος βιαίως ἐπὶ πολὺ ἠχεῖ, ἅτε διὰ τῶν ἀνακλάσεων πλείους πληγὰς ποιῶν. δεῖ δέ, εἰ μέλλοι ψόφος ἔσεσθαι, τὴν πληγὴν ταχυτέραν γίνεσθαι τῆς τοῦ ἀέρος θρύψεώς τε καὶ χύσεως τοῦ μεταξὺ ὄντος τοῦ τε πλήσσοντος καὶ πλησσομένου. οὕτως γὰρ ὑπομένων καὶ ἀθρόος προσπίπτων τῷ πλησσομένῳ ποιεῖ τὸν ψόφον. ἤδη δὲ καὶ μόνος ὁ ἀὴρ πληγείς πως ψόφον ποιεῖ διὰ τὴν τῆς πληγῆς ταχυτῆτα ὡς στερεὸς ἀντιτυπῶν τῷ πλήσσοντι φθάνοντι διὰ τὴν ταχυτῆτα τῆς πληγῆς τὴν οἰκείαν αὐτοῦ διαίρεσίν τε καὶ θρύψιν, ὡς ἐπὶ τῶν μαστίγων γίνεται. ὡς εἴ γε μὴ γίνοιτο θᾶττον ἡ ἀπὸ τῆς πληγῆς κίνησις τῆς θρύψεως τοῦ ἀέρος, οὐκ ἂν ψόφος γίνοιτο, ὥσπερ οὐδ' ἐὰν εἰς σωρὸν ἄμμου τύπτῃ τις φερόμενον ταχὺ μὴ φθάνων τὴν θρύψιν αὐτοῦ καὶ φθορὰν τῇ πληγῇ.

Καὶ ἡ ἠχὼ δὲ γίνεται κατ' ἀνάκλασιν ἀέρος. ὅταν γὰρ ὁ πληγεὶς

---

2 δὲ] auch 4 γοῦν] denn 5 ἐρίων] der luftigen Körper 5—7 οὐδὲ—ψόφον] om. 7—9 ὁ γὰρ—ψοφεῖ] Denn der Ton wird, wenn die Luft gepresst wird, bei dem Angeklopften, wenn es glatt oder hohl ist, von Luft, [welche] daran klopft, von Seiten des Klopfenden, und [wenn?] das Klopfende ist von derselben Beschaffenheit 10 ἀπολαμβάνεσθαι] gepresst werden 11—14 ὅτι—ποιῶν] weil die Luft, welche in ihm ist, nicht aus der Höhlung des ihn umgebenden hinauskommen kann, und das Erste, wovon es geklopft wird, das Klopfen einem Andern bringt, dann wieder einem Andern, und es sich in ihm nach verschiedenen Seiten bewegt, sich umwendet und umkreist durch Zwang; dies erschafft den Ton bis zu einem längeren Maasse, weil die Klopfungen sich vermehren durch die Umkehrungen 19 ὡς στερεὸς] plötzlich 19—20 τῷ πλήσσοντι —θρύψιν] und das Klopfende geht voran durch die Schnelligkeit des Klopfens, teilt die Luft und bricht sie 21 ὡς εἴ γε] denn wenn 22—24 ὥσπερ—πληγῇ] so wie kein Ton erschaffen wird, wenn ein Mensch sich an Weizenkleie oder etwas anderes lehnt und sie [die Weizenkleie] sich schnell bewegt, denn das Klopfen derselben ist ein Klopfen, welches nicht voranging dem Brechen und Teilen derselben

---

1 ὅτι V: τῷ a εἶναί τι a 3 στεραίων (sic) V 5 στεραιὰ V 6 βελῶναι a 7 οὐ γὰρ a ἀπολαμβανόμενος ἀθρόος a 11 ὅτι V: ἄρα a 13 ἐνιλούμενος a 14 μέλλει a 16 τοῦ πλησσομένου a 17 τῷ πλησσομένῳ] de concavis dicit 19 στεραιος Va ἀντιτυπῶν a 23 ἄμμου a: ἅμμου V τύπτη a 25 „ὅπως ἠχὼ γίνεται." καὶ ἡ Va

ἀὴρ εἷς μείνας ἐνεχθεὶς ἐπί τι στερεὸν ἔχον τινὰ κοιλότητα ὑπὸ τοῦ ἀέρος τοῦ ὄντος ἐν τῷ κοίλῳ τούτῳ ἡνωμένου διὰ τὸ περιέχεσθαι καὶ μὴ θρυπτομένου ἀλλ' ἑνὸς μένοντος ἀπωσθῇ, διὰ τὴν βίαν ἐπὶ ταὐτὸν φέρεται ὅθεν ἠνέχθη. οὐ γὰρ κενῷ τῷ ἀγγείῳ προσπίπτει, ἀλλὰ ἀέρος πλήρει, ὑφ' οὗ διὰ τὸ συνέχεσθαι αὐτὸν ὑπὸ τοῦ ἀγγείου κωλυθεὶς εἰς τὸ πρόσω ἐνεχθῆναι ἢ θρυβῆναι, ἀπωσθεὶς εἰς τοὐπίσω πάλιν φέρεται ταχέως ἅτε εὐκίνητος ὢν τὸν αὐτὸν ἔτι φυλάσσων ψόφον. δύναται δὲ λέγεσθαι καὶ ὅτι οὐχ ὁ πρῶτος ἀὴρ πληγεὶς φέρεται | ἐπὶ τὸ κοῖλον σῶμα καὶ τὸν ἐν 132r τούτῳ ἀπειλημμένον ἀέρα καὶ πάλιν ἀπὸ τούτων εἰς ταὐτὸν ἀνακάμπτει (οὕτως γὰρ ἀντιπερίστασις ἂν γίνοιτο διπλῆ τοῦ μετὰ τὸν πεπληγότα ἀέρα καὶ φερόμενον αὐτῷ ἐπὶ τὸν κοῖλον τόπον ὑποχωροῦντος καὶ πάλιν ἀναστρέφοντος), ἀλλ' ὁ μὲν πρῶτος ἀὴρ πληγεὶς διὰ τὸ τάχος τῆς πληγῆς συνεχὴς καὶ ἀδιαίρετος μείνας τὸν μετ' αὐτὸν σχηματίζοι ἂν τῇ ὁμοίᾳ πληγῇ, καὶ οὗτος τὸν μετ' αὐτόν, καὶ οὕτως κατὰ συνέχειαν μέχρι τοῦ ἀγγείου ἡ πρόοδος τοῦ ψόφου κατὰ διάδοσιν γίνοιτ' ἄν, ὁ δὲ τελευταῖος ὁ πρὸς τῷ ἀγγείῳ πληγείς τε καὶ σχηματισθεὶς κωλυθεὶς εἰς τὸ πρόσω διαδοῦναι τὴν πληγὴν ὑπὸ τοῦ ἀγγείου, ἀνάπαλιν ὑπὸ τῆς τοῦ στερεοῦ ἀντιτυπίας ἀπωσθείς, ὡς σφαῖρα ἀπὸ στερεοῦ τινος, τὸν ἐπὶ τάδε αὐτοῦ πλήσσοι τε ἂν καὶ σχηματίζοι πάλιν, καὶ οὗτος πάλιν τὸν πρὸ αὐτοῦ, καὶ οὕτως ἡ διάδοσις ἐπὶ ταὐτὰ γίνεσθαι τῆς τε πληγῆς καὶ τοῦ ψόφου ὅθεν ἤρξατο τὴν ἀρχήν, ὥσπερ καὶ ἐπὶ τῶν κατόπτρων τὸ ὁρᾶν αὐτοὺς γίνεται. ἐπεὶ δὲ ὁ ἀὴρ δοκεῖ κενὸς εἶναι, οὗτος δὲ τοῦ ἀκούειν αἴτιος (διὰ γὰρ ἀέρος τὸ

7 δύναται δὲ λέγεσθαι] man könnte aber auch sagen 9 εἰς ταὐτὸν] zu ein und demselben Orte, an welchem sie früher gewesen ist ἀνακάμπτει] sich wieder wendet und zurückkehrt 10—11 οὕτως — ἀναστρέφοντος] denn so würde die Luft insbesondere, welche nach der geklopften Luft kommt, eine Trennung von ihrem Orte zweimal erleiden, ich meine [1] in ihrer Bewegung nach der Seite des hohlen Ortes, während sie (er?) von jener Luft unterdrückt (gepresst?) wird, und [2] in ihrer Rückkehr und Umkehr zu dem Orte, an welchem sie gewesen ist 13 τῇ ὁμοίᾳ πληγῇ] nach der Form seines Klopfens 15—16 ὁ δὲ τελευταῖος — πληγείς] wenn zu der letzten Luft gelangt ist, was sich von jenem Klopfen zum Gefäss hinzieht und jene Form empfangen hat 19—21 καὶ οὕτως — γίνεται] und es hört dieser Zusammenhang und das Hervorbringen rückwärts, welches vorfällt im Klopfen und im Tone, nicht auf, bis es endet an ein und demselben Ort, von welchem es angefangen hat, damals vom Anfange, wie das geschieht in den Spiegeln, wenn wir sie ansehen

1 στερεὸν] ε post ρ in lit. V 3 ἑνὸς] fortasse ἐντος ἀπωσθῇ Va 4 ἠνέχθη a 5 αὐτὸν V ex. Vict.: αὐτῶν a 6 τουπίσῳ a 7 λέγεσθαι scripsi: γίνεσθαι Va 8 ὅτι V: ἄρα a 9 ἀπαλληγμένον a ταὐτὸν Usenerus, ut v. 3: αὐτὸν Va 10—12 de antiperistasi cf. quod de simili ἀντιπεριστάσεως genere dicitur 148v48 sq. τοῦ ὑποχωροῦντος καὶ πάλιν ἀναστρέφοντος] scil. ἀέρος, quod aut legit aut supplevit Arabs. διπλῆ] bis enim, si echo fit, locum mutant ὁ ἀὴρ πεπληγὼς καὶ φερόμενος et ὁ ἀὴρ ὑποχωρῶν. αὐτῷ] αὐτὸν Usenerus, quod ego sic intellego ut prior explicatio, secundum quam aer ipse ad concava fertur, opponatur alteri, ex qua loco non movetur. hanc alteram qui sequitur, is ἀντιπερίστασιν non admittet 12 πάχος a 20 ταὐτὰ m² ταυτα m¹ V: ταὐτὰ a γίνεσθαι] fort. γίνοιτ' ἄν. cf. v. 14 καὶ οὕτως κατὰ συνέχειαν ἡ πρόοδος κατὰ διάδοσιν γίνοιτ' ἄν 21 fortasse αὐτοὺς'

ἀκούειν, ὁ γὰρ ἐν τοῖς ὠσὶν ἀὴρ ἐγκατῳκοδομημένος ὄργανον τοῦ ἀκούειν), διὰ ταύτην τὴν αἰτίαν εὐλόγως δοκεῖ λέγεσθαι εὖ ὑπό τινων τὸ ἀκούειν ἡμᾶς τῷ κενῷ. ἡ δὲ φωνὴ εἶδός ἐστι ψόφου. ὁ γὰρ ὑπὸ τοῦ ζῴου ὡς ζῴου γινόμενος ψόφος φωνή· ἔστι δὲ ὑπὸ ζῴου ὡς ὑπὸ ζῴου γινόμενα τὰ κατὰ φαντασίαν τινὰ καὶ καθ' ὁρμὴν γινόμενα. τῶν γὰρ ἀψύχων ὅσα φωνεῖν λέγεται, κατὰ μεταφορὰν λέγεται. ἐπεὶ γὰρ τὸ μέλος καὶ ἡ διάλεκτος ἐμψύχου ψόφοι, ὅσα δοκεῖ ταῦτα μιμεῖσθαι, ὡς αὐλοί τε καὶ κιθάραι καὶ σάλπιγγες καὶ λύραι, ταῦτα λέγεται διὰ τοῦτο φωνεῖν. φωνὴν δὲ προΐεται τῶν ζῴων τὰ ἀναπνέοντα. ἔστι γὰρ ἡ φωνὴ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τοῖς φωνητικοῖς ὀργάνοις δυνάμεως ψυχικῆς διὰ τούτων γινομένη πρὸς τὴν καλουμένην ἀρτηρίαν κατὰ φαντασίαν τινά. τῷ γὰρ ἀναπνεομένῳ ἀέρι καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, πρός τε τὴν ἔμψυξιν τοῦ πλεονάζοντος θερμοῦ περί τε τὸν πλεύμονα καὶ τὴν καρδίαν καὶ πρὸς τὴν φωνήν, ὥσπερ γε καὶ τῇ γλώττῃ πρός τε τὴν χυμῶν διάκρισιν καὶ πρὸς τὴν διάλεκτον. αὕτη γὰρ τὸ φωνητικὸν ὄργανον, δι' οὗ ἡ ψυχὴ πρὸς τὴν ἀρτηρίαν καὶ τὸν ἐν ταύτῃ ἀέρα τὸν ἀναπνεόμενον ἀέρα πλήσσει. καὶ ὥσπερ ἐπὶ τῆς γλώττης τὸ μὲν κατὰ τὴν γεῦσίν τε καὶ τὴν τῶν χυμῶν διάκρισιν ἔργον αὐτῆς ἀναγκαῖον τῷ ἔχοντι αὐτήν, ἐπεὶ μή ἐστι ζῆν μὴ τρεφομένοις, τὸ δὲ κατὰ τὴν ἑρμηνείαν τοῦ βελτίονός τε καὶ τοῦ εὖ ἕνεκεν, οὕτως καὶ ἐπὶ τοῦ ἀναπνεομένου πνεύματος τὸ μὲν πρὸς τὴν τοῦ ἐντὸς θερμοῦ κατάψυξιν γινόμενον ἔργον δι' αὐτοῦ ἀναγκαῖον (ἡ γὰρ ἔμψυξις ἡ ἀπ' αὐτοῦ γινομένη τοῖς περὶ τὸν θώρακα μέρεσιν εἰς τὸ εἶναι συντελεῖ τοῖς ἀναπνέουσιν), τὸ δὲ πρὸς τὴν φωνὴν τοῦ εὖ χάριν. ὁ γὰρ λόγος καὶ ἡ μήνυσις τῶν τῆς ψυχῆς νοημάτων, γινόμενα διὰ τούτων, εἰς τὴν ἀρίστην συντελεῖ τῷ ἀνθρώπῳ κοινωνίαν. ὅτι δὲ τῷ ἀναπνεομένῳ ἀέρι χρῆται τὰ

1 ὁ—ἀὴρ] die Luft, welche in den Ohren ist ἐγκατῳκοδομημένος om. 7 ταῦτα] diese Töne 8 λέγεται] wird gesagt werden 9—11 ἔστι γὰρ—φαντασίαν τινά] denn die Stimme ist fürwahr das Klopfen der gehauchten Luft durch die seelische Kraft, welche in dem Organ des Tones entsteht durch die Organe, welche genannt werden die Röhren der Lunge durch eine Art von Vorstellung 13 τὸν πλεύμονα] die Seiten der Lunge 14 καὶ om. 15—16 πρὸς—ἀέρα] an die gewehte Luft in den Röhren der Lunge und der Luft, welche in ihr ist (sic) 17—18 κατὰ—διάκρισιν] im Bereich der Geschmäcke und der Erkennung der Speisen 19 τοῦ βελτίονός—ἕνεκεν] das Vorzüglichste und am meisten Lobenswerte 20 τοῦ ἐντὸς θερμοῦ] elementare Wärme 21—23 ἡ γὰρ—ἀναπνέουσιν] das Wehen des Windes nämlich aus den Gliedern, welche in der Brust sind, und die Abkühlung, welche ihnen daraus zukömmt, beider bedarf das, was im Leibe atmet [für?] sein Leben 23 τὸ—χάριν] jedoch die Wirkung, welche von ihm im Bereich des Tones und der Stimme ausgeht, geschieht für das Vorzüglichere 24 τούτων] dieselbe [scil. Zunge] 24—25 εἰς τὴν—κοινωνίαν] davon erhält der Mensch einen Nutzen im Bereich seiner Genossenschaft mit Andern, so dass sie von der besten Beschaffenheit sei

1 ὠσὶν γρ. ex. Vict.: σώμασιν Va ἐγκατωκιδομημένος a 8 λῦραι a δὲ om. 13 πλεύμονα scripsi: πνεύμονα a. hoc loco et 145v19 utrum πλεύμων an πνεύμων V dubium, πλεύμων certe 141r35

φωνοῦντα δῆλον ἐκ τοῦ μήτ' ἀναπνέοντας αὐτὸν μήτε ἐκπνέοντας φωνεῖν δύνασθαι, ἀλλὰ μόνον κατέχοντας. οὐ γὰρ ἐκπνεόμενος πλήσσεται, ἀλλὰ πλησσόμενος κατὰ μόρια ἐκπνέεται. διὸ καὶ μετὰ τὴν φωνὴν ἀναπνέομεν ἀλλ' οὐκ ἐκπνέομεν. οὐχ ἡγητέον δὲ πάντα ψόφον ὑπὸ ζῴου γινόμενον φωνὴν εἶναι, ἀλλὰ μόνον τὸν οὕτως γινόμενον ὡς προείρηται. διὰ τοῦτο γὰρ οὐδὲ ὁ τοῦ βήττοντος ψόφος φωνή· καίτοι πληγὴ καὶ αὐτός ἐστιν ὑπὸ τῶν φωνητικῶν ὀργάνων γινομένη· ἀλλ' ὅτι μὴ κατὰ φαντασίαν μηδὲ καθ' ὁρμὴν γίνεται, οὐκ ἔστι φωνή. τὸ μὲν οὖν ἀκουστὸν τοιοῦτον, τὸ δὲ ἀκούειν ἐν τῇ περὶ τοῦτο ἐνεργείᾳ τῆς ἀκουστικῆς ψυχῆς. ἡ δὲ ἀκουστικὴ ψυχὴ δύναμις, καθ' ἣν τὸ ἔχον αὐτὴν ἀντιληπτικόν τε καὶ κριτικόν ἐστι τῶν ἀκουστῶν διά τινος ἀλλοιώσεως γινομένης ἐν αὐτῷ. γίνεται δὲ τὸ ἀκούειν τόνδε τὸν τρόπον· ὁ ἐναπειλημμένος τε καὶ ὥς φησιν Ἀριστοτέλης ἐγκατῳκοδομημένος τοῖς ὠσὶν ἀὴρ κινούμενος ὑπὸ τοῦ ἐπεισιόντος ἔξωθεν καὶ ὑπὸ τῆς πληγῆς ἐσχηματισμένου πως ἀέρος, ἄθρυπτος μένων διὰ τὸ πάντοθεν περιέχεσθαι, καὶ διὰ τοῦτο ἀκριβῶς δεχόμενος τὰ τοῦ κινοῦντος αὐτὸν σχήματα, παραπέμπων ταῦτα μέχρι τοῦ πρώτου αἰσθητικοῦ διὰ τῶν ἀπ' αὐτοῦ μέχρι τῶν ὤτων διατεινόντων πόρων, αἴτιος γίνεται τῇ ἐν ἐκείνῳ αἰσθητικῇ ψυχῇ τῆς ἀντιλήψεώς τε καὶ κρίσεως τῶν ψόφων. συναισθάνεται δὲ τὸ πρῶτον αἰσθητικὸν καὶ τοῦ διαστήματος μετροῦν αὐτὸ τῇ σφοδρότητί τε καὶ τῇ ἀνέσει τῆς πληγῆς. εἰ μὲν γὰρ σφοδρὰ ἡ ἐν τῷ ἀέρι τῷ ἐν τοῖς ὠσὶν ἡ πληγὴ ὑπὸ τοῦ ἐκτὸς γίνοιτο, ὡς ἐγγύς που τῆς πληγῆς γεγονυίας συνῄσθετο, εἰ δὲ ἠρεμαία, ὡς πόρρω. καὶ ἔστιν ἡ τοῦ διαστήματος ἀντίληψις τῇ ἀκοῇ γινομένη διὰ τῆς σφοδρᾶς ἢ ἠρεμαίας τοῦ ἐν τοῖς ὠσὶν ἀπειλημμένου ἀέρος πληγῆς. ὁμοίως δὲ τῇ ἀκοῇ καὶ τὴν ὄψιν ὑποληπτέον τοῦ διαστήματος ἀντιλαμβάνεσθαι. τὰ μὲν γὰρ ἐναργέστερον ὁρώμενα ἐγγυτέρω αὐτῇ εἶναι φαίνεται, τὰ δὲ ἀμαυρότερον πορρωτέρω. ὃ πάθος τῆς ὄψεως τηρήσαντες οἱ γραφεῖς τῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ σχημάτων τὰ μὲν ὡς ἐγγυτέρω ὄντα φαίνεσθαι παρασκευάζουσιν αὐτῇ, τὰ δ' ὡς πορρωτέρω τῇ τῶν χρωμάτων παρ' ἄλληλα θέσει τῶν τε μᾶλλον κι-

2—4 οὐ γὰρ—ἐκπνέομεν om. 8—9 τὸ δὲ ἀκούειν—ἀκουστικῆς ψυχῆς] Das Hören ist eine Wirkung des Hörenden in dem (durch das) Gehörten 9—11 ἡ δὲ—ἀκουστῶν] Das Gehör ist eine Kraft der Seele, durch welche in demjenigen, der sie besitzt, eine Wahrnehmung [entsteht], welche das Hörbare erkennt 11—12 γίνεται—τρόπον] das Gehör ist demnach 14 ἄθρυπτος μένων] fest geworden (?) und nicht gebrochen 22 καὶ] also 27 πάθος τῆς ὄψεως] Ursache, [durch] welche das Gesicht wahrnimmt 27—28 οἱ γραφεῖς—παρασκευάζουσιν] die Maler stützen sich auf die Formen, welche in einer und derselben Fläche sind, und trafen eine Bereitung in einer Weise 29 τῶν χρωμάτων] ihre Farben 29—51,1 τῶν—ἧττον] was von ihnen stärker an Bewegung ist für das Sehen und was weniger an Bewegung ist für dasselbe

3 πλησσόμενοι a 10 ψυχῆς legit Arabs 12 ἐν ἀπειλημμένος V 13 ἐπισιόντος a 20 τῆς supra lin. V ἡ ἐν τῷ κτλ. ἡ πληγή] cf. τὸ τῆς ψυχῆς τῆς ἐν τοῖς ζῴοις τὸ ἡγεμονικόν 141r7 ἡ ἐν τῷ μήλῳ ἡ κατὰ τὴν ὀσμὴν ποιότης 147r15 22 συνήσθετο a ἠρεμαία ut solet V 23 γινομένῃ a 24 ὁμοίως κτλ.] hunc locum de visu disputans omisit, at cf. 153r46 sq. 27 σχημάτων scripsi et legit Arabs: χρωμάτων Va 29 παράλληλα V

νούντων καὶ τῶν ἧττον τὴν τοιαύτην ἀπάτην παρασκευάζοντες αὐτῇ· ἐπεὶ γὰρ τὰ ἐγγυτέρω ὄντα μᾶλλον ὁρᾷ τῶν ἀπὸ πλείονος διαστήματος, καὶ ἃ μᾶλλον ὁρᾷ ταῦτα ἐγγυτέρω εἶναι φαντάζεται πρὸς τὴν ἀντιστροφὴν οὐ προσηκόντως γινομένην ἀπατωμένη. |

Ὁμοίως δὲ ταύταις καὶ ἡ ὄσφρησις ἀντιλαμβάνοιτ' ἂν τοῦ διαστήμα- 132v τος. ἔστι δὲ ἡ ὄσφρησις ἀντίληψίς τε καὶ κρίσις τῶν ὀσφραντῶν. ὀσφραντὰ δὲ αἱ ὀσμαί. οὐχ ὁμοίως δὲ γνώριμα ἡμῖν τὰ ὀσφραντὰ τοῖς τε ἀκουστοῖς καὶ τοῖς ὁρατοῖς, καὶ πολὺ πλέον ἔτι τοῖς ἁπτοῖς τε καὶ γευστοῖς. τὸ δ' αἴτιον, ὅτι μηδὲ τὴν αἴσθησιν ταύτην ἔχομεν ἀκριβῆ. φαυλότερον γὰρ πολλῶν ζῴων ἄνθρωπος ὀσμᾶται. μόνων γοῦν αἰσθάνεται τῶν λυπηρῶν τε καὶ ἡδέων ὀσμῶν οὐχ οὕτως ὁρῶν οὐδὲ ἀκούων. ἐπὶ γὰρ ἐκείνων οὐ τῶν ἡδέων τε καὶ λυπηρῶν μόνων ἡ ἀντίληψις. ἀκούομεν γὰρ καὶ ὁρῶμεν καὶ τὰ μήτε λυπηρὰ μήτε ἡδέα. ἔοικε μὲν γὰρ τὰ ὀσφραντὰ ὁμοίως ἔχειν τοῖς γευστοῖς, ὡς εἶναι τὰ εἴδη τῶν ὀσφραντῶν ἀνάλογον τοῖς τῶν χυμῶν εἴδεσιν. ἀπ' ἐκείνων γάρ πως καὶ ἡ γένεσις αὐτοῖς, εἴ γέ ἐστιν ὁ μὲν χυμός, ὥς φησιν ἐν τῷ περὶ αἰσθήσεών τε καὶ αἰσθητῶν Ἀριστοτέλης, τὸ ἐν τῷ ὕδατι γινόμενον πάθος ὑπὸ τοῦ γεώδους ξηροῦ διά τινος θερμότητός τε καὶ πέψεως τῆς κατὰ δύναμιν γεύσεως μεταβλητικὸν εἰς ἐνέργειαν, ὀσφραντὸν δὲ τὸ ἐν τῷ ὑγρῷ γινόμενον πάθος ὑπὸ τῆς ἐγχύμου ξηρότητος. τὸ γὰρ δίοσμον πλυντικὸν ὂν καὶ ῥυπτικὸν ἐγχύμου ξηρότητος, ὅταν τοῦτο δέξηται τὸ πάθος, ὀσφραντὸν κατ' ἐνέργειαν γίνεται.' ἀνάλογον μὲν οὖν διὰ τοῦτο τῷ χυμῷ τὸ ὀσφραντόν. διὸ καὶ ὡς τῶν χυμῶν οἱ μέν εἰσι γλυκεῖς, οἱ δὲ πικροί, καὶ οἱ μὲν λιπαροί, οἱ δὲ ἁλμυροί, καὶ πρὸς τούτοις οἱ μὲν αὐστηροί, οἱ δὲ ὀξεῖς, οἱ δὲ στρυφνοί, οἱ δὲ δριμεῖς, οὕτως δὲ καὶ αἱ τῶν ὀσφραντῶν ἔχουσι διαφοραί. ἀλλ' ἐπεὶ τὴν μὲν γεῦσιν ἀκριβεστάτην αἴσθησιν ἔχομεν, ὅτι καὶ τὴν ἁφήν (ἁφὴ γάρ τις καὶ ἡ γεῦσις· κατὰ γὰρ

---

1 τὴν τοιαύτην ἀπάτην] eine Vorstellung, wie jene Täuschungen 2 μᾶλλον ὁρᾷ] für wahrer hält 2—3 ἃ μᾶλλον ὁρᾷ] dessen Sehen ihm wahrhafter ist 3—4 πρὸς τὴν —ἀπατωμένη] Dieser Irrtum entsteht in ihm, weil er das Umkehren an dem nicht Notwendigen (in ungebührlicher Weise) vornimmt 8 τε καὶ γευστοῖς om. 9 ὅτι—ἀκριβῆ] dass dieser Sinn nicht [ist] wahrhaft in uns 10 λυπηρῶν] die schädlichen 12 γὰρ om. 16 ἐν τῷ—αἰσθητῶν] im Buche von den Sinnen 19 ἐγχύμου] geschmacklos 19—20 τὸ γὰρ δίοσμον--ξηρότητος om. 20—21 τοῦτο .. τὸ πάθος] die Spuren des Geruches 22 καὶ om. 24 αὐστηροί] zusammenziehend (herb) ὀξεῖς] sauer στρυφνοί] gallig δριμεῖς] scharf (herb) 25 διαφοραί] Arten 25—26 ἀλλ' ἐπεὶ—ἔχομεν] Jedoch im Bereich des Geschmackes ist unser Sinn im höchsten Grade der Gesundheit [cf. 52,7 κατὰ—ἀκριβείας was den Geruch anbetrifft, so sind wir verkürzt]

---

3 ἐγγυτέρῳ V 5 „περὶ ὀσφρήσεως." ὁμοίως δὲ Va 7 γνιώρημα V 9 ὅτι V: ἄρα a 10 ὁ ἄνθρωπος a 16 αἰσθήσεώς a ἐν τῷ κτλ.] Ar. de sens. 4,441b19 20 πλυτικὸν a (et 53,5) 24 δριμεῖς m² in lit. πικροί ut videtur m¹ V: πικροὶ a cf. 52,10 25 ἐπεὶ μὲν τὴν γεῦσιν m¹ m² corr. τὴν μὲν V: ἐπεὶ τὴν μὲν γεῦσιν a ἐπεὶ non legit int. hebr. fortasse ἀλλ' ἐκείνην μὲν [τὴν γεῦσιν] sive ἀλλ' ἐκείνην μέν, τὴν γεῦσιν 26 ὅτι V: ἄρα a ἁφὴ γάρ τις κτλ.] parenthesis parenthesim continet 52,2—4 διὰ τοῦτο—τελειοτέρα

τὴν ἁφὴν διαφερόντως ὁ ἄνθρωπος αἰσθητικός· τῷ γὰρ εὔκρατον μάλιστα εἶναι τὸ σῶμα αὐτῷ, διὰ τοῦτο γὰρ καὶ ἡ ἐντελέχειά τε καὶ ἡ τελειότης αὐτοῦ, ὅπερ ἐστὶν ἡ ψυχή, τῶν ἄλλων ἁπάντων ζῴων ἀμείνων τε καὶ τελειοτέρα, τούτῳ καὶ τὴν ἁφὴν ἀκριβεστάτην ἔχει γινομένην σχεδὸν διὰ παντὸς τοῦ σώματος τοῦ τὴν προειρημένην εὐκρασίαν ἔχοντος· διὸ καὶ σημεῖον τοῖς ἀνθρώποις εὐφυΐας εἶναι δοκεῖ ἡ ἐκ φύσεως κατὰ τὴν ἁφὴν εὐαισθησία), κατὰ δὲ τὴν ὄσφρησιν ἀπολειπόμεθα τῆς ἀκριβείας. οὔτε γὰρ πάσας τῶν ὀσφρητῶν τὰς διαφορὰς γνωρίζομεν οὔτε ἀπὸ τῆς οἰκείας αὐτὰ διαφορᾶς ὀνομάζομεν, ἀλλὰ συνάπτοντες αὐτὰς τοῖς χυμοῖς τὰς μὲν τῶν γλυκέων χυμῶν ὀσμὰς καὶ αὐτὰς γλυκείας λέγομεν, τὰς δὲ τῶν δριμέων δριμείας. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ δὲ ἥ τε ἀκοὴ καὶ ἡ ὄψις οὐ μόνον ἡ μὲν τῶν ἀκουστῶν ἡ δὲ τῶν ὁρατῶν κριτικαί, ἀλλὰ καὶ τῶν ἀντικειμένων αὐταῖς στερήσεων (ἀκοῆς γὰρ τὸ ἀνήκουστον οὕτως κρῖναι καὶ ὄψεως τὸ ἀόρατον· τοῦ γὰρ σκότους οὐκ ἄλλη τις ἢ ὄψις ἐστὶ κριτική). οὕτως δὲ καὶ ἡ ὄσφρησις τοῦ τε ὀσφρητοῦ καὶ ἀνοσφρήτου τοῦ κατὰ στέρησιν. πᾶσα γὰρ αἴσθησις κριτικὴ καὶ τῆς ἀντικειμένης τῷ αἰσθητῷ αὐτῷ στερήσεως· ἔχει δὲ καὶ τοῦτο ἡ ὄσφρησις παραπλήσιον τῇ τε ὄψει καὶ τῇ ἀκοῇ τὸ διὰ μέσου τε καὶ ἐκτὸς ὄντος γίνεσθαι ἀέρος ἢ ὕδατος, ἅ ἐστιν, ὥσπερ διαφανῆ καὶ δίηχα, οὕτως δὲ καὶ δίοσμα κατὰ δύναμίν τινα οἰκείαν οὖσαν ἐν αὐτοῖς ἑκάστῳ αὐτῶν διακονούμενα. καὶ γὰρ τὰ ἔνυδρα ὀσμῆς αἰσθάνεται· πόρρωθεν γοῦν ἐπὶ τὴν τροφὴν ἀπαντᾷ ὕποσμα γινόμενα. γίνεται δὲ τοῖς μὲν ἀνθρώποις τε καὶ ὅλως τοῖς ἀναπνέουσιν διὰ τοῦ ἀναπνεῖν ἡ ὄσφρησις, διὰ τῆς ἀναπνοῆς ἀποκαλυπτομένου καὶ ἀνευρυνομένου τοῦ τῆς ὀσφρήσεως ὀργάνου, τέως ἐπικεκαλυμμένου τε καὶ μεμυκότος, ὥσπερ ἐπὶ τῶν ὀφθαλμῶν γίνεται τοῖς ἔχουσι βλέφαρα. τοῖς δὲ μὴ ἀναπνέουσιν οὐχ οὕτω γίνεται τῷ τοὺς ὀσφρητικοὺς πόρους ἔχειν αὐτὰ

---

2 εἶναι] addit: unter den Leibern 2—3 ἡ ἐντελέχεια — αὐτοῦ] seine Vollkommenheit d. i. das, was Entelechie genannt wird 4—5 σχεδὸν—ἔχοντος] weil dieser Sinn den grössten Teil der Haut seines Leibes, welcher von der früher bezeichneten Gleichmässigkeit ist, umfasst 5—6 διό—εὐαισθησία] daher glauben wir, dass es ein Zeichen ist (?) desjenigen unter den Menschen, der mit einer vorzüglichen Natur begabt ist, dass er von Natur einen feinen Tastsinn habe 7 ἀπολειπόμεθα] wir die Genossenschaft der Menschen sind im höchsten Grade verkürzt ἀκριβείας] Gesundheit 12—13 καὶ—στερήσεων] und die Negation, die ihnen entgegengesetzt ist 13 οὕτως om. 15 τοῦ κατὰ στέρησιν om. 17 ὄσφρησις] Geschmack 18 διὰ—ὄντος] vermittelst eines Dinges von aussen 19—20 οὕτως—διακονούμενα] so tragen sie auch den Geruch; sie dienen je einem von diesen Sinnen durch eine Kraft in ihnen, angemessen je einem derselben 20 αὐτῶν] von diesen Sinnen 20—21 καὶ γὰρ—ὕποσμα γινόμενα] Denn das Thier, dessen Aufenthalt im Wasser, wenn es auch von der Entfernung nicht wahrnimmt, so riecht es auf alle Fälle, denn wir finden, dass es sich wendet nach der Seite der Speise, bis es sie findet

---

6 εὐεσθησία a 10 δρυμέων δρυμείας a 13 κρῖναι a: κρίναι V ut solet (κρίνον) 14 σκότους V: σκόπους a 25 ἔχουσι] σι supra lin. V 26 ὀσφραντικοὺς a

ἀσκεπεῖς, ὡς ἐπὶ τῶν ὀφθαλμῶν ἔχει ἐν τοῖς σκληροφθάλμοις τῶν ζῴων. ὥσπερ δὲ χυμὸς ὑγροῦ ἐστι καὶ ἐν ὑγρῷ (οὐ γὰρ οἷόν τε ἀντίληψιν χυμοῦ γενέσθαι μὴ πρῶτον διυγρανθέντος τοῦ ἐν ᾧ ἐστιν εἰ ξηρὸν εἴη), οὕτως καὶ ἡ ὀσμὴ τοῦ ξηροῦ τε καὶ ἐν ξηρῷ. ἡ γὰρ φύσις ἡ τῶν ὀσμῶν δεκτική, ἣν δίοσμον καλοῦμεν, οὖσα ἐν ἀέρι τε καὶ ὕδατι, πλυντική τε καὶ ῥυπτική ἐστιν ἐγχύμου ξηρότητος, ἣν ἔγχυμον ξηρότητα δεξαμένη γίνεται κατ' ἐνέργειαν ὀσφραντή, ὡς προείρηται. οὐδὲν γὰρ τῶν μὴ ἐγχύμων ὀσφραντόν. οὔτε γὰρ πῦρ οὔτε ἀὴρ οὔτε ὕδωρ οὔτε γῆ καθ' αὑτὰ ὀσφραντά, ὅτι ἄχυμα. ἡ δὲ θάλαττα ὀσμὴν ἔχει. ἤδη γὰρ προσείληφεν χυμόν τινα καὶ ξηρότητα. καὶ οἱ μὲν λίθοι ἄοσμοι διότι ἄχυμοι. τὰ δὲ ξύλα ὀσμώδη, ὅτι καὶ ἔγχυμα. ὡς γὰρ ὁ χυμὸς γίνεται τῆς γεώδους ξηρότητος ἐναποπλυνομένης ἐν τῷ ὕδατι καὶ πεσσομένης διά τινος θερμότητος (αὕτη γὰρ γένεσις καὶ τῶν ἐν τοῖς καρποῖς χυμῶν ὡς ῥηθήσεται), οὕτως καὶ αἱ ὀσμαὶ γίνονται ἐν τῷ ἀέρι τε καὶ ὕδατι ἐναποπλυνομένης ἐν αὐτοῖς τῆς ἐγχύμου ξηρότητος καθό ἐστι δίοσμα. τὸ μὲν γὰρ γεῶδες ξηρὸν μηδέπω χυμὸν ἔχον ἐν αὐτῷ, μιγνύμενον καὶ ἐναποπλυνόμενόν πως τῷ ὕδατι διά τινος πέψεως τοὺς χυμοὺς ποιεῖ, τὰς δὲ ὀσμὰς οὐκέτι τὸ ἄχυμον ξηρὸν ποιεῖ, ἀλλὰ τὸ μεμιγμένον ἤδη τῷ ὕδατι καὶ χυμὸν ἔχον. ὅτι γὰρ αἱ ὀσμαὶ ὑπὸ τῆς ἐγχύμου ὑγρότητός τε καὶ ξηρότητος (ἄμφω γὰρ ἐν τῷ χυμῷ), δῆλον ἐκ τοῦ πάντα τὰ ὀσφραντὰ καὶ χυμὸν ἔχειν τινά. διὰ γοῦν τῆς ὀσφρήσεως πολλάκις καὶ τῶν σηπομένων καὶ τῶν προσκαιομένων χυμῶν καὶ τῶν εἰς ὀξύτητα μεταβαλλόντων τινὰς γνωρίζομεν, ὡς ἐκ τῶν χυμῶν τὴν γένεσιν τῶν ὀσφρητῶν ἐχόν|των καὶ διὰ τοῦτο ἑπομένων 125r τῇ ἐκείνων μεταβολῇ. διὸ εἴη ἂν ὀσφραντὸν τὸ ἐγγινόμενον ὑπὸ τοῦ ἐγχύμου ξηροῦ καθὸ τοιοῦτόν ἐστι πάθος ἐν τῷ ὑγρῷ. ἐπὶ πλέον δὲ εἴρηται περὶ τούτων ἐν τῷ περὶ αἰσθητῶν τε καὶ αἰσθήσεων. τὸ μὲν οὖν ὀσφραντὸν τοιοῦτον, ὀσφραντικὸν δέ ἐστιν τὸ δύναμιν ἔχον ψυχῆς, καθ' ἣν δι' ἀλλοιώσεώς τε καὶ ὁμοιώσεως τῷ ὀσφραντῷ ἀντιληπτικόν τε αὐτοῦ καὶ κριτικόν ἐστιν.

Ἡ δὲ γευστικὴ αἴσθησίς τε καὶ δύναμίς ἐστι μὲν ἀντιληπτική τε καὶ

---

4 ἐν] durch 4—6 ἡ γὰρ φύσις — ἐγχύμου ξηρότητος] indem die Natur, welche die Gerüche aufnimmt, das ist diejenige, die wir bezeichnen, als den Träger der in der Luft oder im Wasser vorhandenen Gerüche, die Trockenheit des Geschmacksgegenstandes aufnimmt 9—10 ἤδη γὰρ — ξηρότητα] weil es einen bitteren und trockenen Geschmack erworben hat 11 ξύλα] die Arten des Baumes 13 αὕτη — ῥηθήσεται] denn so ist die Erzeugung der übeln Geschmäcke ebenfalls und der ekligen, fremdartigen, die einen schlechten Geschmack haben, wie wir später in einer Rede auseinandersetzen werden 15 καθὸ — δίοσμα] weil diese die Gerüche tragen 19—20 ἄμφω — χυμῷ] und dass beide Dinge zusammen sich zusammenfinden im Geschmack 21 γοῦν] daher 26 ἐν — αἰσθήσεων] in dem Buche der Sinne und Sinnesobjecte 28 τῷ ὀσφραντῷ] in dem Gerochenen 29 ἐστιν] wird

---

5 οὖσαν a 8 ὀσφαντόν a 17 τινος] τι supra lin. V 22 ὀξύτητος a τινὰ a 26 ἐν τῷ κτλ.] cf. Praef. 29 ἐστιν om. 30 „περὶ γευστικῆς αἰσθήσεως." ἡ δὲ Va

κριτικὴ τῶν γευστῶν, ἅπερ εἰσὶν οἱ χυμοί, τὸ δὲ γευστὸν ἁπτόν τι, διὰ γὰρ ἁφῆς ἡ ἀντίληψις αὐτοῦ. διὸ οὐκ ἔστι διά τινος μεταξύ, ὄντος σώματος ἄλλου παρὰ τὸ γευστικὸν καὶ τὸ γευστόν, ἡ γεῦσις γινομένη, διότι μηδὲ ἡ ἁφή. τὸ μὲν γὰρ γευστὸν χυμός, ὁ δὲ χυμὸς ὑγρόν, τὸ δὲ ὑγρὸν ἁπτόν (ἁφὴ γὰρ αἴσθησις ὑγροῦ), ὥστε τὸ γευστὸν ἁπτόν. ὑγρὸν δὲ ὁ χυμός, ὅτι ὕλη τῇ ποιότητι ταύτῃ τὸ ὑγρὸν ὕδωρ γίνεται. οὐδὲν γὰρ γευστὸν ἄνευ ὑγρότητος. τὸ γὰρ ὕδωρ ἄχυμον ὂν καθ' αὑτό, πάσχον καθ' ὃ ὑγρόν ἐστιν ὑπὸ τῆς ἐν τῇ γῇ ξηρότητος οὔσης ἐναντίας αὐτῷ, ὅταν ἐν αὐτῇ ᾖ καὶ δι' αὐτῆς ῥέῃ, προσγινομένης τινὸς αὐτῷ διὰ θερμότητος πέψεως ἔγχυμον γίνεται. γένεσις γὰρ χυμοῦ ἡ τοῦ ὑγροῦ διὰ τοῦ γεώδους ξηροῦ διήθησις προσλαβοῦσα πέψιν τινὰ καὶ σύστασιν διά τινος θερμότητος. κατ' ἰδίαν μὲν γὰρ ἑκάτερον αὐτῶν ἄχυμον, ὅτι καὶ πᾶν ἁπλοῦν σῶμα. ἡ δὲ κατὰ τὸν προειρημένον τρόπον μῖξις αὐτῶν γινομένη χυμῶν γεννητική. καὶ γὰρ οἱ ἐν τῇ γῇ δοκοῦντες εἶναι χυμοὶ κατὰ μῖξιν ὑγροῦ καὶ σύστασιν ὑπὸ θερμότητος γινομένην τὴν γένεσιν ἔχουσιν. εἰσὶ γὰρ ἐν τῇ γῇ ἐγκαταμεμιγμέναι καὶ ὑγρότητες καὶ θερμότητες. διὸ καὶ ὡρίσατο τὸν χυμὸν Ἀριστοτέλης πάθος τὸ ὑπὸ τοῦ ἐν τῇ γῇ ξηροῦ γινόμενον ἐν τῷ ὑγρῷ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν. ἐπεὶ δὲ τὸ γευστὸν ὑγρόν, ἀνάγκη τὸ τῶν χυμῶν ἀντιληπτικὸν ὄργανον μήτε ἐντελεχείᾳ ὑγρὸν εἶναι μήτε ἀδύνατον ὑγραίνεσθαι, εἴ γε δι' ὁμοιώσεως μὲν ἡ αἰσθητικὴ ἀντίληψις, ἡ δὲ ὁμοίωσις δι' ἀλλοιώσεως, ἡ δὲ ἀλλοίωσις μεταβολή· τὸ γὰρ εἰς τὸ ὅμοιόν τινι μεταβάλλον ἐξ ἀνομοίου ποιεῖται τὴν μεταβολήν. τοιοῦτον δὲ ἡ γλῶττα· οὔτε γὰρ αὐτὴ καθ' αὑτὴν ὑγρά (οὐ γὰρ ἂν ἔτι τῆς ἀλλοτρίας ὑγρότητος ᾐσθάνετο μὴ πάσχουσα ὑπ' αὐτῆς δι' ὁμοιότητα, μὴ αἰσθανομένη δὲ τοῦ ὑγροῦ οὐδ' ἂν τοῦ ἐν αὐτῷ χυμοῦ

---

1 τὸ δὲ—τι] der Geschmack ist eine Art des Getasteten 2 ἁφῆς] addit: desselben 5 ὥστε τὸ γευστὸν ἁπτόν] also ergiebt sich, dass das Geschmacksobjekt Tastobjekt feucht sei 5—6 ὑγρὸν δὲ—ὕδωρ γίνεται] der Geschmack ist die Qualität, welche in der Hyle des Geschmacksobjectes (Schmeckbaren) ist. Die Hyle des Geschmacksobjektes ist das Feuchte, da es Wasser ist 7 καθ' αὑτὸ om. 8—9 ὅταν—ῥέῃ] indem sie (die Erde) in ihm (dem Wasser) ist und es in ihrem Durchgang (Canal?) bewegt 11 διήθησις] Mengung mit σύστασιν] Geteiltwerden 12 ἑκάτερον] addit: Wasser und Erde 12 ὅτι καὶ πᾶν] addit: weil jedes eine von beiden in seiner Gesammtheit 13—14 ἡ δὲ κατὰ—γεννητική] wenn aber in dem, was zwischen beiden ist, die Mengung entsteht in der Weise, die wir geschildert haben, so werden daraus die Geschmäcke erzeugt 15 σύστασιν] Geteiltwerden 18 γεύσεως] Geschmacksobjekt 19 τῶν χυμῶν] die Feuchtigkeiten 20 ἐντελεχείᾳ] addit: das heisst in seiner Vollendung 25 οὐδ' ἂν—χυμοῦ] selbst das nicht, was darin [i. e. in dem Feuchten] ist

---

2 σώματι a 5 ἁφὴ a: ἀφη V fortasse ἁφῇ 6 graeca sana videntur, gustus autem definitio, quae corruptis hebraicae interpretationis verbis subest [„*gustus qualitas est, quae in gustabilium materia inest*“] unde fluxerit, non video 9 ῥέῃ a 10 γαιώδους sic V 15 γινομένην a: γινομένης V 16 prius καὶ om. a διὸ καὶ κτλ.] Ar. de sens. 4, 441b 19 sq. 17 τὸ om. a 24 ᾐσθάνετο a 25 δὲ supra lin. V

ᾐσθάνετο, εἴ γε διὰ τῆς τοῦ ὑγροῦ ἀντιλήψεως ἡ τῶν ἐν αὐτῷ χυμῶν αἴσθησις γίνεται), οὔτ' αὖ πάλιν ἐστὶ τοιαύτη, ὡς μὴ ῥᾳδίως ὑγραίνεσθαι. καὶ ἔστιν ὡς ἐπὶ τῶν κατὰ τὰς ἄλλας αἰσθήσεις αἰσθητηρίων τὸ αἰσθητήριον δυνάμει μὲν ὅμοιον τῷ αἰσθητῷ, ἐνεργείᾳ δὲ ἀνόμοιον, οὕτω δὲ καὶ τὸ τῆς γεύσεως ὄργανον ἡ γλῶττα. τὰ δὲ εἴδη τῶν χυμῶν, ἀφ' ὧν κατὰ μεταφορὰν καὶ τὰ ἐπὶ τῶν ὀσφραντῶν ἐλέγετο, ὡς ἐπὶ τῶν χρωμάτων ἔχει. ὡς γὰρ ἐπ' ἐκείνων ἁπλᾶ μὲν τὸ λευκὸν καὶ μέλαν, τὰ δ' ἄλλα ἐκ τούτων μικτά, οὕτω δὲ καὶ ἐπὶ τῶν χυμῶν ἁπλοῦς μὲν ὁ γλυκὺς καὶ ὁ πικρός, ἐκ δὲ τῆς μίξεως τούτων ἐγγυτέρω μὲν τοῦ γλυκέος ὁ λιπαρός, τοῦ δὲ πικροῦ ὁ ἁλμυρός, μεταξὺ δὲ τούτων ἐκ τῆς τούτων πάλιν μίξεως ὅ τε δριμὺς καὶ αὐστηρὸς καὶ στρυφνὸς καὶ ὀξύς. τὸ μὲν οὖν γευστόν ἐστι τὸ ποιοῦν ἐντελεχείᾳ ὅμοιον αὐτῷ τὸ γευόμενον αὐτοῦ, γευστικὸν δὲ τὸ ἔχον δύναμιν ἀντιληπτικήν τε καὶ κριτικὴν τοῦ τοιούτου διὰ τῆς πρὸς αὐτὸ κατ' ἀλλοίωσιν ὁμοιότητος.

Λοιπὸς δὲ τοῦ περὶ αἰσθήσεων ὁ περὶ ἁφῆς λόγος. ἔστι δὲ καὶ ἡ ἁφὴ ἀντίληψίς τε καὶ κρίσις τῶν ἁπτῶν, ἣ γίνεται τοῦ τὴν ἁπτικὴν δύναμιν ἔχοντος ὁμοιουμένου τῷ ἁπτῷ. ἀμφισβήτησιν δὲ ἔχει, μήποτε οὐ μία αἴσθησίς ἐστιν ἡ ἁφή, ἀλλὰ πλείους καὶ τοσαῦται, ὅσαι καὶ αἱ ἁπταὶ ἐναντιώσεις. δοκεῖ γὰρ ἑκάστη αἴσθησις μιᾶς ἐναντιώσεως εἶναι κριτική, ὄψις μὲν λευκοῦ καὶ μέλανος καὶ τῶν τούτων μεταξύ, ἀκοὴ δὲ βαρέος καὶ ὀξέος καὶ γεῦσις πικροῦ καὶ γλυκέος. ἐν δὲ τοῖς ἁπτοῖς πλείους εἰσὶν ἐναντιώσεις· θερμότης γὰρ καὶ ψυχρότης καὶ ὑγρότης καὶ ξηρότης καὶ σκληρότης καὶ μαλακότης καὶ λειότης καὶ τραχύτης καὶ βαρύτης καὶ κουφότης, ἐναντιώσεις ἕτεραί τε ἀλλήλων καὶ διαφέρουσαι, ὥστ', εἰ καθ' ἑκάστην ἐναντίωσίν ἐστί τις ἁφὴ ἰδίως ἐκείνης τῆς ἐναντιώσεως κριτική, εἶεν ἂν πλείους ἁφαί. ἢ ἔστι καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων εὑρεῖν πλειόνων ἐναντιώσεων τὴν αὐτὴν αἴσθησιν κριτικήν. ἐν γοῦν φωνῇ οὔσῃ ἀκουστῇ οὐ μόνον ἐστὶν ἐναντίωσις ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ μικρότης καὶ λειότης καὶ τραχύτης καί τινες ἄλλαι τοιαῦται, ὁμοίως δὲ καὶ

3 καὶ] sondern 6 μεταφορὰν] Entlehnung und Aehnlichkeit καὶ τὰ ἐπὶ τῶν ὀσφραντῶν] die Gerochenen 9 λιπαρός] fade (fett) 12 ἐντελεχείᾳ] vollständig 13 τοῦ τοιούτου] das Geschmacksobjekt 19 δοκεῖ γὰρ] denn man könnte meinen κριτική] erkennt und kennt 21 πλείους] addit: als einer 24 ἐναντιώσεις—διαφέρουσαι] sind einander entgegengesetzt und sie sind verschieden 24—25 ὥστ' εἰ—κριτική] und wenn jeder Gegensatz unter diesen Entgegengesetzten denselben Gegensatz nicht kennt 26—27 ἢ ἔστι—ἐν γοῦν φωνῇ] und vielleicht findet sich (p: ist Etwas, was sich findet) nach dieser Analogie auch bei den anderen Sinnen in jedem Sinn derselben mehr als einer [scil. Sinn], da wir finden, dass ein und derselbe Sinn unter ihnen mehr als einen Gegensatz kenne. Dahin [gehört], dass im Tone

1 ᾐσθάνετο a 2 τοιαύτη] ια in lit. V 4 μὲν om. 6 fortasse τὰ τῶν 8 ἁπλᾶ a 15 „περὶ ἁφῆς." λοιπὸς δὲ Va καὶ ἡ om. a 22 ἐναντιώσεις] ι et ει in lit. V ψηχρότης a 26 ἢ] cf. ἢ οὐκ εἰσὶν 56,1 et 58,2 63,6 Ind. 27 ἀκουστῇ Va

περὶ χρῶμα ἔστιν εὑρεῖν διαφορὰς τοιαύτας. ἢ οὐκ εἰσὶν αὗται αἱ ἐναντιώσεις, τὸ μέγεθος καὶ ἡ μικρότης καὶ ἡ λειότης καὶ ἡ τραχύτης, ἴδια αἰσθητὰ φωνῆς. κοινὰ γὰρ ταῦτα αἰσθητά. εἰ δὲ τοῦτο, μένοι ἂν τὸ ἠπορημένον, καὶ ἐκεῖνο δὲ διαφέρον ἔχει τὰ ἁπτὰ πρὸς τὰ ταῖς ἄλλαις 50 αἰσθήσεσιν αἰσθητά, ὅτι ἐκείνων μὲν ἑκάστῃ ἕν τί ἐστι τὸ ὑποκείμενον οἰκεῖον | ἔχον ὄνομα (τῇ μὲν γὰρ ἀκοῇ ψόφος τὸ ὑποκείμενον, τῇ δὲ ὄψει 133v χρῶμα, χυμὸς δὲ γεύσει, ὀσφρήσει δὲ ὀσμή), τῇ δὲ ἁφῇ, ὅτι ἓν τὸ ὑποκείμενον, περὶ ὃ αἱ ἁπταί εἰσιν ἐναντιώσεις, οὐκ ἔστι δῆλον. οὐ γάρ ἐστι τὸ ἁπτὸν ὄνομα τοῦ ὑποκειμένου, ἀλλὰ τῆς σχέσεως, ὡς τὸ ὁρατόν, ὡς τὸ ἀκουστόν, ὀνόματα δὲ ἐκείνων μὲν τὸ χρῶμα καὶ ὁ ψόφος, τοῦ δὲ ἁπτοῦ οὐδέν ἐστιν ἓν ὄνομα οἰκεῖον. ἢ οὐδὲ ἐπὶ τῶν ὁρατῶν ἑνὶ οἷόν τε ὀνόματι περιλαβεῖν αὐτά, εἴ γέ ἐστιν ὁρατὰ χρώματα καὶ ὃ λόγῳ μέν ἐστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν, ὡς εἴρηκεν Ἀριστοτέλης· τοιαῦτα γὰρ τὰ σκότους στίλβοντά τε καὶ ὁρώμενα. ἀπορήσαι δ' ἄν τις καὶ τοῦτο περὶ τῆς ἁφῆς, πότερον ἡ σάρξ ἐστιν ἡ τῶν ἁπτῶν ἀντιλαμβανομένη καὶ τὴν ἁπτικὴν δύναμιν ἔχουσα ἐν αὑτῇ, ἢ ἐντός τί ἐστιν ἄλλο τὸ τῶν ἁπτῶν ἀντιληπτικόν; οὐ γὰρ ἱκανὸν σημεῖον τοῦ ἐν τῇ σαρκὶ εἶναι τὴν ἁπτικὴν δύναμιν τὸ εὐθὺ τῷ ἅψασθαι τὸ ἁπτὸν τῆς σαρκὸς τὴν αἴσθησιν γίνεσθαι. καὶ γὰρ εἰ ὑμένα τις ἔξωθεν περιτείνειεν τῇ σαρκί, εὐθὺς ἂν ἁψαμένῳ ἡ αἴσθησις γίνοιτο, καίτοι οὐκ ὄντος τοῦ ὑμένος μέρους τῆς σαρκὸς οὐδὲ ἔχοντος δύναμιν ἀντιληπτικήν. ἔτι δ' ἂν μᾶλλον εὐθὺς αἰσθανοίμεθα διὰ τοῦ ὑμένος, εἰ συμφυὴς ἡμῖν οὗτος ὁ ὑμὴν γένοιτο, ὥσπερ ἐστὶ καὶ ἡ σὰρξ συμφυής. ὥστ' οὐ δόξει ἱκανὸν σημεῖον εἶναι τοῦ εἶναι τὴν σάρκα τὴν

---

1 διαφορὰς] Arten 1—3 ἢ οὐκ—φωνῆς] vielleicht sind diese Gegensätze, ich meine die Grösse und die Kleinheit und die Glätte und die Rauheit, nicht Sinnesobjekte (Wahrnehmungen?), welche dem Gehör, sondern dem Ton (Schall) eigentümlich sind; denn darüber scheint er zu zweifeln (dies scheint zweifelhaft) 3 κοινὰ γὰρ ταῦτα αἰσθητά om. 3—4 εἰ δὲ τοῦτο—πρὸς τὰ] Es giebt auch einen Unterschied zwischen den Tastobjecten und 7 ἡ ὀσμή] die Gerüche ὅτι ἓν] was sein Träger sei 9 ἀλλὰ τῆς σχέσεως ὡς τὸ] sondern nur ein auf dasselbe bezüglicher Name, wie es der Fall ist bei dem 11 οὐδέν—οἰκεῖον] hat nicht einen Namen, welcher dasselbe umfasst 11—12 ἑνὶ .. ὀνόματι] in einen Namen, der sie umfasse 18 τὸ—γίνεσθαι] dass, wenn der Betaster das Fleisch betastet, man sofort es wahrnimmt 19 εἴ τις .. περιτείνειεν] wenn du bekleidest und dann es betastest 21—23 ἔτι—σὰρξ συμφυής] Wenn du diese Haut vom Leibe gefasst, ihm anhaftend vorstellst, wie das Fleisch gefasst ist, und ihm anhaftet, so wäre es viel angemessener, dass das Tasten des Tastenden sofort wahrnehme 23—57,1 ὥστ'—αἰσθάνεσθαι] Aus dieser Ursache scheint es nicht, dass, wenn wir finden, dass das Fleisch, wenn es betastet, empfinde, genügend beweise, dass das Fleisch es sei, welches wahrnimmt

---

1 αἱ om. a 2 in verbis ἴδια αἰσθητὰ φωνῆς merito haesit Arabs. sed coniecit nisi fallor, non legit: ἴδια αἰσθητὰ ἀκοῆς, ἀλλὰ φωνῆς. hoc enim dicit philosophus *contraria illa*, de quibus disputat, *non tantum in voce, sed etiam in coloribus aliis sensibilibus percipi:* ἐστὶ γὰρ κοινά, ὅσα τὸ μὲν γνωρίζεσθαι δι' αἰσθήσεως ἔχει, πλείους μέντοι εἰσὶν αὐτῶν αἰσθήσεις διάκονοι (41,1). quare lenissime fortasse mutabis ἰδίᾳ αἰσθητὰ ἐπὶ φωνῆς.
5 ἑκάστη a 13 ὡς εἴρηκεν Ἀριστοτέλης] Ar. de an. 2,7. 419a2

αἰσθανομένην τὸ εὐθὺς αὐτῇ ἁψαμένου τινὸς αἰσθάνεσθαι. μήποτ' οὖν ἀληθέστερον μήτε ἐν τῇ σαρκὶ λέγειν τὴν αἴσθησιν εἶναι τὴν ἁπτικήν, μήτ' αὖ μέσην οὕτως εἶναι τὴν σάρκα ὡς τὸν ἀέρα ἢ τὸ ὕδωρ, ἀλλ' εἶναι τὴν μὲν σάρκα τὸ αἰσθητήριον ἀνάλογον οὖσαν τοῖς τε ὠσὶ καὶ τοῖς ὀφθαλμοῖς καὶ τῇ ῥινί, ἔνδον δὲ εἶναι τὸ τὴν αἰσθητικὴν δύναμιν ἔχον σῶμα τῶν ἁπτῶν, τὸ αὐτὸ κατὰ τὸ ὑποκείμενον ἐν πάσαις ὂν ταῖς αἰσθήσεσιν. ὥσπερ γὰρ ἐπ' ἐκείνων ἡ αἴσθησις ἐγίνετο πάσχοντός τι ὑπὸ τοῦ αἰσθητηρίου ⟨τοῦ⟩ ἐν ᾧ πρώτῳ τὸ αἰσθητικόν, οὕτως δὲ καὶ ὑπὸ τῆς σαρκὸς πάσχον τι τῶν ἐν ἡμῖν αἴτιον τῆς αἰσθήσεως γίνεται. ἀλλ' ἡ μὲν σὰρξ ὑπὸ τοῦ αἰσθητοῦ πάσχει ἁπτομένου αὐτῆς, ὁ δὲ ὀφθαλμὸς οὐχ ἁπτόμενος αὐτὸς τοῦ αἰσθητοῦ πάσχει, ἀλλὰ διὰ τοῦ μεταξὺ διαφανοῦς. ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθήσεων ἑκάστη. ἅμα δὲ τῷ τῆς σαρκὸς πάθει ἡ κατὰ τὴν ἁφὴν αἴσθησις, ὡς καὶ ἅμα τῷ τῶν ὀφθαλμῶν ὑπὸ τοῦ διαφανοῦς πάθει ἡ ὄψις. ἅμα γὰρ τῷ πάθει τῶν ὀργάνων ἡ αἴσθησις. οὐκ εἰ τῆς σαρκὸς δὲ παθούσης ὑπ' αὐτοῦ τοῦ αἰσθητοῦ ἡ κατὰ τὴν ἁφὴν αἴσθησις, ἤδη γίνεται αὐτῷ τῷ αἰσθητικῷ ἐπιτιθέμενα τὰ ἁπτὰ ἐν τῇ αἰσθήσει. κεῖται γὰρ τὸ μὴ εἶναι ἐν τῇ σαρκὶ τὴν αἰσθητικὴν δύναμιν, ἀλλ' εἶναι ταύτην ὄργανον, διαφέροι δ' ἂν ὅτι ἐπὶ μὲν τῶν ἄλλων αἰσθήσεων οὐδὲ τοῖς αἰσθητικοῖς ὀργάνοις ἐπιτιθεμένων τῶν αἰσθητῶν ἡ αἴσθησις ἐγίνετο (ἐδεῖτο γάρ τινος ἄλλου μεταξύ), ἐπὶ δὲ τῆς ἁφῆς αὐτῷ μὲν τῷ αἰσθητικῷ οὐχ

3 ὡς] addit: wie die Vermittlung des 5—8 ἔνδον — αἰσθητικόν] und dass der Besitzer der Kraft, durch die er die Tastobjekte wahrnimmt, von innen ist und ein und dasselbe in dem Träger in allen Sinnen. Wie also die Sinnestätigkeit in jenen wird, wenn in irgend einer Weise afficirt wird von dem Organ des Sinnes das Ding, in welchem zuerst die Existenz des Wahrnehmenden ist, weil das Organ des Sinnes in der Mitte ist zwischen dem Wahrnehmenden und dem Wahrgenommenen 8—9 οὕτως δὲ — γίνεται] Ebenso wird dieser Sinn (Sinneswahrnehmung), wenn in irgend einer Weise vom Fleische afficirt wird das Ding, welches in uns die Ursache für die Sinnestätigkeit ist 10 ἁπτομένου αὐτῆς] wenn es (ut videtur das Fleisch) dasselbe berührt und betastet ἁπτόμενος] berührt und betastet 14 ἅμα τῷ] durch 14—16 οὐκ εἰ — ἐν τῇ αἰσθήσει] und nicht daraus, dass das Fleisch vom Sinnesobjekt selbst afficirt wird, ergiebt sich, dass der Sinn des Tastens stattfindet, wenn zur Zeit des Sinnes (der Sinnesvorstellung) die Tastobjekte vor den Wahrnehmenden selbst gestellt werden 17 ταύτην] Fleisch 18 διαφέροι δ' ἂν] der Unterschied zwischen diesem Sinn und den anderen Sinnen ist 18—19 οὐδὲ τοῖς — αἴσθησις ἐγίνετο] dass bei jenen Sinnen der Sinn (Sinnestätigkeit) nicht geschieht, wenn ihre Objekte nicht vor die Sinne und nicht vor die Sinnesorgane, geschweige denn von einem anderen als sie, gestellt werden

4 τὸ supra lin. V 8 τοῦ manus recentissima addidit V 8—9 tradita sensu non carent, sed notandum est Arabem vertere πάσχον τι τὸ ἐν ἡμῖν αἴτιον τῆς αἰσθήσεως (i. e. τὸ πρῶτον αἰσθητικόν) γίνεται (scil. ἡ αἴσθησις) = πάσχοντος τι τοῦ ἐν ἡμῖν αἰτίου τῆς αἰσθήσεως 10 ἅπτεσθαι de tangibili dictum ut 56,18 58,14. 12 ἡ in lit. V 15 ἤδη γίνεται] incipit apodosim creberrima in priore enuntiato ellipsi. cf. οὐ γὰρ ἐπεὶ ἡ ὄρεξις ἐκείνων τινὸς προηγησαμένου, ἤδη καὶ τὸ κινοῦν ἐκείνων τι 137v25 et Ind. s. v. ἤδη et Ellipsis 16 ἐπιτιθέμενα τὰ ἁπτὰ m¹ ἐπιτιθεμένων τῶν ἁπτῶν m² V: ἐπιτιθέμενα τὰ ἁπτὰ a 18 ὄγανον a

οἷόν τε ἐπιτίθεσθαι τὰ ἁπτά, τῷ μέντοι ὀργάνῳ τῇ σαρκὶ ἐπιτιθεμένων ἡ αἴσθησις γίνεται, ὅτι μηδενὸς ἦδε ἡ αἴσθησις ἐδεῖτο ἄλλου μεταξύ: ἢ ἐστί τι καὶ ἐπὶ τῆς ἁφῆς ἄλλο παρὰ τὴν σάρκα τὸ αἰσθητήριον, ἀνάλογον ὂν τῷ ὀφθαλμῷ τῷ τῆς ὄψεως αἰσθητηρίῳ; δοκεῖ γάρ τι τοιοῦτον ὑπ' Ἀριστοτέλους λέγεσθαι. τοῦ δὲ τὸ μεταξύ, δι' οὗ μέσου ἡ τῶν ἁπτῶν ἀντίληψις γίνεται, ἐπὶ μὲν τῆς ἁφῆς προσπεφυκέναι τῷ αἰσθανομένῳ (τοιοῦτον γὰρ ἡ σάρξ), ἐπὶ δὲ τῶν ἄλλων αἰσθήσεων ἐκτὸς εἶναι κεχωρισμένον, αἴτιον ἂν εἴη, ὅτι ἐπὶ μὲν ἐκείνων τὰ ἐκείναις αἰσθητὰ ταῖς αἰσθήσεσιν κινητικά ἐστι μεταξύ τινος κεχωρισμένου σώματος (αὐτοῖς γοῦν τοῖς αἰσθητηρίοις ἐπιτιθέμενα οὐκ ἔστιν αὐτῶν κινητικά, καίτοι συγγενῶν ὄντων τῶν αἰσθητηρίων τοῖς ἐκτός, δι' ὧν ἡ ἀπὸ τῶν αἰσθητῶν κίνησις ἐν αὐτοῖς γίνεται), τὰ δὲ τῇ ἁφῇ αἰσθητὰ αὐτοῦ τοῦ αἰσθητηρίου τοῦ συμφυοῦς ἡμῖν ἐστι κινητικά. ταύτης δὲ τῆς διαφορᾶς πάλιν αἴτιον, ὅτι ἔδει μὲν τὰ τελειότερα τῶν ζῴων μὴ μόνων αἰσθάνεσθαι τῶν παρόντων τε καὶ ἁπτομένων αὐτῶν, ἀλλὰ καὶ τῶν ἀφεστώτων. τῶν μὲν οὖν παρόντων ἡ ἁφὴ ἀντιληπτική, τῶν δὲ ἀφεστώτων οὐκέτι δι' ἁφῆς ἡ ἀντίληψις. παρῆν γὰρ ἂν καὶ ταῦτα. τὸ γὰρ ἅπτεσθαι παρόντων. διά τινος οὖν μεταξὺ ἡ ἀπὸ τούτων κίνησις. οὕτως γὰρ μόνως οἷόν τε ἦν τῶν μὴ παρόντων αἰσθάνεσθαι. ἔτι δὲ δι' ὧν ἐκείνων αἱ αἰσθήσεις γίνονται ἀδύνατον ἐκ τούτων τὸ τοῦ ζῴου σῶμα συνεστάναι. δι' ἁπλῶν γὰρ αἱ ἐκείνων ἀντιλήψεις. ἢ γὰρ δι' ὕδατος ἢ δι' ἀέρος, καὶ οὐχ οἷόν τε ἄλλως, ὡς ἐν τῷ περὶ αἰσθήσεώς τε καὶ αἰσθητῶν δέδεικται. οὔτε δὲ ἐξ ἀέρος οὔτε ἐξ ὕδατος οἷόν τέ τι ζῷον εἶναι· στερεὸν γὰρ τὸ τοῦ ζῴου σῶμα καὶ μικτὸν καὶ τοιοῦτον ὁποῖόν ἐστιν ἡ σὰρξ ἢ τὸ ἀνάλογον τῇ σαρκί. ἡ δὲ τῶν ἁπτῶν ἀντίληψις διὰ τοιούτου σώματος γίνεται. ἁπταὶ μὲν οὖν εἰσιν αἱ τῶν σωμάτων ᾗ σώματα διαφοραί. αὗται δέ εἰσι ξηρότητες καὶ ὑγρότητες, θερμότητες, ψυχρότητες. ταύταις γὰρ ὁρίζεται τὰ πρῶτα σώματα. καὶ αἱ ἄλλαι δὲ αἱ ἁπταὶ ἐναντιώσεις εἰς πρώτας ταύτας ἂν ἀνάγοιντο, ὡς ἐν τοῖς περὶ γενέσεως καὶ φθο-

5 ἁπτῶν] Sinnesobjekte 7 κεχωρισμένον] von aussen und getrennt 9 κεχωρισμένου] abgesondert abgeschnitten 10 ἔστιν] sie würden 10—11 καίτοι—ἐκτός] weil die Sinnesorgane der Gattung nach den Dingen von aussen ähnlich sind 11 δι' ὧν—γίνεται] durch welche durch die Vermittlung jener Organe die Bewegung entsteht in den Dingen von aussen wegen des Wahrnehmenden 12 τοῦ συμφυοῦς ἡμῖν] welches vom Leibe gefasst ist 13—14 ταύτης δὲ—ἁπτομένων] die Ursache für diese Verschiedenheit ist ebenfalls [die], dass dasjenige, was vom Thiere vollständiger und vollkommener ist, so sein muss, dass es nicht derart unvollkommen sei, dass es nur die ihm nahen Dinge, welche ihn treffen, wahrnehme 15 τῶν μὲν οὖν παρόντων] allein die nahen Dinge 16 παρῆν] addit: wenn sie betastet wären 17 παρόντων] addit: den Tastenden 21 ἐν τῷ—αἰσθητῶν] im Buch des Sinnes und der Sinnesobjekte 23 καὶ ante μικτὸν om. 24 δὲ om. 26 ξηρότητες κτλ.] Arten der Trockenheit et q. s. 27 ὁρίζεται] entstehen 28 εἰς πρώτας ταύτας ἂν ἀνάγοιντο] sammeln sich aus diesen und kehren zu diesen zurück, weil sie erste sind

4 δοκεῖ γὰρ κτλ.] Ar. de an. 2,11. 423b1 sq. 8 τὰ ἐν a 10 τοῖς αἰσθητηρίοις τῶν a 12 fortasse διά του συμφυοῦς 14 μόνον a 16 δι' supra lin. V 21 cf. Praef. 25 εἰσιν V: εἶναι a 28 ἂν om. a ὡς ἐν τοῖς κτλ.] Ar. de gen. 2,2 330a24

ρᾶς Ἀριστοτέλης ἔδειξεν. τὸ δ' αἰσθητήριον αὐτῶν, ἐν ᾧ ἡ δύναμις αὕτη, τὸ μόριόν ἐστιν, ὃ τῷ τὴν τοιαύτην ἔχειν δύναμιν οἷόν τέ ἐστι διὰ τοῦ ὁμοιοῦσθαι αὐτοῖς τὴν ἀντίληψιν αὐτῶν ποιεῖσθαι. ἐπεὶ δὲ διὰ τοῦ πά- 50 σχειν καὶ ἡ ἁφή, ἀπαθὲς δὲ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, δεῖ δέ τινας τῶν ἁπτῶν ἐναντιώσεων ἔχειν τὸ ἁπτικὸν σῶμα ὄν γε σῶμα, τῶν μὲν ὁμοίως ἐχόντων αὐτῷ τῶν ἁπτῶν τινας ἐναντιώσεων οὐκ αἰσθάνεται, τῶν δὲ ἐλλειπόντων ἢ ὑπερβαλλόντων. ἤδη γὰρ ὑπὸ τούτων ὡς ὑπὸ ἀνομοίων πείσεταί τε καὶ ἀλλοιωθήσεται. διὸ καὶ εὐλόγως ἄν τις μεσότητα τὴν αἴσθησιν λέγοι τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως· τὸ γὰρ μέσον | ἑκατέρου τῶν 124r ἄκρων κριτικὸν γινόμενον πρὸς ἑκάτερον αὐτῶν τὸ ἕτερον τῶν ἄκρων καὶ ἐναντίον, καὶ διὰ τοῦτο μεταβάλλον εἰς αὐτό. εἰς γὰρ τὰ ἐναντία ἡ μεταβολή. ἐπὶ μὲν οὖν τῆς ἁφῆς τοῦτο ἀναγκαῖον, ἐπὶ δὲ τῶν ἄλλων οὐχ ὁμοίως τῷ μηκέτι τὰ ἐκείνων αἰσθητήρια ἐξ ἀνάγκης ἔχειν ἐν τῇ οὐσίᾳ τούτων τι, ὧν ἐστι διακονητικά τε καὶ μηνυτικά. οὔτε γὰρ τὴν κόρην ὕδατος οὖσαν ἀναγκαῖον ἔχειν οἰκεῖόν τι χρῶμα, οὔτε τὴν ἀκοὴν ἀέρος πάλιν οὖσαν ἀναγκαῖον εἶναι μετὰ ψόφου, ἀλλ' οὐδὲ τὴν ὄσφρησιν ἀνάγκη σύμφυτον ἔχειν ὀσμήν τινα. εἰ δὲ καὶ αὗται ἔχοιέν τινα ἐν αὐταῖς ὧν ἀντιλαμβάνονται, εἶεν ἂν μεσότητες καὶ αὗται ὁμοίως τῇ ἁφῇ. τῶν μὲν γὰρ ὁμοίων οἷς ἔχουσιν οὐκ ἀντιλήψονται, ἀντιλήψονται δὲ τῶν ὑπερβολῶν τε αὐτῶν καὶ ἐνδειῶν. τῶν δὲ αἰσθήσεων ἀναγκαιοτάτη ἡ ἁφή τε καὶ γεῦσις. οὐ γὰρ οἷόν τε ἄνευ τούτων ζῷον εἶναι. αἱ δ' ἄλλαι οὐχ οὕτως εἰς τὸ εἶναι ὡς εἰς τὸ πῶς εἶναι συντελοῦσι τοῖς ἔχουσιν αὐτάς. δῆλον δὲ ἔκ τε τοῦ πολλὰ τῶν ζῴων μὴ ἔχειν τούτων τινὰ τῶν αἰσθήσεων, καὶ ἐκ τοῦ καὶ τὰ ἔχοντα αὐτὰς στερηθέντα αὐτῶν ζῆν δύνασθαι.

---

2 τῷ — δύναμιν] dadurch dass es [Etwas] von dieser Kraft hat 5 τὸ ἁπτικὸν σῶμα] der wahrnehmende Körper 6 τινὰς τῶν ἐναντιώσεων] die tastbaren Gegensätze 6—7 τῶν δὲ — ὑπερβαλλόντων] er nimmt aber von ihnen wahr, was fehlt und was hinzugefügt ist von der Beschaffenheit, die er selbst hat 9—11 τὸ γὰρ — καὶ ἐναντίον] das Mittlere nämlich erkennt (unterscheidet) zwischen jedem der beiden Extreme, denn es wird in Bezug auf jedes von beiden das andere Extrem und ihm entgegengesetzt 13—14 τῷ μηκέτι — μηνυτικά] weil zur wesentlichen Existenz ihrer Organe es nicht nötig ist, dass sie auch die Dinge besitzen, welche jenen dienen und aus ihnen (von welchen sie?) entstehen 16 μετὰ ψόφου — ὄσφρησιν om. 17—18 εἰ δὲ — ἁφῇ] wenn darin auch Etwas von den Sinnesobjekten ist, welche er wahrnimmt [etiam in sqq. Sing.] 18—19 τῶν μὲν — ἀντιλήψονται] denn das, dessen Beschaffenheit wie seine Beschaffenheit ist, nimmt er nicht wahr 20 αὐτῶν om. 20—21 τῶν δὲ — γεῦσις] unter den Sinnen giebt es solche, ohne welche das Thier nicht sein kann, das ist das Tasten und der Geschmack 21 τούτων] Tasten und Geschmack. post εἶναι addit: weil es ohne diese beiden nicht sein kann. 21—22 αἱ δ' ἄλλαι — ἔχουσιν αὐτάς] die andern Sinne aber [i. e. was sie anbetrifft], so ist weder ihre Hilfe noch ihr Nutzen in [ihrem?] Vorhandensein für das, worin sie sich finden, in ihrer Hilfe in Bezug auf das Dasein [desselben] 24 δύνασθαι om.

---

5 ὄν sic V 8 τε supra lin. V 10 τὸ ἕτερον τῶν ἄκρων del. m[2] V. cf. int. hebr. 15—16 ἔχειν — ἀναγκαῖον om. a 16 εἶναι μετὰ χρώματος οὐδὲ τὴν ἀκοὴν μετὰ ψόφου a 17 ἐν αὐτῇ a 18 fortasse καὶ αὐταί 23 τε om. a 24 καὶ om. a αὐτὰ a

Τίς μὲν οὖν ἐστιν ἑκάστη τῶν πέντε αἰσθήσεων, καὶ τίνος ἑκάστη, καὶ πῶς ἡ καθ' ἑκάστην αὐτῶν τοῦ οἰκείου αἰσθητοῦ ἀντίληψίς τε καὶ κρίσις γίνεται, εἴρηται τύπῳ· καθόλου δὲ συλλαβόντι περὶ αἰσθήσεως ἀληθές ἐστιν εἰπεῖν τὸ εἶναι αὐτὴν δύναμιν ψυχῆς δι' αἰσθητηρίων τινῶν δεκτικήν τε καὶ κριτικὴν τῶν αἰσθητῶν εἰδῶν χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης. τὸ δὲ πρῶτον αἰσθητήριον, ἐν ᾧ ἡ τοιαύτη δύναμις τῆς ψυχῆς, σῶμα μέν ἐστιν, οὐ μὴν καθὸ σῶμα αἰσθητικόν, ἀλλὰ κατὰ τὴν δύναμιν ἣν ἔχει. ἡ γὰρ αἴσθησις οὐ τὸ μέγεθος, ἀλλὰ ὁ λόγος καὶ τὸ εἶδος τοῦ μεγέθους τοῦ τοιούτου. αἱ δὲ τῶν αἰσθητῶν ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις· διὸ φθείρουσι τὴν συμμετρίαν τοῦ σώματος, οὗ αἱ αἰσθητικαὶ δυνάμεις εἴδη. φθειρομένης δὲ τῆς ἐν ἐκείνῳ συμμετρίας, φθείρεται καὶ τὸ εἶδος τὸ ἐπ' αὐτῇ. φθείρεται δὲ καὶ ἡ συμμετρία αὐτῶν ὑπὸ τῆς σφοδροτέρας κινήσεως, ὥσπερ καὶ ἡ τῶν χορδῶν ἁρμονία ὑπὸ τῆς βιαιοτέρας πληγῆς τε καὶ κινήσεως. ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ ἐστιν αἴσθησις, οὖσα ἐν τῷ αἰσθητηρίῳ οὐχ ᾗ σῶμα ἐκεῖνο, ἀλλ' ᾗ ἔχει τὴν τοιάνδε δύναμιν, ὡς εἶπον, καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ διαφοράς. οὐ γὰρ ἄλλη τις κριτικὴ τῶν ἐν χρώμασι διαφορῶν παρὰ τὴν ὄψιν, οὐδὲ ἄλλη τῶν ἐν ψόφοις παρὰ τὴν ἀκοήν, ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. ἐπεὶ δὲ καὶ τὰ ταῖς διαφερούσαις αἰσθήσεσιν αἰσθητὰ κρίνομεν πρὸς ἄλληλα καὶ τῶν διαφορῶν αὐτῶν αἰσθανόμεθα (τίνι γὰρ γλυκὺ λευκοῦ διαφέρει, αἰσθήσεως κρῖναι, αἰσθητὰ γὰρ ἄμφω), ἐπιζητήσαι τις ἄν, τί ποτέ ἐστι τὸ τὰς τούτων κρῖνον διαφοράς. οὔτε γὰρ κεχωρισμένα ἔσται τὰ κρίνοντα τὰς τῶν ταῖς διαφερούσαις αἰσθήσεσιν αἰσθητῶν διαφοράς (ἀμφότερα γὰρ ἑνί τινι εἶναι δεῖ δῆλα· οὕτως γὰρ εἴσεταί τις ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, ὅμοιον γὰρ τὸ λέγειν κεχωρισμένα καὶ διαφέροντα εἶναι τὰ αἰσθανόμενα αὐτῶν ἑκάστου καὶ τὰς οἰκείας ἑκάστου αὐτῶν γνωρίζοντα διαφορὰς τῷ λέγειν· εἰ δύο ὄντων τῶν

---

1 τίς—τίνος ἑκάστη] dass jeder der fünf Sinne eine Kraft ist und wofür er eine Kraft ist 5 τε καὶ κριτικὴν om. 6 δὲ om. 8 λόγος] Inhalt 9 δὲ om. 10—11 διὸ—δυνάμεις εἴδη] weil sie die Gleichmässigkeit des Körpers, welchem die sinnliche Kraft gehört, dessen Form die fünf Kräfte sind, zu Grunde richten 11 ἐν ἐκείνῳ] jenes Körpers καὶ om. 12 αὐτῶν] seine [Gleichmässigkeit] 14 post κινήσεως addit: zu Grunde geht 15—16 οὖσα—δύναμιν] durch seine Organe, nicht insofern seine Organe Körper sind, sondern insofern er diese Kraft besitzt [der Körper?] 16 ὡς εἶπον καὶ κρίνει] wie wir davon gesagt haben, dass er wahrnehme und erkenne 19—20 ἐπεὶ—ἄλληλα] da wir aber auch die Sinnesobjekte der von einander verschiedenen Sinne erkennen 22 ἐπιζητήσαι τις ἄν] so ist es nötig, dass wir nachforschen, bis erkannt werde, was es ist 24 ἀμφότερα—δῆλα] denn es müssen die beiden verschiedenen Dinge zusammen in einem Dinge unterschieden werden

---

2 γε a 3 τύπω a 10 διὸ] constans scriptoris usus διότι postulat. vid. Ind. αἱ om. 11 εἴδη m[1] eadem manus αἶδε supra lineam V: εἴδη a: εἴδη quod non intellexit Arabs interpretando circumscripsisse videtur. fortasse δυνάμεις. ἤδη φθειρομένης δὲ cf. Ind. s. v. ἤδη 15 ἐκεῖνο V ex. Vict: ἐκεῖνος a 24 δεῖ εἶναι a

αἰσθητῶν τοῦ μὲν σὺ αἴσθοιο, τοῦ δὲ ἐγώ, γνωρίζειν ἑκάτερον ἡμῶν τὴν διαφορὰν οὗ αὐτὸς ᾔσθετο πρὸς τὴν τοῦ οὗ οὐκ αὐτός, ἀλλ' ἕτερος ᾔσθετο· δεῖ γὰρ ἕν τι εἶναι τὸ λέγον τόδε τοῦδε ἕτερον εἶναι. καὶ γὰρ τὴν τῶν αἰσθητῶν πρὸς τὰ νοητὰ διαφορὰν τὸ κρῖνον ἕν· ὁ γὰρ νοῦς· πάντα γὰρ οὗτος νοεῖ καὶ κρίνει, ἐν τίνι ἑκάστῳ τῶν ὄντων τὸ εἶναι. ὡς μὲν γὰρ αἰσθητῶν τῶν αἰσθητῶν τὰς διαφορὰς αἰσθήσεως κρῖναι, τὴν δὲ κατὰ τὴν οὐσίαν αὐτῶν διαφορὰν πρὸς ἄλληλά τε καὶ τὰ τῇ αὑτῶν φύσει νοητὰ ὁ νοῶν αὐτὰ νοῦς κρίνει), οὔτε οὖν ὑπὸ κεχωρισμένων καὶ διαφερουσῶν αἰσθήσεων οἷόν τε τὰς τῶν ἀνομοειδῶν αἰσθητῶν κρίνεσθαι διαφοράς. ἀλλ' οὐδὲ ἐν διαφέροντι χρόνῳ οἷόν τε τὰς διαφορὰς αὐτῶν γνωρίζεσθαι, ὡς νῦν μὲν γνωρίζειν ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, αἰσθανόμενον νῦν τοῦ γλυκέος, μετὰ ταῦτα δὲ ὅτι τὸ λευκὸν τοῦ γλυκέος, πάλιν αἰσθανόμενον τότε τοῦ λευκοῦ, ὡς εἶναι τὸ αὐτὸ μὲν τῶν διαφερόντων αἰσθητῶν ἀντιληπτικόν, τοῦ τε γλυκέος καὶ τοῦ λευκοῦ, οὐχ ἅμα δέ, ἀλλ' ἐν μέρει. ὡς γὰρ ἕν τι δεῖ εἶναι τὸ λέγον ἕτερα εἶναι τὸ γλυκὺ καὶ λευκόν, οὕτως καὶ ὅτε τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν λέγοι, τότε καὶ τὸ ἕτερον τοῦ ἑτέρου, καὶ οὐ λέγειν μόνον ὅτι διαφέρει ταῦτα ἀλλήλων, ἀλλὰ καὶ ὅτι νῦν διαφέρει· νῦν γὰρ λέγει, ὅτι νῦν διαφέρει. τὸ γὰρ λέγειν ἐστὶν αὐτῷ τὸ αἰσθάνεσθαι. ἀλλ' εἰ τοῦτο, καὶ ἅμα αὐτῶν αἰσθήσεται καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ἀλλὰ μὴν ἀδύνατον δοκεῖ τὸ αὐτό τι ὂν κατ' ἀριθμὸν ἐν τῷ αὐτῷ καὶ ἀδιαιρέτῳ χρόνῳ πλείους τε καὶ διαφερούσας, ἔτι τε ἐναντίας κινήσεις κινεῖσθαι καὶ ἅμα πλείοσιν ὁμοιοῦσθαι. τοῦτο δ' ἂν γίνοιτο, εἰ οὕτως μὲν ἡ αἴσθησις ὡς προείρηται γίνεται, αἱ δ' ἀπὸ τῶν ἐναντίων αἰσθητῶν γινόμεναι κινήσεις ἐναντίαι· γίνεται τε οὕτως οὐ μόνον ἄπορον τὸ τῶν διαφερόντων κατ' εἶδος αἰσθητῶν μίαν εἶναι κριτικὴν αἴσθησιν, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν μιᾷ αἰσθήσει ὑποκειμένων, οἷον ἐν χρώμασιν, ὧν ἡ ὄψις ἀντιληπτική, πῶς ἡ ὄψις δυνήσεται τὰς τοῦ λευκοῦ τε καὶ | μέλανος γνωρίζειν 134v διαφοράς, εἴ γε δεῖ μὲν αὐτὴν ἅμα αὐτῶν ποιεῖσθαι τὴν ἀντίληψιν, ἡ δὲ ἀντίληψις διὰ τῆς πρὸς τὰ αἰσθητὰ ὁμοιώσεως, ἀδύνατον δὲ ἅμα τὸ αὐτὸ τοῖς ἐναντίοις ὁμοιοῦσθαι; ἢ εἰ μὲν οὕτως κινοῖτο, ὡς πάσχειν τε καὶ δέχεσθαι τὸ λευκὸν καὶ τὸ μέλαν, ἅμα ἂν ἀναλαμβάνοι τὰ ἐναντία, ὅ ἐστιν

3—8 καὶ γὰρ—νόυς κρίνει om. 12—13 πάλιν—τοῦ λευκοῦ] wenn er auch zur selben Zeit das Weisse wahrnimmt 13 ὡς] und 15 ἕτερα] unidentische verschiedene 17—18 νῦν—διαφέρει om. 22 τοῦτο—γίνοιτο] dies sei notwendig 25 πολὺ πρότερον (ἄπορον)] es wird ein ähnlicher Zweifel viel die Dinge treffen 31 ἀναλαμβάνοι] addit: bei meinem Leben

2 fortasse διαφορὰν ⟨τοῦ⟩ οὗ αὐτός πρὸς τὴν τοῦ οὗ οὐκ—ᾔσθετο om. a 5—6 ὡς μὲν γὰρ—κρῖναι om. a 10 hoc dicit: *differentia non ita cognosci potest, ut primum dulce ab albo diversum esse cognoscas (hoc priore tempore dulce tantummodo animadvertens), tum album a dulci (hoc altero temporis momento album animadvertens)* 7 αὑτῶν scripsi: αὐτῶν Va 8 αἰσθήσεων om. a 11 ὅτι V: ἄρα a 12 ὅτι V: ἄρα a τότε V: τοῦδε a 15 ἕτερα λέγον a 16 λέγει a 16—17 οὐ λέγει a 17 ὅτι V: ἄρα a

ἀδύνατον. εἰ δ' ἄλλος ὁ τρόπος τῆς ὑπὸ τῶν αἰσθητῶν κινήσεως τῇ αἰσθήσει καὶ οὐχ ὡς ὕλη τῶν αἰσθητῶν τὰ πάθη δέχεται τὰ αἰσθητήρια, οὐκέτ' ἂν ὁμοίως ἄπορον εἴη. ὅτι γὰρ οὐχ ὡς ὕλη δέχεται τὰ πάθη ἡ ὄψις ἐναργές. ὁρῶμεν γὰρ ὅτι οὐ γίνεται ἡ ὄψις μέλαινα καὶ λευκή, ὅταν ἐκείνων αἰσθάνηται. ἀλλ' οὐδὲ ὁ πεφωτισμένος ἀήρ, καίτοι διακονούμενος τῇ ὄψει πρὸς τὴν ἀντίληψιν τῶν χρωμάτων διὰ τοῦ αὐτὸς ὑπ' αὐτῶν πρῶτος κινεῖσθαι καὶ μέλας αὐτὸς ἢ λευκὸς γίνεσθαι τοῦτο ποιεῖ. οὐδὲν γοῦν κωλύει διὰ τοῦ αὐτοῦ τὸν μὲν μέλανος ἀντιλαμβάνεσθαι τὸν δὲ λευκοῦ, ὅταν κειμένων τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος ἐπ' εὐθείας τῶν ὁρώντων αὐτὰ μὴ τὸ κατ' αὐτὸν ἑκάτερος αὐτῶν κείμενον χρῶμα βλέπῃ, ἀλλὰ τὸ κατὰ τὸν ἕτερον. ἀλλ' οὐδ' εἰ μέλας καὶ λευκὸς ἀλλήλους ὁρῷεν, κεκώλυται ὁ μεταξὺ ἀὴρ ἀμφοτέροις αὐτοῖς ἅμα διακονεῖσθαι τῷ μὴ παθητικῶς μηδὲ ὡς ὕλη γινόμενος αὐτῶν ὑπ' αὐτῶν κινεῖσθαι. οὐδὲ τὰ ἐν τοῖς κατόπτροις δὲ ἢ ἐν τοῖς ὕδασιν ἐμφαινόμενα χρώματα τοιαῦτα αὐτὰ ποιεῖ ὁποῖά ἐστιν αὐτά. συμπαύεται γοῦν ἑκάστου τούτων ἡ ἀπὸ τοῦ αἰσθητοῦ κίνησις ἐν αὐτοῖς γινομένη, ὅταν μηκέτι ᾖ παρὸν τὸ αἰσθητόν. εἰ δὴ καὶ ἐπὶ τῶν αἰσθητηρίων οὕτως γίνοιτο τὰ πάθη ἐν τῷ τὴν αἴσθησιν ἔχοντι σώματι, δυνήσεται κατὰ τὴν πάροδον αὐτῶν ἡ δύναμις ἡ αἰσθητικὴ πάντων μὲν τῶν αἰσθητῶν ἀντιλαμβανομένη, οὐ μὴν πάντων διὰ τῶν αὐτῶν ὀργάνων, ἣν καὶ κοινὴν αἴσθησιν καλοῦσιν, κρίνειν τε ἕκαστον αὐτῶν καὶ γνωρίζειν αὐτῶν τὰς πρὸς ἄλληλα διαφορὰς μὴ ἐν διῃρημένῳ χρόνῳ, ἀλλὰ ἐν ἑνί τε καὶ συνεχεῖ. ἔτι δοκεῖ τὸ μετὰ ψυχικῆς δυνάμεως οὕτως

5 καίτοι] weil 5—7 ἀλλ' οὐδὲ—τοῦτο ποιεῖ] auch nicht die Luft, die das Licht aufnimmt, weil (damit) es dem Gesicht zur Wahrnehmung der Farben dient, indem sie zuerst von ihnen bewegt wird, dies bewirkt, indem sie schwarz oder weiss wird 8 διὰ τοῦ αὐτοῦ] durch ein und dieselbe Luft 10—11 μὴ τὸ κατ' αὐτὸν κείμενον—ἕτερον] nicht die Farbe, die in demselben selbst ist, sondern die Farbe, die in dem andern ist 11 μέλας καὶ λευκὸς] ein weisser und ein schwarzer 12 ὁ μεταξὺ ἀὴρ] die Luft, die zwischen beiden ist 13 ὑπ' αὐτῶν] von beiden 15—16 συμπαύεται—αἰσθητόν] Der Beweis dafür ist, dass sie von jeder jener Bewegungen, welche in ihnen von dem Sinnesobjekte [aus] entstehen, gestört werden beim Weichen des Sinnesobjektes und dessen Trennung von ihnen 18—19 δυνήσεται—ἀντιλαμβανομένη] so ist es möglich, dass die wahrnehmende Kraft, welche alle Sinnesobjekte wahrnimmt, [eine?] sei 19 πάντων om. διὰ τῶν αὐτῶν] durch ein Organ 20 ἣν—κρίνειν] und diese Kraft, welche der gemeinschaftliche Sinn heisst, erkennt ἕκαστον αὐτῶν] jede jener Spuren, wenn sie auf ihn übergehen 22 μετὰ] wegen

1 ὁ supra lin. V 4 ὅτι V: ἄρα a 7 καὶ corruptum est. lege τῷ. tantum negatur aera colorari. Cf. int, hebr. 9 cf. Alex. de sens. comm. 63,10 τὸ δ' αὐτὸ τοῦτο ἀνάγκη γίνεσθαι, καὶ εἰ δύο τινὲς εἶεν οἱ ὁρῶντες ἄντικρυς ἑστῶτες ἀλλήλων, εἴη δὲ ἐπ' εὐθείας ἑκατέρῳ τῶν ὁρώντων ὁρατόν τι κείμενον, οἱ δὲ ὁρῷεν μὴ καθ' ἑαυτούς, ἀλλ' ἑκάτερος αὐτῶν τὸ τῷ ἑτέρῳ ἐπ' εὐθείας κείμενον et [de an.] 153v9 10 βλέπη a 11 τὸ ἕτερον a 11 ὁρῷεν ι subscripsit vetus corr. V: ὁρῶμεν a 15 ἕκαστον a 16 παρὸν V: παρὰ a εἰ δὲ a 18 exspectaveris παρουσίαν 22—63,5 ἔτι δοκεῖ—τοῖς ἐμψύχοις σώμασιν] opp. τὰ κάτοπτρα καὶ ὕδατα (13), sed haec verba num re vera huic loco destinata sint a scriptore dubium

κινούμενον σώζειν τι καὶ ἀπελθόντος τοῦ αἰσθητοῦ ἴχνος τῆς ἀπ' αὐτοῦ κινήσεως διὰ τῆς φαντασίας καίτοι μηκέτι τοῦ αἰσθητοῦ παρόντος. οἱ γοῦν τῶν σφόδρα λευκῶν αἰσθανόμενοι ἔχουσί τινα ἐγκαταλείμματα ἐν τῇ ὄψει τῆς ἀπ' αὐτῶν κινήσεως καίτοι μηκέτ' ἐκείνων παρόντων· οὐ γὰρ ἡ αὐτὴ κίνησις ἀπὸ τῶν αἰσθητῶν τοῖς τε ἀψύχοις καὶ τοῖς ἐμψύχοις σώμασιν. ἡ δυνήσεται οὕτως ἡ κοινὴ αἴσθησις ἅμα τὰς διαφορὰς γνωρίζειν τῶν διαφόρων αἰσθητῶν, εἰ πῇ μὲν ἓν εἴη τὸ αἰσθητικόν, πῇ δὲ πλείω τε καὶ διαιρούμενον. ὡς γὰρ ἐπὶ κύκλου αἱ ἀπὸ τῆς περιφερείας αὐτοῦ ἐπὶ τὸ κέντρον ἐπιζευγνύμεναι οὖσαι πολλαὶ πᾶσαι κατὰ τὸ πέρας εἰσὶν αἱ αὐταὶ τῷ τά τε πέρατα αὐτῶν ἐφαρμόζειν τῷ τοῦ κύκλου κέντρῳ καὶ ἔστι τὸ πέρας τοῦτο ἕν τε καὶ πολλά, καθόσον μὲν πολλῶν ἐστι καὶ διαφερόντων πέρας, πολλά, καθόσον δὲ πάντα ἀλλήλοις ἐφήρμοσεν, ἕν, οὕτως ἔχειν ὑποληπτέον καὶ τὴν κοινὴν αἴσθησιν τὸ ἕν τε καὶ πολλά. τῷ μὲν γὰρ ἑκάστης τῶν διὰ τῶν αἰσθητηρίων γινομένων κινήσεων ἀπὸ τῶν αἰσθητῶν ἐν τῷ ἐσχάτῳ αἰσθητηρίῳ πέρας εἶναι τὴν αἰσθητικὴν δύναμιν (μέχρι γὰρ ἐκείνου καὶ ἐπ' ἐκεῖνο ἡ ἀπὸ τῶν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων διάδοσις) πολλὰ ἔσται, πολλῶν καὶ διαφόρων κινήσεων γινομένη πέρας, τῷ δὲ δύναμις ἀσώματος εἶναι ὁμοίως ἡ αὐτὴ παντός τε οὖσα τοῦ ἐσχάτου αἰσθητηρίου καὶ ἑκάστου μέρους αὐτοῦ, ἀδιαίρετός τε ἔσται καὶ μία. ἓν δὴ καὶ οὐχ ἓν ἡ δύναμις ἡ αἰσθητική. ᾗ μὲν οὖν οὐχ ἕν, ἀλλὰ πλείω, ταύτῃ καὶ πλειόνων ἅμα αἰσθήσεται καὶ διαφερόντων τῷ καθ' ἕκαστον μέρος τοῦ αἰσθητηρίου πάσχοντος αἰσθάνεσθαι τοῦ πάθους διὰ τὸ εἶναι δύναμίς τε καὶ πέρας ἑκάστου, ᾗ δὲ πάντα τὰ πέρατα ἕν τί ἐστιν καὶ ταὐτόν (ᾧ γὰρ τὸ τῆς ἀφ' ἑνὸς αἰσθητηρίου γινομένης κινήσεως ἐφαρμόζει πέρατι, τούτῳ καὶ τὰ τῶν ἄλλων ὁμοίως), ταύτῃ δὲ ὡς ἑνὶ τὰς πάντων αὐτῶν κρίνει διαφοράς, ὅταν ἅμα αἱ ἀπ' αὐτῶν κινήσεις γένωνται. οὕτως τε δυνήσεται ἕν τι ὂν καὶ ἀδιαίρετον ἐν ἀδιαιρέτῳ τε καὶ συνεχεῖ χρόνῳ γνωρίζειν τὰς τῶν ἀνομογενῶν αἰσθητῶν διαφοράς. ὡς δὲ ἐπὶ τῶν ἀνομογενῶν αἰσθητῶν οὕ-

---

2 διὰ] in γοῦν] denn 4 τῆς—κινήσεως] von der Bewegung, welche von jenen im Gesichte war 5 σώμασιν om. 8 γὰρ] und 8—9 αἱ ἀπὸ—οὖσαι πολλαὶ] die geraden Linien, welche hineinkommen zwischen ihrem Mittelpunkt und ihrem Umfang, wenn sie auch viele sind 10 ἐφαρμόζειν] verbunden sind mit dem Mittelpunkt 12 πολλὰ] ein Vieles 13 τὸ—πολλά] [man muss sich vorstellen], dass sie eine und dass sie viele sei 17 διαφόρων om. 18 ὁμοίως ἡ αὐτή] in einer Weise und ein und dasselbe 19 καὶ ante μία om. 21—23 τῷ καθ'—ἑκάστου] wenn jeder einzelne von den Teilen des wahrnehmenden, nachdem er die Spur aufgenommen hat, diese Spur wahrnimmt, weil sie Kraft und Ende ist für jeden einzelnen derselben 23—25 ᾧ γὰρ—ὁμοίως] indem dasselbe Ding, womit das Ende der Bewegung, welches durch eines der Sinnesorgane stattfindet, auch mit den Enden der übrigen Bewegungen in einer Weise übereinstimmt 25 ὡς ἑνὶ κρίνει] sie erkennt, weil sie ein Ding ist 26 τε om. 26—27 ἕν—ἀδιαίρετον] das eine unteilbare Ding 27 τε καὶ om.

---

7 πῇ a 18 παντός τε V: πάντα τε a 24 τὸ (scil. πέρας) V: τῷ a 25 fortasse κρινεῖ ut αἰσθήσεται (21 cf. 26)

τως ἅμα τὰ διαφέροντα κρίνει τῷ ἅμα αὐτὴν ἔχειν τὰ πάντων εἴδη πέρας οὖσαν τῶν αἰσθητηρίων τῶν τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη διαγγελλόντων αὐτῇ, οὕτως κρίνει καὶ τὰς τῶν ἐναντίων διαφοράς, ὧν ἡ αἴσθησις γίνεται δι' ἑνὸς αἰσθητηρίου. καὶ γὰρ ἐπὶ τούτων τὸ αἰσθητήριον ἔσται κατ' ἄλλο καὶ ἄλλο μέρος αὐτοῦ ἅμα τὰ πάθη τῶν ἐναντίων αἰσθητῶν δεχόμενον, ἐπεὶ μὴ οἷόν τε ἅμα τὰ ἐναντία ἐν τῷ αὐτῷ γενέσθαι πάθη. πάσχοντος δὲ τούτου κατὰ διαφέροντα μόρια ὑπὸ τῶν ἐναντίων αἰσθητῶν καὶ ὡς πάσχει οὕτως διαδιδόντος ἐπὶ τὸ ἔσχατον αἰσθητήριον τὰ πάθη κἀκείνου παραπλησίως κατὰ μόρια παθόντος, ἡ δύναμις ἡ αὐτὴ καὶ μία οὖσα ἐκ παντός τε τοῦ αἰσθητηρίου καὶ ἑκάστου τῶν μερῶν αὐτοῦ ἅμα αἰσθάνεταί τε καὶ κρίνει τὰ ἐναντία. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ πάσχειν ἀδύνατον συνυπάρξαι τῷ αὐτῷ τὰ ἐναντία, οὕτως δὲ ἔχει καὶ ἐπὶ τῆς κρίσεως αὐτῶν. οὐ γὰρ ἐναντία κρίσις ἡ περὶ τῶν ἐναντίων κρίνουσα τὰ ἐναντία, ἣν δὲ ἀδύνατον τὰ ἐναντία ἅμα περὶ τῷ αὐτῷ γενέσθαι. ἐν κρίσει γὰρ ἐναντία οὐ τὸ τὰ ἐναντία ἐναντία λέγειν, ἀλλὰ τὸ τὸ αὐτὸ ἅμα εἶναι τἀναντία. διὸ τοῦτο μὲν ἀδύνατον συνυπάρξαι τῷ κρίνοντι ὡς ἅμα ταὐτὸν εἰπεῖν λευκόν τε καὶ μέλαν, τὸ δὲ τὰ ἐναντία κρῖναι ὅτι ἐναντία οὐκ ἀδύνατον. κρίνει δὴ ἡ δύναμις ἡ αἰσθητικὴ ἅμα τὰ ἐναντία ὅτι ἐναντία, τοῦ ἐσχάτου αἰσθητηρίου οὗ δύναμίς ἐστιν αὐτὴ κατὰ διαφέροντα μόρια πάσχοντός τε καὶ τὰ εἴδη 135r τῶν ἐναντίων αἰσθητῶν διαγγέλλοντος αὐτῇ. ἡ γὰρ αὐτὴ δύναμις ἂν μὲν κατὰ ἕν τι αἰσθητὸν καὶ ἀφ' ἑνὸς τὸ αἰσθητήριον πάθῃ, τοῦτο κρίνει, ἂν δὲ κατὰ πλείω, ταῦτα. ὧν γὰρ ἅμα τὸ αἰσθητήριον τὰ εἴδη λαμβάνει,

---

1 αὐτὴν] es [scil. τὸ ἓν καὶ ἀδιαίρετον] 1—3 πέρας οὖσαν—διαγγελλόντων αὐτῇ] weil es das Ende ist für das Organ (sic) des Sinnes, welcher sie (sic) unterscheidet von den Spuren, welche in ihnen durch die Sinnesobjekte entstehen 4—5 καὶ γὰρ—δεχόμενον] Denn dabei nimmt auch das Sinnesorgan in jedem besonderen Teile davon zugleich zwei Spuren zweier entgegengesetzter Sinnesobjekte auf 6 ἐναντία] zwei entgegengesetzte 7 ἐναντίων] zwei entgegengesetzte 9 κατὰ μόρια] in jedem besonderen Teile 11 πάσχειν] Aufnahme der Spur und Affection 12 κρίσεως] Erkenntniss und Urteil 14—15 τὸ—λέγειν] dass man die zwei Entgegengesetzten unterscheidet 15—17 διὸ—μέλαν] Daher ist die Existenz desselben zugleich im Beurteiler unmöglich, so dass er von einem und demselben Dinge sage, dass es weiss und dass es schwarz sei 17 κρῖναι] Erkenntniss und Urteil δὴ] vielmehr 18 ὅτι ἐναντία om. 20 διαγγέλλοντος] unterscheidet über [cf. v. 1—3] 20—65,1 ἡ γὰρ—ποιεῖται] denn wenn die Wahrnehmung ein und derselben Kraft den zwei Gegensätzen wird, und die Affection des Wahrnehmenden von einem der Organe des Sinnes [herrührt], so fällt die Erkenntniss zwischen den beiden Gegensätzen, und wenn seine Wahrnehmung das, was mehr als dieses ist, [betrifft], so fällt die Erkenntniss zwischen die Gesammtheit. Das Ding nämlich, mit welchem der Wahrnehmende die Formen derselben annimmt, dasselbe erkennt, was zwischen ihnen ist, zugleich

---

1 διφέροντα a τέρας a 2 αἰσθηρίων a διαγγελόντων a 4 αἰσθτηριον a 8 διαδιδόντως a 10 αἰσθητη|τηρίου V 11—12 οὐ γὰρ ὥσπερ—τὰ ἐναντία om. a 13 ἐναντίᾳ a 14 γὰρ ἐναντίᾳ a 15 ἐναντία ἐναντία] τιο ἐναν m¹ in mg. V: ἐναντία a 18 ὅτι V: ἄρα a 21 πάθῃ] sub θ paululum erasum V: πάθη a 22 πλείῳ a

τούτων ἅμα τὰς κρίσεις ἐκείνη ποιεῖται· πῶς δὲ οἷόν τε ἅμα τὸ αἰσθητήριον τά τε διαφέροντα εἴδη λαμβάνειν καὶ τὰ ἐναντία, προείρηται. τῇ κοινῇ δὲ αἰσθήσει ταύτῃ καὶ ὁρώντων αὐτῶν αἰσθανόμεθα καὶ ἀκουόντων καὶ καθ' ἑκάστην αἴσθησιν αἰσθανομένων. ὁ γὰρ ὁρῶν αἰσθάνεται αὐτοῦ ὁρῶντος καὶ ἀκούων ἀκούοντος. οὐ γὰρ δὴ ἄλλῃ τινὶ δυνάμει παρὰ τὴν ⟨κοινὴν⟩ αἴσθησιν αὐτῶν αἰσθανομένων αἰσθανόμεθα. οὐ γὰρ ὁρῶμεν ὅτι ὁρῶμεν οὐδὲ ἀκούομεν ὅτι ἀκούομεν. οὔτε γὰρ τὸ ὁρᾶν ὁρατὸν οὔτε τὸ ἀκούειν ἀκουστόν, ἀλλ' ἔστιν αὕτη ἡ ἐνέργεια τῆς πρώτης τε καὶ κυρίας αἰσθήσεως καὶ κοινῆς λεγομένης, καθ' ἣν γίνεται συναίσθησις τοῖς αἰσθανομένοις τοῦ αἰσθάνεσθαι. καὶ τῶν κοινῶν δὲ καλουμένων αἰσθητῶν διὰ ταύτης ἡ ἀντίληψις. συναναφέρεται μὲν γὰρ ἕκαστον αὐτῶν τοῖς ἰδίοις ἑκάστης αἰσθήσεως αἰσθητοῖς διὰ τῶν οἰκείων αὐτοῖς ὀργάνων. κινεῖται γὰρ ἡ ὄψις ὑπὸ χρώματος ὄντος μετὰ μεγέθους, μετὰ σχήματος, μετὰ ἠρεμίας ἢ κινήσεως, μετὰ ἀριθμοῦ, μετὰ ἀποστήματος· μεθ' ὧν οὖν ὂν τὸ χρῶμα ἐκίνησεν αὐτήν, καὶ τὰς ἀπὸ τούτων κινήσεις συναναφέρει τοῖς χρώμασιν. οὐ μὴν ἡ τῶν χρωμάτων κριτικὴ δύναμις καὶ περὶ τῶνδε κρίνει, ἀλλ' ἔστι καὶ ἡ τούτων κρίσις τῆς κοινῆς ἔργον αἰσθήσεως· ὅτι γὰρ οὐχ ἡ ὄψις, δῆλον ἐκ τοῦ μὴ μόνον αὐτὰ τοῖς χρώμασιν παρυφίστασθαι, ἀλλὰ καὶ τοῖς ψόφοις καὶ τοῖς ταῖς ἄλλαις αἰσθήσεσιν αἰσθητοῖς. διὸ ἐλέγχεται οὔτε ὁρατὰ ὄντα οὔτε ἀκουστὰ οὔτε τινὸς τῶν ἄλλων αἰσθήσεων τῶν ταύταις ἀντιδιῃρημένων ἴδια αἰσθητά. τὸ δὲ εἶναι μόνας τὰς πέντε αἰσθήσεις,

1 πῶς οἷόν τε] was die Art betrifft, in welcher man erkennt, dass τὸ αἰσθητήριον] der Wahrnehmende 3 δὲ om. 3—4 ὁρώντων—αἰσθανομένων] wenn wir diese Dinge sehen, nehmen wir wahr, dass wir sie gesehen haben, und wenn wir sie gehört haben, nehmen wir wahr, dass wir sie hören, ebenso wenn wir durch jeden einzelnen der Sinne wahrgenommen haben 5—6 οὐ γὰρ δὴ—ὁρῶμεν] Das Ding nämlich, durch welches wahrgenommen wird, wenn wir wahrgenommen haben, dass wir wahrnehmen, ist durch keine andere Kraft, als diejenige, in welcher der Sinn gesammelt (zusammengefasst) wird. Denn wir nehmen nicht wahr, dass (wenn) wir wahrnehmen durch die Kraft, durch welche wir wahrnehmen. Wir sehen nämlich nicht 11—12 συναναφέρεται—αἰσθητοῖς διὰ] wir steigen nämlich zu jedem einzelnen von diesen Sinnesobjekten mit den je einem der Sinne specifischen Sinnesobjekten durch 13 μεγέθους] Maass 14—15 μεθ' ὧν—χρώμασιν] also sieht das Ding, welches die Farbe im Sehen bewegt — und diese vereinigt jene — mit den Farben auch die Bewegungen, welche von jenen entstehen 18 post ὄψις addit: dieser Sinn sei αὐτὰ] seine [i. e. dieses Sinnes] Existenz 19—21 διὸ—αἰσθητά] daher wird aus ihrem Zustande offenbar, dass sie nicht sichtbare und nicht hörbare und nicht sinnlich wahrnehmbare sind, welche einem von den anderen diesen beiden ähnlichen Sinnen in der Teilung eigentümlich sind

3 αὐτῶν scripsi: αὐτῶν Va 4 αὐτοῦ scripsi: αὐτοῦ Va 5 ἄλλη a 6 κοινὴν addidi, cf. int. hebraicam; ex eadem potuerit concludi Arabem legisse αἰσθανόμεθα. ⟨οὐ γὰρ αἰσθανόμεθα, ὅτι αἰσθανόμεθα αὐτῇ τῇ δυνάμει ᾗ αἰσθανόμεθα·⟩ οὐ γὰρ ὁρῶμεν αὐτῶν scripsi: αὐτων (η supra ω vet corr. sive m[1]) V: αὐτῶν a 7 ὁρᾷν a 9 συναίσθησις] ν supra lin. V 12 αὐτῆς a 14 ὂν om. a 18 αὐτὰ] scil. μέγεθος, ἀριθμός, τὰ κοινὰ αἰσθητά 20 τῶν ante ἄλλων supra lin. V 21 αντιδιηρημένων a

περὶ ὧν προειρήκαμεν, καὶ μηδεμίαν παρὰ ταύτας ἄλλην, δεικνύοιτο μὲν ἂν καὶ ἐκ τοῦ μηδὲν αἰσθητήριον οἷόν τε εἶναι παρὰ τὰ ὄντα ἐν τοῖς τελείοις ζῴοις. ἔδει δέ, εἰ αἴσθησίς τις ἔλειπεν, καὶ αἰσθητήριόν τι λείπειν, ὡς ἔδειξεν Ἀριστοτέλης ἐν τῷ τρίτῳ Περὶ ψυχῆς. δεικνύοιτο δ' ἂν καὶ διὰ τοῦ πᾶσαν μὲν αἴσθησιν ἐν ζῴῳ εἶναι, μηδὲν δὲ ζῷον ἔχειν ἄλλην τινὰ παρὰ τὰς προειρημένας. ἀλλὰ καὶ διὰ τοῦ τελειοτάτην μὲν τῶν ψυχικῶν δυνάμεων εἶναι τὴν λογικήν, ἐπὶ δὲ ταῖς πρώταις τετελεσμέναις αἱ τελειότεραι, ὥστε ἐν οἷς ἡ λογική, ἐν τούτοις πρῶτον πᾶσα ἡ αἰσθητική.

Ἡ δὲ φανταστικὴ δύναμις τῆς ψυχῆς ἐστι μὲν κριτικὴ καὶ αὐτή, ἡ τούτων μία οἷς ἀληθεύειν ἢ ψεύδεσθαι λεγόμεθα. ἔστι γὰρ καὶ ἀληθὴς καὶ ψευδὴς φαντασία, ὥσπερ καὶ αἴσθησις, καὶ πολλὰ κατὰ φαντασίαν καὶ ποιεῖ καὶ πάσχει τὰ ζῷα. λεγόμεθα δὲ ἀληθεύειν αἰσθήσει, δόξῃ, ἐπιστήμῃ, νῷ. ὧν αἴσθησις μέν ἐστιν, ὡς εἴρηται, δύναμις δεκτική τε καὶ κριτικὴ τῶν ἐν τοῖς αἰσθητοῖς εἰδῶν χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης. ἐν τοῖς ἰδίοις ἀληθεύουσα ὡς ἐπὶ τὸ πλεῖστον, δόξα δὲ ὑπόληψις περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν, ἐπιστήμη δὲ συλλογισμὸς ἀποδεικτικὸς ἢ γνῶσις τῆς τοῦ ἐπιστητοῦ αἰτίας, ὅτι ἐκείνου ἐστὶ καὶ ἀδύνατον αὐτὸ ἄλλως ἔχειν, νοῦς δὲ δύναμις τῶν ἀύλων εἰδῶν ληπτική, ἢ δύναμις ᾗ ἀληθεύομεν περὶ τὰς ἀναποδείκτους ἀρχάς. οὐ μὴν τούτων ἐστί τινι ἡ φαντασία ἡ αὐτή, εἰ τὴν ἰδίως τις καὶ κυρίως λεγομένην φαντασίαν λέγοι. αὕτη δέ ἐστι κίνησίς τις, καθ' ἣν λέγομεν φάντασμά τι ἡμῖν ἐν τῇ ψυχῇ γίνεσθαι, ἐπεὶ κατὰ μεταφοράν γε κατὰ πάντων τῶν προειρημένων τῇ φαντασίᾳ χρώμεθα πολλάκις. καὶ γὰρ κατὰ αἰσθήσεως καὶ κατὰ δόξης καὶ κατὰ ἐπιστήμης καὶ νοῦ τὴν φαντασίαν κατηγοροῦμεν. τῆς μὲν οὖν αἰσθήσεως χωρίζεται ἡ τοιαύτη φαντασία τῷ τὴν μὲν αἴσθησιν παρόντων εἶναι τῶν αἰσθητῶν, φαντασίαν δὲ γίνεσθαι καὶ μὴ παρόντων, καὶ αἴσθησιν μὲν ἐγρηγορότων γίνεσθαι, φαντασίαν δὲ καὶ κοιμωμένων. ἔτι αἴσθησις μὲν οὐκ ἐφ' ἡμῖν (οὐ γὰρ ἐφ' ἡμῖν μὴ παρόντων τῶν αἰσθητῶν αἰσθάνεσθαι),

---

2 μηδὲν αἰσθητήριον] Kein anderes Organ (B: Organ für einen anderen Sinn) 3 ἔδει] es ist [so] dass, wenn ἔλειπεν] addit: diesen (dat.) 7 ἐπὶ δὲ ταῖς — τελειότεραι] er [der Intellect] ist aber der vollkommenste dadurch, dass die ersten Kräfte in ihm vollendet sind 9—10 ἡ δὲ — λεγόμεθα] Die Kraft der Phantasie gehört zu den Kräften der Seele, auch sie ist eine erkennende, eine der Kräfte, durch welche von uns gesagt wird, ob wir die Wahrheit reden oder lügen 11 καὶ ante πολλὰ om. 12 δόξῃ] Glaube, Meinung 15 ἰδίοις] die Sinnesobjekte, die sie wahrnimmt 17 τοῦ ἐπιστητοῦ] des durch das Lernen Erkannten 17—18 ὅτι ἐκείνου — ἔχειν] und es ist nicht möglich, dass es (?) anders als das durch Lernen Erkannte sei 21 φάντασμά τι γίνεσθαι] dass eines der Dinge vorgestellt werde 23 πολλάκις om. 24 τῆς αἰσθήσεως χωρίζεται] was den Sinn betrifft, so wird [die Phantasie] von uns (ihm?) unterschieden 26 καὶ om. 27—28 ἔτι αἴσθησις — αἰσθάνεσθαι] Das Verhältniss des Sinnes zu uns ist nicht dieses; er ist uns nämlich nicht, dass wir Sinnesobjekte wahrnehmen, wenn sie für uns nicht vorhanden sind

---

3 ὡς ἔδειξεν κτλ.] Ar. de an. 3,1. 424b22. 4 ἀριστοτέλους a 9 „περὶ φαντασίας καὶ φανταστικῆς δυνάμεως.“ ἡ δὲ Va 10 fortasse αἷς 17 fortasse ἐκεῖνο cf. Ar. an. post. 71b15

φαντασία δὲ καὶ ἐφ' ἡμῖν· ἐφ' ἡμῖν γὰρ φαντασίαν τινὸς καὶ μὴ παρόντος λαβεῖν. καὶ αἰσθήσεως μὲν πάντα μετέχει τὰ ζῷα. φαντασίας δὲ οὐ δοκεῖ, ὥς τά τε ὀστρειώδη τῶν θαλασσίων καὶ οἱ σκώληκες. καὶ ἡ μὲν αἴσθησις ἀεὶ τῶν ἰδίων ἀληθής ἐστι, τῶν δὲ φαντασιῶν αἱ πλεῖσται ψευδεῖς. ὅτι δὲ μὴ ταὐτὸν αἴσθησις καὶ φαντασία, δῆλον καὶ ἐκ τοῦ ὅταν μὲν ἀκριβῶς αἰσθανώμεθά τινος μὴ λέγεσθαι ἡμᾶς φαντασίαν ἔχειν αὐτοῦ, ἀμαυρῶς δέ τινος αἰσθανόμενοι φαίνεσθαι ἡμῖν ἐκεῖνο λέγομεν. καίτοι, εἰ ἦν ταὐτά, ἔδει τὴν μᾶλλον αἴσθησιν μᾶλλον φαντασίαν εἶναι, καὶ τὴν ἀκριβεστέραν αἴσθησιν καὶ φαντασίαν ἀκριβεστέραν. ἀλλὰ μὴν οὐδὲ ἐπιστήμῃ οὐδὲ νῷ ταὐτὸν ἡ φαντασία, ὅτι ἐπιστήμη μὲν καὶ νοῦς ἀεὶ ἀληθῆ, τῶν δὲ φαντασιῶν αἱ πλεῖσται ψευδεῖς. ἔτι ἐπιστήμη μὲν καὶ νοῦς, ὥσπερ οὖν καὶ φρόνησις, ἐν μόνοις τοῖς λόγον ἔχουσιν, φαντασία δὲ καὶ ἐν ἀλόγοις. δόξαι δ' ἂν κατὰ τὸ ἀληθὴς καὶ ψευδὴς γίνεσθαι φαντασία ἡ αὐτὴ εἶναι τῇ δόξῃ. καὶ γὰρ τῶν δοξῶν αἱ μὲν ἀληθεῖς εἰσιν, αἱ δὲ ψευδεῖς. οὐ μὴν οὐδὲ οὕτως ἔχει. τῇ μὲν γὰρ πάντως πίστις ἕπεται (ὁ γὰρ δοξάζων περί τινος 135v πάντως καὶ συγκατατίθεται ὡς οὕτως ἔχοντι· ἡ γὰρ περί τινος δόξα συγκατάθεσις ἐκείνῳ ὡς οὕτως ἔχοντι· ἡ δὲ συγκατάθεσις μετὰ πίστεως, λογικὴ γὰρ συγκατάθεσις ἡ δόξα καὶ μετὰ κρίσεως), οὐ πᾶσα δὲ φαντασία μετὰ πίστεως. τῶν γοῦν ἀλόγων ζῴων φαντασίαν μὲν ἔχει πολλά, πίστιν δὲ οὐδέν. εἰ δὲ μὴ πίστιν, οὐδὲ τὴν μετὰ κρίσεως συγκατάθεσιν. ἔτι πᾶσα μὲν δόξα ἐν συνθέσει (ἢ γὰρ καταφατικὴ ἢ ἀποφατική), οὐ πᾶσα δὲ φαντασία τοιαύτη. διὸ οὐδὲ τὸ ἀληθές τε καὶ ψεῦδος ἐν ἀμφοτέραις ὁμοίως, ὥσπερ οὐδὲ τὸ ἐν αἰσθήσει τε καὶ δόξῃ. εἰ δὲ μηδὲν τούτων ἐστὶν ἡ φαντασία τῷ μήτε τὰ τῇ αἰσθήσει ἑπόμενα μήτε τὰ τῇ δόξῃ μήτε τὰ τῇ ἐπιστήμῃ μήτε τὰ τῷ νῷ ἕπεσθαι αὐτῇ, δῆλον ὡς οὐδὲ ἐκ συνθέσεως εἴη ἂν αἰσθήσεώς τε καὶ δόξης, ὡς δοκεῖ τισιν. ἦν γὰρ ἂν τὰ ἑκατέρῳ τούτων ἑπόμενα καὶ τῇ φαντασίᾳ τῷ τὸ συγκείμενον ἔκ τινων σωζομένων ἐν

1—2 φαντασία—λαβεῖν] das Verhältniss der Phantasie ist ebenfalls für uns, dass wir nämlich Etwas vorstellen können, auch wenn es nicht da ist 2 καὶ om. 4 τῶν ἰδίων] über die Sinnesobjekte, die ihn specificiren 7 καίτοι] nun 8 ἀκριβεστέραν] wahrere und wahrhaftigere 11 φρόνησις] Erkenntniss. post μόνοις addit: „nicht anderen“ 14 οὐ μὴν οὐδὲ οὕτως ἔχει] was bei Intellect und Syllogismus nicht der Fall ist 15 τῇ μὲν γὰρ] denn der Meinung 17 δὲ om. 17 ἡ δὲ συγκατάθεσις—πίστεως] die Ansicht ist mit dem Glauben an die Sache verbunden, von welcher man eine Ansicht hat 17—18 λογικὴ—μετὰ κρίσεως] denn die Meinung ist eine redende, folgernde 19 πίστιν δε οὐδέν] [viele Thiere besitzen Phantasie], wovon nichts Bewährung hat 20 συγκατάθεσιν] Meinung 21 δόξα] Meinung. 22 ὁμοίως] zusammen auf dieselbe Weise 23 ὥσπερ—δόξῃ] wie auch nicht Wahrheit und Falschheit im Sinn und der Meinung auf dieselbe Weise ist 26 ante ἦν γάρ addit: Bestände sie in einer Zusammensetzung beider 27 σωζομένων ἐν αὐτῷ] Unter Beibehaltung

5 δὲ μὴ V: μηδὲ a 6 αἰσθανόμεθα a 11 ἔτι] inter ε et τ paululum erasum V ὥσπερ οὖν] cf. Ind. 12 μόνης a 13 ἀληθὲς a 20 μετὰ] τα in lit. V 22 ψεῦδος] cf. 70,7 23 τούτων] ω in lit. V

αὐτῷ τῶν ἐξ ὧν σύγκειται οὕτως εἶναι ἐξ αὐτῶν. οὐ γὰρ ταὐτὸν ἡ σύνθεσις τῇ κράσει. τὸ μὲν γὰρ κεκραμένον ἔκ τινων ἐστὶ μὲν ἐξ ἐκείνων, οὐ μὴν ἐκεῖνα, τὸ δὲ συγκείμενον ἐκεῖνά ἐστι μετά τινος θέσεώς τε καὶ τάξεως. τί τοίνυν ἐστὶν ἡ φαντασία, ὧδε ἂν γνωρίσαιμεν· δεῖ νοεῖν γίνεσθαι ἐν ἡμῖν ἀπὸ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ οἷον τύπον τινὰ καὶ ἀναζωγράφημα ἐν τῷ πρώτῳ αἰσθητηρίῳ (τοῦτο δ' ἐστὶ τὸ σῶμα, ἐν ᾧ ἡ αἰσθητικὴ τῆς ψυχῆς δύναμίς ἐστι), ἐγκατάλειμμά τι ὂν τῆς ὑπὸ τοῦ αἰσθητοῦ γινομένης κινήσεως, ὃ καὶ μηκέτι τοῦ αἰσθητοῦ παρόντος ὑπομένει τε καὶ σώζεται, ὂν ὥσπερ εἰκών τις αὐτοῦ, ὃ καὶ τῆς μνήμης ἡμῖν σωζόμενον αἴτιον γίνεται. τὸ τοιοῦτον ἐγκατάλειμμα καὶ τὸν τοιοῦτον ὥσπερ τύπον φαντασίαν καλοῦσιν. διὸ καὶ ὁρίζονται τὴν φαντασίαν τύπωσιν ἐν ψυχῇ καὶ τύπωσιν ἐν ἡγεμονικῷ. μήποτε δὲ οὐχ ὁ τύπος αὐτὸς ἡ φαντασία, ἀλλὰ ἡ περὶ τὸν τύπον τοῦτον τῆς φανταστικῆς δυνάμεως ἐνέργεια. εἰ γὰρ ἦν αὐτὸς ὁ τύπος ἡ φαντασία, ἦμεν ἂν ἐν φαντασίᾳ καὶ μὴ ἐνεργοῦντες περὶ αὐτόν, ἔχοντες δὲ αὐτόν, καὶ ἅμα ἂν ἐν πλείοσιν ἦμεν φαντασίαις καὶ τοσαύταις ὅσων τὸν τύπον σώζομεν. ἔτι ἤτοι τὴν γινομένην τύπωσιν φαντασίαν λέγουσιν ἢ τὴν γεγονυῖαν ἤδη καὶ οὖσαν. ἀλλ' εἰ μὲν τὴν γινομένην, τὴν αἴσθησιν ἂν λέγοιεν τὴν κατ' ἐνέργειαν φαντασίαν. αὕτη γὰρ ἡ γένεσις τοῦ τύπου, ἀλλὰ γίνονται φαντασίαι καὶ χωρὶς τῆς κατὰ τὰς αἰσθήσεις ἐνεργείας. εἰ δὲ τὴν γεγονυῖαν καὶ σωζομένην, τὴν μνήμην ἂν λέγοιεν φαντασίαν. ἀλλὰ εἴη ἂν ὡς ἐπὶ τῆς αἰσθήσεως. ὡς γὰρ ἐπ' ἐκείνης ἐστὶ μέν τι αἰσθητόν, ἔστι δέ τις καὶ δύναμις αἰσθητική, ἔστι καὶ ἐνέργεια τῆς δυνάμεως περὶ τὸ αἰσθητόν, ἣν αἴσθησιν καλοῦμεν (ὁμοίως δὲ καὶ ἐπὶ τῆς νοήσεως· νοητὸν μὲν τὸ πρᾶγμα, νοῦς δὲ ἡ δύναμις, νόησις δὲ ἡ τοῦ νοῦ περὶ τὸ νόητον ἐνέργεια), οὕτως δὲ ὑποληπτέον ἔχειν καὶ ἐπὶ τῆς φαντασίας τὸ μέν τι εἶναι φανταστόν (τοῦτο δ' ἂν εἴη τὸ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινόμενον ἐγκατάλειμμα, ἀνάλογον ὂν τῷ αἰσθητῷ τε καὶ νοητῷ), τὸ δὲ φανταστικόν, ἀνάλογον ὂν καὶ αὐτὸ τῷ αἰσθητικῷ τε καὶ τῷ νῷ, τὸ δὲ φαντασίαν, οὖσαν καὶ αὐτὴν ἀνάλογον τῇ αἰσθήσει καὶ τῇ νοήσει, ἐνέργειαν οὖσαν τῆς φανταστικῆς δυνάμεως περὶ τὰ φανταστά. ὑπόκειται γὰρ τῇ φανταστικῇ δυνάμει τὰ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθή-

1 οὕτως om. 1—2 οὐ—κράσει] eine Zusammensetzung dieser Art wird nicht durch Mischung 3 post ἐκεῖνά ἐστι addit: aus denen es zusammengesetzt ist 4 ὧδε ἂν γνωρίσαιμεν] wer gäbe, dass ich es wüsste! (= möchte ich wol wissen) 5—6 οἷον —ἀναζωγράφημα] [Etwas] einer Spur und einem Eingeprägten Aehnliches 9 ὂν—εἰκών τις] auf der Stufe einer Aehnlichkeit 11 τύπωσιν ἐν ψυχῇ καὶ om. 13 περὶ τὸν τύπον τοῦτον om. post ἐνέργεια addit: wodurch es ist (entsteht) 16—17 ἔτι ἤτοι—φαντασίαν om. 21 εἴη ἂν ὡς] es ist mit der Phantasie, wie 23—25 ὁμοίως—ἐνέργεια] so auch bei der intellectuellen Vorstellung ein intelligibles Ding, und dies ist das, was intellectuell vorgestellt wird, und der Intellect, d. i. die Kraft, durch welche jenes wird (?) und die intellectuelle Vorstellung, d. i. die Wirkung des Intellects im Vorgestellten 29 καὶ αὐτὴν om.

4 ᾧδε a 5 τύπτον a 7 ἐγκατάλλημα V ὂν om. a 22 fortasse ἐστὶ ⟨δὲ⟩ καὶ

σεως γινόμενα ἐγκαταλείμματα ὡς ὄντα τινὰ αἰσθητὰ ἐντός, ὡς τῇ αἰσθητικῇ τὰ αἰσθητὰ ὄντα ἐκτός. καλεῖται δὲ τὰ τοιαῦτα ἐγκαταλείμματα κατ᾽ ἐνέργειαν αἴσθησις, ὅτι τῆς ἐνεργείας τῆς αἰσθητικῆς ταῦτ᾽ ἐστιν ἔργα. καὶ τὸ κατ᾽ ἐνέργειαν αἰσθέσθαι ἐστὶ τὸν τύπον τοῦτον σχεῖν ἐν αὑτῷ ἀπὸ τῶν αἰσθητῶν ἐκτὸς ὄντων· ἡ δὲ φανταστικὴ δύναμίς ἐστιν ἡ αὐτὴ μὲν κατὰ τὸ ὑποκείμενον τῇ αἰσθητικῇ, τῷ λόγῳ μέντοι διαφέρουσα. αἰσθητικὴ μὲν γάρ ἐστι, καθόσον τῶν αἰσθητῶν κεχωρισμένων τε τοῦ ἔχοντος αὐτὴν καὶ παρόντων ἐστὶν ἀντιληπτικὴ μόνων, φανταστικὴ δέ, καθόσον ὡς ἐκείνη περὶ τὰ αἰσθητὰ ἐκτὸς ὄντα ἐνεργεῖ, οὕτως αὕτη περὶ τὰ φανταστὰ ὄντα ἐν τῷ ἔχοντι αὐτὴν σώματι ὥσπερ αἰσθητὰ αὐτῇ, εἰ καὶ μὴ παρείη ἔτι τὰ αἰσθητά. ὅταν μὲν γὰρ παρόντων τῶν αἰσθητῶν ἡ ἐνέργεια αὐτῇ γίνηται, αἴσθησις γίνεται. ἡ γὰρ περὶ τὴν διὰ τοῦ αἰσθητηρίου ⟨κίνησιν⟩ παρόντος τοῦ αἰσθητοῦ ἐν τῷ αἰσθητικῷ γινομένη ἐνέργεια τῆς αἰσθητικῆς ψυχῆς αἴσθησίς ἐστι. διὸ καὶ ταὐτὸν εἶναι δοκεῖ ἥ τε αἴσθησις καὶ ἡ φαντασία. ὅταν δὲ μηκέτι τοῦ αἰσθητοῦ παρόντος ἡ ἐνέργεια τῇ αἰσθητικῇ ψυχῇ περὶ τὸ γενόμενον ἀπὸ τῆς κατ᾽ ἐνέργειαν αἰσθήσεως ἐγκατάλειμμα γίνηται ὡς αἰσθητόν τι, φαντασία τότε. ἡ γὰρ περὶ τὸ αὐτὸ τοῦτο ἐνέργεια, ὅταν μὴ ἁπλῶς ὡς περὶ τοιοῦτον γίνηται, ἀλλὰ καὶ ὡς ἀπ᾽ ἄλλου τινὸς ἐγγενόμενον, τὸ μὲν μνήμη, τὸ δὲ ἀνάμνησίς ἐστιν. ὧν περὶ τῆς διαφορᾶς ἐν ἄλλοις εἴρηται, νῦν δὲ περὶ τῆς φαντασίας λέγωμεν. ἐπεὶ γὰρ ἐνδέχεταί τι ὑπ᾽ ἄλλου κεκινημένον αὐτὸ πάλιν ἄλλο κινῆσαι (ἡ γοῦν βακτηρία κινεῖ τὸν λίθον ὑπ᾽ ἄλλου κεκινημένη), καὶ τὸ πρῶτον αἰσθητήριον κινηθὲν ὑπὸ τῶν αἰσθητῶν διὰ τῆς περὶ αὐτὰ ἐνεργείας αὐτὸ πάλιν διὰ τῆς ὑπ᾽ ἐκείνων γενομένης ἐν αὑτῷ κινήσεως κινεῖ τὴν φανταστικὴν ψυχὴν ὡς τὰ αἰσθητὰ τὴν αἰσθητικήν, παραπλησίως δὲ τούτοις καὶ τὰ κατὰ ἀναζωγράφησιν ἐν ἡμῖν γινόμενα καὶ τὰ ἀπὸ μὴ παρόντων κινεῖ. καὶ γὰρ

1 post αἰσθητὰ addit desselben 4 τὸν τύπον — ἐν αὑτῷ] dass in uns zurückbleibt die Spur 6 τῷ λόγῳ] im Inhalt 10 ὥσπερ αἰσθητὰ αὐτῇ] weil dieselben ihr sinnlich wahrnehmbar sind 11 ὅταν .. αὐτῇ γίνηται] wenn sie ihre Tätigkeit so ausübt 12—14 ἡ γὰρ — αἴσθησίς ἐστι] denn die Tätigkeit der sensuellen Seele, welche besteht in Bewegung, welche im Sinnesorgan am Wahrnehmenden während des Wahrgenommenen vorhanden und bleibend ist, ist Sinn 17 ὡς — τι] weil es irgend ein Wahrgenommenes ist 17—19 ἡ γὰρ — ἐγγενόμενον] Ist die Tätigkeit in diesem Reste selbst nicht schlechtweg, [nämlich] wie wir sie geschildert haben, sondern aus einer anderen Sache entstanden, 21 γοῦν] wie βακτηρία] Schleuder 22—24 καὶ τὸ — κινεῖ τὴν φανταστικὴν ψυχὴν] haec verba corrupta legit interpres 25 παραπλησίως — τούτοις] in derselben Weise 25—26 τὰ — γινόμενα] die Dinge, welche in ihr [der phantastischen Seele?] entstehen auf dem Wege der Abbildung und Vorstellung

3 αἴσθησις] alterum ι in lit. V ὅτι V: ἄρα a 4 αὑτῷ Va 9 τὰ ante αἰσθητὰ] α supra lin. V 11 αὐτῇ scripsi, scil. τῇ δυνάμει, quae secundum res, de quibus agit, aut αἰσθητική aut φανταστική fit: αυτη V: αὐτὴ a 12 γίνεται a κίνησιν addidi secutus interpretationem hebraicam 17 τοῦτο] το supra lin. V 23 αὐτὸ V: αὐτὰ a 26 ὑμῖν a

ταῦτα γίνεται τῷ γεγονέναι τινὰ αὐτῶν αἴσθησιν. ὥστε καὶ ταῦτα ὡς ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινόμενα κινεῖ. διὸ καὶ εἴη ἂν τῆς φαντασίας | λόγος κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. τὸ γὰρ λέγειν 136r τύπωσιν ἐν ἡγεμονικῷ, ἐν τῷ ἐγκαταλείμματι, οὐκ ἐν τῇ περὶ αὐτὸ ἐνεργείᾳ τὴν φαντασίαν τιθεμένων ἐστίν. ἡ μὲν οὖν περὶ τὸ ἐγκατάλειμμα τὸ ἀπὸ τοῦ καθ' αὑτὸ αἰσθητοῦ σωζόμενον γινομένη ἐνέργειά τε καὶ φαντασία ὁμοίως τὸ ἀληθές τε καὶ τὸ ψεῦδος ἕξει τῇ αἰσθήσει ἐφ' ᾗ γίνεται. διὸ αἱ πλεῖσται τῶν τοιούτων καὶ περὶ τὰ τοιαῦτα φαντασιῶν ἀληθεῖς, αἱ δὲ περὶ τὰ ἐγκαταλείμματα ἀπὸ τῶν κοινῶν τε αἰσθητῶν καὶ κατὰ συμβεβηκὸς πολὺ τὸ ψεῦδος ἔχουσιν τῷ καὶ τὰς αἰσθήσεις διαψεύδεσθαι περὶ τὰ τοιαῦτα, ἐφ' αἷς αἱ γινόμεναι φαντασίαι εἰκότως καὶ αὐταὶ τὸ ψεῦδος ἔχουσι πολύ. αἱ δὲ γινόμεναι μὲν ἀπὸ τῶν ἐγκαταλειμμάτων, μὴ πάντῃ δὲ σωζομένων, ἀλλὰ τῆς φαντασίας προσανατυπούσης αὐτά, πολὺ τὸ ψεῦδος ἔχουσιν. καὶ γὰρ ἐν τοῖς καθ' αὑτὰ αἰσθητοῖς γίνονται ψευδεῖς αἱ γινόμεναι τοῦτον τὸν τρόπον τῷ τὴν φανταστικὴν δύναμιν κινεῖσθαι ὑπὸ τῶν ἐγκαταλειμμάτων καὶ ὡς ἀπὸ παρόντων τῶν οὐ παρόντων καὶ οὐχ ὡς ἀπὸ τοιούτων ὁποῖά ἐστιν, οἷαί εἰσιν αἵ τε τῶν κοιμωμένων καὶ ὅσαι γίνονται, ὡς εἶπον, κατὰ ἀναζωγράφησίν τινα ἐν αὑτοῖς. τοιαῦται καὶ αἱ τῶν παρακοπτόντων. ἀρχὴ μὲν γὰρ καὶ ταύταις ἀπό τινος ἐγκαταλείμματος ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γενομένου· τῆς δὲ περὶ τὴν ἐνέργειαν τὴν περὶ αὐτὸ γινομένης διαμαρτίας αἰτία ἢ παρὰ τὸ σχῆμα ἢ παρὰ τὸ μέγεθος ἢ παρὰ τὸ χρῶμα ἤ τινα ἄλλην ποιότητα, ἢ τὴν κίνησιν ἢ τὸν τόπον, ἢ τὸ πλῆθος, ἢ τὴν σύνθεσιν. ἀληθὴς μὲν οὖν φαντασία ἡ περὶ τοιοῦτον ἐγκατάλειμμα ἐνεργοῦσα, ὃ ἀπὸ ὄντος τε γέγονεν καὶ ὁποῖον ἐκεῖνο καὶ ὡς ἔχει γινομένη περὶ αὐτό, ψευδὴς δὲ ἥ τε περὶ τὰ ἀπὸ μὴ ὄντος, ὁποῖαι

1 ὥστε καὶ ταῦτα .. κινεῖ] dadurch werden diese Dinge ebenfalls bewegt. 3—5 τὸ γὰρ—ἐστίν] denn der Ausspruch, dass sie eine Spur im Leiter ist, welche am Ueberrest [stattfindet], ist der Ausspruch desjenigen, der die Phantasie nicht in die Wirkung (in actu) am Ueberreste setzt 6 ἀπὸ—αἰσθητοῦ] von dem Wahrgenommenen selbst 7—8 διὸ—φαντασιῶν] daher ist der grösste Teil dieser Vorstellung, welche diesen Verlauf nimmt 8—9 αἱ δὲ—συμβεβηκός] Die Vorstellung hingegen, welche in den Resten ist, welche von den gemeinschaftlichen Sinnesobjekten übrig bleiben, und welche durch Zufall [entstehen] 12—13 αἱ δὲ—ἔχουσιν] Was die Vorstellung anbetrifft, welche aus den Resten entsteht, so sind (sic) diese nicht von allen Seiten gerettet, sondern die Vorstellung, [welche?] eine hinzugefügte Einwirkung in ihren Spuren hat, ist lügenhaft 17—18 καὶ ὅσαι—ἐν αὑτοῖς] und die Phantasie, welche auf dem Wege der Abbildung (?) [stattfindet], wie ich in Bezug auf diese Reste gesagt habe 18 τοιαῦται—παρακοπτόντων] Diesen Verlauf nimmt die Vorstellung der Dinge, von denen aus man zur Verirrung (Sophismus) abweicht 23—25 ἡ περὶ—περὶ αὐτό] ist die, welche am Reste vorgeht, welcher von einem vorhandenen Dinge übrig geblieben und in ihr ist, indem er in seinem selbigen Zustande geblieben ist 25—71,1 ὁποῖαι—γινόμεναι] wie das, was davon im Schlafe [vorkommt], was entsteht

2 φανσίας a 4 τύπτωσιν ἐν ὑγεμονικῷ a 6 ἀπὸ scripsi: ὑπὸ Va καθ' αὑτοῦ a 11 αυται V 12 μὴ πάντῃ δὲ V: μηδὲ αὐτὴ δὲ a 16 ὡς supra lin. V 21 αἴτια Va

κατὰ τοὺς ὕπνους αἱ γινόμεναι ὡς ἀπὸ παρόντων τῶν αἰσθητῶν τῶν οὐ παρόντων, ἀλλὰ καὶ αἱ ἀπὸ παρόντων μέν, μὴ οἷα δέ ἐστι. ψευδὴς γὰρ φαντασία, ᾗ οὐ συμφωνεῖ τὸ φαινόμενον, ὡς καὶ δόξα, ᾗ ἀντιμαρτυρεῖ τὸ οὗ ἡ δόξα. καὶ ἔστιν ἥ τε ἀληθὴς καὶ ἡ ψευδὴς φαντασία κατὰ τὴν πρὸς τὸ οὗ εἰσι σχέσιν. τῶν δὲ φαντασιῶν αἱ μέν εἰσιν ἀμυδραί, αἱ δὲ σφοδραί, ὥσπερ ἔχει καὶ ἐπὶ τῶν αἰσθήσεων. ἀμυδραὶ μὲν αἱ ἐπιπόλαιοι καὶ μηδὲν ἔχουσαι καταληπτικόν, μηδὲ τρανῶς τὰς διαφορὰς τοῦ φανταστοῦ μηνύουσαι, σφοδραὶ δὲ αἱ ἐναντίως ἔχουσαι. γίνονται δὲ τοιαῦται ὁμοίως καὶ ἀληθεῖς καὶ ψευδεῖς, οὔτε γὰρ τῆς ἀληθοῦς ἴδιον τὸ σφοδρόν, οὔτε τῆς ψευδοῦς τὸ ἀμυδρόν, ἀλλὰ ἐναλλάττουσιν αὐτῶν αἱ διαφοραί. τὰς δὴ ἀληθεῖς τῶν φαντασιῶν καὶ σφοδρὰς εἰώθαμεν λέγειν καὶ καταληπτικὰς τῷ κατάληψιν εἶναι τὴν ταῖς τοιαύταις φαντασίαις συγκατάθεσιν, ἀκατάληπτον δὲ φαντασίαν καλοῦμεν τήν τε ψευδῆ καὶ τῶν ἀληθῶν τὰς ἀμυδράς. ἐναργὴς δὲ φαντασία λέγεται ποτὲ μὲν ἥ τε ἀληθὴς καὶ σφοδρά (τουτέστιν ἡ καταληπτική), ποτὲ δὲ ἡ σφοδρὰ μόνον ἡ τῇ ἀμυδρᾷ ἀντιτιθεμένη. ἕπεται δὲ τῇ σφοδρᾷ φαντασίᾳ συγκατάθεσις, εἰ μὴ εἴη δι' ἄλλων τινῶν πεφωραμένη ψευδὴς οὖσα, ὡς ἐπὶ τῆς φαντασίας τῆς τοῦ μὴ κινεῖσθαι τοὺς ἀστέρας πάσχομεν, καὶ ἐπὶ τῶν γραφῶν κατὰ τὰς εἰσοχάς τε καὶ ἐξοχάς, καὶ ἐπὶ τῶν ἐμφαινομένων τοῖς κατόπτροις. οὐ γὰρ διότι μή εἰσι σφοδραὶ ἀπιστοῦμεν αὐταῖς, ἀλλ' ὅτι διαβέβληται δι' ἄλλων· καὶ γὰρ ἀληθέσι τισὶ καὶ σφοδραῖς πολλάκις ἀπιστοῦμεν, ἂν ὦμεν προδιαβεβλημένοι. τῇ δὲ τῆς φαντασίας συγκαταθέσει ἕπεται ἐνέργεια πρακτική. διὸ τά τε ἄλογα ζῷα κατὰ τὰς φαντασίας, ἃ ποιεῖ, ποιεῖ καὶ ταῖς ἐπὶ ταύταις συγκαταθέσεσιν τῷ μὴ ἔχειν λόγον. καὶ οἱ ἄνθρωποι δὲ ταῖς φαντασίαις ἕπονται πολλάκις διὰ τὸ ἐπικεκαλύφθαι τὸν νοῦν αὐτῶν ἢ ὑπὸ πάθους τινὸς ἢ ὑπὸ νόσου ἢ ὑπὸ ὕπνου· ἔχει γὰρ τὸ ζῷον παρὰ τῆς φύσεως τὴν ψυχὴν τὴν φανταστικήν, ὥσπερ οὖν καὶ τὴν αἰσθητικήν, ὑποβάθραν καὶ ἀρχὴν πρὸς τὴν ἐπί-

3 ὡς καὶ δόξα] wie die **lügenhafte** Meinung die ist 4—5 κατὰ—σχέσιν] im Verhältniss zu dem phantastisch vorgestellten Ding 6—7 ἀμυδραὶ—μηνύουσαι] die schwache ist die, welche in oberflächlicher Betrachtung vorfällt, ohne dass in ihm (!) Etwas sei, was verhindert, dass das Phantasieobjekt zur Deutlichkeit gelange 11 καταληπτικὰς] anlangende, erreichende 14—15 καὶ σφοδρά—καταληπτική] ich meine die starke anlangende 18 καὶ ἐπὶ—ἐξοχάς] und in Vorstellungen in der Kategorie der Vertiefung und Erhabenheit 20 ἀπιστοῦμεν] beseitigen sie und halten sie nicht für wahr ἀλλ'—ἄλλων] sondern weil sie nach unserer Ansicht etwas Anderes fälscht 21 ἂν—προδιαβεβλημένοι] weil wir schon früher belehrt worden sind, dass sie schadhaft (lügenhaft) sind 22 ἐνέργεια πρακτική] die **intellectuelle** Wirkung (aus dem Intellect hervorgehend) 25 διά—νοῦν] weil Etwas die Erkenntniss derselben hindert 27 ὑποβάθραν] Basis ἐπίκρισιν] Anordnung

π κτ
3 ἀντιμαρτυρεῖ] τυ supra lin. V 6 ἐπιπόλεοι Va 7 καταληπτικόν (πκτ vet. corr. supra lin.) V: καταληπτικὸν a τρανῶν a 13 ἀληθῶν] ἀλη in lit. V ἀμηδράς a 15 ἀμυδρὰ a 16 σφοδρὰ a 19 διότι V: δι' ἄρα a 25 ἐπικεκαλῦφθαι a

κρισίν τε καὶ γνῶσιν τῶν πραγμάτων καὶ τῶν μὲν αἵρεσιν, τῶν δὲ φυγήν. ὡς γὰρ ἡ δόξα ἄλλου τινὸς χάριν ἐστίν (τοῦ γὰρ ὧδε ἢ ὧδε δοξάσαντος ἢ συνθέσθαι τῷ δοξαζομένῳ ἢ ἀποστραφῆναι αὐτό), οὕτως δὲ καὶ ἡ αἴσθησίς τε καὶ ἡ ἐπ' αὐτῇ φαντασία. κρίσεως γὰρ καὶ αἱρέσεως ἢ φυγῆς αὐτῶν ταῦτα ἀρχαί. χρὴ δὲ τοῦ τύπου κοινότερον ἐπὶ τῆς φαντασίας ἀκούειν. κυρίως μὲν γὰρ τύπος τὸ κατ' εἰσοχήν τε καὶ ἐξοχήν, ἢ τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, ὡς ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα. οὐχ οὕτως δὲ τὰ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἐν ἡμῖν γίνεται. οὐδὲ γὰρ τὴν ἀρχὴν κατὰ σχῆμά τι ἡ τῶν αἰσθητῶν ἀντίληψις. ποῖον γὰρ σχῆμα τὸ λευκὸν ἢ ὅλως τὸ χρῶμα; ἢ ποῖον σχῆμα ἡ ὀσμή; ἀλλὰ δι' ἀπορίαν κυρίου τινὸς ὀνόματος τὸ ἴχνος καὶ ἐγκατάλειμμα τὸ ὑπομένον ἀπὸ τῶν αἰσθητῶν ἐν ἡμῖν τύπον καλοῦμεν μεταφέροντες τοὔνομα. ἕπεται μὲν οὖν τῇ φαντασίᾳ συγκατάθεσις, οὐ μὴν πάσῃ, ὥσπερ οὖν καὶ τῇ συγκαταθέσει ὁρμή, οὐδὲ ταύτῃ δὲ πάσῃ. ἀλλ' οὐδὲ τῇ ὁρμῇ ἐξ ἀνάγκης πρᾶξις. καὶ ἔστιν ἐφεξῆς ταῦτα ἐν τῷ ζῴῳ τὴν τάξιν ἔχοντα· αἴσθησις φαντασία συγκατάθεσις ὁρμὴ πρᾶξις. ἀλλ' οὔτε πάσῃ αἰσθήσει δοκεῖ φαντασία ἕπεσθαι, εἰ δοθείη τὸ μὴ πάντα τὰ ζῷα φαντασίας μετέχειν, οὔτε πάσῃ φαντασίᾳ συγκατάθεσις (οὐ γὰρ τῷ τὸν ἥλιον ποδιαῖον εἶναι συγκατατιθέμεθα καίτοι ταύτην φαντασίαν περὶ αὐτοῦ λαμβάνοντες· ὁμοίως οὐδ' ἄλλῳ τινὶ τῶν ἀδήλων), οὔτε πάσῃ συγκαταθέσει ὁρμή· οὐ γὰρ ὁ συγκαταθέμενός τινι ὡς λευκῷ ἤδη καὶ ὁρμᾷ ἐπ' αὐτό, ἀλλ' οὐδ' ἐπὶ ταῖς τῶν μαθηματικῶν συγκαταθέσεσιν. ἡ γὰρ συγκατάθεσις τῷ τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ οὐκ ἔστιν ὁρμῆς κινητική. ἢ αἱ μὲν τοιαῦται συγκαταθέσεις οὐκ ἐπὶ φαντασίαις· οὐ γὰρ καὶ αἱ ἐπιστῆμαι φαντασίαι, ἀλλὰ τῷ Σωκράτῃ εἶναι | τὸν προσιόντα συγ- 136r
καταθέμενοι οὐ δήπου καὶ ὁρμῶμεν ἐπί τι πάντως. ἡ γὰρ ἐπί τισι συγ-

3 ἀποστραφῆναι αὐτό] abweichend meinen, dass sie so sei · 4—5 κρίσεως—ἀρχαί] sie beide sind zwei Principien für die Wahl der Dinge, welche sie wahrnehmen, und deren Entfernung und das Fliehen vor ihnen 5—7 χρὴ δὲ—σχῆμα γινόμενον] wir müssen unter unserem Ausdruck in Bezug auf die Phantasie „die Spur“ (p: von der afficirten Phantasie) verstehen den allgemeineren Begriff. Denn die Spur im wahren Sinne gebraucht ist die Figur, welche entsteht in der Tiefe oder in Erhabenheit durch die Spur in dem Spurobjekt 12 τύπον] Rest 14 ταύτῃ om. 15 τῇ ὁρμῇ] an jede Anregung καί] sondern 20 ἄλλῳ] addit: als die Sonne 21 ἤδη καί] ohne Zweifel 22—24 ἀλλ' οὐδ'—κινητική] Ebenso entsteht nicht aus der Ansicht im Bereich der mathematischen Wissenschaften, dass die Diagonale nicht gemeinschaftlich sei der Seite, ich meine von derselben verschieden sei, eine bewegende Anregung 24 ἢ—φαντασίαις] nur gehört diese Ansicht und was ihr ähnlich ist, nicht der Phantasie an

2 ᾧδε a ἢ in lit. V 5 κοινότερον et ἀκούειν cf. Ind. 6 ἢ τὸ male distinguit cohaerentia. nam τὸ ἐν τῷ τυπουμένῳ σχῆμα γίνεται κατ' εἰσοχὴν καὶ ἐξοχήν. fortasse ὑπὸ cf. etiam int. hebr. 7 ὡς] ω in lit. V 9 γίνεται ἐν ἡμῖν a 11 ἐγκατάλημμα a 13 (et 18) πάσῃ a 19 τὴν φαντασίαν a 20 πάσῃ συγκαθέσει a 21 συγκαταθέμενός τινι a: συγκαθέμενός τι V 25 σωκράτῃ V: σωκράτῃ a 26 γὰρ ἐπί τι a

κατάθεσις οὐ παροῦσιν ὡς αἱρετοῖς ὁρμή, τὸ δ' αὐτὸ καὶ ὄρεξις. ἔστι δὲ ἐφ' ὧν καὶ ὁρμήσαντες οὐκ ἐπράξαμεν, μηκέτι τῆς βουλήσεως συνδραμούσης. τὸ δὲ ὄνομα τῇ φαντασίᾳ ἀπὸ τῆς αἰσθήσεως, ἀφ' ἧς καὶ τὸ εἶναι. ἐπεὶ γὰρ κυριωτάτη τῶν αἰσθήσεων ἡ ὄψις εἶναι δοκεῖ, ταύτης δὲ ἡ ἐνέργεια διὰ φωτός (ἄνευ γὰρ φωτὸς ἀδύνατον τὴν κατ' ἐνέργειαν ὄψιν γενέσθαι), ἀπὸ τοῦ τῇ κυριωτάτῃ τῶν αἰσθήσεων αἰτίου τῆς ἐνεργείας, ὅπερ ἐστὶ τὸ φῶς, ἀπὸ τούτου τῇ φαντασίᾳ τοὔνομα. ἔστι δὲ ἡ συγκατάθεσις ἡ μὲν ἐπὶ τοῖς ἁπλοῖς καὶ ἐν τῷ εἶναί τι ἢ μὴ εἶναι γινομένη οὐκ ἐφ' ἡμῖν (ἕπεται γὰρ τῇ τε αἰσθήσει καὶ τῇ φαντασίᾳ ἡ τοιάδε συγκατάθεσις), ἡ δὲ ἐπὶ τοῖς πρακτέοις ἢ μὴ πρακτέοις γινομένη, ὧν συγκαταθέσεων ὁ λόγος αἴτιος, ἐφ' ἡμῖν. τὸ γὰρ διὰ τοῦ βουλεύσασθαι προκρῖναί τι καὶ τούτῳ συγκαταθέσθαι ἐφ' ἡμῖν. ἥτις συγκατάθεσις οὐκέτ' ἂν ἐπὶ φαντασίᾳ γίνεσθαι λέγοιτο.

Αἱ μὲν οὖν κριτικαὶ δυνάμεις τῆς ἀλόγου ψυχῆς τίνες εἰσὶν εἴρηται (τοιαῦται γὰρ ἥ τε αἰσθητικὴ καὶ ἡ φανταστική· ἡ γὰρ λογική τε καὶ διανοητικὴ δύναμις, οὖσα καὶ αὐτὴ κριτική, ἴδιός ἐστιν ἀνθρώπου· διὸ περὶ μὲν ταύτης ὕστερον ἐροῦμεν), ἀκόλουθον δέ ἐστι τοῖς προειρημένοις περὶ τῆς ὁρμητικῆς εἰπεῖν. αὕτη γὰρ τοῖς ζῴοις ἀρχὴ καὶ αἰτία πράξεώς τε καὶ τῆς κατὰ τόπον κινήσεως, ὅσα γε αὐτῶν τοῦτον κινεῖται τὸν τρόπον, καὶ ἔχει τὴν τάξιν μετὰ τὴν φανταστικήν. δοκεῖ γὰρ ἕπεσθαι μετὰ τὴν ἐπὶ ταῖς φαντασίαις συγκατάθεσιν ὁρμὴ ὥσπερ οὖσα τέλος αὐτῆς, οὐκέτ' οὖσα κριτική, ἀλλὰ τοῦ ἑτέρου μέρους τῆς ψυχῆς, τοῦ πρακτικοῦ. κριτικῷ γὰρ καὶ πρακτικῷ ἡ τῶν ζῴων ψυχὴ διῄρηται, τοῦ οὕτως κριτικοῦ τε καὶ γνωστικοῦ τὴν ἀναφορὰν ὡς ἐπὶ τέλος τὴν πρᾶξιν ἔχοντος, καὶ ἔστιν ἑκάτερον αὐτῶν ἀρχὴ τοῦ ἑτέρου, ἀλλὰ τὸ μὲν αἰσθητικὸν τοῦ πρακτικοῦ ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸ δὲ πρακτικὸν τοῦ αἰσθητικοῦ ὡς οὗ ἕνεκα καὶ τέλος. τὸ δ' ὁρμητικὸν συνέζευκται τῷ ὀρεκτικῷ· αὕτη γὰρ ἡ δύναμις τῆς κατὰ τόπον ἐξ αὑτῶν κινήσεως τοῖς ζῴοις ἀρχή τε καὶ αἰτία. ἢ γὰρ ὀρεγόμενά τινος ἐπὶ τὸ λαβεῖν αὐτὸ ὁρμᾷ τε καὶ κινεῖται, ἢ ἀποστρεφόμενα ἐπὶ τὸ ἐκ-

1 παροῦσιν] vorhanden und bleibend 6 τῆς ἐνεργείας, ὅπερ ἐστὶ τὸ φῶς om. 7—8 ἔστι δὲ — ἡμῖν] Was die Ansicht betrifft, so ist ihre Entstehung bei den einfachen Dingen [und ob] ein Ding vorhanden sei oder nicht, so ist die Angelegenheit dieser Entstehung in uns nicht unsere 9—10 ἡ δὲ — γινομένη] was aber von ihr entsteht, nach der Speculation über die Gegenstände, [die betreffen] was zu thun sei oder nicht zu thun sei 19 ὅσα — τρόπον] von welchem [Orte?] es [das Thier] in dieser Bewegung bewegt wird 21 τοῦ ἑτέρου μέρους] vom letzten Teil 23 κριτικοῦ om. 23—24 τὴν ἀναφορὰν — ἔχοντος] wendet sich (wird?) auf dem Wege des Endzwecks, welcher beabsichtigt ist, zur Praxis 26 ὡς — τέλος] inwiefern um seinetwillen der sinnliche [Teil] ist und er der im sinnlichen beabsichtigte Zweck ist 29 ὁρμᾷ] wird angeregt [ὁρμητική d. die anregende Kraft] ἀποστρεφόμενα] verabscheut es das Ding, so

8 ἁπλοῖς] non intellego. exspectas κριτέοις sive aliud verbum oppositum τοῖς πρακτέοις (10) 11 του V 17 „περὶ ὁρμῆς καὶ τῆς ὁρμητικῆς δυνάμεως". ἀκόλουθον δὲ Va τῆς om. a 20 ταῖς om. a 21 οὔσα V 24 ὡς ἐπὶ τέλος τὴν πρᾶξιν] cf. ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν 141r1. ὡς ἀπὸ παρόντων τῶν οὐ παρόντων 70,16. 71,1 28 αὑτῶν scripsi: αὐτῶν Va 29 ὁρμᾶται καὶ a

κλῖναί τε καὶ φυγεῖν. ὁρμὴ γάρ τις καὶ ἡ ὄρεξις. ἔστι δὲ τῆς ὀρέξεως τὸ μὲν ἐπιθυμία, τὸ δὲ θυμός, τὸ δὲ βούλησις. ἡ μὲν γὰρ τῶν ἡδέων ὄρεξις ἐπιθυμία, ἥτις ἐν πᾶσίν ἐστι τοῖς μετέχουσιν αἰσθήσεως, ἡ δὲ τοῦ τιμωρήσασθαί τινα ὡς ὀλιγωροῦντα ὄρεξις θυμὸς καλεῖται, οὐκέθ' ἡ ὄρεξις ἡ τοιαύτη ἐν πᾶσιν τοῖς ἔχουσιν αἴσθησιν. οὐ γὰρ καὶ ἐν σκώληξίν τε καὶ ὀστρέοις, ἀλλ' ἐν τελειοτέροις ἤδη. ἡ δέ γε τῶν ἀγαθῶν ὄρεξις γινομένη μετὰ κρίσεώς τε καὶ βουλῆς βούλησις καλεῖται, ἥτις ἐν ἀνθρώποις γίνεται μόνοις. ἡ γὰρ βούλησις ὄρεξις λογική. λογικὴ δὲ οὐχ ὡς τῆς λογικῆς οὖσα ψυχῆς ἐνέργεια, ἀλλ' ὡς ἐπὶ ταῖς ἐκείνης ἐνεργείαις γινομένη. τὸ γὰρ ὀρεκτικὸν τῷ ὑποτάσσεσθαι τῷ λόγῳ δύνασθαι καὶ πείθεσθαι, ὅταν ὀρέγηται τῶν ὑπὸ τοῦ λόγου κριθέντων, ἡ τοιάδε ὄρεξις αὐτοῦ βούλησις καλεῖται. ἡ γὰρ βούλησις μετὰ βουλῆς, ἡ δὲ βουλὴ καὶ τὸ βουλεύεσθαι τοῦ λόγον ἔχοντος. ὅτι δὲ ἑτέρα δύναμις ψυχῆς ἡ ὁρμητική, ἀλλὰ καὶ ὅτι αἱ προειρημέναι οὐ μόνον τῆς ὀρεκτικῆς, ἀλλὰ καὶ ἀλλήλων διαφέρουσιν, ἐκ τῶνδε ἄν τις γνωρίσαι. τοῦ μὲν γὰρ φυτικοῦ τὸ αἰσθητικὸν χωρίζεται τῷ τε τὸ μὲν ὑπάρχειν ἐν τοῖς φυτοῖς αὐτῶν, τὸ δὲ μή. εἰ γὰρ ἦν τὰ αὐτά, ἐν ᾧ τὸ ἕτερόν ἐστιν αὐτῶν, ἐν τούτῳ ἂν ἦν καὶ θάτερον. ἀλλὰ καὶ ἐπὶ τῶν ζῴων τὸ μὲν θρεπτικὸν ἀπὸ τῆς πρώτης συστάσεως αὐτοῖς ἐνυπάρχει (τρέφεται γὰρ εὐθὺς γινόμενον ἔτι τὸ ζῷον, καὶ κατὰ γαστρὸς ὂν ζῇ κατὰ μόνην τήνδε τὴν δύναμιν ἐνεργοῦν), ἡ δὲ αἰσθητικὴ ψυχὴ ἐγγίνεται αὐτοῖς ὕστερον ἀποτεχθεῖσιν. αἱ γὰρ συστολαί τε καὶ αἱ ἐκτάσεις μερῶν τινων, ἃς ποιεῖται κατὰ γαστρὸς ὄν, οὐ γίνονται κατ' οἰκείαν αἴσθησιν αὐτῷ, ἀλλ' ὡς ἐμψύχου μέρος κατὰ ταῦτα κινεῖται. ἔτι τῇ μὲν θρεπτικῇ δυνάμει ἀεὶ ἐνεργοῦμεν (διὰ παντὸς γὰρ τρεφόμεθα καὶ μάλιστα δοκεῖ κοιμωμένων ἡ κατὰ τὴν δύναμιν ταύτην ἐνέργεια γίνεσθαι), οὐκ ἀεὶ δὲ τῇ αἰσθητικῇ. ὁ γοῦν ὕπνος ἐν τῇ τῶν αἰσθήσεών ἐστιν ἀργίᾳ τε καὶ ἡσυχίᾳ· διὸ καὶ ἡ μὲν τῶν αἰσθήσεων ἀνενεργησία ὕπνος, ἡ δὲ τῆς θρεπτικῆς δυνάμεως θάνατος. καὶ τὸ μὲν θρεπτικὸν ποιητικόν ἐστι, τὸ δὲ αἰσθητικὸν κριτικόν τε καὶ γνωστικόν. ἔτι τοῦ μὲν θρεπτικοῦ πάντα τὰ μόρια τῶν ζῴων μετέχει,

---

2 μὲν γὰρ om. 4 ὡς ὀλιγωροῦντα om. 6 δέ γε om. 9—12 τὸ γὰρ ὀρεκτικὸν — καλεῖται] wenn nämlich der begierdliche Teil sich an die Vernunft lehnen kann und nach der Vernunft begehrt, dadurch gebunden an das, was die Vernunft beurteilt und für erforderlich hält, so nennt man diese Art von Begierde, welche daraus entsteht, Willen 12 καὶ τὸ βουλεύεσθαι] und die Leitung 13 ἀλλὰ om. 15 ἐκ — γνωρίσαι] das können wir auch ersehen aus dem, wodurch wir sie beschreiben 16 ἐν τοῖς φυτοῖς] in der Pflanze 20 ζῇ — ἐνεργοῦν] wirkt 23 ἀλλ' — μέρος] sondern weil er ein Teil des beseelten Wesen ist ἔτι] also 26 γοῦν] dahin gehört dass ἀργίᾳ] Aufhebung 27 ἀνενεργησία] Aufhebung

---

1 ἐκκλίναι a καὶ ante ἡ ὄρεξις om. a 3 τοῦ om. a 4 ὀλιγωροῦντα a: ὀλιγοροῦντα V 8 μόνον a 11 ἡ τοιάδε ὄρεξις κτλ.] cf. 4,4 12 μεταβολῆς a 13 λόγου a δυναμις V 16 φυτοῖς scripsi, quod et argumentatio postulat et legit Arabs: ζῴοις Va 17 τὸ om. a 19 ὑπάρχει a 22 γίνεται a αἴσθησιν om. a 23 μέρος scripsi: μέρους Va θρεπτικὴ a 26 ἀργία a ἡσυχία a

εἴ γε πάντα τρέφεται. οὐ πάντα δὲ τοῦ αἰσθητικοῦ, εἴ γε ἀναίσθητοι τρίχες τε καὶ ὀστᾶ καὶ ὄνυχες. αὗται μὲν οὖν αἱ δυνάμεις οὐ μόνον κατὰ τὸν λόγον διαφέρουσιν ἀλλήλων, ἀλλ' ἤδη χωρίζεσθαι δύνανται καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὴν ἐνέργειαν. κατὰ μὲν γὰρ τὸν λόγον ἡ ἑτερότης αὐτῶν, ὅτι μὴ ταὐτὸν τὸ θρεπτικῷ εἶναι καὶ τὸ αἰσθητικῷ (ἄλλος γὰρ ὁ ἑκατέρου λόγος καθό ἐστι τοιαῦτα), κατὰ δὲ τὴν ἐνέργειαν, ὅτι μή, ὅτε τὸ θρεπτικὸν ἐνεργεῖ, τότε πάντως καὶ τὸ αἰσθητικόν (τὸ μὲν γὰρ ἀεί, τὸ δὲ αἰσθητικὸν ἀνενέργητον κοιμωμένων), κατὰ δὲ τὸ ὑποκείμενον, ὅτι τὸ μὲν θρεπτικὸν ἐν ἅπαντι μορίῳ, τὸ δὲ αἰσθητικὸν οὔ. καὶ ἐν τοῖς φυτοῖς τὸ μὲν θρεπτικόν ἐστι, τὸ δὲ αἰσθητικὸν οὐκέτι. τὸ δὲ ὁρμητικόν τε καὶ ὀρεκτικὸν τοῦ μὲν θρεπτικοῦ διοίσει σχεδὸν τοῖς αὐτοῖς, οἷς καὶ τὸ αἰσθητικόν. μόνῳ γὰρ παραλλάξει τῷ τὸ μὲν αἰσθητικὸν διαφέρειν τοῦ θρεπτικοῦ τῷ αὐτὸ μὲν κριτικὸν εἶναι, ἐκεῖνο δὲ ποιητικόν. οὐκ ἔστι γὰρ καὶ τὸ ὀρεκτικὸν ὁμοίως τῷ αἰσθητικῷ κριτικόν· ποιητικὸν γὰρ καὶ αὐτὸ καὶ πρακτικόν, εἴ γε αὐτὸ | 137r τῆς τοῦ ζῴου κινήσεως αἴτιον. τοῦ δὲ αἰσθητικοῦ τὸ ὀρεκτικὸν ἕτερον τῇ τε τάξει καὶ τῷ χρόνῳ τῶν ἐνεργειῶν. πρῶτα γὰρ αἱ κατὰ τὴν αἴσθησίν τε καὶ τὴν ἑπομένην αὐτῇ φαντασίαν ἐνέργειαι τῶν κατὰ τὴν ὄρεξιν. ἐπ' ἐκείναις γὰρ καὶ μετ' ἐκείνας αὗται. τέλος γὰρ ἡ ὄρεξίς τινων αἰσθητικῶν ἐνεργειῶν. καὶ πάντως μὲν πρὸ τῆς ὀρέξεως αἴσθησις, οὐ πάντως δὲ μετὰ τὴν αἴσθησιν ὄρεξις. εἰ δὲ τοῦτο, οὐχ ὅτε ἡ ἑτέρα αὐτῶν ἐστιν, πάντως ἐστὶ καὶ ἡ ἑτέρα. ἔτι, ὡς ἤδη προείρηται, ἡ μὲν αἴσθησις γνώσεως καὶ κρίσεως αἰτία τοῖς ζῴοις, ἡ δὲ ὁρμή τε καὶ ὄρεξις πράξεως. καὶ ἡ μὲν αἴσθησις ἐν τῷ πάσχειν, ἡ δὲ ὁρμή τε καὶ ὄρεξις δραστικὰ μᾶλλον καὶ ποιητικά. ἔχουσιν δὲ οὕτως αἱ τῆς ψυχῆς δυνάμεις πρὸς ἀλλήλας, ἐν οἷς εἰσιν πᾶσαι, ὡς τὰς πρώτας τῶν ὑστέρων εἶναι χάριν καὶ πρὸς ταύτας συντελεῖν τι, ἀνάλογον ἔχουσαι τοῖς μέρεσιν τοῦ ἐμψύχου σώματος. ὡς γὰρ ἐν ἐκείνῳ ἄλλο ἄλλου χάριν γέγονέ τε καὶ ἔστι (ἀλλὰ καὶ τὰ πλεῖστα μέρη τοῦ σώματος τῶν κατὰ ψυχὴν ἐνεργειῶν, εἴ γε ὀργανικὸν τὸ ἔμψυχον σῶμα, πᾶν δὲ ὄργανον ἐκείνου χάριν ᾧ ὑπηρετεῖται), οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τὰ πρῶτα τῶν δευτέρων χάριν ἐστίν. ἡ μὲν γὰρ φυτικὴ ψυχή ἐστιν ἐν τοῖς ζῴοις σωτηρίας τε καὶ τοῦ εἶναι

---

5 τὸ .. εἶναι] Qualität 6 τοιαῦτα] nährend oder sinnlich 7 πάντως ante ἐνεργεῖ vertit. 11 οἷς — αἰσθητικόν] worin sich auch die nährende von der sinnlichen unterscheidet 12—15 τῷ τὸ μὲν — καὶ πρακτικόν] dass die begierdliche und die wahrnehmende [Kraft] verschieden ist von der nährenden, und dass die begierdliche erkennend ist, die nährende praktisch (p: dienend), denn die nährende ist nicht erkennend, wie die sinnliche, denn (P mg: obwohl) die begierdliche ist ebenfalls praktisch, wirkend 16 τῇ — ἐνεργειῶν] jene [i. e. Begierde] ist später als diese [i. e. Sinn] im Range und in der Zeit ihrer Wirkungen 18 τέλος] Zweck und Absicht 19 καὶ .. μὲν om. 22 κρίσεως] Theorie 25 πρώτας] die mehr primären 28 ἀλλὰ om. 30 χάριν] nur wegen

---

5 θρεπτικῷ] ι adscriptum in lit. V post καὶ τὸ paululum erasum V 16 πρῶτα V: πρῶται a 22 ζῷσι a 28 fortasse ἐνεργειῶν χάριν

χάριν, ὧν χωρὶς οὐδ' ἂν τὸ αἰσθητικὸν ἦν. τὸ δὲ αἰσθητικὸν καὶ οὕτως κριτικὸν τοῦ πρακτικοῦ τε καὶ ὁρμητικοῦ χάριν, ὡς προείρηται. ἀλλὰ καὶ τὸ πρακτικόν τε καὶ ὁρμητικὸν πάλιν τοῦ κριτικοῦ χάριν. οὐ μὴν τοῦ αἰσθητικοῦ κριτικοῦ, ἀλλὰ τοῦ νοῦ τε καὶ τῆς κατὰ τοῦτον ἐνεργείας, ἐν οἷς τῶν ζῴων καὶ ἥδε ἡ δύναμίς ἐστιν, ὡς ἐν τοῖς περὶ τούτων λεγομένοις δείκνυται. καὶ αἱ τοῦ ὁρμητικοῦ δὲ καὶ ὀρεκτικοῦ δυνάμεις, ὅτι πλείους τέ εἰσιν καὶ διαφέρουσιν ἀλλήλων καὶ τῷ χρόνῳ καὶ τῷ περὶ ἅ τε καὶ ὧν ἐστιν, εἴρηται. προείρηται δέ, ὅτι καὶ τῶν γνωστικῶν τε καὶ κριτικῶν δυνάμεών ἐστι διαφορά. ἡ μὲν γάρ τίς ἐστι δύναμις ὑπηρετικὴ κριτικὴ (τοιαύτη γὰρ ἥ τε αἴσθησις καὶ φαντασία), τὸ δέ τι τῆς ψυχῆς ἡγεμονικόν ἐστι κριτικόν (τοιοῦτον γὰρ τὸ λογιστικόν), ὃ διανοητικόν τέ ἐστι καὶ νοητικόν. τὸ γὰρ αἰσθητικὸν ἐπὶ τὸ διανοητικὸν ἔχει τὴν ἀναφοράν, ἐν οἷς ἐστιν ἄμφω, ὅπως γὰρ εἰσαγγέλλῃ καὶ μηνύῃ τὰς τῶν αἰσθητῶν αὐτῷ διαφοράς. ὡς δὲ ἐν τῷ κριτικῷ τὸ μέν ἐστιν ἡγεμονικόν, τὸ δὲ ὑπηρετικόν, οὕτως ἐστὶ καὶ ἐν τῷ πρακτικῷ τὸ μὲν ἡγεμονικόν, ὃ ὁρμητικόν τε καὶ ὀρεκτικὸν καλοῦμεν, τὸ δέ τί ἐστιν ἐν τοῖς νεύροις. δύναμις γάρ ἐστι καὶ ἐν τούτοις, καθ' ἣν ὑπηρετεῖται τὸ σῶμα ταῖς καθ' ὁρμὴν ἐνεργείαις. ἐπεὶ γὰρ τὰ κατ' ὄρεξιν πραττόμενα πάθους τινὸς ἐγγενομένου πράττεται,

1 καὶ om. 2 τοῦ πρακτικοῦ—χάριν] ist wegen der Wirkung der anregenden [Kraft vorhanden] 3 πρακτικὸν—ὁρμητικόν] die Wirkung der anregenden πάλιν om. 5—6 ὡς δείκνυται] wie wir erläutern werden, wenn wir zur Rede darüber kommen 6 καὶ . . καὶ om. 7—8 περὶ—ἐστιν] um derentwillen und in welchen sie sind 8 δὲ om. κριτικῶν] theoretisch 10 τῆς ψυχῆς om. 11 τὸ λογιστικόν] das Denken (die Rede) 13 ὅπως—διαφοράς] er ist nämlich [dazu] da, dass zu ihm die Arten der Sinnesobjekte kommen und er ihn [es? das Denken?] (auf sie hinweise?) über sie belehre 14 δὲ] und 16—17 τὸ δέ τί—τούτοις] und Etwas, was sich in dem Nerv findet, denn auch im Nerv ist eine Kraft 17 καθ' ἣν—ἐνεργείαις] durch welche der Leib in den Wirkungen dient, welche durch die Anregung stattfinden 18—77,9 ἐπεὶ γὰρ—αἰτία γίγνεται] die Wirkungen nämlich, welche wir durch die Begierde ausüben, üben wir aus, wenn in uns eine der Spuren entsteht, wovon nämlich [manche], die den Leib schwächt [p. vermehrt] und die Anschwellung und Zunahme entstehen lässt, durch eine gleichmässige Wärme, die dadurch entsteht, manche ihn erkältet und zusammenzieht (denn die Arten der Phantasie, nachdem was phantastisch vorgestellt (geglaubt) wird von den Gegenständen und ihrer Wahrnehmung und ihrer Vorstellung im Intellekt — nachdem sie gewesen sind, da sie im Zusammenhange mit jenen Gegenständen stehen (sind) und in der Aehnlichkeit mit ihnen: entstehen im Leibe, als ob sie vorhanden wären, sei es [durch?] Zerstreuung, sei es Ausbreitung, sei es Zusammenziehung), diese Zusammenziehung und Ausbreitung, wenn sie durch Wind entsteht, der dem Nerv sich nähert, so wird dadurch vorbereitet, dass er sich bewege in den Wirkungen, welche durch die Anregung werden. Die Aufnahme des Anfangs der Bewegung aber [geschieht] wegen der Begierde, denn eine kleine Veränderung, die am Anfange entsteht, wird Ursache für eine grosse Verschiedenheit

1 καὶ οὕτως κριτικὸν] cf. τοῦ οὕτως κριτικοῦ 73,23 9 τις om. a 12 ἐν οἷς ἐστιν ἄμφω] cf. ἐν οἷς εἰσι πᾶσαι 75,25 ἐν οἷς εἰσιν αἱ δυνάμεις ἀμφότεραι 140v39 et 9,21 30,3 36,21 45,9 76,4 140v47 16 διακονητικόν vel ὑπηρετικόν excidisse videtur post νεύροις 18 ἐγγινομένου a

ὧν παθῶν τὰ μὲν ἀνίησίν τε τὸ σῶμα καὶ αὔξησιν αὐτοῖς ἐμποιεῖ διὰ θερμότητα εὔκρατον, τὰ δὲ καταψύχει τε καὶ συστέλλει (αἱ γὰρ φαντασίαι καὶ αἰσθήσεις καὶ ἔννοιαι τῶν πραγμάτων κατὰ ὁμοίωσίν τινα αὐτῶν γινόμεναι ὡς ἐπὶ παροῦσιν ἐκείνοις ἢ ἀνιᾶσιν τὸ σῶμα ἢ συστέλλεσθαί τε καὶ φρίττειν ποιοῦσιν), ὧν γινομένων συστολῶν τε καὶ ἐκτάσεων περὶ τὸ σύμφυτον πνεῦμα καὶ ἀπὸ τούτου διαδιδομένων ἐπὶ τὰ νεῦρα, κινεῖσθαι ταῦτα δύναται τὰς καθ' ὁρμὴν ἐνεργείας τὴν ἀρχὴν τῆς κινήσεως παρὰ τῆς ὀρέξεως λαμβάνοντα. μικρὰ γὰρ μεταβολὴ περὶ τὴν ἀρχὴν γενομένη μεγάλων καὶ πολλῶν διαφορῶν αἰτία γίγνεται. τοῦ γοῦν οἴακος ἀκαριαῖον μεθισταμένου πολλὴ ἡ τῆς πρώρας γίνεται μετάστασις, καὶ περὶ τὴν καρδίαν ἤδη καὶ τὸ πνεῦμα τὸ ἐν αὐτῇ, ὅταν ἀλλοίωσίς τις γένηται διὰ αἰσθήσεις τινῶν ἢ νοήσεις, αἷς ἕπεται κίνησίς τις καὶ πάθος, εἰ καὶ ἐν ἀναισθήτῳ μορίῳ γένοιτο ἐν αὐτῇ ἡ τοιαύτη τροπή, τῷ ἀρχὴν τοῦ ζῴου τὴν καρδίαν εἶναι πολλὴν ποιεῖ τοῦ σώματος παντὸς διαφορὰν ἐρυθήμασιν, ὠχρότησιν, θερμότησιν, ψύξεσιν, φρίκαις τε καὶ τρόμοις. ἀρχὴ μὲν οὖν τῆς κινήσεως τὸ ἐν τῷ πρακτῷ διωκτόν τε καὶ φευκτόν. ἔστι γὰρ ὁρμὴ κίνησις ἐμψύχου γινομένη κατὰ φαντασίαν διωκτοῦ τινος ἢ φευκτοῦ. ἐξ ἀνάγκης δὲ ἀκολουθεῖ τῇ νοήσει καὶ τῇ φαντασίᾳ αὐτῶν θερμότης καὶ ψῦξις. ἔστι γὰρ τὰ λυπηρὰ καὶ ἡδέα πάντα σχεδὸν μετὰ ψύξεώς τινος καὶ θερμότητος. ὧν γινομένων περὶ ἡμᾶς ὁρῶμεν ποτὲ μὲν μόριά τινα κινούμενα ἐν ἡμῖν, ὡς ἐν τοῖς ὀνειρωγμοῖς, ὁτὲ δὲ καὶ ὅλον τὸ σῶμα. ἃ πάθη γινόμενα καὶ περὶ τὰς ἀρχὰς τῶν ὀργανικῶν μορίων πρὸς τὰς ἐνεργείας αὐτὰ καὶ τὰς ὑπηρεσίας ἄγει τῇ ὁρμητικῇ δυνάμει, ἀφ' ἧς καὶ τὴν ἀρχὴν ἐγγίνεται.

---

10 πολλὴ om. 10—12 καὶ περὶ—νοήσεις] so ist es auch notwendig mit dem Hauche, welcher im Nerv ist, wenn in ihm irgend eine Veränderung entsteht, so ergiebt sich für ihn irgend eine Wahrnehmung von Dingen und deren Vorstellung 12—15 εἰ καὶ—τρόμοις] findet eine derartige Veränderung in dem ersten wahrnehmenden Gliede statt, so wird, weil das Princip des Thieres das Herz ist, im ganzen Leibe eine grosse Veränderung in den Arten der Röte und der Bläue und der Wärme und der Kälte und des Schauerns und des Zitterns und in actu ist .. cetera usque ad φευκτόν plane corrupta 17—18 ἐξ ἀνάγκης—ψῦξις] und es zieht notwendig nach sich eine Vorstellung, deren Art und Aehnlichkeit Wärme und Kälte ist 19 πάντα] addit: mit Ausnahme des ihnen Fremden σχεδὸν om. καὶ] oder 21 ὡς—ὀνειρωγμοῖς] wie es vorkommt bei der Bewegung des Beischlafs im Schlafe 21—23 ἃ πάθη—δυνάμει] weil nämlich die ersten Spuren, wenn sie sich auf die Anfänge der organischen Glieder erstrecken, dieselben auch zu ihren Tätigkeiten und ihrem Dienste heranziehen durch die Kraft der Anregung 23 καὶ τὴν ἀρχὴν] von jeher von Anfang in uns

---

1 fortasse αὐτῷ 3 ἔννοιαι] cf. ἐγγίνεται ἡ τοιάδε ἕξις τῷ νῷ κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον γινόμενον, ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη 138v42 5 ὧν γινομένων—ἐπὶ τὰ νεῦρα] per anacoluthon, quod raro occurrit in hoc scriptore (cf. Ind.), continuatur prius enuntiatum: ἐπεὶ—πράττεται, ὧν παθῶν τὰ μὲν ἀνίησιν, τὰ δὲ συστέλλει. exspectas τούτων τῶν συστολῶν γινομένων κτλ. cf. ὧν γινομένων περὶ ἡμᾶς ὁρῶμεν ποτὲ μὲν κτλ. v. 20 9 γίγνεται V: γίνεται a 11 δι' a 12 γένοντο a 14 ἐριθήμασιν a 22 τας V

πᾶσαι γὰρ αἱ τοιαῦται πράξεις ἐνεργοῦνται διὰ τῆς τῶν σωματικῶν μορίων ἐνεργείας. καὶ τίνα μὲν τὰ μόρια τῆς κοινῆς τῶν ζῴων ψυχῆς, καὶ τίνες αὐτῶν αἱ πρὸς ἀλλήλας διαφοραί, γνώριμον ἐκ τῶν εἰρημένων. εἰσὶ δὲ καὶ αἱ οἰκεῖαι ἑκάστου τούτων ἐνέργειαι αἵδε. τὸ μὲν ζῆν ἐνέργεια τοῦ θρεπτικοῦ, κοινὸν ὂν ζῴου καὶ φυτοῦ. ζωὴ δέ ἐστιν, ὡς ἐρρήθη, ἡ δι' αὐτοῦ τροφή τε καὶ αὔξησις. τὸ δὲ αἰσθάνεσθαι, ὅπερ ἴδιόν ἐστι τοῦ ζῴου μετὰ τὸ ζῆν ὄν, τῆς αἰσθητικῆς ἐστι ψυχῆς ἐνέργεια, γινομένη διὰ τῆς τῶν εἰδῶν τῶν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων λήψεως χωρὶς ὕλης, ἧς τὸ μὲν ὁρᾶν τῆς ὁράσεως, τὸ δὲ ἀκούειν τῆς ἀκοῆς καὶ τὰ ἄλλα ὁμοίως, αὐτὸ δὲ τὸ αἰσθάνεσθαι τῆς κοινῆς αἰσθήσεως. ὡς δὲ ἐπὶ τῆς αἰσθήσεως τὰ μὲν καθέκαστα αἰσθητὰ διὰ τῶν καθέκαστα αἰσθητηρίων κρίνομεν, καθόλου δὲ τὰ αἰσθητὰ τῇ κοινῇ αἰσθήσει, ὡς ὑπὸ τοῦ αὐτοῦ μὲν γινομένης πάσης αἰσθήσεως, κατ' ἄλλο μέντοι καὶ ἄλλο, οὕτως πάλιν, ἐπεὶ κρίσις μέν τις καὶ ἡ αἴσθησις, εἰσὶν δὲ καὶ ἄλλαι κρίσεις, ὡς τὸ φαντασιοῦσθαι, συγκατατίθεσθαι, ἀντιλαμβάνεσθαι, ὑπολαμβάνειν, δοξάζειν, ἐπίστασθαι, λογίζεσθαι, διανοεῖσθαι, νοεῖν, ὑποληπτέον πάσας μὲν τὰς κρίσεις ὑπὸ τοῦ αὐτοῦ τινος καὶ κοινοῦ γίνεσθαι (τοῦ γὰρ κριτικοῦ), ἑκάστην δὲ κρίσιν κατ' ἄλλην καὶ ἄλλην ὑπ' αὐτοῦ γίνεσθαι δύναμιν, ὡς εἶχεν καὶ ἐπὶ τῆς αἰσθήσεως. τοῦ γὰρ κριτικοῦ | τό τε φαντασιοῦσθαι καὶ τὸ συγκατατίθεσθαι καὶ τὸ ἀντι- 137v λαμβάνεσθαι καὶ τὸ ὑπολαμβάνειν καὶ τὸ δοξάζειν καὶ τὸ καταλαμβάνειν, ὧν τὰς διαφορὰς κρίνομεν τῷ κοινῷ κριτικῷ. ὡς δέ ἐστί τι κοινὸν κριτικόν, οὕτως πάλιν ἐστὶ καὶ κοινὸν ὁρμητικόν τε καὶ ὀρεκτικόν. ἡ γὰρ ὄρεξις ὁρμὴ ἐπί τι, ἧς τὸ μὲν ἐπιθυμία, τὸ δὲ θυμός, τὸ δὲ βούλησις. κινεῖ δὲ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ ψυχὴ τὸ ζῷον οὐκ αὐτὴ κινουμένη, ὡς προείρηται. ἀκίνητος γὰρ καθ' αὑτὴν πᾶσα ἐντελέχεια. καὶ ἡ ψυχὴ δὲ ἐδείχθη οὖσα ἐντελέχεια. διὸ οὐδὲ κυρίως λέγεται κινεῖσθαι τὸ σῶμα ὑπὸ τῆς ψυχῆς. τοῦτο γὰρ λέγεται, ἐφ' ὧν κεχώρισται τό τε κινοῦν καὶ τὸ κινούμενον, ὡς οἱ βοῦς οἱ κινοῦντες τὴν ἅμαξαν, ἀλλ' ἐπεὶ κοινότερον λέγεται ὑπό τινος κινεῖσθαι καὶ τὸ κατ' αὐτὸ κινούμενον (οὕτως γὰρ ὁ τεχ-

2 καὶ ante τίνα om. τὰ μόρια — ψυχῆς] die allen Thieren gemeinschaftlichen Teile der Seele 4 μὲν] jedoch 10 τῆς κοινῆς αἰσθήσεως] eine Wirkung des gemeinschaftlichen Sinnes δὲ] und ἐπὶ] durch 13 κατ' ἄλλο — ἄλλο] nur dass sie [die Sinneswahrnehmung] in verschiedenen Dingen [wird] πάλιν om. 14 καὶ ante ἄλλαι om. 15 ἀντιλαμβάνεσθαι ὑπολαμβάνειν] Erfindung, Denken 16 ὑποληπτέον] musst du wissen 17—18 ἑκάστην — δύναμιν] nur dass jede einzelne jener Gattungen [der Erkenntniss] [P. addit: aus ihm] entsteht durch eine Kraft, die verschieden ist von einer andern 19—20 καὶ τὸ ἀντιλαμβάνεσθαι — καταλαμβάνειν] Denken, Glauben, Wahrnehmung, Erfindung 22 τε καὶ om. 24 τε καὶ om. 26 δὲ om. 27 ψυχῆς] addit: welche sich nicht bewegt λέγεται] addit: nur 28—29 ἀλλ' ἐπεὶ — κινούμενον] Aber da man in einer allgemeineren Weise sagt, dass ein Ding von einem anderen Ding bewegt wird, indem es auch in jenem Ding bewegt wird

5 ὡς ἐρρήθη] 29,10 6 αὑτοῦ Va 8 ὕλη a 14 κρίσις a 24 ὀρεκτικὴ scripsi v. int. hebr.: θρεπτικὴ Va 25 ὡς προείρηται] 21,24 sq. 29 κατ' ἄλλο legit Arabs

νίτης ὑπὸ τῆς τέχνης, ὅτι κατ' αὐτήν, καὶ οὕτως ὑπὸ τῆς κουφότητος τὸ πῦρ), οὕτως λέγεται καὶ τὸ ζῷον ὑπὸ τῆς ψυχῆς κινεῖσθαι, ὅτι κατὰ ταύτην. κατὰ γὰρ τὸ ἔμψυχον εἶναι ἡ τοιάδε αὐτῷ κίνησις γίνεται, οὐ κατὰ τὸ βαρὺ ἢ κοῦφον ἢ λευκὸν ἢ μέλαν ἢ θερμὸν ἢ ψυχρόν. οὐ γὰρ πάντα τὰ κινεῖν λεγόμενα ὁμοίως κινεῖ. τὰ μὲν γὰρ οὕτως κινεῖ ὡς λέγομεν τὸ ὀρεκτόν τε καὶ ἐφετὸν κινεῖν· κινεῖ γὰρ πᾶν τὸ ἐρώμενον τὸν ἐραστὴν τῇ ἐφέσει αὐτοῦ ἐκτός τε ὂν αὐτοῦ καὶ μὴ κινούμενον. διὸ οὐδὲν ὑπὸ τοῦ οὕτως κινητικοῦ τῶν ἀψύχων κινεῖται. ἡ δὲ ψυχὴ κινεῖ τὸ ζῷον τῷ κατὰ τὴν ὄρεξίν τε καὶ ὁρμὴν τὴν διὰ ταύτην οὖσαν ἐν αὐτῷ διά τι ὧν ᾔσθετο ἢ ἐνόησεν κινεῖσθαι αὐτὸ ἢ λήψεως χάριν ἢ φυγῆς. τὰ δέ γε ἄψυχα κινεῖ ἐμπεσόντα τούτοις, ἃ κινεῖ, καὶ βίᾳ κεχωρισμένοις οὖσιν αὐτῶν. ἡ μὲν οὖν τοιαύτη κίνησις ὑπὸ κινουμένων καὶ αὐτῶν τῶν κινούντων γίνεται. αἱ δὲ πρὸ ταύτης εἰρημέναι οὐ τοῦτον τὸν τρόπον. οὔτε γὰρ τὸ τῷ νοεῖσθαι κινοῦν κινούμενον κινεῖ, οὐθ' ὁ τῷ νοεῖν τι καὶ ὀρέγεσθαι αὐτοῦ καὶ ὁρμᾶν ἐπ' αὐτὸ κινούμενος τῷ κινεῖσθαι τὸ νοοῦν οὕτως ὑπ' αὐτοῦ κινεῖται. αἰσθάνεται μὲν γὰρ τὸ ζῷον καὶ νοεῖ καὶ βαδίζει κατὰ τὴν ψυχήν, οὐ μὴν τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν, ἵνα κινήσῃ, κινουμένης. οὐδὲ γὰρ ἐπεὶ ὁ ὀρχηστὴς κατὰ τὴν ὀρχηστικὴν κινεῖται, διὰ τοῦτο ἀνάγκη κινεῖσθαι καθ' αὑτὴν καὶ τὴν ὀρχηστικήν. οὐ γάρ ἐστιν οὕτως ἐν ἡμῖν ἡ ψυχὴ ὡς ὁ ἐρέτης ἐν τῇ νηί, ἀλλ' ὡς εἶδός τι καὶ τελειότης, ὡς ἐδείχθη. ἀλλὰ περὶ μὲν τούτου καὶ ἐν τοῖς πρώτοις εἰρήκαμεν. οὐχ ὅτι δὲ προγίνεται τῆς κινήσεως ἡ νόησις ἢ φαντασία, διὰ τοῦτο ἡγεῖσθαι χρὴ ταῦτ' εἶναι τὰ κινοῦντα, ἀλλ' ὅτι χωρὶς ὁρμῆς τε καὶ ὀρέξεως οὐδέτερον ἐκείνων κινεῖ, τούτοις τὴν κίνησιν ἀνατιθέναι χρή. οὐ γὰρ ἐπεὶ ἡ ὄρεξις ἐκείνων τινὸς προηγησαμένου, ἤδη καὶ τὸ κινοῦν ἐκείνων τι, ἀλλ' ὅτι μηδὲν ὄφελος πρὸς κίνησιν ἐκείνων, εἰ μὴ καὶ ὁρμή τις εἴη καὶ ὄρεξις ἐπιγίνοιτο, ταύτην ἡγεῖσθαι χρὴ τὴν κινοῦσαν εἶναι. δεῖ γάρ, εἰ κινηθήσεται τὸ ζῷον, οἷον κατα-

---

1 ὑπὸ τῆς—αὐτήν] von seiner Arbeit, weil er sich durch sie bewegt 2 καὶ om. 5 τὰ μὲν γὰρ] Denn Einiges, wovon wir sagen, dass es bewege 5—6 οὕτως—κινεῖν] bewegt, weil es geliebt und ersehnt wird 7 καὶ om. 8 κινεῖται] finden wir bewegt 9 ὧν ᾔσθετο] addit: durch sie [die Seele] 10 ἢ ἐνόησεν om. (τῷ) κινεῖσθαι αὐτό] denn es scheint sich zu bewegen 11 ἐμπεσόντα] indem es sich vermengt καὶ—αὐτῶν] und dies geschieht mit Zwang, weil es nicht abgesondert ist von dem, was es bewegt 12—13 αἱ—εἰρημέναι] die beiden Bewegungen, deren wir früher gedacht haben 17 ἵνα] wie 19 ἐν ἡμῖν] in ihm 20 ἐρέτης] Ruder 21 τῆς κινήσεως] addit: im Thiere 23 ἀλλ' om. τούτοις] diesen beiden 24 ἀνατιθέναι χρὴ pendet ex ἡγεῖσθαι

---

1 ὅτι V: ἄρα a 2 κατὰ ταύτην V: κατ' αὐτὴν a 13 πρὸ ταύτης scripsi: πρὸ ταύταις V (in margine m[1] ἦν scripsit, quod quo referatur dubium est): πρὸς ταύταις a νοεῖσθαι (ἡ m[1] supra lin.) V 14 κινεῖ V: κινεῖν a 15 ἐπ' αὐτοκινούμεν (ο supra lin.) V: ὑπ' αὐτὸ κινούμενος a τὸ, νοοῦν V: τὸ νοῦν a: fortasse τὸν νοῦν 20 ἐρετῆς a 21 ἐν τοῖς πρώτοις] p. 1—26, praec. cf. 15,9 sq. et 21,22.

φῆσαι ἢ ἀποφῆσαι πρῶτον αὐτό. ἡ γὰρ περὶ τὰ πρακτικὰ τοιαύτη τοῦ ἐμψύχου διάθεσις αἰτία τῆς κατὰ τόπον κινήσεως. καὶ γὰρ ἐπὶ τῶν λογικῶν πράξεων, λέγω δὲ λογικὰς τὰς ὑπὸ τῶν λογικῶν τε καὶ κατὰ λόγον τινὰ πραττομένας, αὗται δέ εἰσιν ὧν λόγος προηγεῖται, ἃς καὶ κυρίως ἄν τις πράξεις λέγοι, καὶ τούτων δὴ ἡ ὁρμὴ καὶ ἡ ὄρεξις αἰτία. οὐδὲν γὰρ ὄφελος τοῦ βουλεύσασθαι περὶ τοῦ πρακτέου, εἰ μὴ καὶ προαίρεσις ἐπακολουθῆσαι, ἥτις ἐστὶν ὄρεξις βουλευτική. ὡς γὰρ ἐν τοῖς θεωρητοῖς τὸ συμπέρασμα τὸ ἐπὶ τοῖς λαμβανομένοις δεικνύμενον ἡ γνῶσίς ἐστι τοῦ προκειμένου, οὕτως ἐν τοῖς πρακτοῖς ἡ πρᾶξις τὸ τῆς βουλήσεως γίνεται συμπέρασμα. ἅμα τε γὰρ ἐδείχθη, ὅτι χρὴ μεταδιώκειν τι ἢ φεύγειν κἂν ἡ ὄρεξις τῷ δειχθέντι συνοδεύῃ τοῦτο γίνεται, ἂν μή τι τὸ κωλῦον ἔξωθεν ᾖ. ὁ γὰρ ἐννοήσας ὅτι παντὶ ἀνθρώπῳ περιπατητέον, ἐγὼ δὲ ἄνθρωπος, συμπέρασμα ποιεῖται τῶν προειρημένων προτάσεων τὸ περιπατεῖν. ἀλλὰ καὶ ὁ ἐννοήσας ὅτι σκεπάσματός μοι δεῖ, τὸ δὲ ἱμάτιον σκέπασμα, τὸ συμπέρασμα τὸ 'ἱματίου μοι ἄρα δεῖ' εἰς τὸ κατασκευάζειν ἱμάτιον μεταφέρει.

Καὶ αὗται μὲν καὶ τοιαῦται αἱ τῆς ἀλόγου ψυχῆς δυνάμεις, καὶ αἱ κατὰ ταύτας τε καὶ ἀπὸ τούτων ἐνέργειαι, αἳ πάντως μὲν καὶ ἐν τῇ λογικῇ περιέχονται τῷ τελειοτέραν μὲν εἶναι ταύτην, εἶναι δὲ τὴν τελειοτέραν κατὰ προσθήκην δυνάμεως ἢ δυνάμεων (ἡ γὰρ πρώτη δύναμις κατὰ προσθήκην τινὰ δυνάμεως τελειοτέρα γίνεται), ἔστιν δὲ παρὰ ταύτας τε καὶ ἐπὶ ταύταις δύναμίς τις ψυχῆς καὶ ἡ λογική, ὡς προείρηται, κριτική τις οὖσα καὶ αὕτη, ἣν ἄνθρωπος ἐξαίρετον ἔχων παρὰ τἄλλα ζῷα τιμιώτερόν τέ ἐστι ζῷον καὶ τελειότερον, καθ' ἣν δύναμιν καὶ λογικὸς καλεῖται. ἥτις ἐστὶ δύναμις ψυχῆς διττὴ καὶ αὐτὴ

1—2 ἡ γὰρ—κινήσεως] Denn dies ist in dem Beseelten, in den Intelligibeln die Ursache seiner Bewegung im Orte 7 ἐν τοῖς θεωρητοῖς] in den Dingen, in welchen das Vorgestellte ist 8 συμπέρασμα — δεικνύμενον] Schlussfolgerung, welche erscheint aus den Prämissen 9 βουλήσεως συμπέρασμα] Folgerung des Ratschlages 10—12 ἅμα τε γὰρ — ἔξωθεν ᾖ] Denn es ist erläutert, dass mit dem Ratschlage (Beschluss) eintreffen müsse das Aufsuchen eines Dinges oder das Fliehen desselben, und dass, wenn jemand, dem es gelingt (?), mit einer Meinung (Vernunft) handelt aus jener Begierde, jener Gegenstand ausgeführt wird, wenn kein Hinderniss von aussen es verhindert 13 συμπέρασμα —περιπατεῖν] so wird er als Folgerung der beiden Prämissen, welche er erwähnt hat, annehmen müssen, das er gehe ἀλλὰ om. 14 μοι δεῖ] ein Glied bedarf [Bp: mein Vater, quod corruptum videtur ex ich St.] 15 συμπέρασμα .. μεταφέρει] die Folge der Praemissen bringt ihn dazu 16 αὗται — τοιαῦται] dies 17 post ἐνέργειαι addit: und dies ist ihre Beschaffenheit 18 δὲ τὴν om. 19—20 προσθήκην τινὰ δυνάμεως] durch das Hinzukommen einer Kraft von irgend einer Art 21 καὶ om. 22 ἣν—ἔχων] durch sie wird der Mensch specificirt 23 τιμιώτερόν] das bedeutendste τελειότερον] das vollkommenste

---

5 πράξεις ἄν τις a 6 ἐπακολουθῆσαι Va 10 ὅτι V: ἄρα a 11 συνοδεύῃ a 13 ποιεῖ a πιριπατεῖν a 15 εἰς V: ὡς a 17 αἳ scripsi: αἱ Va 20 „περὶ τῆς λογικῆς δυνάμεως". ἔστιν δὲ Va 23 τ' ἄλλα V: τὰ ἄλλα a 24 αὐτὴ scripsi αὕτη Va

τῷ διαφέροντα εἶναι καὶ τὰ περὶ ἃ ἡ δύναμίς τε καὶ ἐνέργειά ἐστιν αὐτῆς. πρὸς γὰρ τὰ κατὰ τὴν φύσιν διαφέροντα καὶ τῶν τῆς ψυχῆς μορίων ἕτερον τῇ φύσει τὸ πρὸς ἑκάτερον πεφυκός, εἴπερ καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα ἡ γνῶσις αὐτοῖς γίνεται, ὥσπερ καὶ ἐπὶ τῶν αἰσθήσεων ἔχον ἐδείχθη. διαφέρει δὲ ἀλλήλων τὰ ὑποκείμενα τῇ λογικῇ δυνάμει τῷ τὰ μὲν πρακτικά τε εἶναι καὶ ἐν γενέσει καὶ ἐνδεχόμενα καὶ οὕτως καὶ μὴ οὕτως γίνεσθαι, τὰ δὲ ἀίδιά τε καὶ ἀναγκαῖα, καὶ τὰ μὲν αὐτῶν εἶναι δοξαστά, τὰ δὲ ἐπιστητά. διὸ καὶ τῶν τῆς λογικῆς ψυχῆς δυνάμεων ἡ μέν τίς ἐστι δοξαστική, ἡ δὲ ἐπιστημονική. καλεῖται δὲ ἑκατέρα νοῦς, ἀλλ' ὁ μὲν πρακτικός τε καὶ δοξαστικὸς καὶ βουλευτικός, ὃς ἀρχὴ γίνεται πράξεως, ὅταν ἡ βούλησίς τε καὶ ὄρεξις συνοδεύσῃ τοῖς ὑπ' αὐτοῦ κριθεῖσιν, ὁ δὲ ἐπιστημονικός | τε καὶ θεωρητικός. τὰ μὲν γὰρ ζητοῦμεν πράξεως χάριν, 138r τὰ δὲ γνώσεως. γίνεται δὲ ὁ ἄνθρωπος οὐχ εὐθὺς ἔχων τήνδε τὴν ἕξιν, ἀλλ' ἔχων μὲν δύναμιν καὶ ἐπιτηδειότητα τοῦ δέξασθαι αὐτήν, ὕστερον μέντοι λαμβάνων αὐτήν. ὃ καὶ σημεῖον ἐναργέστατον τοῦ μὴ πρὸς τὸ εἶναι τήνδε τὴν δύναμιν συντελεῖν τοῖς ἔχουσιν αὐτήν, ἀλλὰ πρὸς τὸ εὖ εἶναι. ὅσα μὲν γὰρ πρὸς τὸ εἶναι συντελεῖ, ταῦτα ἀχώριστα τοῦ ἔχοντος, ὡς ἡ θρεπτικὴ δύναμις καὶ τῆς αἰσθητικῆς ἡ ἁπτική, ὅσα δὲ πρὸς τὸ εὖ εἶναι, ταῦτα τελειουμένοις προσγίνεται, ὅτε τοῦ κυρίως εὖ εἶναί ἐστιν ἐπιδεκτικά. ἐν γὰρ τῷ τελείῳ τὸ εὖ. ἐγγίνεται δὲ πρῶτος μὲν ὁ πρακτικός τε καὶ δοξαστικὸς νοῦς, ἐπειδὴ καὶ αἱ ἐνέργειαι περὶ ἃ οὗτός ἐστι χρησιμώτεραί τε ἡμῖν καὶ συνηθέστεραι, ὕστερον δὲ ὁ ἐπιστημονικός τε καὶ θεωρητικός. ὁ δὲ δυνάμει νοῦς, ὃν ἔχοντες γινόμεθα, διττὸς ὢν καὶ αὐτός, ἑκάτερος ἑκατέρου δεκτικός, ὑλικὸς νοῦς καλεῖταί τε καὶ ἔστι (πᾶν γὰρ τὸ δεκτικόν τινος ὕλη ἐκείνου), ὁ δὲ διὰ διδασκαλίας τε καὶ ἐθῶν ἐγγινόμενος εἶδος ἐκείνου τε καὶ ἐντελέχεια. καὶ ὁ μὲν φυσικός τε καὶ ὑλικὸς ἐν πᾶσιν τοῖς μὴ πεπηρωμένοις, τὴν διαφορὰν ἔχων, καθόσον οἱ μέν εἰσιν εὐφυέστεροι τῶν ἀνθρώπων, οἱ δὲ ἀφυέστεροι (καθ' ὃν καὶ λέγομεν πάντας ἀνθρώπους νοῦν ἔχειν),

---

1 τῷ—αὐτῆς] weil auch die Dinge, welche die Seele durch diese Kraft bezweckt, und diese Tätigkeit verschieden sind 3—4 καὶ οἰκειότητα om. 5—7 τῷ—γίνεσθαι] dass einige, welche gemacht werden, [so] entstehen, [dass sie] möglicherweise von dieser Beschaffenheit sind, möglicherweise von jener 10 καὶ βουλευτικός om. 11 ὅταν—κριθεῖσιν] wenn man das getan hat, worüber der Wille und die Begierde geurteilt hat 14 ἐπιτηδειότητα] Anlage und Geeignetheit 19—20 ὅτε—εὖ] durch diese Beschaffenheit nämlich ist es im wahren Sinne die Vortrefflichkeit annehmend, denn die Geeignetheit und die Schönheit sind in dem Vollkommenen 20 πρακτικός—δοξαστικὸς] der praktische gedankliche 23 δὲ om. ὃν—γινόμεθα] welcher wird und den wir besitzen 24 καὶ ἔστι] und mit Recht wird er so genannt 26 ἐν—πεπηρωμένοις] in denen, die nicht vollendet sind

---

1 τὰ om. Ka 2 τὴν om. Ka 5 ἐδείχθη] 39,1 sq. 12 ἐπιστομονικὸς a 15 αὐτή a ἐνεργέστατον Ka 20 τε καὶ δοξαστικὸς in lit. V 21 νοῦς in mg. addidit m[1] V οὗτοί Ka 22 „περὶ τοῦ δυνάμει νοῦ". ὁ δὲ Va 24 cf. ἐστι καὶ λέγεται 144r20

ὁ δὲ ἐπίκτητός τε καὶ ὕστερον ἐγγινόμενος, καὶ εἶδος καὶ ἕξις ὢν καὶ τελειότης τοῦ φυσικοῦ, οὐκέτ' ἐν πᾶσιν, ἀλλ' ἐν τοῖς ἀσκήσασίν τε καὶ μαθοῦσιν, ὃν τρόπον καὶ ἐπὶ τῶν ἐπιστημῶν ἔχει. καὶ γὰρ ἐκείνων πάντες μέν ἐσμεν φύσει δεκτικοί, οὐκέτι δὲ καὶ δεδέγμεθα πάντες αὐτάς, ὅτι μηκέτι τὸ δέξασθαι αὐτὰς φύσει. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ περιπατεῖν, οὕτως δὲ ἔχει καὶ ἐπὶ τῶν ἐπιστημῶν τε καὶ τοῦ κατ' ἐνέργειαν νοῦ. ἐπὶ μὲν γὰρ τοῦ περιπατεῖν, ὥσπερ ἡ δύναμις ἡμῖν τοῦ περιπατεῖν ἐνυπάρχει φύσει, καὶ ἔχομεν αὐτὴν εὐθὺς γενόμενοι, οὕτως καὶ ἡ ἐνέργεια προϊοῦσίν τε καὶ τελειουμένοις προσγίνεται φύσει, ἐπὶ δὲ τῆς ἐπιστήμης τε καὶ τοῦ νοῦ αἱ μὲν δυνάμεις φύσει, οὐκέτι δὲ αἱ ἕξεις τε καὶ ἐνέργειαι φύσει. διὸ τοῦτον τὸν νοῦν λέγομεν οὐ πάντας ἔχειν ἔτι, ἀλλὰ μόνου τοῦ σπουδαίου τὸ νοῦν ἔχειν κατηγοροῦμεν· ἢ καὶ τούτου μέχρι τινὸς πάντες οἱ μὴ πεπηρωμένοι μεταλαμβάνουσιν, ἐπὶ τὴν τοῦ καθόλου τε περίληψιν καὶ κατὰ σύνθεσιν γνῶσίν τινων ὑπ' αὐτῆς τῆς φύσεως ὁδηγούμενοι· οὗτός ἐστι κυριώτερον ὁ κοινὸς νοῦς καλούμενος, ἡ δὲ ἐπὶ πλέον ἐξεργασία κατ' αὐτὸν γίνεται τὸν εἰρημένον τρόπον. ὁ μὲν οὖν πρακτικὸς νοῦς βουλευτικός ἐστι (τῷ γὰρ τὰ πρακτὰ ἐνδέχεσθαι καὶ οὕτως καὶ μὴ οὕτως πραχθῆναι βουλῆς δεῖ πρὸς τὴν αἵρεσιν τοῦ βελτίονος), ὁ δὲ θεωρητικὸς τῶν ἀιδίων καὶ ὁμοίως ἐχόντων ἀεὶ γνωστικὸς ὢν ἐπιστημονικός ἐστιν, ἀλλ' οὐ βουλευτικός. τὸν μὲν οὖν δυνάμει τε καὶ ὑλικὸν νοῦν καλούμενον ἑκάτερον ὡς εἶπον εὐθὺς ἔχομεν γινόμενοι, τοὺς δὲ κατ' ἐνέργειάν τε ὄντας καὶ ἕξεις τούτων ὕστερον κτώμεθα διὰ τῆς

1 ἐγγινόμενος] der in uns der Genossenschaft der Menschen entsteht καὶ εἶδος—ὢν] welche eine Form ist, da er eine Aneignung und Vollendung ist für den natürlichen Intellect 2 ἀσκήσασίν—μαθοῦσιν] welche ausgegangen sind (sic) und sich unterrichtet haben 3 καὶ ante ἐπὶ om. 6—9 ἐπὶ μὲν γὰρ τοῦ περιπατεῖν—προσγίνεται φύσει] denn was das Gehen betrifft, sowie die Kraft des Gehens sich in uns von Natur findet, und uns von jeher angeboren ist, ebenso entsteht in uns fortfahrend die Tätigkeit des Gehens, wenn wir wachsen und vervollkommnet geworden sind 11 ἀλλὰ—κατηγοροῦμεν] sondern wir bezeichnen die vorzüglichen unter den Menschen, mit Ausschluss der anderen, wenn wir sagen, dass sie Intellect besitzen 12 ἢ καὶ] wenn auch 14 κοινὸς] der allgemeine, der gemeinschaftliche 16 μὲν οὖν om. 17 βουλῆς—βελτίονος] deren [der πρακτά] bedarf man zur Leitung, so dass man das Bessere von beiden Gegenständen wählt 18 καὶ om. 19 ἀλλ' οὐ βουλευτικός] nicht die Leitung und der Rat 21—83,2 ὕστερον—θεωρητῶν] erwerben wir zuletzt durch Uebung im Erlernen und zwar ist dieses in Beziehung auf die partiellen (Einzelheiten?) im praktischen Intellect; hingegen in Beziehung auf die Werke und im theoretischen Intellect in Bezug auf die Dinge, über welche speculirt wird

1 „περὶ τοῦ καθ' ἕξιν νοῦ". ὁ δὲ Va 2 τοις V 3 τρόπον] π in lit. V μέν om. K 5 δὲ om. K 7 ἐνυπαρχει V 11 τό, νοῦν V: τὸν νοῦν Ka 12 ἢ καὶ] εἰ καὶ legit Arabs, sed cf. Ind. haec enim verba quasi per parenthesim dicta vim praecedentis enuntiati restringunt 13 cf. ἥτις περίληψίς τε καὶ διὰ τῆς τῶν καθ' ἕκαστα αἰσθητῶν ὁμοιότητος τοῦ καθόλου λῆψις νόησίς ἐστιν 83,11 [Cf. etiam: ταῖς μεταβολαῖς καὶ ἄλλοτε πρὸς ἄλλα τε καὶ δι' ἄλλων ἐνεργείαις p. 27,5] 14 οὗτός ἐστι cf. 24,16 93,16 16 „περὶ τοῦ πρακτικοῦ νοῦ". ὁ μὲν Va 18 „περὶ τοῦ θεωρητικοῦ νοῦ". ὁ δὲ Va ἐχόντων] των in lit. V 19 δυνάμει] ει in lit. V 20 ἑκάτερον] cf. ἑκάτερος ἑκατέρου δεκτικός 81,23

καθ' ἡμέραν διδασκαλίας, ἧς γίνεται δεκτικὸς ἐκ τῆς ἐνεργείας, τὸν δὲ θεωρητικὸν ἐκ τῆς τῶν θεωρητῶν. γεννᾶται γὰρ ὁ ἄνθρωπος αἰσθήσεις ἔχων, καθ' ἃς ἐνεργῶν φαντασίας λαμβάνει. ὁρῶν οὖν ἑκάστοτε καὶ ἀκούων καὶ κατὰ τὰς ἄλλας αἰσθήσεις αἰσθανόμενος καὶ τυπούμενος ὑπ' αὐτῶν πρῶτον μὲν ἐν τῇ τῶν τύπων τούτων τηρήσει μνημονεύειν ἐθίζεται, ἔπειτα δὲ ἔκ τε μνήμης καὶ τῆς συνεχοῦς κατὰ τὰς αἰσθήσεις ἐνεργείας περὶ τὰ αἰσθητὰ γίνεταί τις αὐτῷ ἀπὸ τοῦ 'τόδε τε καὶ καθέκαστον' ἐπὶ τὸ 'τοιόνδε καὶ καθόλου' μετάβασις δι' ἐμπειρίας. τοῦδε γὰρ τοῦ λευκοῦ καὶ τοῦδε τῆς αἰσθήσεως ἀντιλαμβανομένης ἐκ τῶν τοιούτων ἀντιλήψεων ἔλαβεν τὸ εἶναι τὸ τοιόνδε χρῶμα λευκόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων αἰσθητῶν ἑκάστου. ἥτις περίληψίς τε καὶ διὰ τῆς τῶν καθ' ἕκαστα αἰσθητῶν ὁμοιότητος τοῦ καθόλου λῆψις νόησίς ἐστιν. ἡ γὰρ τῶν ὁμοίων σύνθεσις ἔργον ἤδη νοῦ. ὥσπερ δὲ ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν διὰ τῆς τῶν εἰδῶν τῶν αἰσθητῶν λήψεως ἄνευ τῆς ὕλης γίνεται, οὕτως δὲ καὶ ἡ νόησις λῆψις τῶν εἰδῶν ἐστι χωρὶς ὕλης, ταύτῃ τῆς αἰσθητικῆς ἀντιλήψεως διαφέρουσα, ᾗ ἡ μὲν αἴσθησις, εἰ καὶ μὴ ὡς ὕλη τὰ αἰσθητὰ εἴδη | λαμβάνει, ἀλλ' 138v οὕτως γε αὐτῶν ποιεῖται τὴν ἀντίληψιν ὡς ὄντων ἐν ὕλῃ (τὰ γὰρ κοινὰ αἰσθητὰ συμπεπλεγμένα τῇ τῶν ἰδίων αἰσθητῶν ἀντιλήψει μαρτύρια τοῦ ὡς ἐνύλων αὐτῶν ὄντων τὴν αἴσθησιν ἀντιλαμβάνεσθαι· ἅμα γὰρ χρωμάτων ὄψις αἰσθανομένη σὺν αὐτῷ καὶ μεγέθους καὶ σχήματος καὶ κινήσεως ἢ ἠρεμίας αἴσθησιν λαμβάνει, ἃ μαρτύρια τοῦ περί τι ὑποκείμενον εἶναι τὸ χρῶμα), ὁ δὲ νοῦς οὔτε ὡς ὕλη τὰ εἴδη λαμβάνει, οὔτε ὡς ἐν ὕλῃ ὄντα καὶ μεθ' ὕλης. ἔστι δὲ τὸ μὲν ὡς ὕλην εἶδός τι λαμβάνειν τὸ

3 ἑκάστοτε] er hört nicht auf zu 5 μνημονεύειν] die Aufbewahrung 7—8 ἀπὸ—ἐμπειρίας] ein Aufsteigen von jenem particulären Dinge (B addit: bestimmten) zu diesem allgemeinen Dinge durch die Prüfung (Versuch) und die Wahl 8 τοῦδε γὰρ τοῦ λευκοῦ καὶ τοῦδε] dieses Weisse und dieses Weisse 9 ἐκ—ἀντιλήψεων] daraus 11—12 ἥτις—ἐστιν] diese Allgemeinheit und diese Wahrnehmung eines allgemeinen Begriffes, welche stattfindet, wenn die partiellen Sinnesobjekte verglichen (vorgestellt) werden, ist eine intellectuelle Vorstellung (Abbildung) 13 ἤδη om. δὲ] und 16 λαμβάνει] entnahm 17 γὰρ om. 18 συμπεπλεγμένα—ἀντιλήψει] da ihre Wahrnehmung die Wahrnehmung der einzelnen sinnlich Wahrgenommenen zusammenfasst 19 ἀντιλαμβάνεσθαι] wahrgenommen hat χρωμάτων] der Farbe 21—22 τοῦ—χρῶμα] dass die Farbe befindlich ist an einem Dinge. [adnotatio int. arab. P. mg.: so im griechischen Text, es muss aber heissen, dass seine Wahrnehmung der Farbe [derart sei? daher komme, dass? insofern?] sie befindlich ist an einem Dinge 23—84,1 ἔστι—λαμβανομένῳ] wenn wir sagen „das Entnehmen der Formen auf dem Wege der Hyle", so meinen wir, dass der Entnehmende Hyle des Entnommenen wird

1 τὸν δὲ θεωρητικὸν κτλ.] plura ante haec verba excidisse patet, quae ex vestigiis in int. hebr. servatis restituere mihi non contigit. hoc tantum moneo videri legisse Arabem διδασκαλίας ⟨καὶ ἀσκήσεως⟩ et verbis τὸν δὲ θεωρητικὸν—θεωρητῶν respondisse olim tale fere enuntiatum: τὸν μὲν πρακτικὸν ἐκ τῆς τῶν πρακτῶν [an τῶν καθέκαστα legit Arabs?] συνεχοῦς κρίσεως, quod quomodo cum verbis ἧς γίνεται—ἐνεργείας coniungendum sit, non video 4 αἰσθήσεις V 5 μνημονεύειν ἐθίζεται] cf. 68,9 7 τόδε τε V: τόδε a. Cf. 87,15 διὸ οὐ τοῦδε, ἀλλὰ τοιοῦδε, καὶ οὐ τοῦ καθέκαστα, ἀλλὰ τοῦ καθόλου τόδε (non τοῦδε)] cf. 16,13 19 ὄντων αὐτῶν Ka fortasse χρώματος cf. τὸ χρῶμα (22) et int. hebr.

αὐτὸ ⟨τῷ⟩ ὕλην γίνεσθαι τῷ λαμβανομένῳ, ὃ ἐπὶ τῶν παθῶν τῶν οὐ κατὰ ψυχὴν γινομένων ἰδεῖν ἔστι. τὰ γὰρ ἁπλῶς πάσχοντα ὕλαι γίνονται τῶν παθῶν. τὸ γὰρ θερμαινόμενον θερμὸν γινόμενον αὐτὸ ὕλη τῷ πάθει γίνεται, ὃ οὔτε ἡ αἴσθησις οὔτε ὁ νοῦς ἔχουσιν. καὶ γὰρ εἰ διά τινων παθῶν σωματικῶν τὸ αἰσθάνεσθαι γίνεται, ἀλλ' αὐτό γε τὸ αἰσθάνεσθαι οὐ πάσχειν ἐστίν, ἀλλὰ κρίνειν. οὔτε οὖν ὡς ὕλη γινόμενος ὁ νοῦς τῶν εἰδῶν οὕτως αὐτὰ λαμβάνει οὔτε ὡς μετὰ ὕλης ὄντα ὡς τὰ αἰσθανόμενα, ἀλλ' αὐτὰ καθ' αὑτὰ χωρίζων αὐτὰ ἀπὸ πάσης ὑλικῆς περιστάσεως μόνα λαμβάνων θεωρεῖ. οὐ γὰρ λευκὸν νοῶν ὡς μετὰ σχήματος ἢ μεγέθους ὄντος αὐτοῦ τὴν νόησιν ποιεῖται. αἴτιον δὲ τούτου τὸ μηδὲ τὴν ἀρχὴν ὀργάνῳ τινὶ σωματικῷ προσχρῆσθαι πρὸς τὴν λῆψιν τῶν νοουμένων, ἀλλ' ἀρκεῖσθαι αὐτὸν αὑτῷ πρὸς τὸ γνῶναι τὸ νοούμενον· διὸ ἡ μὲν αἴσθησις, εἰ καὶ μὴ ἀλλοίωσις, ἀλλὰ δι' ἀλλοιώσεώς γέ τινος γίνεσθαι δοκεῖ, ὁ δὲ νοῦς οὐ τοῦτον τὸν τρόπον. ἐπεὶ δὲ δεῖ τὸ ληψόμενον εἴδη τινὰ μηδὲν τούτων ἔχειν ἐν τῇ οἰκείᾳ φύσει (παρεμφαινόμενον γὰρ τὸ οἰκεῖον εἶδος κωλύει τὴν τοῦ ἀλλοτρίου λῆψιν· οὕτως γοῦν ἔχοντα ἐδείχθη καὶ τὰ αἰσθητήρια), δεῖ καὶ τὸν ὑλικόν τε καὶ ὑποκείμενον νοῦν μηδὲν εἶναι τῶν νοεῖσθαι δυναμένων ὑπ' αὐτοῦ. ἀλλὰ μὴν πάντα τὰ ὄντα ὑπὸ τοῦ νοῦ νοεῖται, εἴ γε τῶν ὄντων τὰ μέν ἐστι νοητά, τὰ δὲ αἰσθητά. ποιεῖ γὰρ ὁ νοῦς καὶ τὰ αἰσθητὰ αὐτῷ νοητὰ χωρίζων αὐτὰ τῆς ὕλης καὶ τί ποτέ ἐστιν αὐτοῖς τὸ εἶναι θεωρῶν. οὐδὲν ἄρα τῶν ὄντων ἐνεργείᾳ ἐστὶν ὁ ὑλικὸς νοῦς, ἀλλὰ πάντα δυνάμει. πρὸ γὰρ τοῦ νοεῖν οὐδὲν ὧν ἐνεργείᾳ, ὅταν νοῇ τι, τὸ νοούμενον γίνεται, εἴ γε τὸ νοεῖν αὐτῷ ἐν τῷ τὸ εἶδος ἔχειν τὸ νοούμενον. ἐπιτηδειότης τις ἄρα μόνον ἐστὶν ὁ ὑλικὸς νοῦς πρὸς τὴν τῶν εἰδῶν ὑποδοχὴν ἐοικὼς πινακίδι ἀγράφῳ, μᾶλλον δὲ τῷ τῆς πινακίδος ἀγράφῳ, ἀλλ' οὐ τῇ πινακίδι αὐτῇ. αὐτὸ γὰρ τὸ γραμματεῖον ἤδη τι τῶν ὄντων ἐστίν. διὸ ἡ μὲν ψυχὴ καὶ τὸ ταύτην ἔχον εἴη μᾶλλον ⟨ἂν⟩ κατὰ τὸ γραμματεῖον, τὸ δὲ ἄγραφον ἐν αὐτῇ ὁ νοῦς ὁ ὑλικὸς λεγόμενος, ἢ ἐπι-

1—2 τῶν—γινομένων] welche ausser der Seele sich finden 4—5 διά—σωματικῶν] an irgend welchen Spuren und von den Spuren des Körpers 7 ὡς τὰ αἰσθανόμενα] wie das geschieht bei den Formen, welche mit den Sinnen wahrgenommen werden 15—16 παρεμφαινόμενον—λῆψιν] das Gesicht nämlich stören die Formen, welche dasselbe specificiren von der Annahme der ihm fremden Formen 20 αὐτῷ om. 20—21 καὶ τί—θεωρῶν] und indem er ihre Qualitäten betrachtet 21 ἄρα om. 23 post γίνεται p addit: aber es ist (?) eine Kraft, wie vorangegangen ist 23—24 ἐν—νοούμενον] wenn sich in ihm die intelligible Form substanziirt 24 μόνον om. 25 ἀγράφῳ] auf welche geschrieben wird 25—26 τῷ—ἀγράφῳ] dem Fehlen der Schrift auf der Tafel 26—27 αὐτὸ—ἐστίν] denn die Oberfläche der Tafel, auf welche man schreibt, ist von der Beschaffenheit der wirklichen Dinge 27—28 κατὰ τὸ γραμματεῖον] auf der Stufe der Oberfläche der Tafel 28—85,2 τὸ δὲ ἄγραφον—ἀντιγραφόμενον] Der Zustand der Tafel hingegen, wenn die Schrift fehlt, ist ähnlich dem Intellect. Davon (?) ist die Vorstellung des

1 αὐτὸ τῷ scripsi: αὐτὸ VKa 4 ἔχουσιν] fortasse πάσχουσιν 9 fortasse ⟨τὸ⟩ λευκὸν 12 fortasse αὑτῷ 14 τὸ om. Ka 16 ἐδείχθη κτλ.] 59,12sq. cf. 44,3 63,4 17 ὑποκείμενων a 20 αὐτῷ VKa 23 τὸ τὸ· (sic) εἶδος V 24 τοῦ νοουμένου Ka 25 ἐοικῶς a 27 εἴη Ka: εἴην V ἂν addidi 28 ἢ scripsi: ἡ VKa

τηδειότης ἡ πρὸς τὸ ἐγγραφῆναι. ὡς οὖν ἐπὶ τοῦ γραμματείου τὸ μὲν γραμματεῖον πάσχοι ⟨ἂν⟩ ἀντιγραφόμενον, ἐν ᾧ ἡ πρὸς τὸ γραφῆναι ἐπιτηδειότης, ἡ μέντοι ἐπιτηδειότης αὐτὴ οὐδὲν πάσχει εἰς ἐνέργειαν ἀγομένη (οὐδὲ γάρ ἐστί τι ὑποκείμενον), οὕτως οὐδ' ἂν ὁ νοῦς πάσχοι τι, μηδέν γε ὢν τῶν ἐνεργείᾳ. διὸ καὶ οὐκ ἀλόγως τινὲς ἀπὸ τῆς τοῦ νοῦ δυνάμεως κινούμενοι τόπον εἰδῶν τὴν ψυχὴν εἶπον εἶναι, ὃ τῷ κυριωτάτῳ τῆς ψυχῆς ὑπάρχει, τοῦτ' ἐπὶ πᾶσαν αὐτὴν μεταφέροντες. τόπος δ' ἂν εἴη τῶν εἰδῶν οὐ κατ' ἐνέργειαν (οὐδὲν γὰρ κατὰ τὴν αὑτοῦ φύσιν τῶν εἰδῶν ἔχων ἐδείχθη), ἀλλ' ὡς δυνάμενος αὐτὰ λαμβάνειν τόπος αὐτῶν ἂν εἴη δυνάμει κατὰ τοῦτο. καὶ τοιοῦτος μὲν ὁ ὑλικὸς νοῦς, ὁ δὲ ὡς ἕξις λεγόμενος εἶδός ἐστι [καὶ δύναμις] καὶ τελειότης τούτου, ἥτις ἕξις ἐν αὐτῷ γίνεται ἔκ τε τῆς τοῦ καθόλου περιλήψεως καὶ ἐκ τοῦ τὰ εἴδη χωρίζειν ἀπὸ τῆς ὕλης [δύνασθαι], ἃ τρόπον τινὰ ταὐτά ἐστιν ἀλλήλοις. ὅ τε γὰρ τὸ εἶδός τινος χωρὶς τῆς ὕλης λαβὼν ἔχει τὸ κοινόν τε καὶ καθόλου (ὁ γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου λαβὼν χωρὶς τῶν ὑλικῶν περιστάσεων ἔχει τὸν κοινὸν ἄνθρωπον· ἡ γὰρ τῶν καθ' ἕκαστα ἀνθρώπων πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς ὕλης γίνεται, ἐπεὶ τά γε εἴδη αὐτῶν, καθ' ἅ εἰσιν ἄνθρωποι, οὐδεμίαν ἔχει διαφοράν), ὅ τε τὸ κοινὸν τὸ ἐπὶ τοῖς καθ' ἕκαστα συνιδὼν τὸ εἶδος πάλιν χωρὶς τῆς ὕλης λαμβάνει. τοῦτο γὰρ ἐν αὐτοῖς τὸ κοινόν τε καὶ ταὐτόν. ἐγγίνεται δὲ ἡ τοιάδε ἕξις τῷ νῷ τὴν ἀρχὴν κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας ὥσπερ ὄψιν τινὰ ἀπ' αὐτῶν λαμβάνοντος τοῦ καθόλου θεωρητικήν, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον γινόμενον, ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη. ὅταν γὰρ ἐν ἕξει γένηται διὰ τὰς συνεχεῖς ἐνεργείας τοιαύτῃ, ὡς δι' αὑτοῦ λοιπὸν ἐνεργεῖν δύνασθαι, τότε ὁ ὡς ἕξις

Intellects aber nichts als die (von diesem Zustande ist für den Intellect keine [andere] Vorstellung als die der) Vorbereitung zum Eintreffen der Schrift auf derselben, und wie die Oberfläche der Tafel afficiert wird, wenn darauf geschrieben wird. 7 πᾶσαν αὐτὴν] die Seele selbst 13 ταὐτά.. ἀλλήλοις] zu einander passend 17—18 ἐπεὶ—διαφοράν] wenn nicht, so würden ihre Formen, durch welche sie Menschen sind, durchaus ohne Unterschied sein 18—19 ὅ τε—συνιδὼν] [zu wem] der gemeinschaftliche Begriff gelangt, welcher aus den Individuen entsteht, so dass er ihn in der Seele festhält 20 ταὐτόν] angemessen, conform 22 post ἐνεργείας addit: des Intellects 23 νόημα καὶ ἔννοια] Einsicht und Wissenschaft 23—25 πλεονάσαν—ἤδη] wenn es zunimmt, und eine Gestaltung annimmt und sich verzweigt und ausgeübt wird, so dass es sich befestigt, um sein Thun ohne Unterstützung der sinnlichen Begriffe auszuführen, dann heiszt es Intellect 26 ὡς—δύνασθαι] dass er sich dadurch befestigen kann, während er für sich abgesondert ist, so dass er seine Wirkung ausüben kann.

2 ἂν addidi 4 οὐδ' ἂν scripsi: οὐδὰν V πάσχοι scripsi: πάσχει V οὕτως καὶ ὁ νοῦς. οὐδ' ἂν πάσχοι τι a 5 γε om. a fortasse ὑπὸ 8 οὐ om. Ka αυτοῦ V: αὐτοῦ a 9 ἐδείχθη] 84,15 11 „περὶ τοῦ ἐν ἕξει νοῦ". ὁ δὲ Va 11—86,6 ὁ δὲ ὡς—νοήματα] cf. Ps. Alex. in met. Ar. 671,28—672,16 et Freudenthal Abh. d. Berl. Ac. 1884 p. 24sq. 11 καὶ δύναμις del. Freudenthal 13 δύνασθαι del. Freud. 16 ἀνθρώπων om. Ps. Al. del. Freudenthal 22 fortasse λαμβάνοντι, sed cf. 152,3 θεωριτικήν a 26 τοιαύτη Ka

καλούμενος νοῦς γίνεται, ἀνάλογον ὢν τῷ ἐπιστήμονι, ὅς τοῦ τε κατὰ δύναμιν ἐπιστήμονος λεγομένου καὶ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντός ἐστι μεταξύ, ὅσον ἀπολείπεσθαι δοκεῖ τοῦ κατὰ τὴν ἐπιστήμην ἐνεργοῦντος, τοσοῦτον πλεονεκτῶν τὸν κατὰ δύναμιν ἐπιστήμονα. | ἐνεργοῦσα δὲ ἥδε 139r ἡ ἕξις ὁ κατ' ἐνέργειαν γίνεται νοῦς. ὁ γὰρ κατὰ ἕξιν νοῦς ἀποκείμενά πώς ἐστιν ἀθρόα καὶ ἠρεμοῦντα τὰ νοήματα. ὅτι δὲ οὐχ ὁμοίως ὁ νοῦς ὑπὸ τῶν νοητῶν πάσχει τῇ αἰσθήσει, ἀλλ' ἡ μὲν ὑπὸ τῶν αἰσθητῶν διατίθεταί πως ἅτε διὰ σωματικῆς ὑπηρεσίας αὐτῶν ἀντιλαμβανομένη, ὁ δὲ ἀπαθὴς ὑπ' αὐτῶν μένει, δῆλον καὶ ἐκ τοῦ τὴν μὲν αἴσθησιν ἀπὸ τῆς περὶ τὰ σφόδρα αἰσθητὰ ἐνεργείας μὴ δύνασθαι τῶν ἧττον αἰσθητῶν ἀντιλαμβάνεσθαι ὡς ἔχουσάν τι πάθος ἔτι παράμονον ἀπ' ἐκείνων ἐγγενόμενον, τὸν δὲ νοῦν ἀπὸ τῶν σφόδρα νοητῶν μηδὲν ἧττον, ἢ καὶ μᾶλλον νοεῖν τὰ ἔλαττον νοητά, ὡς ἂν ἐν τῷ προγεγυμνάσθαι περὶ αὐτὰ ἑτοιμότερον πρὸς τὰς οἰκείας ἐνεργείας γεγονότα. καὶ ἐπεί ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ εἶδος τὸ νοούμενον, ὥσπερ καὶ ἐπὶ τῆς αἰσθήσεως ἐδείχθη, ὁ ἐν ἕξει νοῦς (οὗτος δέ ἐστιν ὁ νοεῖν ἐπ' αὐτοῦ δυνάμενος καὶ τὰ τῶν νοητῶν εἴδη λαμβάνειν καθ' αὑτά), οὗτος ἤδη δύναται καὶ αὑτὸν νοεῖν. ἐπεὶ γὰρ τὸ νοούμενον εἶδος αὐτός ἐστιν, εἴ γε νοῶν ὃ νοεῖ γίνεται, ὁ ἄρ' ἕξιν ἔχων τοῦ τὰ εἴδη νοεῖν, οὗτος ἕξιν καὶ δύναμιν ἔχει τοῦ νοεῖν ἑαυτόν. ὃ γὰρ δύναται νοεῖν, τοῦτο αὐτὸ αὐτὸς νοῶν γίνεται, καὶ ἔστιν ὅταν νοῇ προηγουμένως μὲν καὶ καθ' αὑτὸν νοῶν τὸ νοητὸν εἶδος, κατὰ συμβεβηκὸς δὲ ἑαυτὸν τῷ συμβεβηκέναι αὐτῷ, ὅταν νοῇ, γίνεσθαι ἐκεῖνο, ὃ νοεῖ. πρὸ μὲν οὖν τοῦ κατ' ἐνέργειαν τὸν νοῦν νοεῖν πρὸς ἄλληλά ἐστι τὸ νοοῦν τε καὶ τὸ νοούμενον καὶ ἀντικείμενα ἀλλήλοις ὡς τὰ πρός τι, ὅταν δὲ ἐνεργῶσιν, ἓν γινόμενα παύεται τῆς ἀντιθέσεως. οὐδὲ γὰρ ἐφαρμόζειν αὐτοῖς οἷόν τέ ἐστι τὸν τοῦ πρός τι λόγον. διὸ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτὸς γινόμενος τῷ νοητῷ εὐλόγως αὑτὸν λέγεται νοεῖν. ὁ μὲν οὖν νοῦς ὁ κατ' ἐνέργειαν αὑτὸν νοεῖ. ὃ γὰρ νοεῖ, τοῦτο αὐτὸς γίνεται. τὰ γὰρ εἴδη χωρὶς ὕλης νοεῖ. οὐ γὰρ τόδε, ἀλλὰ

4 ἐνεργοῦσα] wenn sie wirkend gemacht (?) wird 5—6 ὁ κατ'—τὰ νοήματα] entsteht der Intellect in actu bei der Erkenntniss der Wissenschaften von irgend einer Seite und der Erreichung (Ableitung?) der einen aus der anderen; vorher waren sie gesammelt, gemengt ruhend 11—12 ὡς—ἐγγενόμενον] weil nach seiner Trennung von den starken Sinnesobjekten ein Rest von einer Spur derselben in ihm bestehen bleibt 13—14 ὡς ἂν—γεγονότα] wenn er nämlich mit jenen begonnen hat, so wird er in seinen Tätigkeiten, die ihn specificiren, mehr übergehend (i. e. fortschreitend) 16 ὁ ἐν ἕξει νοῦς] der Intellect in actu 23—24 πρὸ—νοεῖν] Ehe der Begreifende (Intellect) in actu begriffen hat

1 ἀνάλογος Freudenthal, sed cf. Ind. 3 ἀπολείπεσθαι] ολ in lit. V τὴν del. Freudenthal 4 „περὶ τοῦ κατ' ἐνέργειαν νοῦ“. ἐνεργοῦσα δὲ Va ἥδε V: ἤδη Ka 6 ἠρεμοῦντα V ut solet. K νοήματα Ka: νόημα V 11 παράμονον V: παραμένον K: παρὰ μένον a 12 τῶν ex. Vict.: τοῦ VKa ἧττον] ττ in lit. V 13 προγεγυμνᾶσθαι a 14—87,1 καὶ ἐπεί—προείρηται Ps. Al. in Ar. met. 672,16—31 15—16 ὁ ὑφ' αὑτοῦ νοεῖν δυνάμενος Ps. Al. 16 ἐδίχθη a 18 καὶ αὐτὸν VKa 29 αὐτὸ Ps. Al.

τὸ τῷδε εἶναι νοεῖ, ὡς προείρηται. οὐκέτι δὲ ὁμοίως ἡ κατ' ἐνέργειαν αἴσθησις αὑτῆς αἰσθάνεσθαι λέγεται, καίτοι καὶ αὐτὴ τὰ εἴδη τῶν αἰσθητῶν λαμβάνουσα, ὅτι αἰσθάνεται μὲν ὧν αἰσθάνεται ὡς ὄντων ἐν ὕλῃ (τοῦδε γὰρ ἡ αἴσθησις), οὐ γίνεται δὲ αὐτὴ τῷ αἰσθητῷ ἡ αὐτή, ὅτι μὴ ὡς ὕλη τὸ εἶδος λαμβάνει. καὶ γὰρ τὰ ἔνυλα εἴδη καὶ αἰσθητὰ ἄλλως μὲν ἡ αἴσθησις, ἄλλως δὲ ὁ νοῦς κρίνει. ἔστι μὲν γὰρ ἐπὶ τῶν τοιούτων καὶ ὅλως ἐπὶ τῶν συνθέτων ἐξ ὕλης τε καὶ εἴδους ἄλλο τὸ τόδε τι, καὶ ἄλλο τὸ τῷδε εἶναι. οὐ γὰρ ταὐτόν ἐστι χαλκὸς καὶ τὸ εἶναι χαλκῷ· χαλκὸς μὲν γὰρ τὸ συναμφότερον, τὸ δὲ χαλκῷ εἶναι οὐ κατὰ τὸ συναμφότερον ἔτι, ἀλλὰ κατὰ τὸ εἶδός τε καὶ τὸν λόγον, ὃς ἐν τῇ ὑποκειμένῃ ὕλῃ γενόμενος ἐποίησεν χαλκὸν αὐτήν. οὔσης δὴ ἐν τοῖς αἰσθητοῖς ταύτης τῆς διαφορᾶς, ἡ μὲν αἴσθησις τοῦ συναμφοτέρου ἐστὶ κριτική (τοῦ γὰρ εἴδους ὡς ἐν ὕλῃ ὄντος τὴν ἀντίληψιν ποιεῖται· διὸ καὶ πᾶν τὸ αἰσθητὸν τόδε τί ἐστι καὶ καθ' ἕκαστον, τὸ γὰρ συναμφότερον τοιοῦτον), ὁ δὲ νοῦς τοῦ εἴδους καὶ τοῦ λόγου καθ' ὅν ἐστι τόδε τι θεωρητικός ἐστι. διὸ οὐ τοῦδε, ἀλλὰ τοιοῦδε, καὶ οὐ τοῦ καθέκαστα, ἀλλὰ τοῦ καθόλου. κατὰ γὰρ τὸν λόγον πάντα τὰ ὁμοειδῆ ἀλλήλοις εἰσὶν ὁμοειδῆ τὸν αὐτὸν ὄντα, οὗ ἐστιν ὁ νοῦς θεωρητικός· ἐφ' ὧν μὲν οὖν ἄλλο ἐστὶ τὸ τόδε καὶ τὸ τῷδε εἶναι, ἐπὶ τούτων ἄλλη μὲν ἡ γνωστικὴ δύναμις τοῦδε (ἡ γὰρ αἴσθησις), ἄλλη δὲ ἡ τοῦ τῷδε εἶναι (ὁ γὰρ νοῦς), ἐφ' ὧν δὲ ταὐτὸν τὸ τόδε καὶ τὸ τῷδε εἶναι (τοῦτο δέ ἐστιν ἐπὶ τῶν εἰδῶν τῶν χωρὶς ὕλης), τούτων νοῦς μόνος ἐστὶ θεωρητικός. οὐδὲν γὰρ τῶν τοιούτων αἰσθητὸν ἔτι. πᾶν γὰρ τὸ αἰσθητὸν ἔνυλόν τε καὶ σύνθετον.

Τὰ μὲν οὖν τῶν συνθέτων τὸ τί ἦν εἶναί τε καὶ τὰ τούτων εἴδη ὁ νοῦς αὑτῷ νοητὰ ποιεῖ χωρίζων αὐτὰ τῶν σὺν οἷς αὐτοῖς τὸ εἶναι. εἰ δέ τινά ἐστιν εἴδη, ὡς τὰ καθ' αὑτά, χωρὶς ὕλης τε καὶ ὑποκειμένου τινός, ταῦτα κυρίως ἐστὶ νοητά, ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι τοιαῦτα ἔχοντα, ἀλλ' οὐ παρὰ τῆς τοῦ νοοῦντος αὐτὰ βοηθείας λαμβάνοντα. τὰ δὲ τῇ αὑτῶν φύσει νοητὰ κατ' ἐνέργειαν νοητά, δυνάμει γὰρ νοητὰ τὰ ἔνυλα. ἀλλὰ μὴν

---

1 κατ' ἐνέργειαν om. 2 λέγεται] man kann sagen 5 τὸ εἶδος] die Formen 9 κατὰ] wegen 24 τὰ μὲν—τούτων εἴδη] Die Qualitäten der zusammengesetzten Dinge und ihre Formen 26 ὡς—αὐτά] welche für sich bestehen 27—28 ταῦτα—λαμβάνοντα] so sind diese allein im wahren Sinne intelligible ihrer Natur nach, welche sie specificirt, nicht insofern sie dies sich aneignen durch eine Hülfe, welche sie begreift (intelligent macht) 29 νοητά] in der Seele begriffen 29—88,1 ἀλλὰ μὴν—ἐνέργειαν νῷ] in dem Intellectuellen in actu ist das Begriffene und Begreifende ein und dasselbe Ding

---

1 τῷ τόδε εἶναι Ka ὡς κτλ.] 83,7 2 αὐτῆς Ka 5 καὶ τὰ αἰσθητὰ Ka 7 εἴδους ἄλλος Ka 8 τῷ εἶναι K 11 $\overset{η}{δε}$ K 15 οὐδὲ τοῦδε Ka 17 ὁμοειδῆ a 20 καὶ τῷ τῷδε Ka 21 μόνον Ka 24 „περὶ τοῦ κατ' ἐνέργειαν νοητοῦ καὶ νοῦ καὶ τοῦ ἀΰλου εἴδους". τὰ μὲν Va τὰ μὲν οὖν κτλ.] cf. p. 4,4 25 αὑτῷ scripsi: αὐτῳ V: αὐτῶν Ka 28 τῷ νοοῦντος Ka αὐτῶν VKa 29 μὴν τῷ Ka

τὸ κατ' ἐνέργειαν νοητὸν ταὐτὸν τῷ κατ' ἐνέργειαν νῷ, εἴ γε ταὐτὸν τὸ νοούμενον τῷ νοοῦντι. τὸ ἄρα ἄυλον εἶδος νοῦς ὁ κυρίως τε καὶ κατ' ἐνέργειαν. καὶ ὁ νοῶν ἄρα τοῦτο νοῦν νοεῖ οὐ γινόμενον νοῦν ὅτε νοεῖται, ὡς ἐπὶ τῶν ἐνύλων εἰδῶν ἔχει, ἀλλὰ ὄντα νοῦν καὶ χωρὶς τοῦ ὑπὸ τοῦ νοῦ νοεῖσθαι. εἰ δὴ ὁ νοῶν νοῦς ἐν τῷ νοεῖν ὃ νοεῖ γίνεται, καὶ ὁ ἐν ἡμῖν νοῦς, οὗτος δέ ἐστιν ὁ καθ' ἕξιν, ὅταν ταῦτα τὰ εἴδη νοῇ, ὁ αὐτὸς ἐκείνοις τότε γίνεται· ὁποῖα γάρ ἐστι κατὰ τὴν οἰκείαν ὑπόστασιν καὶ χωρὶς τοῦ νοεῖσθαι (ἁπλᾶ γὰρ τοιαῦτα), καὶ ἐν τῷ νοοῦντι αὐτὰ γίνεται. ὥσθ' ὁ ταῦτα νοῶν νοῦς ὁ αὐτὸς αὐτοῖς, ὅτε νοεῖ, γίνεται. νοῦς δὴ ἐπὶ τούτων τό τε νοούμενον καὶ τὸ νοοῦν, καὶ ἄμφω τότε ταὐτό. ὅταν δέ γε τῶν ἐνύλων τι εἰδῶν νοῇ καὶ τὸ τί ἦν εἶναι ἐνύλου τινὸς λαμβάνῃ, οὐκέθ' ὁ αὐτὸς πάντῃ γίνεται τῷ νοουμένῳ πράγματι, ὅτι τὸ μὲν νοούμενον ὑπ' αὐτοῦ ἐπὶ ὕλῃ τινὶ τὸ εἶναι ἔχει, ὁ δ' αὐτὸ ὡς κεχωρισμένον ὕλης λαμβάνει. διὸ τὸ τοιοῦτον εἶδος νοούμενον μὲν νοῦς ἐστι καὶ αὐτό, ἔξω δὲ τοῦ νοεῖσθαι γενόμενον οὐκέτι. ἔτι ὁ μὲν νοῦς χωρὶς ὕλης εἶδός τι, τὸ δὲ ἐν ὕλῃ τὸ εἶναι ἔχει. |

Ἐπεὶ δὲ ἐν πᾶσιν τοῖς γινομένοις τε καὶ συνεστῶσιν κατὰ φύσιν, ἐν 139r
οἷς ὕλη τίς ἐστιν, τὸ μέν τι ὕλη ἐστὶν ἐν ἐκείνῳ τῷ λαμβανομένῳ γένει (τοῦτο δέ ἐστιν, ὃ πάντα δυνάμει ἐστὶ τὰ ἐν ἐκείνῳ τῷ γένει), τὸ δέ τι ποιητικὸν τοῦ ἐν τῇ ὕλῃ γίνεσθαι ταῦτα ὧν ἐστι δεκτική (ὥσπερ καὶ ἐπὶ τῶν κατὰ τέχνην γινομένων ἔχον ὁρῶμεν· ἡ γὰρ τέχνη τοῦ τὸ εἶδος ἐν τῇ ὕλῃ γίνεσθαι τὴν αἰτίαν ἔχει), ἀναγκαῖον δοκεῖ καὶ ἐπὶ τοῦ νοῦ ταύτας εἶναι τὰς διαφοράς. καὶ ἐπεί ἐστιν ὑλικός τις νοῦς, εἶναί τινα δεῖ καὶ ποιητικὸν νοῦν, ὃς αἴτιος τῆς ἕξεως τῆς τοῦ ὑλικοῦ νοῦ γίνεται. εἴη δ' ἂν οὗτος τὸ κυρίως τε καὶ μάλιστα νοητὸν εἶδος, τοιοῦτον δὲ τὸ χωρὶς ὕλης. ἐν πᾶσιν γὰρ τὸ μάλιστα καὶ κυρίως τι ὂν καὶ τοῖς ἄλλοις αἴτιον τοῦ εἶναι

1—2 εἴ γε—νοοῦντι om. 3 ὅτε νοεῖται om. 5 ἐν τῷ νοεῖν] in der Zeit, in der er begreift 6 ὅταν ταῦτα τὰ εἴδη νοῇ] wenn er die Formen begreift, mit denen keine Hyle vermengt ist 8 ἁπλᾶ—τοιαῦτα] und wenn sie auch einfach sind 9 ἐπὶ τούτων om. 11 τι] einige καὶ τὸ—λαμβάνῃ] und wenn sein Entnehmen (was er entnimmt?) ein mit der Hyle verbundenes Ding ist 13 ἔχει] addit: damals 14 ἐστι] wird 15 ἔτι ὁ—εἶδός τι] denn der Intellect besteht in (ist) irgend welchen (welche) Formen ohne Hyle 17—20 ἐπεὶ—δεκτική] da nun in allen Dingen, deren Sein (Werden?) und Bestehen in der (durch?) Natur, bei Allem was irgend eine Hyle hat, Etwas ist, welches Hyle ist in der entnommenen Gattung und dieses ist das Ding, welches Alles, was in jener Gattung in potentia [ist], ist, und irgend Etwas in actu, und das ist dasjenige, wodurch an der Hyle jene Dinge entstehen, welche die Hyle aufzunehmen pflegt 26 τὸ—ὂν] das, was in irgend einer Weise in Priorität im wahren Sinne ist τοῖς ἄλλοις] addit: was diesen Zustand hat

---

1 κα|κατ sic V νοητὸν usque ad ἐνέργειαν om. Ka 3 νοεῖται Ka: νοεῖτε V 11 οὐκέτι ὁ Ka 12 ὅτι V: ἄρα Ka 13 ὁ scripsi: ὃ VKa 17 „περὶ τοῦ ποιητικοῦ νοῦ". ἐπεὶ δὲ Va 18 ἐκείνῳ] lege ἑκάστῳ, ut Ar. de an. 3,5 430a10 ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα) λαμβανομένῳ] cf. ὡς ἀναγκαῖον μὲν πάντα τὸν λαμβανόμενον χηρὸν εἶναι μετὰ σχήματος 4,11 εἰ πᾶν τὸ λαμβανόμενον τὰ τέτταρα ἐν αὑτῷ ἔχει 148r26, 147r10 20 δεκτική] sc. ἡ ὕλη 23 δεῖ post ποιητικὸν (24) Ka

τοιούτοις. τό τε γὰρ μάλιστα ὁρατόν, τοιοῦτον δὲ τὸ φῶς, καὶ τοῖς ἄλλοις τοῖς ὁρατοῖς αἴτιον τοῦ εἶναι ὁρατοῖς, ἀλλὰ καὶ τὸ μάλιστα καὶ πρώτως ἀγαθὸν καὶ τοῖς ἄλλοις ἀγαθοῖς αἴτιον τοῦ εἶναι τοιούτοις· τὰ γὰρ ἄλλα ἀγαθά τῇ πρὸς τοῦτο συντελείᾳ κρίνεται. καὶ τὸ μάλιστα δὴ καὶ τῇ αὑτοῦ φύσει νοητὸν εὐλόγως αἴτιον καὶ τῆς τῶν ἄλλων νοήσεως. τοιοῦτον δὲ ὂν εἴη ἂν ὁ ποιητικὸς νοῦς. εἰ γὰρ μὴ ἦν τι νοητὸν φύσει, οὐδ' ἂν τῶν ἄλλων τι νοητὸν ἐγίνετο, ὡς προείρηται. ἐν γὰρ πᾶσιν ἐν οἷς τὸ μὲν κυρίως τί ἐστιν, τὸ δὲ δευτέρως, τὸ δευτέρως παρὰ τοῦ κυρίως τὸ εἶναι ἔχει. ἔτι, εἰ ὁ τοιοῦτος νοῦς τὸ πρῶτον αἴτιον, ὃ αἰτία καὶ ἀρχὴ τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις, εἴη ἂν καὶ ταύτῃ ποιητικός, ᾗ αὐτὸς αἴτιος τοῦ εἶναι πᾶσι τοῖς νοουμένοις. καὶ ἔστιν ὁ τοιοῦτος νοῦς χωριστός τε καὶ ἀπαθὴς καὶ ἀμιγὴς ἄλλῳ, ἃ πάντα αὐτῷ διὰ τὸ χωρὶς ὕλης εἶναι ὑπάρχει. χωριστός τε γὰρ καὶ αὐτὸς καθ' αὑτὸν ὢν διὰ τοῦτο. τῶν γὰρ ἐνύλων εἰδῶν οὐδὲν χωριστὸν ἢ λόγῳ μόνον τῷ φθορὰν αὐτῶν εἶναι τὸν ἀπὸ τῆς ὕλης χωρισμόν. ἀλλὰ καὶ ἀπαθής, ὅτι τὸ πάσχον ἐν πᾶσιν ἡ ὕλη καὶ τὸ ὑποκείμενον. ἀπαθὴς δὲ ὢν καὶ μὴ μεμιγμένος ὕλῃ τινὶ καὶ ἄφθαρτός ἐστιν, ἐνέργεια ὢν καὶ εἶδος χωρὶς δυνάμεώς τε καὶ ὕλης. τοιοῦτον δὲ ὂν δέδεικται ὑπ' Ἀριστοτέλους τὸ πρῶτον αἴτιον, ὃ καὶ κυρίως ἐστὶ νοῦς. τὸ γὰρ ἄυλον εἶδος ὁ κυρίως νοῦς. διὸ καὶ τιμιώτερος οὗτος ὁ νοῦς τοῦ ἐν ἡμῖν τε καὶ ὑλικοῦ, ὅτι ἐν πᾶσιν τὸ ποιοῦν τοῦ πάσχοντος τιμιώτερον καὶ τὸ χωρὶς ὕλης τοῦ σὺν ὕλῃ. ὃν ὁ νοῶν νοῦς, ὅταν αὐτὸν νοῇ, ἐκεῖνός πως γίνεται, εἴ γε τὸ νοεῖν ἐν τῷ λαβεῖν τὸ εἶδος τὸ νοούμενον καὶ ὁμοιωθῆναι αὐτῷ, ἀναλόγως τῇ ἐπιστήμῃ, ᾗ ὅταν ἐνεργῇ τὸ θεωρούμενον ὑπ'

2—5 ἀλλὰ καὶ τὸ—ἄλλων νοήσεως] Ebenso ist das Ding, welches in Priorität und hauptsächlich gut ist, auch die Ursache, dass die anderen Dinge, welche dem Guten beigezählt werden (verwandt sind?), dem Guten beigezählt werden (auf — bezogen?). Denn alles Uebrige, was den Guten beigezählt wird, erkennen und beurteilen wir als gut in seiner Richtung nach dieser Seite **und durch sein Aufnehmen der Spuren desselben.** Was also insbesondere im Wesen seines natürlichen Laufes Begriffenes ist, das ist notwendig die Ursache, dass die übrigen intelligibeln Dinge begriffen werden 7 κυρίως] im wahren Sinn und **in der ersten Weise** 8 τὸ δευτέρως—ἔχει] wird wegen dessen was in jenem Zustande in der ersten Weise ist, das zweite in jenem Zustande sein 10—11 εἴη ἂν—νοουμένοις] so ist er deshalb auch die Ursache, welche bewirkt, dass alle intelligibeln Dinge intelligibel sind 11 καὶ ante ἔστιν om. 12 ἃ πάντα] Pp: und alle Dinge B: und welche alle Dinge (sic) 13 ὢν] er wird nämlich 15 πάσχον ἐν πᾶσιν] die Spur von jeder Sache aufnehmend 16 δὲ om. 17 ἐνέργεια—εἶδος] eine in actu vorhandene Form 21—23 ὃν ὁ—θεωρούμενον] nur dass der Intellect welcher begreift, wenn er es begreift, dasselbe wird in irgend einer Weise, da die intellectuelle Vorstellung das Entnehmen der intelligibeln Formen ist und das Richten [var. lect. der Zusammenhang mit ihr] nach ihr ist, und die Analogie dazu ist das Wissen, wenn es wirksam gewesen ist. Denn das durch es (Wissen? Form?) Gewusste ist zu jeder Zeit ein Wissen in actu

4 αὐτοῦ VKa 7 τι νοητὸν om. Ka ὡς προείρηται] 88,26 fortasse κυρίως ⟨καὶ πρώτως⟩ v. int. hebr. 11 τοῖς ἄλλοις νοουμένοις Ka 21 fortasse ὃν νοῶν ὁ νοῦς αὐτὸ νοῇ Ka 23 ᾗ ex. Vict.

αὐτῆς ἑκάστοτέ ἐστιν αὐτή. ἡ γὰρ κατ' ἐνέργειαν ἐπιστήμη τὸ θεωρούμενον. ἐπὶ μὲν οὖν τῶν ἐνύλων εἰδῶν, ὥσπερ εἶπον, ὅταν μὴ νοῆται τὰ τοιαῦτα εἴδη, οὐδέ ἐστιν αὐτῶν τι νοῦς, εἴ γε ἐν τῷ νοεῖσθαι αὐτοῖς ἡ τοῦ νοητοῖς εἶναι ὑπόστασις. τὰ γὰρ καθόλου καὶ κοινὰ τὴν μὲν ὕπαρξιν ἐν τοῖς καθέκαστά τε καὶ ἐνύλοις ἔχει. νοούμενα δὲ χωρὶς ὕλης κοινά τε καὶ καθόλου γίνεται, καὶ τότε ἐστὶ νοῦς ὅταν νοῆται. εἰ δὲ μὴ νοοῖτο, οὐδὲ ἔστιν ἔτι. ὥστε χωρισθέντα τοῦ νοοῦντος αὐτὰ νοῦ φθείρεται, εἴ γε ἐν τῷ νοεῖσθαι τὸ εἶναι αὐτοῖς. ὅμοια δὲ τούτοις καὶ τὰ ἐξ ἀφαιρέσεως, ὁποῖά ἐστι τὰ μαθηματικά. φθαρτὸς ἄρα ὁ τοιοῦτος νοῦς, τουτέστιν τὰ τοιαῦτα νοήματα. ἐν οἷς δὲ τὸ νοούμενον κατὰ τὴν αὑτοῦ φύσιν ἐστὶ τοιοῦτον, οἷον νοεῖται (ἔστι δὲ τοιοῦτον ὂν καὶ ἄφθαρτον), ἐν τούτοις καὶ χωρισθὲν τοῦ νοεῖσθαι ἄφθαρτον μένει, καὶ ὁ νοῦς ἄρα ὁ τοῦτο νοήσας ἄφθαρτός ἐστιν, οὐχ ὁ ὑποκείμενός τε καὶ ὑλικός (ἐκεῖνος μὲν γὰρ σὺν τῇ ψυχῇ, ἧς ἐστι δύναμις, φθειρομένῃ φθείρεται, ᾧ φθειρομένῳ συμφθείροιτο ἂν καὶ ἡ ἕξις τε καὶ ἡ δύναμις καὶ τελειότης αὐτοῦ), ἀλλ' ὁ ἐνεργείᾳ τούτῳ, ὅτε ἐνόει αὐτό, ὁ αὐτὸς γινόμενος (τῷ γὰρ ὁμοιοῦσθαι τῶν νοουμένων ἑκάστῳ, ὅτε νοεῖται, ὁποῖον ἂν ᾖ τὸ νοούμενον, τοιοῦτος καὶ αὐτὸς ὅτε αὐτὸ νοεῖ γίνεται), καὶ ἔστιν οὗτος ὁ νοῦς ὁ θύραθέν τε ἐν ἡμῖν γινόμενος καὶ ἄφθαρτος. θύραθεν μὲν γὰρ καὶ τὰ ἄλλα νοήματα, ἀλλ' οὐ νοῦς ὄντα, ἀλλ' ἐν τῷ νοεῖσθαι γενόμενα νοῦς. οὗτος δὲ καὶ ὡς νοῦς θύραθεν. μόνον γὰρ τοῦτο τῶν νοουμένων νοῦς καθ' αὑτό τε καὶ χωρὶς τοῦ νοεῖσθαι. ἄφθαρτος δέ, ὅτι ἡ φύσις αὐτοῦ τοιαύτη. ὁ οὖν νοούμενος ἄφθαρτος ἐν

6—7 οὐδὲ ἔστιν ἔτι] so sind sie nichts 9—10 ὅμοια—μαθηματικά om. 11 νοήματα] Wissenschaften 14 τε καὶ om. 16—20 ἀλλ' ὁ—νοήματα] der Intellect hingegen, welcher jenes Intelligible begreift, da er und jenes ein Ding werden 17—19 τῷ γὰρ—γίνεται] da die intellectuelle Vorstellung jedem einzelnen der intelligibeln Dinge durch seine Ausdauer [var. lect. Verbindung] wird, wird, wenn er es begreift, von der Beschaffenheit jenes Begriffenen (sic), und das ist der Intellect, welchen wir erwerben, und der in uns entsteht, und den wir begreifen, weil er selbst Intellect ist. Wir eignen uns nämlich auch die anderen Wissenschaften an 20—91,5 ἀλλ' οὐ—νοούμενον τότε] aber wir eignen sie uns nicht an, weil sie an sich Intellect sind, sondern sie werden Intellect, wenn sie begriffen werden, jenen aber eignen wir uns an, weil er selbst ebenfalls Intellect ist, denn dieser Gegenstand allein unter den andern intelligibeln Gegenständen ist selbst Intellect, auch wenn er nicht begriffen wird, und seine Natur ist eine Natur, die nicht das Vergehen aufnimmt, und der Intellect, welcher ihn in uns begreift (welchen er in uns begreift), vergeht nicht, sondern dieser Intellect ist derjenige, der in uns separat ist und nicht das Vergehen annimmt, welchen Aristoteles den angeeigneten Intellect nennt, der in uns von aussen entsteht, nicht die Kraft, welche in der Seele, die in uns ist, und nicht die Aneignung, durch welche oder durch [deren??] Kraft der Intellect die übrigen Dinge und auch diesen Intellect begreift, auch nicht die Wissenschaft, insofern sie Wissenschaft ist, ist unvergänglich, sondern das Intelligible von jener Beschaffenheit

---

1 ἐστιν αὐτὸ Ka ἐπιστήμῃ a 2 ὥσπερ εἶπον] 88,14 9 τῷ εἶναι K 11 αὐτοῦ VKa 18 ἢ Ka 19 θύραθέν τε καὶ Ka 21 γινόμενα Ka 23 ὁ οὖν νοούμενος κτλ.] hoc dicere videtur: *animus aeternus, qui in nobis cogitatur, hic est* (quem modo descripsi): *plane autem diversus est a facultate nostrae ipsius animae*

ἡμῖν νοῦς οὗτός ἐστιν, [ὅτι χωριστός τε ἐν ἡμῖν καὶ ἄφθαρτος νοῦς, ὃν καὶ θύραθεν Ἀριστοτέλης λέγει, νοῦς ὁ ἔξωθεν γινόμενος ἐν ἡμῖν,] ἀλλ' οὐχ ἡ δύναμις τῆς ἐν ἡμῖν ψυχῆς, οὐδὲ ἡ ἕξις, καθ' ἣν ἔξιν ὁ δυνάμει νοῦς τά τε ἄλλα καὶ τοῦτον νοεῖ. ἀλλ' οὐδὲ τὸ νόημα ὡς νόημα ἄφθαρτον διὰ τὸ νοούμενον τότε. διὸ οἷς μέλει τοῦ ἔχειν τι θεῖον ἐν αὐτοῖς, τούτοις προνοητέον τοῦ δύνασθαι νοεῖν τι καὶ τοιοῦτον.

Εἰ δὲ ὅ τε νοῦς καὶ ἡ κατὰ τοῦτον ἐνέργεια λήψει τῶν νοητῶν εἰδῶν 45 χωρὶς ὕλης καὶ ὁμοιώσει τῇ πρὸς αὐτά γίνεται (γίνεται δὲ καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ αὐτὴ κατὰ λῆψιν τῶν αἰσθητῶν εἰδῶν καὶ ὁμοίωσιν τὴν πρὸς αὐτά, ὡς δέδεικται), εἴη ἂν ἡ ψυχὴ τὰ ὄντα πως πάντα, εἴ γε πάντα μὲν τὰ ὄντα διῄρηται εἴς τε αἰσθητὰ καὶ νοητά, ἔστι δὲ ἑκάστῳ 50 τῶν ὄντων κατὰ τὸ εἶδος τὸ εἶναι, ὁ δὲ νοῦς καὶ ἡ αἴσθησις πάντων τῶν εἰδῶν εἰσιν δεκτικά, ὁ μὲν τῶν νοητῶν, ἡ δὲ τῶν αἰσθητῶν. εἰ μὲν οὖν μεθ' ὕλης ἐδέχετο ἡ ψυχὴ τὰ εἴδη, ἁπλῶς ἂν ἐγίνετο πάντα τὰ ὄντα, ἐπεὶ δὲ οὐ μεθ' ὕλης, ἀλλὰ ἄνευ ταύτης, τὰ δὲ πράγματα σὺν ταύτῃ τὸ εἶναι ἔχει πως, ἔσται ἡ αὐτὴ πᾶσιν τοῖς οὖσιν οὐχ ἁπλῶς· καθόσον γὰρ τὰ εἴδη δέχεται αὐτῶν, ταῦτα δέ πώς ἐστι τὰ πράγματα τῷ κατὰ ταῦτα αὐτοῖς εἶναι μάλιστα τὸ εἶναι. οὐχ ὡς ἀθρόων δὲ τῶν πραγμάτων τῆς 55 ψυχῆς οὔσης, ἀλλὰ κατὰ μέρος ὁμοιοῦσθαι αὐτῶν ἑκάστῳ | δυναμένης, 140r οὕτως ἡ ψυχὴ τὰ ὄντα πως πάντα ἐστί τε καὶ γίνεται· ἑκάστοτε μὲν γάρ, οὗ αἰσθάνεται καὶ ὃ νοεῖ, ἐκεῖνό πως γίνεται, τῷ δὲ ἄλλοτε ἄλλα ταῦτα εἶναι καὶ δύνασθαι πᾶν τὸ ὂν ἢ νοηθῆναι ἢ ὑπὸ αἴσθησιν πεσεῖν, τούτῳ πάντα γίνεται. λέγοιτο δ' ἂν οὐ περὶ πάσης ψυχῆς ταῦτα, ἀλλὰ τῆς τελείου, ἥτις πρὸς τῇ αἰσθήσει καὶ τὸν νοῦν ἔχει. οἱ μὲν οὖν ἀρχαῖοι τὴν ψυχὴν πάντα ἔλεγον εἶναι τὰ πράγματα τῷ ποιεῖν αὐτὴν ἐκ τῶν ἀρχῶν, ἐξ ὧν καὶ τὰ ὄντα πάντα αὐτοῖς ἦν, τὰ δὲ νῦν εἰρημένα περὶ ψυχῆς

5—6 διὸ—καὶ τοιοῦτον om. 7 ὅ τε—ἐνέργεια] der Intellect in actu 14 ἁπλῶς] schlechtweg 15—20 τὰ δὲ πράγματα—τε καὶ γίνεται] die Existenz der Dinge aber in irgend einer Weise mit der Hyle ist, so ergiebt sich, dass die Seele nicht alle Dinge schlechtweg ist, sondern insofern sie deren Formen aufnimmt, und die Formen von irgend einer Seite die Gegenstände selbst sind, ich meine, dass durch die Formen insbesondere sie sind, was sie sind; und wenn [auch?] die Seele nicht alle Gegenstände überhaupt aufnimmt, aber im Stande ist, dass sie sich richte nach (ausdehne über) jedem einzelnen Teil davon: so ist die Seele in dieser Weise alle vorhandenen Dinge und wird alle vorhandenen Dinge 22—23 τούτῳ πάντα γίνεται] so wird sie auf diese Weise alle Dinge 26 ἦν] addit: nach ihrer Ansicht

---

1 ὅτι χωριστός τε—γινόμενος ἐν ἡμῖν ut lemma marginale delevi 2 οὐχ ἡ V: οὐ Ka 4 τοῦτο νοεῖ Ka διὰ τὸ] fortasse ἀλλὰ τὸ cf. int. hebr. 5 τότε] fortasse τοιοῦτον cf. int. hebr. *ipsa cogitatio non est aeterna, sed id, quod cogitatur tale (i. e. aeternum) est* αὐτοῖς VKa μέλει ex. Vict: μέλλει VKa 7 „ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστιν πάντα". εἰ δὲ Va 8 γίνεται γίνεται m², γίνεται m¹ V: γίνεται Ka 10 ὡς δέδεικται] 38,20 14 ἁπλῶς γρ. m² in mg. ἄλλως m¹ V: ἄλλως Ka 16 πῶς m¹, ἥ (sic) ὡδίπως in mg. m² V: πῶς Ka οὐ ἁπλως a γὰρ] i. e. λέγω cf. Ind. 17 ἐστι m² supra lineam, εἶναι m¹ V: ἐστι Ka 20—23 ἑκάστοτε usque ad πάντα γίνεται om. Ka 22 ἢ νοηθῆναι ἢ scripsi: ἡ νοηθῆναι ἡ V

ἔδειξεν οὐχ οὕτως αὐτὴν οὖσαν τὴν αὐτήν, τῷ ἐκ τῶν αὐτῶν αὐτοῖς ἀρχῶν γεγονέναι. οὕτως μὲν γὰρ οὐχ ἡ ψυχὴ μόνη, πᾶσιν τοῖς οὖσιν ἡ αὐτή, ἀλλὰ καὶ εἴ τι ἄλλο σύνθετον ὂν ἐκ πασῶν τῶν ἀρχῶν συνέστηκεν. ἔτι τε ἀναγκαῖον οὕτως μέγεθός τι αὐτὴν εἶναι καὶ σῶμα, πρὸς δὲ τούτοις μηδὲ δύνασθαί τινι τῶν ὄντων οὕτως αὐτὴν εἶναι τὴν αὐτήν (εἴ γε ἐν τῇ ποιᾷ μὲν συνθέσει τε καὶ μίξει τῶν ἀρχῶν ἡ ἑκάστου τῶν πραγμάτων οὐσία), ἐπεὶ τῷ γε ἐκ τῶν αὐτῶν ἀρχῶν εἶναι πάντα ἂν ἦν ταὐτὰ ἀλλήλοις, μηδενὸς δὲ τῶν ἑτέρων τῆς ψυχῆς δύνασθαι εἶναι τὴν κρᾶσιν τε καὶ μῖξιν ἐν τῇ ψυχῇ. ἦν γὰρ ἂν ἐκεῖνο, ἀλλ' οὐ ψυχή. ἀλλ' ἔστιν ἡ ψυχὴ τοῖς οὖσιν οὕτως ἡ αὐτή τῷ δύναμις εἶναι τῶν εἰδῶν αὐτῶν ληπτικὴ κατά τε τὸ νοεῖν καὶ τὸ αἰσθάνεσθαι. ἐν τούτῳ γὰρ τῇ τοιαύτῃ ψυχῇ τὸ εἶναι.

Καὶ ὁ μὲν περὶ ψυχῆς λόγος, ὅ τε κοινὸς καὶ ὁ περὶ ἑκάστης τῶν κυριωτάτων δυνάμεων αὐτῆς, καὶ τίς ἡ τέλειος ψυχή, καὶ πῶς ἔχει πρὸς τὴν ἀτελῆ, ὡς ἐπὶ κεφαλαίων ἐκθέσθαι συντόμως ὑπὲρ τῆς καθόλου περιλήψεως τοιοῦτος· γνώριμος δὲ ἐκ τῶν εἰρημένων καὶ ἡ τάξις τῶν τῆς ψυχῆς δυνάμεων. τὴν μὲν γὰρ θρεπτικὴν ψυχὴν ἀναγκαῖον ἐν πᾶσιν τοῖς ἐμψύχοις εἶναι, εἴ γε ψυχῆς μὲν παρουσίᾳ πᾶν τὸ ζῶν ζῇ, ἀδύνατον δέ τι ζῆν χωρὶς τῆσδε τῆς δυνάμεως, εἴ γε τὸ ζῆν ὥρισται τῇ δι' αὐτοῦ τροφῇ τε καὶ αὐξήσει, καθὰ τὰ ⟨φυτὰ⟩ τῶν ἄλλων σωμάτων διαφέροντα ζῆν καλεῖται. ταύτης δὲ τελειότης τῆς δυνάμεως τὸ γεννᾶν δύνασθαι· τὸ γὰρ σπέρμα τροφῆς περίττωμα. οὐ μὴν πᾶν τὸ ζῶν ἤδη καὶ αἴσθησιν ἔχειν ἀνάγκη. ὅσα γὰρ μὴ δεκτικὰ τῶν εἰδῶν χωρὶς ὕλης, οὐδὲ αἰσθητικά. τῶν δὲ φυτῶν οὐδὲν τοιοῦτον. τὰ μέντοι ζῷα ἀναγκαῖον αἴσθησιν ἔχειν. ὅσα γὰρ ζῶντα μὴ τῷ προσπεφυκέναι τινὶ ἀφ' οὗ τρέφεται ζῇ, μηδὲ ἁπλῇ τινι τροφῇ, ὁποία ἡ τῶν φυτῶν, ταῦτα ἀναγκαῖον ἔχειν τὴν γευστικὴν αἴσθησιν, ὡς δύνασθαι διακρίνειν τά τε τρόφιμα τῶν προσφερομένων αὐτῷ καὶ τὰ μή. τῷ γὰρ

1 οὐχ οὕτως—τὴν αὐτήν] dass sie nicht die Gegenstände selbst ist 1—2 τῷ—γεγονέναι] weil sie zu den Principien selbst, von welchen jene Gegenstände kommen, gehöre 3—4 ἔτι τε ἀναγκαῖον] und es ergäbe sich 4—5 πρὸς—δύνασθαι] dabei wäre es nicht möglich 5 εἴ γε] da 7—9 ἐπεὶ—ἀλλ' οὐ ψυχή] wenn nicht, so würden alle die Dinge teilweise zu einander passen, insofern (?) sie von ein und denselben Principien [herkommen], und es wäre unmöglich, dass die Mischung und die Mengung, welche sich in irgend einem Dinge finden, welche das Gegenteil der Seele sind, sich in der Seele befänden. Denn, wenn sie sich in ihr befänden, so wäre dieses Ding dann Nicht-Seele 14—15 ὡς ἐπὶ—τοιοῦτος] in allgemeiner kurzer Methode gemäss dem, was von ihr begriffen werden kann im Allgemeinen 15 δὲ om. 18 ὥρισται] wird erneuert (entsteht?) 19 καθὰ—καλεῖται] und dies sind die zwei Dinge, welche die Pflanze mehr hat, als die übrigen Dinge, und man sagt, sie sei lebend 22 τῶν δὲ—τοιοῦτον] Es ist aber nicht die Weise irgend einer Pflanze, die Aufnahme dessen

6 μὲν] δὲ non sequitur; sed totum enuntiatum genuinam formam non videtur servasse, cf. δύνασθαι v. 8 μίξει] ξει in lit. V 9 ἀλλ' οὐ Ka: ἄλλου V 15 „ἡ τάξις τῶν τῆς ψυχῆς δυνάμεων“. γνώριμος δὲ Va 17 ζῶον a 18 αὐτοῦ Va 19 φυτὰ addidi, cf. interpr. hebr. σωμάτων] exspectas ζώντων 20 γεννᾷν a περίπτωμα a 25 ἔχην a 26 τὰ ante μὴ om. a

ἔξωθεν εἶναι καὶ κεχωρισμένον τὸ τρέφον, καὶ μὴ πᾶν τρέφειν δεῖ τὰ μέλλοντα τῷ τοιούτῳ τρέφεσθαι αἴσθησιν ἔχειν τῶν τρεφόντων τε καὶ μή, ὅπως τὰ μὲν λαμβάνῃ, τὰ δὲ ἀποστρέφηται. τὰ δὲ γεῦσιν ἔχοντα καὶ ἁφὴν ἔχει. ἁφὴ γάρ τις καὶ ἡ γεῦσις. ἀλλὰ καὶ πρὸς σωτηρίαν τοῖς πορευτικοῖς τῶν ζῴων ἡ ἁφὴ συνεργεῖ. ἐν γὰρ τῇ μεταστάσει περιπίπτοντα ἄλλοις σώμασιν, ὧν τὰ μὲν φθαρτικά ἐστιν αὐτῶν, τὰ δὲ σωστικά, εἰ μὴ διακρίνειν οἷά τε ἦν ταῦτα, ὡς ἀποστρέφεσθαι μὲν τὰ φθαρτικά, προσίεσθαι δὲ τὰ σωστικά, ῥᾳδίως ἂν διεφθείρετο καὶ ἦν ἂν αὐτοῖς πρὸς κακοῦ ἡ κίνησις ἡ κατὰ τόπον γινομένη. οὐδὲν δὲ τοιοῦτον τῶν κατὰ φύσιν. εἰ δὲ ἀναγκαῖον πᾶν ζῷον ἁπτικὴν αἴσθησιν ἔχειν, οὐχ οἷόν τε δὲ τῶν ἁπτῶν τινος αἰσθέσθαι δι' ἁπλοῦ τινος σώματος (οὐδενὸς γὰρ ἐκεῖνα τῶν οἰκείων αὐτοῖς αἰσθητῶν τῷ ἅπτεσθαι ἀντιληπτικά, ἀλλὰ τὰ μὲν τρία διά τινος μεταξὺ αἰσθάνεται, ὡς δέδεικται, ἡ δὲ γῆ παντάπασιν ἀναίσθητος καθ' αὑτήν), ἀδύνατον τὸ τοῦ ζῴου σῶμα ἁπλοῦν εἶναι. ἡ γὰρ ἁφή, ἐν μεσότητι οὖσα ὧν αἰσθάνεται, τῷ πασῶν τῶν ἁπτῶν ἐναντιώσεων αἰσθάνεσθαι ἐν τῇ πάντων τῶν ἁπτῶν μεσότητί τε καὶ μίξει τὸ εἶναι ἔχει, τοιοῦτόν ἐστιν ἡ σὰρξ καὶ ἐν τοῖς οὐκ ἔχουσιν ταύτην τὸ ἀνάλογον αὐτῇ. αὗται μὲν οὖν ἀναγκαῖαι αἰσθήσεις τοῖς ζῴοις πρὸς τὸ εἶναι. διὸ καὶ χωρὶς τούτων ἀδύνατόν τι ζῷον εἶναι. αἱ δὲ λοιπαὶ τρεῖς οὐ πρὸς τὸ εἶναι οὕτως ἔτι, ἀλλὰ πρὸς τὸ εὖ εἶναι συνεργοῦσιν. διὸ οὐδὲ πάντα αὐτῶν μετέχει, ἀλλ' ὅσα ἤδη τελειότερα. τοιαῦτα δὲ τὰ πορευτικά. ταῦτα γὰρ δεῖται οὐ μόνης τῆς πρὸς τὰ προσπίπτοντα αὐτοῖς μένουσιν αἰσθήσεως, ἀλλὰ καὶ τοῦ ἄποθέν τινων αἰσθανόμενα τὰ φθαρτικὰ αὐτῶν φυλάσσεσθαι. διὸ διά τινος μεταξὺ ἡ τούτων αἴσθησις αὐτοῖς καὶ ἐξ ἀποστήματος γίνεται. τῆς δὲ αἰσθητικῆς ψυχῆς καὶ ἡ φανταστική, καὶ ἑπομένη ταύτῃ, ὡς προείρηται. τῆς

---

1 καὶ μὴ πᾶν τρέφειν] aber nicht ganz ernährend 1—2 δεῖ—καὶ μή] es bedarf also dasjenige, dessen Weise die Ernährung ist eines derartigen, damit es wahrnehme, was ernährt und was nicht ernährt 4—5 ἀλλὰ καὶ—συνεργεῖ] auch des Tastens bedarf das Thier, welches schnell ist in seiner Rettung, denn darin hat es ebenfalls eine Hilfe für die Schnelligkeit [der Bewegung] 9—14 εἰ δὲ ἀναγκαῖον—αὑτήν] Da sich nun mit Notwendigkeit ergiebt, dass jedes Thier einen Sinn hat, so hat es den Tastsinn, und es ist unmöglich, dass es eines der tastbaren Dinge an einem der einfachen Körper betaste, denn mit (unter) jenen Sinnen [ita se arab. interpretationis „Körper“ emendasse int. hebr. profitetur] wird kein Ding von den sinnlich Wahrnehmbaren, welche ihnen eigentümlich sind, mit Tasten wahrgenommen, sondern die drei von ihnen nehmen ein Ding wahr durch ein anderes Ding, wie erläutert worden ist; die Erde aber ist gänzlich ausserhalb [Betracht], als dass sie auf den Sinn in ihrem Wesen bezogen werden könnte 16 μεσότητί] Gleichsein, Ausgleichung 17 ἐν τοῖς—ταύτην om. 20—21 ἀλλ' —τελειότερα] sondern es wird dadurch das vollkommenere Thier specificirt 23 φυλάσσεσθαι] fliehe und sich hüte

---

1 τρεφεῖν V 10 ἁπτικὴν scripsi: ἁπτὴν Va 11 ante οὐδενὸς colon excidit, fortasse δι' ἁπλοῦ τινος σώματος ⟨⟨ἐνεργεῖ δὲ τὰ ἄλλα αἰσθητήρια δι' ἁπλοῦ τινος σώματος·⟩ οὐδενὸς γὰρ ἐκεῖνα 12 αἰσθητῶν] supra θ paululum erasum V 13 ὡς δέδεικται] 58,5sq. ἡ δὲ γῆ κτλ.] cf. Alex. de sens. 83,3sq. (Thurot) 25 ὡς προείρηται] 66,9sq.

αὐτῆς δὲ καὶ ὁρμητική τε καὶ ὀρεκτική, οὖσαι μετὰ τὴν φανταστικήν. πᾶσαι γὰρ αὗται μία οὖσαι κατὰ τὸ ὑποκείμενον, ταῖς διαφοραῖς τῶν δυνάμεων αὐταῖς διῄρηνται. ἔστι δὲ ἐπὶ ταύταις ἡ λογικὴ ψυχή τε καὶ δύναμις, ἐσχάτη τε καὶ ἐπὶ πάσαις ταῖς ἄλλαις δυνάμεσιν καὶ τοῖς τελείοις τῶν ζῴων μόνοις ὑπάρχουσα, καὶ οὐδὲ τούτοις ἐκ γενετῆς, ἀλλὰ προϊοῦσιν κατὰ τὸν χρόνον.

Ποῦ δέ ἐστιν τὸ ἡγεμονικὸν τῆς ψυχῆς 'καὶ ἐν τίνι μορίῳ τοῦ σώματος καὶ πότερον ἐν ἑνὶ ὑποκειμένῳ κατ' ἀριθμὸν πᾶσα ἡ ψυχὴ κατὰ τὰς δυνάμεις μόνον καὶ κατὰ τὸν λόγον ἔχουσα τὰς διαφοράς, ἢ καὶ κατὰ τόπον εἰσὶν ἀλλήλων αἱ τῆς ψυχῆς δυνάμεις κεχωρισμέναι, ἄξιον ἐπὶ τούτοις ἰδεῖν. εἰ δὴ ἐν πᾶσιν, ἐν οἷς τὸ μέν τί ἐστι τελειότερον, τὸ δὲ ἀτελέστερον, προσθήκῃ τινὶ τὸ ἀτελὲς γίνεται τέλειον, ἡ δὲ προσθήκη τῷ προϋπάρχοντι προστιθεμένου τινὸς γίνεται, ἔστι δὲ καὶ ἐν τῇ ψυχῇ ἡ προειρημένη διαφορά, | δεῖ καὶ ἐπὶ τῆς ψυχῆς, ἐν ᾧ ἡ ἀτελής, ἐν τούτῳ εἶναι 140v
καὶ τὴν τέλειον, εἴ γε κατὰ ἐπίδοσίν τινα καὶ προσθήκην τὸ ἀτελὲς γίνεται τέλειον. ἔστι δὲ τῶν τῆς ψυχῆς δυνάμεων ἡ θρεπτικὴ δύναμις ἀτελεστέρα. ἐν ᾧ ἄρα ἡ θρεπτικὴ δύναμις, ἐν τούτῳ καὶ αἱ τελειότεραι. ἀλλὰ μὴν περὶ τὴν καρδίαν ἡ θρεπτικὴ ψυχή, εἴ γε τοῦ μὲν ζῆν ἥδε αἰτία, τῷ δὲ ζῆν ὕλη ὑγρότης τε καὶ θερμότης, τοιοῦτος δὲ ὁ περὶ τὴν καρδίαν τόπος μάλιστα, ὡς προείρηται. ἔτι ὡς ἐπὶ τῶν φυτῶν, εὔλογον καὶ ἐπὶ τῶν ἄλλων ἐμψύχων ἔχειν. ἐν δὲ τοῖς φυτοῖς ὅθεν ἡ ἀρχὴ τῆς αὐξήσεως, ἐν τούτῳ καὶ ἡ θρεπτικὴ ψυχή· διὸ μεταξὺ δοκεῖ εἶναι ῥίζης τε καὶ καυλοῦ ἥδε ἡ δύναμις ἐν αὐτοῖς. ὥστε εἴη ἂν καὶ ἐπὶ τῶν ζῴων ἐν τούτῳ ἡ θρεπτικὴ ψυχή, ὅθεν αὐτοῖς ἡ ἀρχὴ τῆς αὐξήσεως. ἀπὸ καρδίας δὲ ἐν αὐτοῖς ἡ τῆς αὐξήσεώς τε καὶ τροφῆς εἰς πᾶν τὸ σῶμα χορηγία. καὶ ἡ θρεπτικὴ ἄρα δύναμις ἐν ταύτῃ ἢ ἐν τῷ ἀνάλογον ταύτῃ. τοῦ δὲ τὴν χορηγίαν τοῖς ζῴοις τῆς τροφῆς ἀπὸ ταύτης εἶναι σημεῖον αἱ φλέβες αἱ τῆς τροφῆς τουτέστι τοῦ αἵματος διάκονοι (ἐσχάτη γὰρ τροφὴ τὸ αἷμα)· αὗται γὰρ διὰ μὲν τῶν ἄλλων μερῶν τοῦ σώματος διαπεφύκασιν, ἐκ δὲ τῆς καρδίας ἐκπεφύκασιν ὡς ἐκ ταύτης τὴν ἀρχὴν ἔχουσαι τῆς βλαστήσεως.

---

3 ψυχή τε καὶ om. 5—6 καὶ οὐδὲ — χρόνον] und dessen Existenz nicht in dieser Art der Thiere von damals geboren worden (von damals, wo es geboren worden ist?), sondern nach längerer Zeit 7 ποῦ δέ ἐστιν] wo sei 14—15 ἐν ᾧ — τέλειον] dass in dem Ding, worin der Mangel in ihr [liegt], auch die Vollkommenheit bestehen wird 16 ἀτελεστέρα] die mangelhafteste 20 ἔτι] also 22 καυλοῦ] ihren Zweigen 24—25 δὲ ἐν αὐτοῖς om. 25 χορηγία] gelangt 26 ταύτῃ] dem Herzen

---

1 fort. δὲ καὶ ἡ οὖσα a 3 διῄρηται a 5 ἐκ γενετῆς scripsi: ἐγγενητῆς m[1], ἐκγενητῆς m[2] V: ἐκ γενητῆς a 7 „περὶ τοῦ ποῦ τακτέον τὸ ἡγεμονικὸν τῆς ψυχῆς καὶ ἐν τίνι μορίῳ τοῦ σώματος“. ποῦ δέ Va ἐστιν V: τακτέον a 9 ἢ a: ἡ V 11 εἰδεῖν V 12 προσθήκη a 15 κατ' a 16 ἀτελεστέρα a: ἀτελέστερ̄ (sic) V 16—17 ύναμις — ἡ θρεπτικὴ δύ in mg. suppl. m[1] V 19 ὕλῃ Va 20 ὡς προείρηται] 39,21—40,3 cf. 49,13. 22 77,10

ὧν αἱ μέν τινες αὐτῇ διακονοῦνται πρὸς τὸ τὸ ἀκατέργαστον ἔτι καὶ ἄπεπτον αἷμα ἀπὸ τῶν περὶ τὸ ἧπαρ τόπων δεχομένῃ πέσσειν ἐν αὐτῇ, αἱ δὲ πρὸς τὴν τοὔμπαλιν μετὰ τὴν κατεργασίαν τε καὶ πέψιν ἐπὶ πᾶν τὸ σῶμα παραπομπήν. διὸ καὶ εὐρύτεραι μὲν περὶ τὴν καρδίαν, ἅτε ἔτι οὖσαι ἄσχιστοι, προϊοῦσαι δὲ εἰς τὸ πρόσθεν σχίζονταί τε εἰς πλείω καὶ εἰς στενότητα συνάγονται κατὰ τὸ τῆς διαιρέσεως πλῆθος. ἀλλὰ καὶ τὸ πρώτην φαίνεσθαι τὴν καρδίαν διηρθρωμένην τῶν ἄλλων μερῶν σημεῖον τοῦ μάλιστα καὶ πρώτην ταύτην τρέφεσθαί τε καὶ τὴν θρεπτικὴν δύναμιν ἔχειν ἐν αὐτῇ. τοῦ δὲ περὶ τὴν καρδίαν εἶναι τὴν ζωτικὴν καὶ θρεπτικὴν ψυχὴν σημεῖον καὶ τὸ ἐν τοῖς θανάτοις ταύτην τελευταίαν ἀποψύχεσθαι, ὥσπερ ἀναλυομένης τῆς φύσεως καὶ παλινδρομούσης ἐπὶ τὴν ἀρχὴν ἀπὸ τῶν ἐσχάτων τε καὶ ῥᾷον ἀπὸ τοῦ ζῆν μεθίστασθαι δυναμένων. ἐν τῇ καρδίᾳ δ' ἂν ἡ ἀρχὴ τοῦ ζῆν εἶναι πιστεύοιτο καὶ καθόσον ἔδει μὲν ἐν τῷ ἀσφαλεστάτῳ τε καὶ δυσπαθεστάτῳ εἶναι αὐτὴν ὡς οἷόν τε. ἐν πᾶσι γὰρ ἡ φύσις τῆς τοῦ κατ' αὐτὴν γινομένου σωτηρίας στοχάζεται. ἀσφαλέστατον δὲ τὸ μέσον. τοῦτο δέ ἐστιν ὁ θώραξ τε καὶ ὁ περὶ τὴν καρδίαν τόπος. ἀλλὰ καὶ καθόσον οὗτος ἐν μέσῳ ἐστὶ τῶν ὀργάνων τῶν τε δι' ὧν τὴν τροφὴν λαμβάνομεν, καὶ τῶν, δι' ὧν ἀποσκευαζόμεθα τὰ ἀπ' αὐτῆς περιττώματα ἀμφοτέρων ἐχόντων τινὰ δυσχέρειαν, καὶ κατὰ τοῦτο εἴη ἂν ἐν τῷδε. ἔτι καὶ καθόσον ἐν μέσῳ ὢν πρὸς ἄμφω ἂν τὰ μέρη ὁμοίως ἔχοι καὶ ὁμοίως ἂν αὐτοῖς ἀμφοτέροις χορηγοῖ τῆς τροφῆς, καὶ οὐ τοῖς μὲν πλήσιον τοῖς δὲ πόρρω, καὶ κατὰ τοῦτο ἂν εἴη περὶ καρδίαν. καὶ γάρ ἐστιν ὁ μὲν θώραξ τὸ σῶμα τοῦ ζῴου, τὰ δ' ἄλλα ὡς ὄργανα τούτου καὶ τῆς ἐν τούτῳ δυνάμεως τούτῳ προσπέφυκεν. διὸ εὐλόγως ἂν ἐν τούτῳ εἴη ἡ ἀρχὴ ἡ τοῖς ὀργάνοις χρωμένη. ἔτι δὲ καὶ καθόσον τὴν μὲν κοινὴν δύναμιν τοῖς ζῴοις πᾶσιν εὔλογον ἐν τῷ κοινῷ πᾶσιν αὐτοῖς εἶναι σώματι, κοινὴ δὲ δύναμις ἐν αὐτοῖς

1—3 διακονοῦνται—παραπομπήν] dienen ihm, indem sie in dasselbe giessen, was in ihnen an Blut ist, damit, wenn in dasselbe das Blut gelangt, dessen Kochen nicht gut ist und dessen Eintrocknung nicht bereitet ist, welches es getragen hat, von Seiten der Leber, es dasselbe eintrockne und das Kochen bereite; und einige dienen ihm durch das Tragen (Verbreiten??) dieses Blutes, nachdem das Kochen desselben gut und das Eintrocknen bereitet ist, [damit] es dasselbe in alle übrigen Glieder des Körpers schicke 6—7 τὸ πρώτην—διηρθρωμένην] dass wir sehen, dass das Herz zuerst geschaffen und geläutert (ausgebildet) wird 9 τὴν ζωτικὴν—ψυχὴν] die lebende Seele, wir meinen das Leben und die Ernährung 10 ὥσπερ] weil 16 θώραξ] Ofen der Brust 17—19 τῶν τε δι' ὧν—δυσχέρειαν] [zwischen den Organen], welche die Extremitäten sind, und in welche es die Ueberschüsse, welche aus ihm entstehen, wirft, die beiden Arten der Organe gemeinschaftlich etwas Uebles trifft (sic) 23 δυνάμεως] der Seele

---

1 αὐτὴ a ἄπεπτον V: ἄπταιστον a 2 ἧπαρ a δεχομένῃ V: δεχομένη a 4 εὐρύτεραι a 5 εἰς στενότητα a: εἰ στενότητα V 8 ἀν a αὐτῇ Va 13 ἐν τῷ V ex. Vict.: αὐτῷ a 14 supra αὐτὴν litura V 20 ἔχει a 21 χορηγοῖ V: χορηγεῖ a καὶ ἐν τοῖς a 24 ἡ ante τοῖς supra lin. V

ἡ θρεπτική, σῶμα δὲ ὁ θώραξ (τὰ ἄλλα γὰρ τούτῳ προσπέφυκεν), [ὥστε] καὶ κατὰ τοῦτο ἂν ἡ τοῦ ζῆν ἀρχὴ περὶ τὸν θώρακα πᾶσιν εἴη. οὐκέτι γὰρ οὕτως κοινὰ τὰ ἄλλα. οὔτε γὰρ κεφαλὴ πᾶσιν κοινόν (ἔστι γὰρ ζῷά τινα χωρὶς τούτου τοῦ μέρους), ἀλλ' οὐδὲ χεῖρες, ἢ πτέρυγες, ἢ πόδες. ἀλλ' εἰ καὶ ἡ κατεργασία τῆς τροφῆς διὰ τοῦ θερμοῦ μάλιστα, εὔλογον ἐν ᾧ τὸ πλεῖστον θερμόν, ἐν τούτῳ καὶ τὴν δύναμιν εἶναι τὴν θρεπτικὴν πρὸς τῷ οἰκείῳ ὀργάνῳ, ὡς ὁ μὲν κυβερνήτης πρὸς τοῖς οἴαξιν, ὁ δὲ χαλκεὺς πρὸς τοῖς χαλκευτικοῖς ὀργάνοις. καὶ ὅτι μὲν ἐν τῷ θώρακι καὶ περὶ καρδίαν ἥ τε θρεπτικὴ καὶ αὐξητική τε καὶ γεννητικὴ ψυχή, ἣν καὶ φυτικὴν καλοῦμεν, ἐκ τούτων καὶ τῶν τοιούτων ἂν δεικνύοιτο. ἀκόλουθον δέ, ἐν ᾧ τοῦτο, ἐν τούτῳ εἶναι καὶ τὴν αἰσθητικήν, ἐν οἷς εἰσιν αἱ δυνάμεις ἀμφότεραι. εἰ γὰρ εἶεν κεχωρισμέναι, οὐκέτ' ἂν τὰ ἔχοντα ἀμφοτέρας τὰς δυνάμεις μίαν ἔχοι ψυχήν, ἀλλὰ πλείους. αὐτὴ γὰρ καθ' αὑτὴν οὖσα ἡ θρεπτικὴ δύναμις ἐν τοῖς φυτοῖς ἔμψυχα αὐτὰ παρεῖχεν. ὥστε ἔσται καὶ ἐν τῷ ζῴῳ ἔμψυχον τὸ μόριον τὸ ταύτην τὴν δύναμιν ἔχον καθ' αὑτό. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τὸ τὴν αἰσθητικὴν ἔχον πάλιν ἂν ἔμψυχον εἴη καθ' αὑτό. οὕτως δὲ δύναιντ' ἂν αἵδε αἱ δυνάμεις χωρίζεσθαι ἀπ' ἀλλήλων, ὡς εἶναι ἐν τῷ ζῴῳ τὸ μέν τι τρεφόμενον μόνον καὶ διὰ τοῦτο ζῶν, τὸ δὲ αἰσθανόμενον μόνον, οὐκέτι δὲ καὶ τρεφόμενον. ἀλλὰ μὴν ἀδύνατον εἶναι τὴν αἰσθητικὴν χωρὶς τῆς θρεπτικῆς. οὐ γὰρ οἷόν τέ τι αἰσθάνεσθαι μέν, μὴ τρέφεσθαι δέ, ἢ τὴν θρεπτικὴν χωρὶς τῆς αἰσθητικῆς ἐν οἷς εἰσιν ἄμφω. οὗ σημεῖον τὸ φθειρομένης τῆς ἁφῆς μηδὲ ζῆν ἔτι δύνασθαι τὸ ζῷον. καίτοι, εἰ ἦν ἡ θρεπτικὴ κεχωρισμένη, φθαρείσης τῆς αἰσθητικῆς οἷόν τε ἂν ἦν ζῆν ἔτι τὸ ζῷον, ἔχον γε τὴν θρεπτικὴν δύναμιν, ἥτις ἦν τοῦ ζῆν χορηγός. ἔτι δέ, εἰ ἀναγκαῖον τὸ αἰσθητικὸν μὴ διεσπάσθαι, ἀλλ' εἶναι τήνδε τὴν δύναμιν περὶ ταὐτό τι, προδήλως δὲ διὰ τῶν ἀνατομῶν εὑρίσκεται ἀρχὴ οὖσα ἡ καρδία τῆς τε ἁφῆς καὶ τῆς γεύσεως, εἶεν ἂν καὶ αἱ λοιπαὶ περὶ τὴν καρδίαν. καὶ γὰρ αἱ τρεῖς εἰ καὶ μὴ ἐξ εὐθείας πρὸς τὴν καρδίαν συντέτρηνται, ἀλλ' ἔστιν ἡ ὁδὸς αὐταῖς διὰ τῆς κεφαλῆς. διὰ γὰρ

1 σῶμα] der gemeinschaftliche Körper τούτῳ προσπέφυκεν] sind nur um dessentwillen geschaffen 3 οὕτως om. addit: wie die Brust γὰρ ante κεφαλὴ om. 5 καὶ om. 7 ὀργάνῳ] Organe 7—8 ὁ δὲ χαλκεὺς—ὀργάνοις] und die Ruderer neben den Ruderwerkzeugen 10 ἀκόλουθον] nötig 18 τὸ μέν τι] ein Teil seiner Glieder 23 καίτοι εἰ] denn wenn κεχωρισμένη] getrennt würde und für sich selbst getrennt würde (sic) 25 δέ om. 28 λοιπαὶ] übrigen Sinne 28—29 καὶ γὰρ—κεφαλῆς] denn die drei Sinne, obwohl sie zu dem Herzen nicht übergehen (Passage haben), haben doch einen Weg zu demselben vermittelst des Kopfes 29—97,1 διὰ γὰρ—καρδίαν om.

1 fortasse σῶμα δὲ ⟨κοινὸν⟩ v. int. hebr. θῶραξ V ὥστε delevi 3 οὕτως τὰ κοινὰ a 8 καρδήαν a 9 τε ante καὶ om. a γενητικὴ a 17 αἱ supra lin. V 21 ἡ τὴν V: ἢ τὴν a 25 ἀναγκκαῖον a διεσπᾶσθαι a 29 αὐτῆς διὰ a fortasse κεφαλῆς πρὸς αὐτὴν cf. int. hebr.

τῇδε | καὶ ταύταις ἡ ἄνοδος ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν. τοῦτό τοι καὶ 141r
ἐν τοῖς φόβοις καὶ ταῖς ὀργαῖς καὶ ὅλως ἐν τοῖς πάθεσιν τὴν ἀρχὴν ἀπὸ τῆς αἰσθήσεως ἔχει τοῦτο μάλιστα τὸ μόριον. προκινεῖταί τε γὰρ καὶ προπάσχει ὥσπερ ζῷόν τι ὂν ἐν ζῴῳ. ἀλλὰ καὶ εἰ μήτε τῶν ἀναίμων τι μορίων ἐστὶν αἰσθητικόν, ὡς ὀστᾶ, τρίχες, ὄνυχες, μήτε αὐτὸ τὸ αἷμά ἐστι τὸ ταύτην τὴν δύναμιν ἔχον, δῆλον ὡς τὸ πρῶτον ἔναιμον πρῶτον ἂν εἴη καὶ αἰσθητικόν· πρῶτον δὲ ἔναιμον ἡ καρδία. τὸ γὰρ ἐν τῷ ἥπατι ἀκατέργαστον ἔτι καὶ οὐδὲ κυρίως αἷμα. καὶ ὅτι μὲν καὶ ἡ αἰσθητικὴ ὥσπερ καὶ ἡ θρεπτικὴ περὶ τὴν καρδίαν ἐστὶν ἐν τοῖς καρδίαν ἔχουσιν, ἢ περὶ τὸ ἀνάλογον ὂν τούτῳ τῷ μορίῳ ἔν τισιν τῶν ζῴων, ἐκ τούτων γνώριμον ἂν εἴη. ἀλλὰ μὴν ὅπου αἱ αἰσθήσεις τελευτῶσιν, ἐκεῖ καὶ τὴν φανταστικὴν ψυχὴν ἀναγκαῖον εἶναι, εἴ γε ἡ ἐνέργεια αὐτῆς καὶ τὸ ἔργον περὶ τὰ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα, ἃ γίνεται ἐν τῷ μορίῳ, ἐν ᾧ ἡ κοινὴ αἴσθησις. τοῦτο δ' ὂν ἡ καρδία δέδεικται· ἀλλὰ μὴν ἐν ᾧ ἡ φαντασία, ἐν τούτῳ καὶ αἱ συγκαταθέσεις, ἐν ᾧ δὲ αἱ συγκαταθέσεις, ἐν τούτῳ καὶ ὁρμαί τε καὶ ὀρέξεις, αἵτινές εἰσιν ἀρχαὶ τῆς κατὰ τόπον κινήσεως. ὥστε καὶ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ δύναμις τῆς ψυχῆς εἴη ἂν περὶ καρδίαν. καὶ εὐλόγως· ἐφ' ὃ γὰρ αἱ ἀπὸ τῶν ἔξωθεν κινήσεις τελευτῶσιν ὡς ἐπ' ἀρχήν, ἀπὸ τούτου εὔλογον γίνεσθαι καὶ τὴν ἀρχὴν τῆς ἐπὶ τὰ ἔξω κινήσεως. οὕτως γὰρ ὁρῶμεν καὶ ἐν τοῖς στρατοπέδοις γινόμενον. ἐφ' ὃν γὰρ αἱ τῶν ἔξωθεν προσαγγελίαι γίνονται, οὗτος δέ ἐστιν ὁ στρατηγός, ἀπὸ τούτου καὶ αἱ πρὸς τὰ ἔξω κινήσεις τὴν ἀρχὴν λαμβάνουσιν. διὸ καὶ τὰ πρὸς τὴν κίνησιν ὄργανα ἀπὸ τῆς καρδίας τὴν ἀρχὴν ἔχει. ἀλλὰ καὶ τῆς κινήσεως τῆς ἐξ αὐτῶν τοῖς μέρεσιν πᾶσιν ὁρᾶν ἔστι τὸν περὶ τὴν καρδίαν τόπον ἀρχὴν οὖσαν. ἐφ' ὃ γὰρ μόριον παύεται τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ μέρη κινούμενα, ἐντεῦθεν αὐτοῖς ἡ τῆς κινήσεως ἀρχή, ὡς ἐν τοῖς περὶ ζῴων κινήσεως δέδεικται. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν κατὰ τὸ ἄνω τε καὶ κάτω μερῶν διῃρημένων. πᾶσιν γὰρ τούτοις ἀρχή τε καὶ πέρας ὁ μέσος τε καὶ περὶ τὴν καρδίαν τόπος ἢ τὸ ταύτῃ ἀνάλογον. ὥστε καὶ ἐκ τούτου

1—4 τοῦτό τοι—ζῴῳ] daher dieses Glied insbesondere bei der Furcht und beim Zorn und überhaupt bei den Vorgängen der Seele, deren **Princip** im Sinne ist, insbesondere sich vorher bewegt und zuerst Schmerz empfindet nach der Stufe (Art) eines Thieres, das in einem Thiere wohnt 5 ὄνυχες om. 6 πρῶτον om. 11 τελευτῶσιν] der Sitz ist 15 αἱ συγκαταθέσεις] der Beschluss ἐν ᾧ δὲ—συγκαταθέσεις om. 17 ὁρμητική—ψυχῆς] die Kraft der anregenden Seele und der begehrenden 18 ὡς ἐπ' ἀρχήν] wie in ein Ding, welches an seinem Principe zu Ende geht 19 ἀπὸ] in 21 γίνονται] enden 23 post ὄργανα addit: welche Principien derselben sind

---

1 ὡς ἐπὶ ἀρχὴν τὴν καρδίαν] cf. p. 73,24 τοῦτό τοι] cf. p. 8,25. sed ita mihi videntur haec esse legenda: τοῦτό τοι καὶ ἐν τοῖς φόβοις καὶ ταῖς ὀργαῖς καὶ ὅλως ἐν τοῖς πάθεσιν, ⟨ἃ⟩ (cf. int. hebr.) τὴν ἀρχὴν ἀπὸ τῆς αἰσθήσεως ἔχει, τοῦτο μάλιστα τὸ μόριον ⟨κινεῖται⟩. προκινεῖταί τε γὰρ καὶ κτλ. 3 γε γὰρ a 5 τρύχες a 7 ἤπατι a 8 ὅτι V: ἄρα a μὲν om. a 10 ὂν τισι a 12 τὸ om. a 15 καὶ ἡ συγκατάθεσις a 24 ὡς ἐν τοῖς κτλ.] Ar. de mot. animal. 9. 702b 12sq. 28 καὶ ante κάτω in lit. V

δεικνύοιτο ἂν οὖσα ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ δύναμις περὶ καρδίαν. καὶ εἰκότως ἄρα ἡ καρδία ἔχουσα καὶ τὴν αἰσθητικὴν δύναμιν ἐν ἑαυτῇ καὶ τὴν κινητικὴν πῇ μὲν ὁμοιομερής ἐστι (τοιοῦτον γὰρ τὸ αἰσθητήριον), πῇ δὲ ἀνομοιομερής, τοιοῦτον γὰρ πᾶν πρακτικὸν μόριον, ὡς χείρ, πούς. ἔστι γὰρ ὁμοιομερὴς μὲν κατὰ τὸ σῶμα, ἀνομοιομερὴς δὲ κατὰ τὸ σχῆμα. ἡ μὲν γὰρ σὰρξ οὐ κατὰ σχῆμα σάρξ, ἡ δὲ καρδία κατὰ τὸ σχῆμα τοιαύτη, ὥσπερ καὶ ἡ χείρ. μάθοι δ' ἄν τις, ὅτι τὸ τῆς ψυχῆς ἡγεμονικὸν περὶ καρδίαν, καὶ ἀπὸ τῆς αὐτοῦ τοῦ σπλάγχνου κατασκευῆς, ἣν ἔχει παρὰ τῆς φύσεως τῆς μηδὲν ποιούσης μάτην. ἐν ἀσφαλεστάτῳ τε γὰρ κεῖται τοῦ σώματος (πλείστοις γὰρ καὶ ἰσχυροτάτοις ὀστοῖς καὶ σαρξὶν περιέχεται) ἰσχυροτάτῳ τε χιτῶνι περιείληπται τῷ καλουμένῳ περικαρδίῳ, ὃς οὐδ' ὑπὸ σιδήρου διαιρεῖται ῥᾳδίως, αὐτῆς τε τὸ σῶμα μεταξύ πώς ἐστι νεύρου τε καὶ σαρκός, πρὸς τῇ διὰ τὴν ἐκ τοιούτων σωμάτων σύνθεσιν στερεότητι ἐπιτηδείως ἔχουσα πρός τε τὰς αἰσθητικὰς ἀντιλήψεις (τοιοῦτον γὰρ ἡ σάρξ) καὶ πρὸς τὴν ἀρχὴν τῆς κινήσεως (τοιαῦτα γὰρ τὰ νεῦρα). ἔχει δὲ καὶ πρὸς μὲν τὸν τῆς θερμότητος ἀναγκαῖον πλεονασμὸν ἐπίκουρον τὸ ἀναπνεόμενον πνεῦμα, ὑφ' οὗ διὰ τὴν συνέχειαν ὑπὸ τῆς ἀπ' αὐτοῦ γινομένης ἐμψύξεως εἰς τὸ σύμμετρον ἄγεται, πρὸς δὲ τὰς πηδήσεις τὰς ἀπὸ τῶν φαντασιῶν ἐγγινομένας αὐτῇ ὁ πλεύμων περικείμενος, ἀραιός τε καὶ εἰκτικὸς ὤν, βοηθεῖ πρὸς τὸ μηδεμιᾷ περιπίπτειν βλάβῃ. εἰκότως δὲ ὑπὸ τοσούτων βοηθεῖται· τῷ γὰρ ἔχειν τὰς κυρίας ἀρχὰς ἐν αὑτῇ καὶ τὸ τυχὸν παθοῦσα ἀπωλείας αἰτία τῷ ἔχοντι αὐτὴν ζῴῳ γίνεται. ἡ γὰρ λεγομένη καρδιακὴ νόσος, ἣν νόσον σώζεταί τινα νοσήσαντα, οὐ καρδίας, ἀλλὰ στομάχου πάθος ἐστίν. ὅτι δὲ καὶ τὸ λογιστικὸν μόριον τῆς ψυχῆς, ὃ καὶ ἰδίως ἡγεμονικὸν καλεῖται, ἐν τῇ καρδίᾳ καὶ αὐτό, δεικνύοιτο ἂν τῷ εἶναι μὲν τοῦ λογιστικοῦ τὸ μὲν πρακτικόν, οὗ ἀμηγέπῃ καὶ τῶν ἀλόγων ζῴων κοινωνεῖ τινα, τὸ δὲ θεωρητικόν, ὃ ἴδιον ἀνθρώπου. ὧν τὸ μὲν πρακτικόν, ὃ καὶ βουλευτικόν τε καὶ λογιστικὸν καλοῦμεν, ἀκόλουθον εἶναι, ἔνθα τὸ ὀρεκτικόν τε καὶ κατὰ τόπον κινητικόν. ἔνθα γὰρ τὸ ὀρεκτικόν, ἐκεῖ καὶ

1—3 καὶ εἰκότως—ὁμοιομερής ἐστι] auch ergiebt sich, dass das, wodurch das Herz die sinnliche Kraft und die bewegende Kraft besitzt, von einer Seite gleichteilig ist 4—7 ἔστι γὰρ—ἡ χείρ] das Herz ist nämlich gleichteilig in seinem Körper und ungleichartig in seiner Gestalt. Denn das Herz, insofern es ein Körper ist, ist es Fleisch, und insofern es in dieser Gestalt ist, in welcher es ist, ist es Herz, und ebenso die Hand 7 περὶ καρδίαν] vom Herzen kommt 8 σπλάγχνου] Körpers 11 περικαρδίῳ] Schild des Herzens 13 τοιούτων] diesen zwei [Körpern] στερεότητι] Zuversicht und Hoffnung 14 ἐπιτηδείως] bereit und vorbereitet 18 ἐμψύξεως] Anwehen 20—21 εἰκότως—βοηθεῖται] notwendig ist es verknüpft mit allen diesen Gelenken 22 τῷ—ζῴῳ] für das, was Leben besitzt 24 πάθος] Krankheit

---

1 ἂν om. a περὶ] ρι in lit. V 2 ἐν αὐτῇ a 8 σπλάχνου a 10 ἰσχυροτάτοις a: ἰσχυρωτάτοις V 19 πνεύμων ἐπικείμενος a 21 αὐτῇ Va 22 αἴτιον a 24 ὅτι V: ἄρα a 26 ἀμηγεπὴ a

τὸ βουλητικόν. ὄρεξις γάρ τις ἡ βούλησις. ὅπου δὲ τὸ βουλητικόν, ἐκεῖ καὶ τὸ βουλευτικόν τε καὶ τὸ λογιστικόν. ἡ γὰρ βούλησις ὄρεξις βουλευτική τε καὶ λογιστική. ἀλλὰ καὶ ὅπου τὸ αἰσθητικόν, ἐκεῖ καὶ τὸ συγκαταθετικόν. ὅπου δὲ τοῦτο, ἐκεῖ καὶ ᾧ ὑπολαμβάνομεν καὶ ᾧ δοξάζομεν καὶ ᾧ διανοούμεθά τε καὶ ἐπιστάμεθα. πάντα γὰρ ταῦτα μετὰ συγκαταθέσεως. ἀλλὰ μὴν ᾧ ἐπιστάμεθα, ἐν τούτῳ καὶ ὁ θεωρητικὸς νοῦς. καθόλου δέ, εἰ μὲν ἐδύνατο ἡ λογικὴ δύναμις αὐτὴ καθ' αὑτὴν εἶναι χωρὶς τῶν πρὸ ταύτης εἰρημένων θρεπτικοῦ αἰσθητικοῦ φανταστικοῦ ὁρμητικοῦ, ἐνεδέχετο μὲν ἂν καὶ ἐν ἡμῖν εἶναι κεχωρισμένην κατὰ τὸ ὑποκείμενον τήνδε τὴν δύναμιν τῶν πρὸ αὐτῆς. οὐ μὴν ἀλλ' ἀναγκαῖον ἂν ἦν πλείους λέγειν ψυχὰς ἡμᾶς ἔχειν, καὶ εἶναι ἕκαστον τῶν ἀνθρώπων ζῷα πλείω. εἰ δ' ἀδύνατον τοῦτο (ἀναγκαῖον γὰρ τὸν τὴν ἐσχάτην τῆς ψυχῆς δύναμιν ἔχοντα καὶ τὰς πρὸ ταύτης ἔχειν· τελειότης μὲν γὰρ τῆς ψυχῆς ἥδε ἡ δύναμις, ἡ δὲ τελειότης ἐπ' ἐκείνῳ καὶ σὺν ἐκείνῳ ἐστίν, οὗ ἐστι τελειότης), ἀνάγκη καὶ τὴν λογιστικὴν ψυχὴν εἶναι περὶ καρδίαν. ἔτι εὔλογον μὲν μήτε τὸ πρακτικὸν τῆς ψυχῆς διεσπάσθαι, ὡς εἶναι ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ, ἀλλ' ἐν τῷ αὐτῷ πᾶν αὐτὸ εἶναι, μήτε πάλιν τὸ | κριτικόν, ἀλλ' εἶναι καὶ τοῦτο 141r πᾶν ἐν τῷ αὐτῷ, εἰς δύο δὲ ταῦτα ἀνάγονται αἱ δυνάμεις τῆς ψυχῆς, τό τε πρακτικὸν καὶ τὸ κριτικόν. ⟨ἔτι⟩ εἰ ἔστιν, ἐν ᾧ τὸ θρεπτικόν, ἐν τούτῳ καὶ τὸ αἰσθητικόν, ἀνάγκη ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν εἶναι πᾶσαν τὴν ψυχήν. τὸ μὲν γὰρ θρεπτικὸν ἀρχὴ τῆς πρακτικῆς ψυχῆς (ταύτης γὰρ τοῦτό τε καὶ τὸ ὁρμητικὸν καὶ τὸ ὀρεκτικόν), τὸ δέ γε αἰσθητικὸν πάλιν ἀρχὴ τῆς κριτικῆς. τοῦ γὰρ κριτικοῦ καὶ τὸ φανταστικόν, ἔτι δὲ τὸ βουλευτικόν τε καὶ θεωρητικόν. ἀλλὰ μὴν περὶ τὴν καρδίαν ἄμφω ἐκεῖνα ὄντα ἐδείχθη. περὶ ταύτην ἄρα καὶ αἱ λοιπαὶ τῆς ψυχῆς δυνάμεις. περὶ καρδίαν ἄρα τὸ τῆς ψυχῆς τῆς ἐν τοῖς ζῴοις τὸ ἡγεμονικόν. ἔστι δὲ ἐν ἑκατέρᾳ δυνάμει, τῇ τε κριτικῇ καὶ τῇ πρακτικῇ, τὸ μὲν ὑπηρετικόν, τὸ δὲ ἡγεμονικόν. αἵ τε γὰρ κρίσεις ὑπηρεσίας ὀργανικῆς δέονται (τοιαῦτα γὰρ τὰ αἰσθητήρια), αἵ τε πράξεις καὶ αὐταὶ δι' ὀργάνων ἐπιτελοῦνται. χεῖρες γὰρ καὶ πόδες πρὸς τὰς πράξεις ὄργανα φανερώτατα. τὰ δὲ λεγόμενα πρὸς δεῖξιν τοῦ τὸ ἡγεμονικὸν περὶ κεφαλήν τε καὶ ἐγκέφαλον εἶναι

1—2 βουλητικὸν—ἐκεῖ καὶ τὸ om. 2 βούλησις] Meinung, Ansicht 4—5 ὑπολαμβάνομεν—ἐπιστάμεθα] Denken, Einsicht, Wissenschaft 5 πάντα—ταῦτα] denn diese sind zuerst 6 ἀλλὰ μὴν] und 7 αὐτὴ καθ' αὑτὴν om. 10 πλείους] viele, nicht eine Seele 11 πλείω] viele, nicht ein Thier τελειότης—ἥδε ἡ δύναμις om. 15—16 ἔτι εὔλογον—τῆς ψυχῆς] Ferner, wenn es nötig ist, dass der praktische Teil der Seele [vielfach sei; apod. deest] 17—18 μήτε πάλιν—ἐν τῷ αὐτῷ] und ebenso verhält es sich mit dem erkennenden Teile, dass er nicht vielfach sei, sondern dass er ganz in ein und demselben Gliede sein muss 18 δὲ] und 20 κατ' ἀριθμὸν om. πᾶσαν om. 21 ταύτης] dieser Seele 22 τοῦτο] die Ernährung 25—26 περὶ καρδίαν om. 28 αἱ .. κρίσεις] die Erkenntniss

---

15 ἔτι scripsi cf. int. hebr.: εἴτε Va 16 διεσπᾶσθαι a 19 ἔτι εἰ scripsi: εἰ Va 23 της V τὸ post καὶ supra lin. V 26 τὸ τῆς ψυχῆς τῆς κτλ. τὸ ἡγεμονικόν] cf. 50,20

τὰ μέν ἐστι κενά, ὅσα δὲ ἔχεταί τινος πιθανότητος, τούτοις ἡ συμπάθεια τῶν ἐν τῷ τοῦ ζῴου σώματι μορίων αἰτία τῆς πλάνης. πάντα γὰρ τὰ μόρια ἀλλήλοις ἐστὶν ἐν τῷ σώματι συμπαθῆ, εἴπερ πᾶν ὄργανον καλῶς ἡρμοσμένον. διὰ γὰρ τὴν τοιαύτην συμπάθειαν ψηλαφωμένων τέ τινων περὶ τὸν ἐγκέφαλον γίνεταί τινα περὶ τὸν ἄνθρωπον πάθη καὶ νοσούντων μὲν τῶν περὶ τὴν κεφαλὴν παραφροσύναι γίνονται, θεραπευομένων δὲ ἀποκαταστάσεις, ὥσπερ καὶ ἄλλων μορίων θεραπευομένων ἄλλα ὑγιάζεται οὐδὲν ἐκείνοις ἐοικότα. ἀλλ' οὐδὲ αἱ τῶν μορίων ἀφαιρέσεις, ἃς ἐπί τινων ζῴων ποιοῦνται, δεικτικαὶ τοῦ προκειμένου. κοιναὶ γάρ εἰσιν πρὸς ἀμφότερα. ὡς γὰρ καρδίας ἐξαιρεθείσης ἔνια ζῷα διαμένει ζῶντα πλείω χρόνον, ὡς χελώνη καὶ χαμαιλέων, οὕτως καὶ κεφαλῆς ἀφαιρεθείσης τινῶν ζῴων ἐπὶ πολὺ τὸ λοιπὸν σῶμα ζῇ. πολλάκις δὲ καὶ ἑκάτερον αὐτῶν μένει τὰς οἰκείας ἐνεργείας ἐνεργοῦν. τὸ μὲν οὖν ἡγεμονικὸν τῆς ψυχῆς, ὡς δέδεικται, περὶ τὴν καρδίαν καθίδρυται, τὸ δὲ ὑπηρετικὸν καὶ εἰς τὰ ἄλλα τοῦ σώματος μέρη διατείνει. τό τε γὰρ αἰσθητικὸν εἰς πᾶσαν τὴν σάρκα, ἀλλὰ καὶ τὸ τῆς κινήσεως διακονικὸν εἴς τε νεῦρα καὶ τοὺς μῦς, δι' ὧν ὅλως τῶν μορίων ἡ κίνησίς τε καὶ μετάβασις τοῖς ζῴοις, γίνεται.

3—4 εἴπερ—ἡρμοσμένον] denn alle Glieder des Leibes sind miteinander verbunden, da der Leib in der besten Anordnung construirt ist   4—5 ψηλαφωμένων—ἐγκέφαλον] wenn Dinge das Gehirn bedrängen (in's Gehirn gedrängt werden?)   5—6 καὶ νοσούντων—κεφαλὴν] Wenn Stellen (Ecken?) des Herzens erkranken   6 θεραπευομένων] und wenn es [das Herz?] gesund wird   12 λοιπὸν om.   12—13 πολλάκις—ἐνεργοῦν] manchmal wird jedes von beiden entfernt und es bleiben seine specifischen Tätigkeiten in ihrem Zustande   14 καὶ om.   15 ἀλλὰ om.   16 εἴς τε—μορίων] im Gefäss (Nerv) und im Muskel und überhaupt in den Gliedern, in welchen

1 κενά] supra κεν lit. V   2 αἰτίᾳ a   3 συμπαθῆ a   εἴπερ a: ὑπὲρ V   7 ὑγιάζεται a: ὑγειάζεται V   8 ἐοικότα] ότα in lit. V   ἀφηρέσεις a   11 χαμελέων V   ἐπιτολὺ a   15 διατήνει a   το τῆς V   17 ζῴοις in lit. V

ALEXANDRI APHRODISIENSIS DE ANIMA LIBRI MANTISSA 142r

[ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΕΡΙ ΨΥΧΗΣ Β̄]

Περὶ ψυχῆς τί τέ ἐστι καὶ τίς αὐτῆς ἡ οὐσία καὶ τίνα αὐτῇ τὰ συμβεβηκότα, οὐ πρόχειρον οὐδὲ ἐκ τοῦ ῥᾴστου καταμαθεῖν, ἀλλ' ἔστιν τῶν χαλεπωτάτων ἡ περὶ τούτων θεωρία, καίτοι τό γε εἶναι τὴν ψυχὴν γνωριμώτατον καὶ φανερώτατον. ἀλλ' ἔστιν πολλὰ τῶν ὄντων, ἃ τὴν μὲν ὕπαρξιν ἔχει γνωριμωτάτην, ἀγνωστοτάτην δὲ τὴν οὐσίαν, ὥσπερ ἥ τε κίνησις καὶ ὁ τόπος, ἔτι δὲ μᾶλλον ὁ χρόνος. ἑκάστου γὰρ τούτων τὸ μὲν εἶναι γνώριμον καὶ ἀναμφίλεκτον, τίς δέ ποτέ ἐστιν αὐτῶν ἡ οὐσία, τῶν χαλεπωτάτων ὁραθῆναι. ἔστι δὲ δή τι τῶν τοιούτων καὶ ἡ ψυχή. τὸ μὲν γὰρ εἶναί τι τὴν ψυχὴν γνωριμώτατόν τε καὶ φανερώτατον, τί δέ ποτέ ἐστιν οὐ ῥᾴδιον καταμαθεῖν· εἰ δὴ τὴν ἀρχὴν τοῦ περὶ αὐτῆς λόγου ἄνωθεν ἀρξάμενοι ποιησαίμεθα ἀπὸ τῆς τοῦ ὄντος εἰς τὰ πρῶτα γένη διαιρέσεως καὶ φανερὸν ποιησαίμεθα, ὑπὸ τί τῶν γενῶν ἐστιν ἡ ψυχή, ἴσως ἂν τούτου κειμένου καὶ τὴν ὅλην οὐσίαν αὐτῆς λάβοιμεν. διαιρουμένου τοίνυν τοῦ ὄντος εἰς τὰ πρῶτα καὶ ἀνωτάτω γένη δέκα ἕν τι τούτων καὶ τὴν οὐσίαν εἶναί φαμεν, ἧς τὴν μὲν σύνθετον λέγομεν, τὰς δὲ ἐξ ὧν τῇ συνθέτῳ τὸ εἶναι. σύνθετον μὲν οὖν οὐσίαν λέγομεν εἶναι ταύτην, ἧς τόδε τι κατηγορῆσαι δυνάμεθα, τὴν αἰσθητήν τε καὶ ἐνεργείᾳ οὖσαν καὶ πᾶσιν τοῖς ἄλλοις γένεσιν τοῦ ὄντος ὑποκειμένην, οἷον τόνδε τὸν λίθον, τόδε τὸ ξύλον, τόνδε τὸν χρυσόν, τόδε τὸ πῦρ καὶ ἕκαστον τῶν τοιούτων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα πάντα οὐσίαι σύνθετοι. ἔστι γὰρ ἐν αὐτοῖς τὸ μέν τι ὑποκείμενον, ὃ ὕλην καλοῦμεν, δύναμιν ἔχον τοῦ εἶδός τι ἐν αὑτῷ δέχεσθαι, τὸ δὲ εἶδος, ὃ δεξάμενον τὸ ὑποκείμενον ἀδιάφορον ὂν πᾶσιν κατὰ τὴν αὑτοῦ φύσιν, ἐν οἷς ἐστι, διάφορόν τε γίνεται καὶ ἤδη τόδε τι, τὸ μὲν γὰρ ἄργυρος, τὸ δὲ χρυσός, τὸ δὲ πῦρ, τὸ δὲ ἄλλο τι. πάντα γὰρ ταῦτα, ταὐτὸν ἀλλήλοις ὄντα κατὰ τὴν ὕλην τε καὶ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος ἔχει τὴν διαφοράν. ἀναλόγως γὰρ ὡς ἐπὶ τῶν κατὰ τέχνην γινομένων ἔχει, οὕτως

---

3 τις] post ι una lit. er. V   7 γνωριμωτάτην] ην in lit. V   ἀγνοστοτάτην a   9 ἀναμφίλεκτον a: ἀναφίλεκτον V   14 ποιησαίμεθα om. a   17 τὰς V: τῆς a   23 αὐτῷ Va   24 fortasse ὂν ⟨ἐν⟩ πᾶσιν   αὐτοῦ Va   28 γινομένων] post ο una lit. erasa V

ἡγητέον ἔχειν καὶ ἐπὶ τῶν φυσικῶν οὐσιῶν· ὥσπερ γὰρ ἐπὶ τῆς τέχνης, τῆς ἀνδριαντοποιικῆς φέρε εἰπεῖν, ὁ μὲν χαλκὸς ὑπόκειται πᾶσι τοῖς ἐξ αὐτοῦ γινομένοις ὑπὸ τοῦ τεχνίτου, τὰ δὲ κατὰ τὴν τέχνην εἴδη γινόμενα ἐν αὐτῷ τῆς τε διαφορᾶς αἴτια καὶ τοῦ τόδε τι εἶναι ἕκαστον αὐτῶν, τὸν μὲν δισκεύοντα, τὸν δὲ διαδούμενον, καὶ ἔστιν ἕκαστον αὐτῶν σύνθετον ἔκ τε τοῦ χαλκοῦ καὶ τῆς τοιᾶσδε μορφῆς, οὕτως ἡγητέον ἔχειν καὶ ἐπὶ τῶν συνθέτων οὐσιῶν. καὶ γὰρ ἐν ταύταις, τὸ μέν ἐστιν ὑποκείμενον, τὸ δὲ εἶδος, καθ' ὃ καὶ ἕκαστον αὐτῶν ἐστι τόδε τι, τὸ μὲν ὕδωρ, τὸ δὲ ἀήρ, τὸ δὲ ἄλλο τι . . . |

. . . μένης τῆς ψυχῆς ἐν τῇ πρὸς τὸ σῶμα μίξει τὸ ζῷον γίνεται. 142r εἰ δὲ κατὰ μηδέτερον τῶνδε τῶν τρόπων τὸ ζῷον οὐσία σύνθετος, κατὰ τὸν τρίτον λείπεται ἄρα. ἦν δ' οὗτος, καθ' ὃν ἦν τοῦ συγκειμένου τὸ μὲν ὑποκείμενόν τε καὶ ὕλη, τὸ δὲ εἶδος. οὐ γὰρ δὴ ὡς οἱ ἀριθμοί· ἀσώματον γὰρ τὸ ἐκ τούτων, τὸ δὲ ζῷον οὐ τοιοῦτον. τὸ ἄρα ζῷον, συγκείμενον ἐκ ψυχῆς τε καὶ σώματος, τῷ τὸ μὲν ὑποκείμενον τούτων εἶναι, τὸ δὲ εἶδος ἐκ τούτων ἔχει τὴν σύνθεσιν. λείπεται δὴ ἢ τὸ σῶμα τῆς ψυχῆς εἶδος εἶναι, ἢ τὴν ψυχὴν τοῦ σώματος. ἀλλὰ τὸ μὲν σῶμα τῆς ψυχῆς εἶδος λέγειν ἀδύνατον· ὑποκείμενον γὰρ τὸ σῶμα. ἔτι καὶ ἕκαστον τῶν ὄντων τόδε τι κατὰ τὸ εἶδός ἐστιν, οἷον ἀνδριάς, οἰκία, ναῦς, πῦρ, ὕδωρ, γῆ. καὶ τὸ ζῷον δὲ κατὰ τὴν ψυχὴν ζῷόν ἐστι. ὥστε ἡ ψυχὴ τὸ εἶδος. ἔτι εἰ τοῦτό ἐστιν εἶδος, οὗ μηκέτι παρόντος μηδ' ὄντος ἐν τῷ ὑποκειμένῳ πέπαυται τόδε τι εἶναι ὃ πρότερον ἦν, καὶ τὸ ζῷον δὲ ζῷον εἶναι πέπαυται χωρισθείσης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος (ὡς γὰρ ὁ πέλεκυς κατὰ τὸ σχῆμα πέλεκύς ἐστι καὶ ἔστιν εἶδος αὐτοῦ τοῦτο, καὶ εἰ ἦν ἔμψυχον, ἦν ⟨ἂν⟩ αὐτοῦ τὸ σχῆμα, ἀλλ' οὐχ ὁ σίδηρος ἡ ψυχή, οὕτως καὶ ἡ ψυχὴ ἐν τῷ ζῴῳ ἀνάλογον οὖσα τῷ τοῦ πελέκεως σχήματι, κατὰ γὰρ ταύτην ζῷόν ἐστι τὸ ζῷον), εἴη ἂν ἡ κατὰ τὸ εἶδος οὐσία. ἔτι εἰ, οἷς διαφέρει τὰ φυσικὰ σώματα ἀλλήλων, εἴδη ἐστίν, διαφέρει δὲ τῷ τὰ μὲν ἔμψυχα εἶναι, τὰ δὲ ἄψυχα, εἴη ἂν καὶ ἡ ψυχὴ εἶδος. ἔτι εἰ, ᾧ πρώτῳ ἐπιστάμεθα, ἐπιστήμη ἐστί (κατὰ γὰρ τὴν ἐπιστήμην ἐπιστάμεθα), καὶ ἔστιν ἡ ἐπιστήμη οὐχ ὑποκείμενόν τι, ἀλλ' ὃ τὸ ὑποκείμενον δεξάμενον δευτέρως ἐπίστασθαι λέγεται (τοῦτο δ' ἐστὶν ψυχή), καὶ ᾧ πρώτῳ ὑγιαίνομεν, τοῦτό ἐστιν ὑγίεια, τοῦτο δὲ οὐχ ὑποκείμενον (τὸ γὰρ σῶμα ὑποκείμενον, ὃ δέχεται τὴν ὑγίειαν, καὶ δευτέρως ὑγιαζόμενον τοῦτο), ἔστι δὲ καί, ᾧ πρώτῳ ζῶμεν, ψυχή, οὐδὲ ἡ ψυχὴ ὑποκείμενον, ἀλλὰ τοῦτο ὃ τὸ ὑποκείμενον

2 ἀνδριαντοποιικῆς V: ἀνδριαντοποιητικῆς a 5 δισκεύοντα V γρ. ex. Vict: διασκεύοντα a 9 post ἄλλο τι spatio octo versuum et unius paginae relicto plura deesse indicat V 10 fortasse ⟨οὐ γὰρ φθειρο⟩μένης τῆς ψυχῆς κτλ. cf. 12,5 12 λείπεται] cf. p. 12,6 13 οὐ γὰρ κτλ.] cf. p. 30,29 18 ἔτι καὶ κτλ.] cf. p. 6,21 24 ἂν addidi 27 fortasse ⟨ψυχή⟩ εἴη ἂν ἡ κτλ., ut ψυχὴ ἄρα ἐστὶν ἡ κατὰ τὸ εἶδος οὐσία 103,2 28 διαφέρει a 29—103,3 ἔτι εἰ—κατὰ τὸ εἶδος οὐσία] cf. p. 31,10—25 29 εἰ om. Ka 31 ὃ—δεξάμενον] cf. p. 101,23 et 31,18 32 ὑγειαίνομεν Ka 35 οὐδὲ] incipit apodosis τὸ ὑποκείμενον Ka

δεξάμενον ζῆν καὶ αὐτὸ λέγεται δευτέρως, ὡς ὑγιαίνειν τὸ τὴν ὑγίειαν δεδεγμένον σῶμα καὶ ἐπίστασθαι ἡ τὴν ἐπιστήμην δεδεγμένη ψυχή. ψυχὴ ἄρα ἐστὶν ἡ κατὰ τὸ εἶδος οὐσία. τὸ δὲ εἶδος τελειότητά τε καὶ ἐντελέχειαν ὁ Ἀριστοτέλης λέγει. ὥστε εἰκότως καὶ ἡ ψυχὴ οὐσία οὖσα ἡ κατὰ τὸ εἶδος ἐντελέχεια καλεῖται παρ' αὐτοῦ. ἐπεὶ γὰρ τῶν ὄντων τὰ μὲν δυνάμει λέγεται εἶναι, τὰ δὲ ἐντελεχείᾳ, καὶ ἔστι τὰ ἐντελεχείᾳ εἶναι λεγόμενα τὰ ἤδη τὸ εἶδος, ὃ ἐδύνατο ἔχειν, ἔχοντα καὶ τὴν μορφήν, εἰκότως οὗ παρουσίᾳ τὸ δυνάμει τι ὂν εἰς τὸ ἐντελεχείᾳ γίνεται, ἐντελέχεια τοῦτο. τὸ δὲ δυνάμει ζῷον, ὥσπερ τὸ σπέρμα, ἐντελεχείᾳ ζῷον γίνεται παρουσίᾳ ψυχῆς. εἴη ἂν οὖν καὶ οὕτως δεικνύμενον, ὅτι ἡ ψυχή ἐστιν εἶδός τε καὶ ἐντελέχεια. ἔστι δὲ ἐντελέχεια ἡ μέν τις πρώτη, ἡ δὲ δευτέρα. αἱ μὲν γὰρ ἐπιστῆμαι καὶ τέχναι καὶ ὅλως αἱ ἕξεις ἐντελέχειαι πρῶται, αἱ δὲ κατ' αὐτὰς καὶ ἀπ' αὐτῶν ἐνέργειαι ἐντελέχειαι δεύτεραι. ὁ γὰρ μουσικὸς ἐντελεχείᾳ μέν ἐστι τοιοῦτος (ἔχει γὰρ τὴν μουσικήν), ἀλλ' ἔστιν κατὰ τὴν πρώτην ἐντελέχειαν οὗτος ἐντελεχείᾳ λεγόμενος μουσικός, ἤδη δὲ καὶ ὁ ἐνεργῶν κατὰ τὴν μουσικήν, ὃς καὶ τὴν δευτέραν ἐντελέχειαν ἤδη προσείληφεν. οὔσης τοίνυν διττῆς τῆς ἐντελεχείας ἡ ψυχὴ ἐντελέχειά ἐστιν ὡς ἡ ἕξις. οὐδὲν γὰρ ἧττον ἔχει ψυχὴν καὶ ὁ μὴ ἐνεργῶν κατ' αὐτήν, ὡς ὁ κοιμώμενος. οὐ γὰρ ἐνεργῶν τότε κατ' αἴσθησιν ὅμως τὴν αἰσθητικὴν ἔχει ψυχήν. ἐντελέχεια οὖν ἐστιν ἡ ψυχὴ πρώτη. ἐπεὶ δὲ πᾶν εἶδος καὶ πᾶσα ἐντελέχειά τινός ἐστι, δῆλον ὅτι ἀκόλουθόν ἐστι ἐπισκέψασθαι, τίνος. τὸ μὲν οὖν εἶναι σώματος σχεδὸν ἤδη δέδεικται. ὄντος γὰρ τοῦ ζῴου οὐσίας συνθέτου ἐξ ὑποκειμένου τε καὶ εἴδους, τὸ μὲν ὑποκείμενον ἦν σῶμα ἐν αὐτῷ, ἐντελέχεια δὲ ἡ ψυχή. ἀλλ' ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι τεχνικά, τὰ δὲ φυσικά, ποδαποῦ τινος σώματός ἐστιν ἐντελέχεια ἡ ψυχή; οὐ γὰρ δὴ ἐν παντί γε σώματι οἵα τε ψυχὴ γενέσθαι. τεχνικοῦ μὲν οὖν οὐδενός· ἦν γὰρ ἂν καὶ αὐτὴ τεχνικὸν εἶδος ὡς τὸ τοῦ ἀνδριάντος, καὶ ἦν ἂν τὰ ζῷα ὑπὸ τέχνης γινόμενα, ὥσπερ τὰ ἀγάλματα, οὕτως δ' οὐκ ἂν εἴη οὐδὲ οὐσία. τὸ γὰρ τεχνικὸν εἶδος οὐκ οὐσία. φυσικοῦ τοίνυν σώματος ἐντελέχεια ἡ ψυχή (ἔστι δὲ σῶμα φυσικὸν τὸ ἀρχὴν ἔχον κινήσεως ἐν αὑτῷ), καὶ γὰρ καὶ τὸ ζῷον φύσει, οὗ μόριον ἡ ψυχή. ἀλλ' ἐπεὶ καὶ τῶν φυσικῶν σωμάτων εἰσὶν διαφοραί (τὰ μὲν γάρ ἐστιν αὐτῶν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ οὐδενὸς τῶν ἁπλῶν σωμάτων ἐντελέχειά ἐστιν ἡ ψυχή· οὔτε γὰρ τὸ τοῦ πυρὸς οὔτε τὸ τοῦ ἀέρος οὔτε τὸ τοῦ ὕδατος, ἀλλ' οὐδὲ τὸ τῆς γῆς εἶδός ἐστι ψυχή, ἐπεὶ μηδὲ ζῷόν τι τούτων) ποδαπόν τι σῶμα τὸ τοῦ ζῴου οὗ ἐστιν ἐντελέχεια ἡ ψυχή; ἐπεὶ τοίνυν πᾶν σῶμα ψυχὴν ἔχον καὶ ζῶν τρέφεταί τε καὶ αὔξεται δι' αὑτοῦ (ταύτῃ γὰρ τὸ ζῶν τοῦ μὴ ζῶντος διαφέρει), ἡ δὲ τροφὴ καὶ ἡ πέψις καὶ ἡ προ-

3—5 τὸ δὲ εἶδος—αὐτοῦ] cf. p. 15,29 sq. 6 ταδ' K: τὰ δ' a 7 ἤδη V ex. Vict: εἴδη Ka 8 ἐντελέχεια VK: ἐντελεχείᾳ a (ut 6) 10 παρουσία VKa ἂν οὖν scripsi: post ἂν videtur οὖν erasum esse V: ἂν Ka ὅτι V: ἄρα Ka 16 μουσικήν] sc. *is est, qui* 18 οὐδὲν γὰρ ἧττον κτλ.] cf. p. 16,12 23 οὐσία Ka 25 ποδαποῦ] post o una lit. eras. V 28 ἂν om. Ka 31 αὐτῷ VKa 37 αὐτοῦ VKa

σθήκη τε καὶ αὔξησις δέονταί τινων ὀργάνων (τὰ μὲν γὰρ στόματος καὶ φάρυγγος καὶ κοιλίας καὶ ἐντέρων χρείαν ἔχει πρὸς ταῦτα, τὰ δὲ ῥιζῶν καὶ ἐντεριώνης καὶ φλοιοῦ· ὅσα δὲ τῶν ζῴων τελειότερα, πλειόνων κατ' ἀναλογίαν χρήζει καὶ τῶν ὀργάνων, καὶ τῶν ψυχικῶν δυνάμεων πασῶν διά τινων οἰκείων ἐνεργουσῶν ὀργάνων, ὡς φανερὸν ἐπὶ τῶν αἰσθήσεων), εἴη ἂν ἡ ψυχὴ ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. οὐδὲν γὰρ σῶμα οἷόν τε ζῆν ἢ ψυχὴν ἔχειν μὴ ὂν ὀργανικὸν | 145r μηδὲ ἔχον τὰ διακονησόμενα ταῖς ψυχικαῖς δυνάμεσιν. καὶ οὗτος μὲν ἂν ὅρος τε καὶ λόγος κοινότατος ψυχῆς εἴη. ἐμπεριείληπται γὰρ ἐν αὐτῷ καὶ ἡ τῶν φυτῶν ψυχή. γίνεται δὲ ὁ λόγος ἡμῖν περὶ ψυχῆς τῆς ἐν τοῖς θνητοῖς γινομένης σώμασιν. ὅταν δὲ λέγωμεν τὴν ψυχὴν εἶναι σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος, οὐχ οὕτως τὸ δυνάμει κατηγοροῦμεν τοῦ σώματος τότε, ὡς εἰώθαμεν λέγειν ἐπὶ τῶν μηδέπω μὲν ἐχόντων τι, ἐπιτηδείων δὲ πρὸς τὸ δέξασθαι. οὐ γάρ ἐστι τὸ σῶμα τοῦτο χωρὶς ψυχῆς πρότερον, εἶτα δέχεται τὴν ψυχήν, ἀλλ' ἔστιν τὸ δυνάμει ζωὴν ἔχον τὸ δυνάμενον ζῆν, τουτέστιν τὸ ἔχον ὄργανα πρὸς τὰς κατὰ τὸ ζῆν ἐνεργείας καὶ ἔστιν ἴσον τὸ 'δυνάμει ζωὴν ἔχον' τῷ 'ὀργανικόν'. εἰ δέ ἐστιν ἡ ψυχὴ σώματος εἶδός τε καὶ ἐντελέχεια, δῆλον ὡς ἀσώματος ἔσται. πᾶν γὰρ εἶδος ἀσώματον. εἰ γὰρ εἴη καὶ τὸ εἶδος αὐτὸ σῶμα, ἤτοι ἀνείδεόν τε καὶ ἄποιον ἔσται (τοιοῦτον δὲ ἡ ὕλη), ἢ εἰ εἶδος ἕξει, καὶ τὸ εἶδος, ὂν σῶμα, ἄλλο εἶδος, εἰς ἄπειρον προελεύσεται. ἔστι δὲ ἡ ψυχὴ ἐντελέχεια οὖσα δι' ὅλου τοῦ σώματος. πᾶν γὰρ ἔμψυχον τὸ ἐμψύχου μέρος. καὶ ἔστιν ἐντελέχεια ἡ ψυχὴ οὔτε ὡς τὸ σχῆμα τῶν ἐσχηματισμένων, οὔτε ὡς ἡ θέσις καὶ τάξις τῶν συγκειμένων, οὐθ' ὡς διάθεσίς τις καὶ πάθος, οὐθ' ὡς μίξις ἢ κρᾶσις (ἡ μὲν γὰρ ἡδονὴ καὶ ἡ ἀλγηδὼν πάθος ἢ διάθεσις, ἀλλ' οὐθὲν ἡ ψυχὴ τούτων), ἀλλὰ πάντως μὲν ἐν τῷ σώματι παραγίνεται ταῦτα (διὰ γὰρ τούτων τὰ ὄργανα οἷς ἡ ψυχὴ χρῆται). αὕτη δέ ἐστι δύναμίς τις καὶ οὐσία ἐπὶ τούτοις γινομένη. καὶ ἔστι τὸ σῶμα καὶ ἡ τούτου κρᾶσις αἰτία τῇ ψυχῇ τῆς ἐξ ἀρχῆς γενέσεως. τοῦτο δὲ δῆλον ἐκ τῆς τῶν ζῴων διαφορᾶς κατὰ τὰ μόρια. οὐ γὰρ ψυχαὶ διαπλάσσουσι τὰς μορφάς, ἀλλ' ἐπὶ τῇ τούτων ποιᾷ συστάσει ἐπηκολούθησαν αἱ διάφοροι ψυχαί, συμμεταβάλλουσιν δὲ ἀλλήλοις· ἔστι γὰρ ἀλλήλων ἥ τε ἐντελέχεια καὶ τὸ οὗ ἐντελέχεια. ὅτι δὲ τῇ ποιᾷ κράσει τοῦ σώματος καὶ ἡ τῆς ψυχῆς ἕπεται διαφορά, δηλοῖ καὶ τὰ θηρία παρὰ τὴν ποιὰν κρᾶσιν τοῦ σώματος ἀλλοιοτέραν ἴσχοντα τὴν ψυχήν. ἃς δέ φαμεν τῆς ψυχῆς ἐνεργείας εἶναι, οὐκ εἰσὶν τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν, ἀλλὰ τοῦ ἔχοντος αὐτήν. ὡς γὰρ οὐ βαδίζει ἡ ψυχὴ αὐτὴ οὐδὲ παλαίει, ἀλλ' ὁ ἔχων αὐτὴν ἄνθρωπος, οὕτω καὶ λυπεῖται καὶ ὀρέγεται καὶ

1 στόματος V: σώματα Ka 5 εἴη ἂν ἡ ψυχὴ κτλ.] cf. p. 16,2 8 fortasse δυνάμεσιν ⟨ὄργανα⟩ τε om. K 10 γίνεται δὲ κτλ.] cf. p. 28,25 11 ἔχοντος] alterum ο in lit. V 12 κατηγοῦμεν a 15—17 τὸ δυνάμενον—ζωὴν ἔχον om. K 17 ὀργανικόν] cf. p. 16,11 sq. 18 δῆλον ὡς ἀσώματος κτλ.] cf. p. 17,10 sq. 20 ἢ εἰ εἶδος m², ἢ εἶδος m¹ V: ἢ εἶδος Ka 25 ἀλγηδῶν Ka 26 ἀλλὰ] supra primam lit. paululum erasum V 27 τις supra lin. V 34 ἃς δέ φαμεν κτλ.] cf. p. 23,8 sq., ubi superfluum supplementum meum 36 παλαίει V ex. Vict.: πάσχει K: παλαιὰ a

χαίρει καὶ ὀργίζεται τὸ τὴν ψυχὴν ἔχον, ἀλλ' οὐχὶ ἡ ψυχή· πᾶσαι γὰρ αἱ λεγόμεναι τῆς ψυχῆς κινήσεις τοῦ συναμφοτέρου τοῦ ζῶντός εἰσιν. εἰσὶ δὲ αἱ τῆς ψυχῆς δυνάμεις τάξιν ἔχουσαι πρὸς ἀλλήλας. ἡ μὲν γάρ ἐστιν αὐτῶν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ ἐπὶ ταύταις. σημεῖον δὲ τοῦδε· τὸ μὲν γὰρ πρώτην ἔχον οἷόν τε μὴ μετέχειν τῆς δευτέρας, τὴν δὲ δευτέραν ἀδύνατον ἔχειν ἄνευ τῆς πρώτης. καὶ ἔστι πρώτη μὲν ἡ θρεπτική τε καὶ αὐξητικὴ καὶ γεννητική, ἣν ψυχὴν ἔχει καὶ τὰ φυτά· οὐ γάρ, ὥς τινες ἡγοῦνται, φύσις τοῦτο, ἀλλὰ ψυχῆς δύναμις ἡ πρώτη, ἐπεὶ φύσιν γε ἔχει καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, ἀλλ' οὔπω ζῆν φαμεν ταῦτα. ἡ γὰρ φύσις ἀρχὴ κινήσεώς ἐστιν. πλέον δέ τι ἢ κατὰ ταύτην ἔχει τὰ φυτά· ἔχει γὰρ καὶ τὸ δι' αὐτῶν τρέφεσθαί τε καὶ αὔξεσθαι καὶ γεννητικὰ εἶναι τῶν ὁμοίων, ἃ κατὰ τὸ ζῆν ὁρίζεται. τὸ δὲ ζῆν παρουσίᾳ ψυχῆς. δευτέρα δὲ ψυχῆς δύναμίς ἐστιν ἡ αἰσθητική, ᾗ τὰ ζῷα ὁρίζεται, ἣν οὐχ οἷόν τε χωρὶς τῆς πρώτης ἔχειν. τὰ μέντοι φυτὰ τὴν θρεπτικὴν ψυχὴν ἔχοντα τὴν αἰσθητικὴν οὐκ ἔχει. ἐπὶ δὲ ταύταις ταῖς δυνάμεσίν ἐστι τὸ ὁρμητικὸν συνεζευγμένον τῷ αἰσθητικῷ· οὐδὲν γὰρ ὄφελος τοῖς ζῴοις αἰσθήσεως μὴ ἐνυπαρχούσης ὁρμῆς· τοῦτο γὰρ πάσης ἀρχὴ πράξεως. καὶ ταῦτα μὲν ἀναγκαιότατα καὶ πρῶτα μόρια τῆς ψυχῆς τρία, κοινὰ πᾶσιν ὄντα τοῖς ζῴοις, φυτικόν, αἰσθητικόν, ὁρμητικόν, ἕκαστον αὐτῶν χρήσιμον ὂν πρός τι τούτων, ἐν οἷς τῷ ζῴῳ τὸ εἶναι. ἔστι γὰρ ἔργα τοῦ ζῴου πρῶτον μὲν τὸ εἶναί τε καὶ ζῆν, δεύτερον δὲ κρίσις τῶν προσπιπτόντων, ἐπὶ δὲ τούτοις ἐνέργειά τε καὶ πρᾶξις. ἡ μὲν οὖν φυτικὴ τῆς ψυχῆς δύναμις εἰς τὸ εἶναί τε καὶ ζῆν τῷ ζῴῳ συντελεῖ, ἡ δὲ αἰσθητικὴ πρὸς τὴν κρίσιν, πρὸς δὲ τὸ πράσσειν τὸ ὁρμητικόν. πρᾶξις δέ ἐστι κυρίως ζῴου ἡ μετὰ συγχρήσεως τῶν ὀργανικῶν τοῦ σώματος μορίων ἐνέργεια, ὡς τὸ βαδίζειν, ὡς τὸ λέγειν. διαιρεῖται δὲ ἡ μὲν θρεπτικὴ δύναμις εἴς τε τὸ τρέφειν καὶ εἰς τὸ αὔξειν καὶ εἰς τὸ γεννᾶν, ἡ δὲ αἰσθητικὴ εἴς τε τὸ αἰσθάνεσθαι καὶ φαντασιοῦσθαι καὶ τὸ μνημονεύειν καὶ τὸ συγκατατίθεσθαι, τὸ δὲ ὁρμητικόν ἐστιν ὥσπερ τέλος τι τῆς φαντασίας καὶ τῆς συγκαταθέσεως. ταύτης γὰρ χάριν ἐκεῖνα. πάντως γὰρ τῆς μὲν ὁρμῆς ἡγεῖται συγκατάθεσις, ταύτης δὲ φαντασία. τούτου δὲ τοῦ ὁρμητικοῦ τε καὶ πρακτικοῦ τὸ μέν ἐστιν ὡς ἡγεμονικόν, τὸ δὲ ὡς ὑπηρετικόν, ἡγεμονικὸν μὲν τὸ ἰδίως ὁρμητικόν τε καὶ ὀρεκτικὸν καλούμενον, τὸ δὲ ἕτερον νευροσπαστικόν, ἐν ᾧ καὶ τὸ φωνητικόν. τοῦ δὲ ὁρμητικοῦ ἐστι τό τ' ἐπιθυμεῖν καὶ θυμοῦσθαι καὶ τὸ βούλεσθαι.

2 εἰσὶ δὲ κτλ.] cf. p. 16,19 4 τὸ μὲν γὰρ κτλ.] cf. p. 29,26 sq. 7 καὶ γεν. Va: τι καὶ γεν. K γεννητική VK: γενητική a οὐ in lit. V οὐ γάρ, ὥς τινες κτλ.] cf. p. 31,25 10 πλέον δέ τι ἢ κτλ.] *plus habent plantae, quam haberent secundum naturam solam* cf. ἀλλ' ἐκεῖνος πλέον τι παρὰ τοῦτον ἔχει p. 109,24 ἔχει γὰρ κτλ.] cf. p. 31,7 11 αὐτῶν VKa 12 ἃ κατὰ] fortasse καθ' ἃ παρουσία Ka 14 μέντοι V: μὲν Ka 15 ἐπὶ V ex. Vict: ἐπεὶ Ka ὁρμητικὸν Va: ὀρεκτικὸν K 18 φυτικόν scripsi: φυσικόν VKa 20 τῷ ζῴῳ V: τὸ ζώῳ Ka 22 φυτικὴ scripsi: φυσικὴ VKa 28 τὸ δ' ὁρμητικόν κτλ.] cf. p. 73,18 sq. 33 ὀρεκτικὸν VK: ὀρετικὸν a 34 τὸ post καὶ om. Ka βούλεσθαι ex. Vict: βουλεύεσθαι VKa cf. 146v11 ἔστι δὲ τοῦ ὀρεκτικοῦ καὶ τοῦ ὁρμητικοῦ τό τε ἐπιθυμεῖν καὶ τὸ θυμοῦσθαι καὶ τὸ βούλεσθαι

ταῦτα γὰρ ὀρέξεως εἴδη. ὧν ἡ βούλησις ἤδη δοκεῖ μετέχειν καὶ λογισμοῦ· ἔστι γὰρ ὄρεξις μετὰ βουλῆς. ἔστι δέ τις καὶ ἄλλη δύναμις τῆς ψυχῆς κριτικὴ ἡ λογιστική, ἣ τοῖς τελειοτέροις τῶν ζῴων ἐγγίνεται. τοῦτο δέ ἐστιν ἄνθρωπος, οὗ τό τε βουλεύεσθαι ταύτης τῆς δυνάμεώς ἐστι καὶ τὸ 50 καταλαμβάνειν καὶ τὸ δοξάζειν. κινεῖ δὲ ἡ ψυχὴ τὸ σῶμα οὐχ ὡς αὐτὴ κινουμένη τε καὶ οὕτω κινοῦσα αὐτό (αὐτὴ γὰρ ἀκίνητος καθ' αὑτήν), ἀλλ' ὡς αἰτία τῷ ζῴῳ τῆς κινήσεως, ὡς ἡ ἐνυπάρχουσα βαρύτης τῇ γῇ τῆς εἰς τὸ κάτω κινήσεως. οὐ γὰρ πάντα τὰ κινοῦντα ὁμοίως κινεῖ. ἄλλως μὲν γὰρ οἱ βοῦς τὴν ἅμαξαν κινοῦσιν, ἄλλως τὸ ἀγαθὸν καὶ ἐφετὸν καὶ τὸ ὀρεκτὸν κινεῖ τὰ ἐφιέμενα αὐτοῦ· οὐ γὰρ κινούμενον. διὸ καὶ ἐμψύχων ἡ ὑπὸ τῶν τοιῶνδε κίνησις. | ἡ δὲ ψυχὴ κινεῖ τῷ κατ' αὐτὴν ἡμᾶς νοεῖν 143v τε καὶ προαιρεῖσθαι· τὸ μὲν οὖν ἀγαθὸν τῷ νοηθῆναι κινεῖ, ἡ δὲ ψυχὴ τῷ νοῆσαι. ὡς γὰρ διὰ τὰς τέχνας καὶ κατὰ τὰς τέχνας οἱ τεχνῖται κινοῦνται, καὶ εἰσὶν αὐτοῖς αὗται τῆς τοιᾶσδε κινήσεως αἴτιαι, αὐταὶ μὴ κινούμεναι, οὕτως καὶ τὰ ἔμψυχα κατὰ τὴν ψυχὴν κινεῖται μὴ κινουμένης αὐτῆς. ἔστι δὲ ἡ ὁρμητικὴ καὶ ἡ ὀρεκτικὴ δύναμις τῆς ψυχῆς, καθ' ἣν τὰ ζῷα κινεῖται. αὕτη γὰρ τοῖς ζῴοις τῆς οἰκείας κινήσεως αἰτία.

Περὶ νοῦ.

Νοῦς ἐστι κατὰ Ἀριστοτέλη τριττός, ὁ μὲν γάρ τίς ἐστι νοῦς ὑλικός. ὑλικὸν δὲ λέγω οὐ τῷ ὑποκείμενόν τινα εἶναι ὥσπερ τὴν ὕλην (ὕλην γὰρ λέγω ὑποκείμενόν τι δυνάμενον εἴδους τινὸς παρουσίᾳ τόδε τι γενέσθαι), ἀλλ' ἐπεὶ τῇ ὕλῃ τὸ εἶναι ὕλῃ ἐν τῷ δύνασθαι πάντα, ἐν ᾧ τὸ δύνασθαι καὶ αὐτὸ τὸ δυνάμει, καθόσον ἐστὶ τοιοῦτον, ὑλικόν. καὶ δὴ καὶ νοῦς ὁ μήπω μὲν νοῶν, δυνάμενος δὲ τοιοῦτος γενέσθαι, ὑλικός, καὶ ἡ δύναμις ἡ τοιαύτη τῆς ψυχῆς ὁ ὑλικὸς νοῦς, οὐδὲν μὲν ἐνεργείᾳ τῶν ὄντων ὤν, δυνάμενος δὲ πάντα γίνεσθαι, εἴ γε πάντων τῶν ὄντων οἷόν τε νόησιν γενέσθαι. τὸ γὰρ πάντων μέλλον ἀντιλήψεσθαι οὐδὲν αὐτῶν εἶναι δεῖ κατὰ τὴν οἰκείαν φύσιν ἐνεργείᾳ. παρεμφαινόμενον γὰρ τὸ οἰκεῖον εἶδος αὐτοῦ ἐν ταῖς τῶν ἐκτὸς ἀντιλήψεσιν ἔμελλεν ἐμπόδιον γίνεσθαι ταῖς ἐκείνων νοήσεσιν. οὔτε γὰρ αἱ αἰσθήσεις τούτων ἀντιλαμβάνονται, ἐν οἷς τὸ εἶναι αὐταῖς. διὰ τοῦτ' οὖν ἡ μὲν ὄψις χρωμάτων οὖσα ἀντιληπτικὴ ἄχρουν τὸ ὄργανον ἔχει, ἐν ᾧ τέ ἐστι καὶ δι' οὗ ἡ ἀντίληψις αὐτῇ. ἄχρουν γὰρ τὸ ὕδωρ οἰκείῳ

4 τό τε V: τὸ Ka   5 κινεῖ δὲ κτλ.] cf. p. 21,24 sq   9 βοῦς VK: βοῦν a   ἅμαξαν a   11 νοεῖν τε καὶ V: νοεῖσθαι καὶ K: νοεῖν καὶ a   12 νοηθῆναι] η post ο in lit. V   14 αἴτιαι Ka: αἰτίαι V   15 τὴν om. Ka   19 κατ' ἀριστοτέλην MKa   ὁ μὲν γάρ τις] cf. 76,9 ἡ μὲν γάρ τίς ἐστι δύναμις ὑπηρετική.., τὸ δέ τι τῆς ψυχῆς ἡγεμονικόν ἐστι et 81,8 ἡ μέν τίς ἐστι δοξαστική, ἡ δὲ   22 ὕλῃ ἐν scripsi: ὕλη ἐν VMKa ὕλη εἶναι M   πάντας M fortasse πάντα ⟨γίνεσθαι⟩ cf. v. 26   ἐν ᾧ τὸ δύνασθαι] incipit apodosis   24 νοῶν supra lin. m[1] M   28 παρεμφαινόμενον γὰρ κτλ.] cf. p. 84,15 et adn.   29 ἔμελλεν VM: ἔμελεν Ka   30 οὔτε] fortasse οὐδὲ cf. Ind.   οἷς M: αἷς VKa   αὐταῖς εἶναι M   31 τοῦ^{τ}ο οὖν M   32 αἰτήληψις a

χρώματι. ἀλλὰ καὶ ἡ ὄσφρησις ἐξ ἀέρος (ἄοσμος δὲ οὗτος), ὀσμῶν δέ ἐστιν ἀντιληπτική· καὶ ἡ ἁφὴ δὲ τῶν μὲν ὁμοίως αὐτῇ θερμῶν ἢ ψυχρῶν ἢ σκληρῶν ἢ μαλακῶν οὐκ αἰσθάνεται, τῶν δὲ παρηλλαγμένων ἐπὶ τὸ μᾶλλον ἢ ἧττον. τοῦτο δέ, ἐπεὶ ἦν ἀδύνατον σῶμα οὖσαν μὴ ταύτας ἔχειν τὰς ἐναντιώσεις. πᾶν γὰρ σῶμα φυσικόν τε καὶ γενητὸν ἁπτόν. ὡς οὖν ἐπὶ τῶν αἰσθήσεων ἀδύνατον τὴν ἔχουσάν τι τούτου οὗ ἔχει εἶναι ἀντιληπτικήν τε καὶ κριτικήν, οὕτως, ἐπεὶ καὶ ὁ νοῦς ἀντίληψίς τις καὶ κρίσις τῶν νοητῶν, οὐδὲ αὐτὸν οἷόν τε εἶναι τῶν κρινομένων ὑπ' αὐτοῦ. πάντων δὲ τῶν ὄντων ἐστὶν ἀντιληπτικός, εἴ γε πάντα ἔστι νοεῖν. οὐδὲν ἄρα τῶν ὄντων ἐστὶν ἐνεργείᾳ, δυνάμει δὲ πάντα. τοῦτο γάρ ἐστιν αὐτῷ τὸ εἶναι νῷ. αἱ μὲν γὰρ αἰσθήσεις γινόμεναι διὰ σωμάτων οὐκ εἰσὶν μὲν ταῦτα ὧν ἀντιλαμβάνονται, ἄλλα δέ τινά ἐστιν ἐνεργείᾳ, ἔστι δὲ ἡ δύναμις σώματός τινος. διὸ καὶ τοῦ σώματός τι πάσχοντος ἡ τῶν αἰσθητῶν ἀντίληψις. καὶ διὰ τοῦτο οὐ πάντων πᾶσα αἴσθησις ἀντιληπτική. ἔστι γάρ τις καὶ αὐτὴ ἤδη ἐνεργείᾳ. ὁ δὲ νοῦς οὔτε διὰ σώματος ἀντιλαμβανόμενος τῶν ὄντων, οὔτε σώματος δύναμις ὤν, οὐδὲ πάσχων, οὐδέ ἐστί τι τῶν ὄντων ὅλως ἐνεργείᾳ, οὐδέ ἐστι τόδε τι τὸ δυνάμενον, ἀλλ' ἔστιν δύναμίς τις ἁπλῶς τῆς τοιᾶσδε ἐντελεχείας τε καὶ ψυχῆς εἰδῶν καὶ νοημάτων δεκτική. οὗτος μὲν οὖν ὁ νοῦς ὑλικὸς ὢν ἐν πᾶσίν ἐστι τοῖς τῆς τελείας ψυχῆς κεκοινωνηκόσιν, τουτέστιν ἀνθρώποις.

Ἄλλος δέ ἐστιν ὁ ἤδη νοῶν καὶ ἕξιν ἔχων τοῦ νοεῖν καὶ δυνάμενος τὰ εἴδη τῶν νοητῶν κατὰ τὴν αὑτοῦ δύναμιν λαμβάνειν, ἀνάλογον ὢν τοῖς τὴν ἕξιν ἔχουσιν τῶν τεχνιτῶν καὶ δυναμένοις δι' αὑτῶν ποιεῖν τὰ κατὰ τὴν τέχνην. ὁ γὰρ πρῶτος οὐ τούτοις ἦν ἐοικώς, ἀλλὰ μᾶλλον τοῖς δυναμένοις τὴν τέχνην ἀναλαβεῖν καὶ γενέσθαι τεχνίταις. καὶ ἔστιν οὗτος ὁ ὑλικὸς ἕξιν ἤδη καὶ τὸ νοεῖν τε καὶ ἐνεργεῖν προσειληφώς. ὁ τοιοῦτος νοῦς ἐν τοῖς τελειοτέροις ἐστὶν ἤδη καὶ νοοῦσιν. οὗτος μὲν οὖν ὁ δεύτερος νοῦς ἐστι.

Τρίτος δέ ἐστι νοῦς παρὰ τοὺς προειρημένους δύο ὁ ποιητικός, δι' ὃν ὁ ὑλικὸς ἐν ἕξει γίνεται, ἀνάλογον ὢν οὗτος ὁ ποιητικός, ὥς φησιν ὁ Ἀριστοτέλης, τῷ φωτί. ὡς γὰρ τὸ φῶς αἴτιον γίνεται τοῖς χρώμασιν τοῦ δυνάμει οὖσιν ὁρατοῖς ἐνεργείᾳ γίνεσθαι τοιούτοις, οὕτως καὶ οὗτος ὁ τρίτος νοῦς τὸν δυνάμει καὶ ὑλικὸν νοῦν ἐνεργείᾳ νοῦν ποιεῖ ἕξιν ἐμποιῶν αὐτῷ τὴν νοητικήν. ἔστι δὲ οὗτος τὸ τῇ αὑτοῦ φύσει νοητὸν καὶ ἐνεργείᾳ τοι-

2 ἀφῇ M δὲ om. M 3 τῶν δὲ VKa: ἀλλὰ τῶν M 4 ἀδυνάτου M 5 γεννητὸν MKa 6 ἀδύνατον ἦν τὴν M 7 τις VKa: τίς ἐστι M 8 οὐδὲν αὐτῶν M fortasse οἷόν τέ τι 11 γὰρ om. M 13 αἰσθητῶν V: αἰσθήσεων MKa 14 fortasse ἔστι γάρ τι ut v. 16 οὐδέ ἐστί τι τῶν ὄντων ὅλως ἐνεργείᾳ 15 ἐνέργεια M 16 πάσχον M 17 τὸ om. Ka δυνάμενον] ν post ο in lit. V 19 οὖν om. M 20 κεκοινωκόσι M 21 „περὶ τοῦ ἐν ἕξει νοῦ.“ ἄλλος δέ VMKa 22 αυτοῦ V: αὐτοῦ MKa ὢν corr. ex. οὖν (?) K 23 αὐτῶν VKMa 28 νοῦς om. M 29 „περὶ τοῦ ποιητικοῦ νοῦ“. τρίτος δέ VKMa νοῦς ὁ παρὰ MKa εἰρημένους MKa 30 ὥς φησιν κτλ.] Ar. de an. 3,5. 430a15 ὁ om. MKa 34 αὐτοῦ MKa καὶ —τοιοῦτον om. M

οὗτον· τοῦτο γὰρ ποιητικόν τε τοῦ νοεῖν καὶ εἰς ἐνέργειαν ἄγον τὸν ὑλικὸν νοῦν. νοῦς οὖν καὶ αὐτός· τὸ γὰρ ἄϋλον εἶδος, ὅπερ ἐστὶ μόνον τῇ αὑτοῦ φύσει νοητόν, νοῦς. τὰ μὲν γὰρ ἔνυλα εἴδη ὑπὸ τοῦ νοῦ νοητὰ γίνεται ὄντα δυνάμει νοητά. χωρίζων γὰρ αὐτὰ τῆς ὕλης ὁ νοῦς, μεθ' ἧς ἐστιν αὐτοῖς τὸ εἶναι, ἐνεργείᾳ νοητὰ αὐτὸς αὐτὰ ποιεῖ, καὶ τότε ἕκαστον αὐτῶν, ὅταν νοῆται, ἐνεργείᾳ τε νοητὸν καὶ νοῦς γίνεται | [144r] οὐ πρότερον οὐδὲ τῇ αὑτῶν φύσει ὄντα τοιαῦτα. ὁ γὰρ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ νοούμενον εἶδός ἐστιν, ὥστε καὶ τούτων ἕκαστον τῶν οὐκ ὄντων ἁπλῶς νοητῶν νοῦς, ὅταν νοῆται, γίνεται. ὡς γὰρ ἡ κατ' ἐνέργειαν ἐπιστήμη ταὐτὸν τῷ κατ' ἐνέργειαν ἐπιστητῷ, καὶ ὡς ἡ κατ' ἐνέργειαν αἴσθησις ἡ αὐτὴ τῷ κατ' ἐνέργειαν αἰσθητῷ, καὶ τὸ κατ' ἐνέργειαν αἰσθητὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει, οὕτως δὲ καὶ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τῷ κατ' ἐνέργειαν νοητῷ καὶ τὸ κατ' ἐνέργειαν νοητὸν τῷ κατ' ἐνέργειαν νῷ. ὁ γὰρ νοῦς τὸ εἶδος τοῦ νοουμένου λαμβάνων καὶ χωρίζων αὐτὸ τῆς ὕλης κατ' ἐνέργειαν ἐκεῖνό τε νοητὸν ποιεῖ καὶ νοῦς αὐτὸς κατ' ἐνέργειαν γίνεται. εἰ δή τι τῶν ὄντων ἐστὶν ἐνεργείᾳ νοητὸν τῇ αὑτοῦ φύσει καὶ ἐξ αὑτοῦ τὸ εἶναι τοιοῦτον ἔχον τῷ ἄϋλον εἶναι, οὐ παρὰ τοῦ χωρίζοντος αὐτὸ τῆς ὕλης νοῦ, τὸ τοιοῦτον ἐνεργείᾳ νοῦς ἐστιν ἀεί. νοῦς γὰρ τὸ κατ' ἐνέργειαν νοητόν. τοῦτο δὴ τὸ νοητόν τε τῇ αὑτοῦ φύσει καὶ κατ' ἐνέργειαν νοῦς, αἴτιον γινόμενον τῷ ὑλικῷ νῷ τοῦ κατὰ τὴν πρὸς τὸ τοιοῦτο εἶδος ἀναφορὰν χωρίζειν τε καὶ μιμεῖσθαι καὶ νοεῖν καὶ τῶν ἐνύλων εἰδῶν ἕκαστον καὶ ποιεῖν νοητὸν αὐτό, θύραθέν ἐστι λεγόμενος νοῦς ὁ ποιητικός, οὐκ ὢν μόριον καὶ δύναμίς τις τῆς ἡμετέρας ψυχῆς, ἀλλ' ἔξωθεν γινόμενος ἐν ἡμῖν, ὅταν αὐτὸν νοῶμεν, εἴ γε κατὰ μὲν τὴν τοῦ εἴδους λῆψιν τὸ νοεῖν γίνεται, τὸ δέ ἐστιν εἶδος ἄϋλον αὐτὸ οὐ μεθ' ὕλης ὄν ποτε οὐδὲ χωριζόμενον αὐτῆς ἐπειδὰν νοῆται. χωριστὸς δέ ἐστιν ἡμῶν τοιοῦτος ὢν εἰκότως, ἐπεὶ μὴ ἐν τῷ νοεῖσθαι αὐτῷ ὑφ' ἡμῶν τὸ εἶναι νῷ γίνεται, ἀλλ' ἔστιν τῇ αὑτοῦ φύσει τοιοῦτος, ἐνεργείᾳ νοῦς τε ὢν καὶ νοητός. τὸ δὲ τοιοῦτον εἶδος καὶ ἡ χωρὶς ὕλης οὐσία ἄφθαρτος. διὸ καὶ ποιητικὸς νοῦς, ὁ κατ' ἐνέργειαν θύραθεν ὢν τὸ τοιοῦτον εἶδος, εἰκότως ἀθάνατος ὑπ' Ἀριστοτέ-

---

2 αὑτοῦ V: αὐτοῦ MKa   3—15 τὰ μὲν γὰρ — ἐνέργειαν γίνεται] cf. Ps. Alex. in Ar. met. 668,24—669,3   3—4 τὰ μὲν γὰρ — νοητά] ὅσα τῶν εἰδῶν ἔνυλά ἐστι καὶ ἐν ὕλῃ τὸ εἶναι ἔχει, ταῦτα ὑπὸ τοῦ νοῦ γίνεται νοητά, δυνάμει ὄντα νοητὰ καὶ μὴ καθ' αὑτὰ μηδὲ ἐνεργείᾳ Ps. Al. 24—25   4 ἐστιν om. M   5 αὐτοῖς VM: αὐτῆς Ka   6 καὶ] ἐστι καὶ Ps. Al. 28   7 αὑτῶν V: αὐτῶν MKa: ἑαυτοῦ Ps. Al. 28   7—8 τὸ νοούμενον VKM: τὸν νοούμενον a   8 ἁπλῶς VM: ἁπλῶν Ka   9—10 ἐπιστήμη — ἡ κατ' ἐνέργειαν om. Ps. Al.   11 αὐτὴ] αὐτή ἐστι Ps. Al. 31   τῇ VKa: ταὐτὸν τῇ M   12 δὲ καὶ om. Ps. Al.: δὲ del. Freudenthal. sed. cf. Ind.   12—13 ὁ αὐτὸς — ἐνέργειαν νῷ om. M   14 λαμβάνων om. M: λαβὼν Ps. Al.   χωρίσας Ps. Al.   15 κατ' ἐνέργειαν ante ἐκεῖνο om. M   16 δή VKa: δέ M   ἐνέργεια a   νοητὸν V: νοῦς MKa   τῇ VKa: τῶ τῇ M   αὑτοῦ VMKa bis   17 τοῦ ἄυλον M   αὐτὸ M ex. Vict.: αὐτῷ VKa   19 αὑτοῦ V: αὐτοῦ MKa   20 τοιοῦτον MKa   24 αὐτὸ νοῶμεν MKa   25 fortasse τόδε δέ   25—26 τὸ δὲ — νοῆται om. M   26 εἰκότως ἐπειδὴ ἐπεὶ M   27 αὐτὸ M   28 αὑτοῦ V: αὐτοῦ MKa   29 ὁ om. M

λους καλεῖται νοῦς. νοῦς μὲν γὰρ καὶ τῶν ἄλλων ἕκαστον τῶν νοουμένων εἰδῶν ὅταν νοῆται. ἀλλ' οὐ θύραθεν οὐδ' ἔξωθεν νοῦς ὤν, ἀλλ' ὅτε νοεῖται γινόμενος. οὗτος δὲ νοῦς, ὢν καὶ πρὸ τοῦ νοεῖσθαι, εἰκότως ὅταν νοηθῇ, θύραθέν τέ ἐστι καὶ λέγεται. νοεῖν δὲ αὑτὸν ὁ ἐν ἕξει νοῦς καὶ ἐνεργῶν δύναται· οὐ καθὸ νοῦς ἐστιν, ἅμα γὰρ καὶ κατὰ ταὐτὸν αὑτῷ τὸ νοεῖν ἔσται καὶ νοεῖσθαι, ἀλλὰ καὶ ταύτῃ μέν, ᾗ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τοῖς κατ' ἐνέργειαν νοουμένοις. ἐκεῖνα δὴ νοῶν αὑτὸν νοεῖ, εἴ γε ταῦτα ἃ νοεῖ ἐν τῷ νοεῖσθαι νοῦς γίνεται. εἰ γὰρ τὰ νοούμενά ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς, ταῦτα δὲ νοεῖ, αὑτὸν νοῶν γίνεται. νοῶν μὲν γὰρ ὁ αὐτὸς γίνεται τοῖς νοουμένοις, μὴ νοῶν δὲ ἄλλος ἐστὶν αὐτῶν. οὕτως δὲ καὶ ἡ αἴσθησις αὑτῆς αἰσθάνεσθαι λέγοιτ' ἂν αἰσθανομένη τούτων, ἃ ἐνεργείᾳ· αὐτῇ ταὐτὰ γίνεται. ὡς γὰρ ἔφαμεν, καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις τὸ αἰσθητόν ἐστι. καὶ γὰρ ἡ αἴσθησις καὶ ὁ νοῦς τῇ τῶν εἰδῶν λήψει χωρὶς ὕλης τῶν οἰκείων αὑτοῖς ἀντιλαμβάνονται. ἔτι δὲ λέγοιτ' ἂν αὑτὸν νοεῖν ὁ νοῦς οὐχ ᾗ νοῦς ἐστιν, ἀλλ' ᾗ καὶ αὐτὸς νοητός. ὡς γὰρ νοητοῦ ἀντιλήψεται, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστου τῶν νοητῶν, οὐχ ὡς νοῦ. συμβέβηκε γὰρ τῷ νῷ εἶναι καὶ νοητῷ· ἐπεὶ γάρ ἐστι τῶν ὄντων τι καὶ αὐτός, καὶ οὐκ ἔστιν αἰσθητός, λείπεται νοητὸν αὐτὸν εἶναι. εἰ γὰρ ὡς νοῦς καὶ καθὸ νοῦς ἐστιν ἐνοεῖτο ὑφ' αὑτοῦ, οὐδὲν ἂν ἄλλο, ὃ μὴ νοῦς ἦν, ἐνόει, ὥστε αὑτὸν ἂν ἐνόει μόνον. νοῶν δὲ τὰ νοητά, ἃ μή ἐστιν νοῦς πρὸ τοῦ νοεῖσθαι, καὶ αὑτὸν ὡς τοιοῦτον νοεῖ ὡς ἕν τι τῶν νοητῶν. γίνεται οὖν κατὰ συμβεβηκὸς αὑτὸν νοῶν ὁ νοῦς οὗτος ἀπὸ τοῦ ὑλικοῦ νοῦ προϊών. καὶ ὁ πρῶτος δὲ νοῦς καὶ ἐνεργείᾳ νοῦς αὑτὸν νοεῖ παραπλησίως καὶ διὰ τὴν αὐτὴν αἰτίαν. ἀλλ' ἐκεῖνος πλέον τι παρὰ τοῦτον ἔχει. οὐδὲν γὰρ ἄλλο ἢ αὑτὸν νοεῖ. τῷ μὲν γὰρ εἶναι νοητὸς νοεῖται πρὸς αὑτοῦ, καὶ τῷ ἐνεργείᾳ καὶ φύσει τῇ αὑτοῦ νοητὸς εἶναι ἀεὶ νοούμενος ἔσται, δηλονότι ὑπὸ τοῦ ⟨ἀεὶ⟩ ἐνεργείᾳ νοοῦντος. ἀεὶ δὲ ἐνεργείᾳ νοῶν ἐστι νοῦς αὐτὸς μόνος· ἀεὶ ἄρα αὑτὸν νοήσει. μόνον δέ, καθόσον ἐστὶν ἁπλοῦς. ὁ γὰρ ἁπλοῦς νοῦς ἁπλοῦν τι νοεῖ, οὐδὲν δὲ ἄλλο ἁπλοῦν ἐστι νοητὸν πλὴν αὐτός. ἀμιγὴς γὰρ οὗτος καὶ ἄϋλος καὶ οὐδὲν ἔχων ἐν αὑτῷ δυνάμει. αὑτὸν ἄρα μόνον νοήσει. καθὸ μὲν ἄρα νοῦς ἐστιν, αὑτὸν ὡς νοητὸν νοήσει,

---

1 νοῦς om. M καὶ τῶν] αὐτῶν M 2 οὐδὲ M νοῆται M 4 τέ om. M ἔστι καὶ λέγεται] cf. εὑρίσκεται καὶ ἔστι 159r12 καλεῖται καὶ ἔστι 153v26 αὑτὸν V: αὐτον M: ἑαυτὸν Ka 7 αὐτὸν M 11 δὲ VKa: ἂν M αὑτῆς scripsi: αὐτῆς VMKa 12 ταὐτὰ M ex. Vict.: ταῦτα VKa ὡς γὰρ ἔφαμεν] 108,10 14 αὑτοῖς M: αὐτῆς VKa 15 αὑτὸν V: αὐτὸν MKa αὐτὸς VKM: αὑτὸς a 16 fortasse νοητοῦ ⟨αὑτοῦ⟩ ἀντιλήψεται 19 ἐνοεῖτο V: ἐννοεῖτο M: ἐννοεῖ τὸ Ka 20 ἐννόει M 21 ἐστιν scripsi: εἰσιν VMKa 22 αὑτὸν om. M 23 αὑτὸν ννοεῖ sic V 25—110,2 οὐδὲν γὰρ ἄλλο—νοήσει] cf. Ps. Al. in met. 673,19—27 25 αὑτὸν V: αὐτὸν MKa τὸ M πρὸ M αὐτοῦ VMKa 26 αὑτοῦ V: ἑαυτοῦ M: αὐτοῦ Ka 27 ⟨ἀεὶ⟩ Freudenthal addit cf. Ps. Al. v. 21 δὲ VKa: δι' M 28 μόνον] μᾶλλον Ps. Al. 23 30 οὗτος VKM ex. Vict.: οὔ τις a αὑτῷ V: αὐτῷ MKa 31 γὰρ ἄρα μόνον M μὲν ἄρα] μὲν γὰρ Ps. Al. 25

καθὸ δὲ ἐνεργείᾳ καὶ νοῦς ἐστι καὶ νοητόν, αὐτὸν ἀεὶ νοήσει, καθὸ δὲ ἁπλοῦς μόνος, αὐτὸν μόνον νοήσει. αὐτός τε γὰρ μόνος ἁπλοῦς ὢν ἁπλοῦ τινος νοητικός ἐστιν καὶ μόνος ἁπλοῦς τῶν νοητῶν ἐστιν αὐτός.

Ἤκουσα δὲ περὶ νοῦ τοῦ θύραθεν παρὰ † Ἀριστοτέλους, ἃ διεσωσάμην. τὰ γὰρ κινήσαντα Ἀριστοτέλη εἰσαγαγεῖν τὸν θύραθεν νοῦν, ταῦτα ἐλέγετο εἶναι· ἥ τε ἀπὸ τῶν αἰσθητῶν ἀναλογία καὶ ἡ ἐπὶ τῶν γινομένων ἁπάντων. ὥσπερ γὰρ ἐπὶ πάντων τῶν γινομένων ἐστί τι τὸ πάσχον, ἔστι τι καὶ τὸ ποιοῦν καὶ τρίτον ἐκ τούτων τὸ γινόμενον (καὶ ἐπὶ τῶν αἰσθητῶν ὁμοίως· ἔστι γὰρ πάσχον τὸ αἰσθητήριον, ποιοῦν δὲ τὸ αἰσθητόν, γινόμενον δὲ ἡ ἀντίληψις ἡ διὰ τοῦ αἰσθητηρίου τοῦ αἰσθητοῦ), τὸν αὐτὸν τρόπον δὴ καὶ ἐπὶ τοῦ νοῦ ὑπελάμβανεν δεῖν εἶναί τινα ποιητικὸν νοῦν, ὅστις τὸν δυνάμει νοῦν καὶ ὑλικὸν εἰς ἐνέργειαν ἄγειν δυνήσεται (ἔστι δὲ ἐνέργεια τὸ αὐτῷ ποιεῖν νοητὰ πάντα τὰ ὄντα). ὥσπερ γάρ ἐστιν αἰσθητά, ἃ κατ' ἐνέργειαν καὶ ἐνεργείᾳ τὴν αἴσθησιν ποιεῖ, οὕτω δεῖ εἶναί τινα καὶ τὰ τὸν νοῦν ποιοῦντα ἐνεργείᾳ ὄντα αὐτὰ νοητά. οὐ γὰρ οἷόν τε ποιητικόν τι εἶναί τινος μὴ ὂν αὐτὸ ἐνεργείᾳ. ἐνεργείᾳ δὲ νοητὸν τούτων τῶν νοουμένων ὑφ' ἡμῶν οὐδέν ἐστιν. ὁ γὰρ νοῦς ὁ ἡμέτερος νοεῖ τὰ αἰσθητὰ δυνάμει ὄντα νοητά, καὶ ὑπὸ τοῦ νοῦ νοητὰ ταῦτα γίνεται. αὕτη γὰρ ἐνέργεια τοῦ νοῦ, τὰ ἐνεργείᾳ αἰσθητὰ τῇ αὑτοῦ δυνάμει χωρίσαι καὶ ἀφελεῖν τούτων, σὺν οἷς ὄντα ἐστὶν αἰσθητά, καὶ ὁρίσασθαι καθ' αὑτά. εἰ δὴ αὕτη ἐστὶν ἡ τοῦ νοῦ τοῦ δυνάμει πρότερον ὄντος ἐνέργεια, δεῖ δὲ τὸ γινόμενον καὶ ἀγόμενον ἐκ τοῦ δυνάμει εἰς | ἐνέργειαν ὑπό τινος γίνεσθαι ἐνεργείᾳ ὄντος, δεῖ τινα 144v εἶναι καὶ νοῦν ποιητικὸν ἐνεργείᾳ ὄντα, ὃς ποιήσει τὸν τέως ὄντα δυνάμει ἐνεργεῖν δύνασθαι καὶ νοεῖν. τοιοῦτος δέ ἐστιν ὁ θύραθεν εἰσιών. ταῦτα μὲν τὰ κινήσαντα ἐκεῖνον. ἔσται δή τι καὶ ἐνεργείᾳ νοητὸν τῇ αὑτοῦ φύσει τοιοῦτον ὄν, ὥσπερ αὖ καὶ αἰσθητὸν οὐχ ὑπὸ τῆς αἰσθήσεως γινόμενον τοιοῦτον. τοῦτο δέ ἐστι νοῦς, φύσις τις καὶ οὐσία, οὐδενὶ ἄλλῳ γνωστὴ ἢ νῷ. οὐ γὰρ δὴ αἰσθητός γέ ἐστιν, οὐδὲ πάντα τὰ νοούμενα ὑπὸ τοῦ ἡμετέρου νοῦ νοητὰ γίνεται οὐκ ὄντα τῇ ἑαυτῶν φύσει νοητά, ἀλλ' ἔστιν τι καὶ καθ' αὑτὸ νοητὸν τῇ αὑτοῦ φύσει τοιοῦτον ὄν. τοῦτο δὴ καὶ αὐτὸ ὁ δυνάμει νοῦς τελειούμενος καὶ αὐξόμενος νοεῖ. ὥσπερ γὰρ ἡ περιπατητικὴ δύναμις, ἣν ἔχει ὁ ἄνθρωπος εὐθὺς τῷ γενέσθαι, εἰς ἐνέργειαν ἄγεται προϊόντος τοῦ χρόνου τελειουμένου αὐτοῦ οὐ κατὰ πάθος τι, τὸν αὐτὸν τρόπον

1—2 νοῦς—μόνος om. K   1 νοήσει ἀεί Ps. Al. 26   1—2 καθὸ – νοήσει] καθὸ δὲ ἁπλοῦς ἐστι, μόνος τῶν νοητῶν μόνον ἑαυτὸν νοήσει Ps. Al. 26—27   4 Ἀριστοτέλους] Ἀριστοκλέους Zeller, die Philos. d. Griechen IV³785   5 ἀριστοτέλην MKa   ταῦτα δὲ M   7 τι καὶ V (τ in lit.) M: καὶ Ka   9 δὲ τί τὸ M   10 δὴ om. M   12 αὐτῷ MKa: αὑτῷ V   18 ἡ ἐνέργεια M, sed cf. αὕτη γὰρ αἰσθήσεως διαμαρτία τὸ .. γίνεσθαι p. 41,12 αὕτη γὰρ φύσις αἰσθήσεως τὸ .. κρίνειν p. 152r52   19 ὄντα αἰσθητὰ M   αὐτοῦ VMKa   20 δὴ αὕτη V: δὲ (δὴ?) αὕτη M: δὲ αὐτή Ka fortasse καθ' αὑτὰ ⟨τὰ εἴδη αὐτῶν⟩. εἰ δὴ αὕτη   21 ἐνέργεια VK: ἐνέργειᾳ a: ἐνεργεία M   22 γίνεσθαι V: ἄγεσθαι MKa sed cf. 112,1   25 αὐτοῦ V: αὑτοῦ MKa   27 οὐσίᾳ a   29 ἑαυτῶν φύσει VK: ἑαυτοῦ φύσει M: ἑαυτῶν φύσειν a   31 τελειούμενον M   πατητικὴ M

καὶ ὁ νοῦς τελειωθεὶς τά τε φύσει νοητὰ νοεῖ καὶ τὰ αἰσθητὰ δὲ νοητὰ αὑτῷ ποιεῖ, ἅτε ὢν ποιητικός. οὐ γὰρ παθητικὸς ὁ νοῦς τῇ αὑτοῦ φύσει, ὡς ὑπὸ ἄλλου γίνεσθαι καὶ πάσχειν, καθάπερ ἡ αἴσθησις. ὑπεναντίως γὰρ ἔχει. ἡ μὲν γὰρ αἴσθησις κατὰ πάθος, παθητικὸν γάρ, καὶ ἡ ἀντίληψις αὐτῇ διὰ πάθους, ὁ δὲ νοῦς ποιητικόν. νοητικὸς γὰρ ὢν τῶν πλείστων ἅμα καὶ ποιητὴς ἵνα αὐτὰ νοήσῃ γίνεται, πλὴν εἰ μὴ κατὰ τοῦτό τις καὶ τὸν νοῦν βούλοιτο παθητικὸν λέγειν, καθὸ ληπτικός ἐστι τῶν εἰδῶν. πάσχειν γὰρ εἶναι δοκεῖ τὸ λαμβάνειν. καὶ τοῦτο μὲν κοινὸν πρὸς τὴν αἴσθησίν ἐστιν αὐτῷ, ἀλλ' ἐπεὶ ἕκαστον αὐτῶν χαρακτηρίζεται καὶ ὁρίζεται οὐκ ἀπὸ τοῦ κοινοῦ τοῦ πρὸς ἄλλο τι, ἀλλ' ἀπὸ τοῦ ἰδίου, καὶ τοῦτο ἂν τὸ πρὸς τὴν αἴσθησιν αὐτῷ κοινὸν ὑπὸ ἰδίου χαρακτηρίζοιτο, ὥστε εἰ κοινὸν μέν ἐστιν αὐτῷ πρὸς τὴν αἴσθησιν τὸ τῶν εἰδῶν εἶναι ληπτικῷ, εἰ καὶ μὴ ὁμοίως, ἴδιον δὲ τὸ ποιητικῷ εἶναι τούτων τῶν εἰδῶν ἃ λαμβάνει, ἀπὸ τοῦ ποιεῖν ἂν μᾶλλον ὁρίζοιτο. ὥστε ποιητικὸν ἄν, οὐ παθητικὸν ὁ νοῦς εἴη. ἔτι καὶ πρότερον αὐτῷ τὸ ποιεῖν καὶ οὐσιῶδες. πρότερον γὰρ ποιεῖ τῇ ἀφαιρέσει νοητόν, εἶθ' οὕτως λαμβάνει τούτων τι ὃ νοεῖ τε καὶ ὁρίζεται, ὅτι τόδε τί ἐστι. καὶ γὰρ εἰ ἅμα χωρίζεται καὶ λαμβάνει, ἀλλὰ τὸ χωρίζειν προεπινοεῖται· τοῦτο γάρ ἐστιν αὐτῷ τὸ ληπτικῷ εἶναι τοῦ εἴδους. ὥσπερ δὲ τὸ πῦρ ποιητικώτατον λέγομεν, ἐπειδήπερ πάσης ὕλης ἧς ἂν ἐπιλάβηται ταύτην ἀναλίσκει καὶ αὑτῷ τροφὴν παρέχει (καίτοι καθὸ τρέφεται πάσχει), τὸν αὐτὸν τρόπον καὶ τὸν νοῦν τὸν ἐν ἡμῖν ποιητικὸν ἡγητέον. τὰ γὰρ οὐκ ὄντα ἐνεργείᾳ νοητὰ αὐτὸς νοητὰ ποιεῖ. οὐδὲν γὰρ ἄλλο νοητόν ἐστιν ἢ ὁ νοῦς ὁ ὢν ἐνεργείᾳ καὶ καθ' αὑτόν. καὶ τὰ ὑπὸ τοῦ νοοῦντος δὲ γινόμενα νοητὰ καὶ αἱ τούτου ἐνέργειαι νοῦς καὶ αὐτὰ ὅταν νοῆται. ὥστε μὴ ὄντος νοῦ, οὐδὲν ἂν εἴη νοητόν. οὔτε γὰρ ὁ φύσει (αὐτὸς γὰρ ἦν μόνος τοιοῦτος), οὔτε τὸ ὑπὸ τούτου γινόμενον. οὐκ ὢν γὰρ οὐδ' ἂν ποιοῖ. συνεργὸς δ' ἂν γίνοιτο τῷ ἐν ἡμῖν ὁ φύσει τε νοῦς καὶ θύραθεν, ὅτι οὐδ' ἂν τὰ ἄλλα νοητὰ ἦν ὄντα δυνάμει μὴ ὄντος τινὸς τῇ ἰδίᾳ φύσει νοητοῦ. τοῦτο δὴ τῇ αὑτοῦ φύσει νοητὸν ὂν ἐν τῷ νοοῦντι γενόμενον διὰ τοῦ νοηθῆναι νοῦς τέ ἐστι γεγενημένος ἐν τῷ νοοῦντι καὶ θύραθεν νοεῖται καὶ ἀθάνατος καὶ ἐντίθησιν τὴν ἕξιν τῷ ὑλικῷ ὥστε νοεῖν τὰ δυνάμει νοητά. ὡς γὰρ τὸ φῶς, ποιητικὸν ὂν τῆς κατ' ἐνέργειαν ὄψεως, καὶ αὐτὸ ὁρᾶται καὶ τὰ σὺν αὐτῷ, καὶ δι' αὐτοῦ τὸ χρῶμα, οὕτως δὲ καὶ ὁ θύραθεν νοῦς αἴτιος γίνεται τοῦ νοεῖν ἡμῖν, νοούμενος καὶ αὐτός, οὐ ποιῶν αὐτὸν νοῦν, ἀλλὰ τὸν ὄντα νοῦν τῇ αὑτοῦ φύσει τελειῶν καὶ ἄγων ἐπὶ τὰ οἰκεῖα. ἔστιν οὖν φύσει μὲν νοητὸν ὁ νοῦς, τὰ δὲ ἄλλα τὰ νοητὰ τέχνῃ

1 δὲ om. M 2 αὑτῷ VMKa ὁ om. M αὑτοῦ V: αὐτοῦ MKa 8 παρὰ τὴν M 10 οὐχ M 11 χαρακτηρίζοντο M 13 ποιητικὸν M 16 τε] αι del. supra τε M 17 τί om. M 20 αὐτῷ VMKa 21 αὐτὸ M ποιητικότατον M 23 ἢ ex. Vict.: ἡ VMKa 25 οὔτε VKa: οὐδὲ M 27 τῷ scripsi: τῶν VKa: τοῦ M 28 τοῦ ἰδίᾳ M 29 αὐτοῦ VMKa γινόμενον M 31 καὶ ἀθάνατος suspectum cf. 112,5 τὴν VM: γε Ka 35 τῇ] τ in lit. V τῇ αὐτοῦ τελειῶν φύσει Ka: τελειῶν τῇ αὐτοῦ φύσει M 36 ἐστὶ μὲν οὖν M τέχνη VMKa

τούτου καὶ τούτου ποιήματα, ἃ ποιεῖ οὐ παθὼν καὶ γενόμενος ὑπό τινος ὁ δυνάμει (ἦν γὰρ νοῦς καὶ πρὸ τοῦ ἐνεργεῖν), ἀλλὰ αὐξηθεὶς καὶ τελειούμενος. τελειωθεὶς δὲ τά τε φύσει νοητὰ νοεῖ καὶ τὰ κατὰ τὴν οἰκείαν ἐνέργειαν καὶ τέχνην. ἴδιον γὰρ τοῦ νοῦ τὸ ποιητικόν, καὶ τὸ νοεῖν αὐτῷ ἐνεργεῖν ἐστιν οὐ πάσχειν. βουλόμενος δὲ τὸν νοῦν ἀθάνατον δεικνύναι καὶ φεύγειν τὰς ἀπορίας ἃς ἐπιφέρουσιν τῷ θύραθεν νῷ ἀνάγκην ἔχοντι τόπον ἀλλάττειν, οὐ δυναμένῳ δέ, εἴ γέ ἐστιν ἀσώματος, οὔτε ἐν τόπῳ εἶναι οὔτε μεταβαίνειν καὶ ἄλλοτε ἐν ἄλλῳ γίνεσθαι, κατ' ἰδίαν ἐπίνοιαν ἔλεγε τοιαῦτα περὶ τοῦ νοῦ ἐν παντὶ εἶναι τῷ θνητῷ λεγομένου σώματι. καὶ δὴ ἔφασκεν τὸν νοῦν καὶ ἐν τῇ ὕλῃ ὡς οὐσίαν ἐν οὐσίᾳ καὶ ἐνεργείᾳ εἶναι ἀεὶ ἐνεργοῦντα τὰς αὑτοῦ ἐνεργείας. ὅταν μὲν οὖν ἐκ τοῦ σώματος τοῦ κραθέντος πῦρ γένηται ἤ τι τοιοῦτον ἐκ τῆς μίξεως, ὡς καὶ ὄργανον δύνασθαι τῷ νῷ τούτῳ παρασχεῖν, ὅς ἐστιν ἐν τῷ μίγματι τούτῳ (διότι ἐστὶν ἐν παντὶ σώματι, σῶμα δὲ καὶ τοῦτο), τοῦτο τὸ ὄργανον δυνάμει νοῦς λέγεται ἐπιτήδειός τις δύναμις ἐπὶ τῇ τοιᾷδε κράσει τῶν σωμάτων γινομένη πρὸς τὸ δέξασθαι τὸν ἐνεργείᾳ νοῦν. ὅταν δὴ τούτου τοῦ ὀργάνου λάβηται, τότε καὶ ὡς δι' ὀργάνου καὶ ὡς περὶ ὕλην καὶ ὡς δι' ὕλης ἐνήργησεν, καὶ τότε λεγόμεθα νοεῖν ἡμεῖς. ὁ γὰρ ἡμέτερος νοῦς σύνθετός ἐστιν ἔκ τε τῆς δυνάμεως, ἥτις ὄργανόν ἐστι τοῦ θείου νοῦ, ὃν δυνάμει νοῦν ὁ Ἀριστοτέλης καλεῖ, καὶ τῆς ἐκείνου ἐνεργείας. ὧν θατέρου μὴ παρόντος ἀδύνατον ἡμᾶς νοεῖν. εὐθὺ μὲν γὰρ τῇ πρώτῃ καταβολῇ τοῦ σπέρματός ἐστιν ὁ ἐνεργείᾳ νοῦς διὰ πάντων γε κεχωρηκὼς καὶ ὢν ἐνεργείᾳ, ὡς καὶ ἐν ἄλλῳ τινὶ σώματι τῶν τυχόντων. ἐπειδὰν δὲ καὶ διὰ τῆς ἡμετέρας δυνάμεως ἐνεργήσῃ, τότε ἡμέτερος νοῦς οὗτος λέγεται καὶ ἡμεῖς νοοῦμεν, ὥσπερ εἴ τις τεχνίτην ἐννοήσαι τοτὲ μὲν ἄνευ ὀργάνων ἐνεργοῦντα κατὰ τὴν τέχνην, τοτὲ δὲ καὶ μετ' ὀργάνων, ὅτε καὶ ἡ κατὰ τὴν τέχνην ἐνέργεια αὐτῷ περὶ τὴν ὕλην γίνεται. τὸν αὐτὸν τρόπον καὶ ὁ θεῖος νοῦς ἀεὶ μὲν ἐνεργεῖ (διὸ καὶ ἔστιν ἐνεργείᾳ), | καὶ δι' ὀργάνου δέ, ὅταν ἐκ 145r τῆς συγκρίσεως τῶν σωμάτων καὶ τῆς εὐκρασίας γένηται ὄργανον τοιοῦτον. ὑλικὴν γὰρ ἤδη τινὰ τότε ἐνέργειαν ἐνεργεῖ καὶ ἔστιν οὗτος ἡμέτερος νοῦς. καὶ ἐκκρίνεται δή, ὅνπερ τρόπον καὶ εἰσκρίνεται. οὐ γὰρ ἀλλαχοῦ ὢν μεταβαίνει, ἀλλὰ τῷ πανταχοῦ εἶναι μένει καὶ ἐν τῷ ἐκ τῆς ἐκκρίσεως δια-

1 τούτου καὶ VKa: τοῦτον καὶ M ποιήματα VM: ποίημά τις K: ποιήματις a παθὼν V: παθῶν corr. in παθὼν M: παθῶν Ka ὑπό τινος καὶ γενόμενος M 2 νοῦς M: νοῦν VKa 3 τελειωθεὶς MKa: τελεωθεὶς V τὰ τῇ φύσει M τὴν om. M 4 τοῦ νοῦ VM: νοῦ Ka νοεῖν VKM ex. Vict.: νοεῖ a 6 τὰς ἐπιφερομένας M ἀνάγκῃ M post ἔχοντι paululum erasum V 7 δέ M: γε VKa 8 ταῦτα περὶ νοῦ M 9 λεγομένου scripsi: λεγομένῳ VKMa 11 αὑτοῦ V: αὐτοῦ MKa 12 δύνασθαι] cf. Ind. 13 fortasse τοῦτο 14 παντὶ γενομένῳ M 15—16 ἐπὶ usque ad γινομένη om. MKa 17 τότε VKa: τὸ M δι' om. M 19 ἥτις scripsi: ἥ τις VKMa ὃν] fortasse ἣν 20 νοῦ καλεῖ ὁ ἀριστοτέλης M 22 κεχωρικῶς M 23 διὰ VKa: ὁ τὰ M 25 ἐννοῆσαι VMKa 26 τότε M 27 ἐνέργει M τὴν ὕλην M: τῇ ὕλῃ VKa cf. Ind. 27—28 αὐτῷ περὶ τῇ ὕλῃ—καὶ ἔστιν ἐνεργείᾳ bis Ka 30 τότε om. M 32 διαινομένῳ M

λυομένῳ σώματι φθειρομένου τοῦ ὀργανικοῦ, ὡς ὁ τεχνίτης ἀποβαλὼν τὰ ὄργανα ἐνεργεῖ μὲν καὶ τότε, οὐ μὴν ὑλικὴν καὶ ὀργανικὴν ἐνέργειαν. ἔλεγεν δὴ ὅτι εἰ ὅλως ὑπολαμβάνειν χρὴ κατὰ Ἀριστοτέλη θεῖον καὶ ἄφθαρτον εἶναι τὸν νοῦν, οὕτως ἡγεῖσθαι δεῖν, οὐκ ἄλλως. καὶ τὴν λέξιν δὲ τὴν ἐν τῷ τρίτῳ Περὶ ψυχῆς τούτοις προσοικειοῦν ἔλεγεν δεῖν καὶ τὴν ἕξιν καὶ τὸ φῶς ἐπὶ τοῦτον φέρειν τὸν πανταχοῦ ὄντα. οὗτος δὲ ὁ νοῦς ἤτοι μόνος αὐτὸς τὰ ἐνθάδε διοικεῖ πρὸς τὴν τῶν θείων ἀναφορὰν καὶ συγκρίνει τε καὶ διακρίνει, ὥστε αὐτὸς καὶ τοῦ δυνάμει νοῦ δημιουργός, ἢ μετὰ τῆς τῶν οὐρανίων εὐτάκτου κινήσεως. ὑπὸ γὰρ ταύτης γίνεται τὰ ἐνθάδε τῇ προσόδῳ καὶ ἀφόδῳ τοῦ ἡλίου μάλιστα ἢ ὑπ' αὐτοῦ γινόμενα καὶ τοῦ ἐνθάδε νοῦ ἢ ὑπὸ τούτων μὲν καὶ τῆς τούτων κινήσεως ἡ φύσις γίνεται, αὐτὴ δὲ τὰ καθέκαστα μετὰ τοῦ νοῦ διοικεῖ. ἀντιπίπτειν ἐδόκει μοι τούτοις τό τε τὸν νοῦν καὶ ἐν τοῖς φαυλοτάτοις εἶναι θεῖον ὄντα, ὡς τοῖς ἀπὸ τῆς Στοᾶς ἔδοξεν, καὶ τὸ ὅλως εἶναι καὶ ἐν τοῖς ἐνταῦθα νοῦν καὶ προηγουμένην τινὰ πρόνοιαν (καὶ μὴν κατὰ τὴν ἐπὶ τὰ θεῖα ἀναφορὰν τὴν τῶν ἐνταῦθα γίνεσθαι πρόνοιαν), καὶ τὸ μὴ ἐφ' ἡμῖν εἶναι τὸ νοεῖν μηδ' εἶναι τοῦτο ἡμέτερον ἔργον, ἀλλ' εὐθὺ γινομένοις ἡμῖν ἐνυπάρχειν φύσει τήν τε σύστασιν τοῦ δυνάμει καὶ ὀργανικοῦ καὶ τὴν διὰ τοῦ θύραθεν ἐνέργειαν. ἢ οὐκ ἀλλάσσει τόπον τὸ τῷ νοεῖσθαι ἔν τινι γινόμενον. οὐδὲ γὰρ τὰ τῶν αἰσθητῶν εἴδη, ἐπειδὰν αὐτῶν αἰσθώμεθα, ἐν τοῖς αἰσθητηρίοις ὡς τόποις αὐτῶν γίνεται. χωριστὸς δὲ λέγεται ὁ θύραθεν νοῦς καὶ χωρίζεται ἡμῶν, οὐχ ὡς μετιὼν που καὶ ἀμείβων τόπον, ἀλλὰ χωριστὸς μὲν ὡς καθ' αὑτόν τε ὢν καὶ μὴ σὺν ὕλῃ, χωριζόμενος δὲ ἡμῶν τῷ μὴ νοεῖσθαι, οὐ τῷ μετέρχεσθαι. οὕτως γὰρ ἐγίνετο καὶ ἐν ἡμῖν.

Ὅτι ἀσώματος ἡ ψυχή.

Ὅτι μὲν ἡ ψυχὴ ἀσώματος, ἱκανὸς μὲν παραστῆσαι καὶ ὁ λόγος, καθ' ὃν εἶδος οὖσα δείκνυται παρὰ Ἀριστοτέλους ἡ ψυχή (οὐδὲν γὰρ εἶδος σῶμα), οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶνδε τῶν λόγων δειχθείη ἂν οὖσα ἀσώματος. εἰ παντὸς σώματος αἱ ποιότητες αἰσθηταί, τῆς ψυχῆς δὲ αἱ ποιότητες οὐκ αἰσθηταί (αἱ γὰρ ἀρεταὶ καὶ αἱ κακίαι οὐ τοιαῦται), οὐκ ἄρα σῶμα ἡ ψυχή. ⟨ἔτι⟩ εἰ ἡ ψυχὴ σῶμα, πᾶν δὲ σῶμα μιᾷ γέ τινι αἰσθήσει αἰσθητὸν τῇ αὑτοῦ φύσει (λέγω δὲ περὶ τῶν ἐνεργείᾳ ὄντων σωμάτων καί, ὥς φασιν αὐτοί, πεποιωμένων), εἴη ἂν καὶ ἡ ψυχὴ αἰσθητή (οὐ γὰρ δὴ ἄποιόν γε σῶμα αὐτὴν ἐροῦσιν, ἔσται γὰρ ὕλη)· οὐκ ἔστιν δέ· οὐκ ἄρα σῶμα. οὐ γὰρ δὴ οὕτω ἐστὶν οὐκ αἰσθητὴ ὡς τὰ διὰ σμικρότητα ἀναίσθητα σώματα.

---

1 fortasse τοῦ ὀργάνου 3 post δὴ lacuna trium literarum M ἀριστοτέλην MKa 4—5 τὴν λέξιν δὲ τὴν ἐν τῷ τρίτῳ περὶ Ψυχῆς] Ar. de an. 3,5. 430a11 sq. 5 προσοικειοῦν VK: προσεικοῦν M: προσοικοῦν a 7 ὁ αὐτὸς M 9 τὰ om. M 12 τότε τούτοις MKa 15 καὶ μὴν καὶ MKa 17 ἐν ὑπάρχει M 18 ἢ ex Vict.: ἢ VKa: ἤτις M cf. p. 82,12 19 τὸ om. M 22 ἀμίβων a 31 ἔτι εἰ scripsi: εἰ VKa αὐτοῦ Ka 32 ἐνεργείᾳ V ex. Vict.: ἐνέργειαν Ka

ἔτι πᾶν σῶμα ἢ ἐνεργείᾳ ἢ δυνάμει αἰσθητόν, ἡ δὲ ψυχὴ οὔτε ἐνεργείᾳ οὔτε δυνάμει αἰσθητόν· ὥστε οὐ σῶμα. ἔτι εἰ ἡ ψυχὴ ὡς αἰσθητῆς αὑτῆς αἰσθάνεται, καὶ ἄλλης αἰσθήσεται. οὐκ αἰσθάνεται δὲ ἄλλης, οὐδ' αὑτῆς ἄρα ὡς αἰσθητῆς. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἤτοι ἔμψυχον ἢ ἄψυχον. ἀλλὰ μὴν ἄτοπον τὸ ἄψυχον. εἰ δὲ ἔμψυχον, ζῷόν τε ἔσται καὶ πάλιν ἐκείνου ἡ ψυχὴ ἤτοι ἔμψυχος ἢ ἄψυχος, καὶ τοῦτο εἰς ἄπειρον. ἂν δ' ἐνιστάμενοι πρὸς τὴν διαίρεσιν τῶν σωμάτων τὴν λέγουσαν τὰ μὲν ἔμψυχα εἶναι αὐτῶν, τὰ δὲ ἄψυχα, λέγωσιν μὴ ὑγιῶς διῃρῆσθαι, εἶναι γὰρ τὰ μὲν ἔμψυχα, τὰ δὲ ἄψυχα, τὰ δὲ ψυχάς, ῥητέον, ὅτι τοῖς κατὰ ἀντίφασιν διαιρουμένοις οὐδέποτε ἀντιδιαιρεῖται τοῦτο, οὗ ἐστιν ἡ ἀπόφασις· οἷον εἰ διαιρούμενοι τῶν σωμάτων τὰ μὲν λέγοιμεν εἶναι κεχρωσμένα, τὰ δὲ ἄχροα (ἐν γὰρ τῷ αὐτῷ γένει τῷ τῆς ἕξεως δεκτικῷ ταὐτὸν δύναται τῇ ἀποφάσει ἡ στέρησις), οὐκέτι μέντοι λέγομεν· τὰ δὲ χρώματα. διαφορὰ γὰρ σωμάτων τὸ κεχρῶσθαι ἢ ἄχροα εἶναι, ἀλλ' οὐ τὰ χρώματα. καὶ πάλιν τῶν σωμάτων τὰ μὲν ὀσμὴν ἔχοντά ἐστιν, τὰ δὲ οὐκ ἔχοντα καὶ ἄοσμα, οὐκέτι λέγομεν· τὰ δὲ ὀσμαί. καὶ τὰ μὲν ποιότητα ἔχοντα, τὰ δὲ οὐκ ἔχοντα ποιότητα καὶ ἄποια, οὐκέτι· τὰ δὲ ποιότητες. ἢ [τῶν σωμάτων] τὰ μὲν σύνθετα, τὰ δὲ οὐ σύνθετα, οὐκέτι· τὰ δὲ συνθέσεις. οὐ γὰρ σῶμα ἡ σύνθεσις. ὁμοίως δὲ καὶ τῶν ζῴων τὰ μὲν θνητά, τὰ δὲ οὐ θνητά τε καὶ ἀθάνατα, οὐκέτι· τὰ δὲ θάνατοι. οὐ γὰρ ζῷον ὁ θάνατος. πάλιν τῶν ζῴων τὰ μὲν λογικά, τὰ δ' οὐ λογικά τε καὶ ἄλογα, οὐκέτι· τὰ δὲ λόγοι. οὐ γὰρ λόγοι τὰ ζῷα. τὸν αὐτὸν οὖν τρόπον ἐροῦμεν καὶ τῶν σωμάτων τὰ μὲν εἶναι ἔμψυχα, τὰ δὲ οὐκ ἔμψυχα καὶ ἄψυχα, οὐκέτι δὲ καὶ ψυχάς· οὐ γὰρ αἱ ψυχαὶ σώματα. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἤτοι ὑπό τινος συνέχεται ἢ ὑφ' αὑτῆς. ἀλλ' ὑφ' αὑτῆς μὲν οὐχ οἷόν τε ὡς μιᾶς καὶ δι' ὅλης ὁμοίας. ἀδύνατον γὰρ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ συνέχειν τε καὶ συνέχεσθαι. λείπεται ἄρα μέρος μὲν συνέχειν αὑτῆς, μέρος δὲ συνέχεσθαι. εἰ δὲ τοῦτο, εἴη ἂν τὸ μέρος τὸ συνέχον ἡ ψυχή, οὐ τὸ συνεχόμενον, ὅ, εἰ καὶ αὐτὸ σῶμα, ἤτοι ὑπὸ ἄλλου συνέχεται, ἢ ὑφ' αὑτοῦ, καὶ τοῦτο εἰς ἄπειρον. εἰ γὰρ ὅλην λέγοιεν αὐτὴν συνέχειν τε καὶ συνέχεσθαι ὡς ἕν τι καὶ ταὐτὸν ὄν, δυνήσεταί τι καὶ ἔχειν καὶ ἔχεσθαι ὑφ' αὑτοῦ | 145v καὶ ποιεῖν ταὐτὸ καὶ πάσχειν. οὐδὲ γὰρ ἡ τρίβουσα χεὶρ καὶ ἀντιπάσχουσα κατὰ τὴν αὐτὴν δύναμιν ποιεῖ τε καὶ πάσχει. καὶ καθόλου οὐδὲν τῶν ὑπό τινος ἐχομένων καὶ αὐτὸ ἔχει. οὔτε γὰρ θερμότης οὔτε γλυκύτης, οὔτε σχῆμα οὔτε χρῶμα οὔτε ὑγίεια οὔτε ἁρμονία. ἀλλ' οὐδὲ ἀρετὴ ἢ ἐπιστήμη. τοιοῦτον δὲ καὶ ἡ ψυχή. ἔτι εἰ ἡ ψυχὴ λεπτομερές τι σῶμα οὖσα συνέχει μὲν τὸ σῶμα αὐτή, πάλιν δὲ συνέχεται ὑπ' αὐτοῦ, ἔσται καὶ τοῦτο τὸ παχυμερέστατον σῶμα ψυχή, εἴ γε τὸ συνέχον ψυχή. ὥστε ἔσται τὸ σῶμα ψυχὴ τῆς ψυχῆς, συνέχον γε αὐτήν. ὅτι γὰρ οὐδὲν αὐτὸ συνέχει, δῆλον ἐκ τοῦ μηδὲ

3 αὐτῆς Ka   4 ἢ VK: ἡ a   5 ἐκείνου scripsi: ἐκείνει V: ἐκείνη Ka   8 ὑγειῶς Ka   11 εἶναι λέγοιμεν Ka   13 μέντοι] cf. p. 158a30 εἰ .. λέγοιτο. προσδεήσεται μέντοι   16 λέγομεν delendum videtur   17 ἢ VK: ἡ a   τῶν σωμάτων delevi   19 τε om. Ka   21 οὐ post τὰ δ'] ου in lit. V   22 οὖν om. Ka   39 αὐτὸ Ka ἐκ τῶν Ka

τὰ δοκοῦντα τοῦτον ἔχειν τὸν τρόπον τοιαῦτα εἶναι. οὔτε γὰρ ἡ κόλλα αὐτὴν συνέχει καὶ τὰ κεκολλημένα. ἕτερον γὰρ αὐτῆς τὸ συνέχον καὶ ἕτερον τὸ συνεχόμενον. ὅσον μὲν γὰρ σωματικόν, συνέχεται. τὸ δὲ συνέχον ἐστὶν ἡ ποιότης καὶ ἡ δύναμις ἀσώματος οὖσα. φθαρείσης γοῦν τῆς τοιαύτης ποιότητος, τὸ ὑλικὸν καὶ σωματικὸν μένον οὔτε αὑτὸ ἔτι οὔτε τὰ ξύλα συνέχειν δύναται. ἔτι εἰ ἡ ψυχὴ σῶμα, ἢ πῦρ ἢ πνεῦμα λεπτομερές ἐστι διὰ παντὸς διῆκον τοῦ ἐμψύχου σώματος. εἰ δὲ τοῦτο, δῆλον ὡς οὐκ ἀργὸν οὐδὲ ὡς ἔτυχεν ἔχον ἐροῦσιν αὐτό. οὐ γὰρ πᾶν πῦρ οὐδὲ πᾶν πνεῦμα ταύτην ἔχει τὴν δύναμιν. μετά τινος οὖν ἔσται εἴδους ἰδίου καὶ λόγου καὶ δυνάμεως καί, ὡς αὐτοὶ λέγουσιν, τόνου. ἀλλὰ εἰ τοῦτο, οὐ τὸ πνεῦμα ἔσται ἢ τὸ πῦρ ἡ ψυχή, ἀλλὰ τὸ ἐν τούτοις εἶδος καὶ ἡ δύναμις καὶ ὁ τόνος, καθὸ τῶν ὁμογενῶν τῶν ἄλλων διαφέρει. ἔτι ὡς σῶμα ἀνείδεον, οὕτως εὔλογον καὶ εἶδος ἄυλον καὶ ἀσώματον εἶναι. ἐκ τούτων γὰρ τὸ συναμφότερον. ἔτι εἰ σῶμα ἄψυχον, διὰ τί μὴ καὶ ψυχὴ ἀσώματος; ἔτι εἰ σῶμα ἡ ψυχή, ἤτοι ἁπλοῦν ἢ σύγκριμα. ἀλλὰ εἰ μὲν ἁπλοῦν, ἢ γῆ ἢ πῦρ ἢ ἀὴρ ἢ ὕδωρ. εἰ δὲ τούτων τι καθ' ἑαυτὸ ψυχή, πᾶν τε τὸ τοιοῦτον ἔσται ψυχή (οἷον πᾶν πῦρ, πᾶς ἀήρ), καὶ πᾶν τὸ τοῦτον περιέχον σῶμα ἔμψυχον. ὥστε εἰ ὁ ἀὴρ ἡ ψυχή, ἔσται ζῷον ἡ ἀρτηρία καὶ ὁ πνεύμων καὶ ὁ πεφυσημένος ἀσκός, καὶ πᾶν τὸ ἀέρα ἔχον ἐν αὑτῷ σῶμα. εἰ δὲ ὕδωρ, ὁ τούτου πλήρης κάδος. ταῦτα δὲ ἄτοπα. ἔτι εἰ μὲν τῶν ἁπλῶν τι σωμάτων ἡ ψυχή, πᾶν σύγκριμα, ἐν ᾧ καὶ τοῦτο ἐνυπάρχει τὸ σῶμα, ἔμψυχόν τε καὶ ζῷον ἔσται. εἰ δὲ σύγκριμα ἐκ τῶν ἁπλῶν ἡ ψυχή, ἔσται καὶ τὸ ἡμέτερον ἡ ψυχή. ἔτι παντὸς σώματος οἰκεία τις κίνησις, οἷον ἁπλῆ μὲν τοῦ ἁπλοῦ, μικτὴ δὲ τοῦ συνθέτου ἢ κατὰ τὸ πλεονάζον, τῆς δὲ ψυχῆς οὐδεμία τοπικὴ κίνησις οἰκεία. οὐκ ἂν οὖν οὔτε τῶν ἁπλῶν, οὔτε τῶν συνθέτων εἴη σωμάτων. οὐδὲ γὰρ αἱ κατὰ αἴσθησιν καὶ φαντασίαν ἢ πάθος, οὖσαι κατὰ ἀλλοίωσιν, οὐ τοπικαὶ τῆς ψυχῆς εἰσι κινήσεις καθ' αὑτήν, ἀλλὰ τοῦ συναμφοτέρου. ἔτι εἰ σῶμα ἡ ψυχή, πῶς μετέχει τὸ σῶμα τῆς ψυχῆς; καὶ πῶς ἐστιν ἡ ψυχὴ ἐν αὐτῷ; ἢ γὰρ ὡς μέρος ἔσται, καὶ οὕτως οὐδὲν τῶν ἄλλων μερῶν τοῦ σώματος ἔμψυχον, μᾶλλον δὲ οὐδὲν ὅλως ἔμψυχον αὐτοῦ, ἀλλὰ ψυχὴ καὶ σῶμα κατ' ἰδίαν. ἀλλὰ οὐδὲ ὡς ἐν ἀγγείῳ τῷ σώματι εἴη ἂν ἡ ψυχή. εἴη γὰρ ἂν καὶ οὕτως οὐχ ὅλον ἔμψυχον τὸ σῶμα. ἀλλὰ οὐδὲ κατὰ παράθεσιν. οὐδὲ γὰρ οὕτως ὅλον ἔμψυχον ἔσται τὸ σῶμα, μᾶλλον δὲ οὐδ' ὅλως ἔμψυχον. οὐδὲ γὰρ ἐπὶ τοῦ σωροῦ ἐν τῇ κριθῇ ὁ πυρός. εἰ δὲ ὅλον δι' ὅλου, ἐπειδὴ πᾶν τὸ σῶμα ἔμψυχον, πῶς σῶμα διὰ σώματος διήκει, δεικνύναι δεῖ. καὶ γὰρ καί, ἐπεὶ αἱ τῆς ψυχῆς ποιότητες σώματα κατ' αὐτούς καὶ αἱ τοῦ σώματος, πολλά σώματά ἐστιν ἐν τῷ αὐτῷ καὶ διάφορα δι' ἀλλήλων διή-

1 fortasse οὐδὲ 2 αὐτὴν Ka 3 συνέχετεται V 4 ἀσώματα Ka 5 αὐτὸ VKa 8 πᾶν] post ν paululum erasum V 9 ταυτὴν a 10 τόνου ἀλλὰ] υ ἀ in lit. V ἀλλὰ εἰ V: ἀλλ' ἀεὶ K: ἀλλ' αἰεὶ a: ex. Vict. in mg. γρ. ἐν 13 ἀσώματος Ka 14 μὴ καὶ Ka: καὶ μὴ V 19 πεφυσσημένος K αὐτῷ VKa 23 fortasse ἡμέτερον σῶμα 25 οὔτε V ex. Vict: ὄντε Ka 38 fortasse ἔσται

κοντα καὶ ἐν τῷ αὐτῷ τόπῳ, ὃ λόγου δεῖται καὶ ἀποδείξεως. ἔτι προσγινόμενα καὶ ἀπογινόμενα πῶς οὔτε αὐξήσει οὔτε μειώσει τὸ σῶμα; ἔτι ὑπαλλαγεισῶν τῶν ποιοτήτων, αἱ πρῶται χωρισθεῖσαι σώματα οὖσαι εἰς τὸ μὴ ὂν φθαρήσονται, οὐδαμοῦ γάρ εἰσιν· οὕτω δὲ καὶ ἐκ τοῦ μὴ ὄντος ἔσονται. ἔτι εἰ οὕτως ἡ ψυχὴ τῷ σώματι ὡς ὅλον δι' ὅλου διήκειν καὶ κεκρᾶσθαι τῷ σώματι, οὐκέτι ἔσται τοῦ ζῴου τὸ μὲν ψυχή, τὸ δὲ σῶμα, ἀλλὰ ἐξ ἀμφοῖν ἕν τι ἄλλο συνεφθαρμένον καὶ συνηλλοιωμένον, ὡς τὸ μελίκρατον. καὶ οὐκέτι τι τὸ μὲν ἡγήσεται, τὸ δὲ ὑπηρετήσει, οὐδὲ τὸ μὲν τιμιώτερον, τὸ δὲ ἧττον, οὐδὲ τὸ σῶμα ἕξει ψυχήν, οὐδὲ ἡ ψυχὴ ἔσται ἐν τῷ σώματι. οὐδὲ γὰρ τὴν ἀρχὴν τὸ μὲν ψυχὴ ἔσται τοῦ ζῴου, τὸ δὲ σῶμα, ἀλλὰ μόνον ζῷον τὸ ἐκ τούτων κρᾶμα καὶ ἕν τι καὶ ὅλον ὅμοιον ἑαυτῷ, ὁποῖον τὸ οἰνόμελι, ὅπερ ἄτοπον. ἔστι γὰρ τοῦ ζῴου τὸ μὲν ψυχή, τὸ δὲ σῶμα, ὡς τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο. διὸ καὶ χωρίζεται. ἔτι εἰ καὶ αἱ ἀρεταὶ σώματα καὶ αἱ τέχναι, πῶς οὐ προσγενόμενα ταῦτά τινι στενοχωρήσει τὸ σῶμα ἢ αὐξήσει; ἔτι εἰ καθ' ὃ τὸ εἶναί τινί ἐστι τοῦτο, ὅπερ εἶναι λέγεται, τοῦτο εἶδός ἐστι, κατὰ δὲ τὴν ψυχὴν τῷ ζῴῳ τὸ ζῴῳ εἶναί ἐστιν, ἡ ψυχὴ εἶδος. ὅτι δὲ εἶδος ἡ ψυχή, δῆλον καὶ ἐκ τοῦ μὴ δύνασθαι κατ' ἄλλον τρόπον δεῖξαι τὸ ζῷον ἐκ ψυχῆς ὂν καὶ σώματος. ἔτι εἰ σῶμα σώματος ᾗ σῶμα οὐδὲν διαφέρει, τῷ δὲ ψυχὴν ἔχειν διαφέρει, οὐκ ἔστιν ἡ ψυχὴ σῶμα. τὰ γὰρ τῷ γένει τὰ αὐτὰ φύσιν κοινὴν ἔχει. τὰ φύσιν κοινὴν ἔχοντα ἀδιάφορα κατὰ τὸ κοινόν. τὰ τῷ γένει ἄρα κοινὰ ἀδιάφορα κατὰ τὸ γένος, γένος δὲ αὐτῶν τὸ σῶμα· ὥστε τὰ σώματα ἀδιάφορα καθὸ σώματα. οὐκ ἄρα σῶμα σώματος καθὸ σῶμα διαφέρει. ὥστε, οἷς διαφέρει τὰ σώματα ἀλλήλων, οὐ σώματα ταῦτα. τὰ μέντοι ἀσώματα οὐκ ἔστι τῷ γένει τὰ αὐτά. ὥστε οὐδὲ ἀδιάφορα καθὸ ἀσώματα. ὁμώνυμον γὰρ τὸ ἀσώματον. ἔστι γὰρ τῶν ἀσωμάτων τὰ μὲν ἐν οὐσίᾳ, τὰ δὲ ἐν ποσότητι, τὰ δὲ ἐν ταῖς ἄλλαις κατηγορίαις. εἰ δέ τις λέγοι, ὅτι σῶμα σώματος οὐ διαφέρει μὲν κατὰ τὸ κοινὸν σῶμα, ᾗ δέ τι σῶμα, ἑκάτερον αὐτῶν διαφέρει, ῥητέον, ὅτι τὸ ἑνὶ ἑκάστῳ τῶν σωμάτων εἶναι παρὰ τὰς οἰκείας 146r διαφορὰς καὶ τὰ οἰκεῖα εἴδη, διάφορα ὄντα ἀλλήλων, ἐστίν, ταῦτα δὲ ἀσώματα· ὥστε οἷς διαφέρουσιν ἀλλήλων τά τινα σώματα, οὐ σώματα. πρὸς τούτοις εἰ τὸ πνεῦμα ἢ ἐν τῷ πνεύματι ἢ τῷ πυρὶ τῷ ἐν ἡμῖν ἡ ψυχὴ πρώτη, οἵα τε ἔσται καὶ ἐν χωρισθεῖσιν αὐτοῖς εἶναι. χωριζόμενα γὰρ τοῦ ζῴου διαμένει καὶ πνεῦμα καὶ πῦρ ὄν. εἰ δὲ τοῦτο, ἔσται καὶ τὸ πνεῦμα καὶ τὸ πῦρ ζῷα. εἰ δὲ ἀδύνατον τοῦτο, ἀδύνατον καὶ ἐν τούτων τινὶ εἶναι τὴν ψυχήν, ἀλλὰ ἐν τῷ μικτῷ τῷ ἐκ τῶν τεσσάρων, τῷ οὕτως πως μεμιγμένῳ καὶ συγκειμένῳ ὡς τὸ σῶμα τὸ τῶν ζῴων μέμικται. ἃ δὲ λέ-

1 προσγινόμενα Ka: προσγενόμενα V 7 fort. συνεφθαρμένων καὶ συνηλλοιωμένων 8 τι om. K sed cf. 106,19 adn. 11 τὸ ἐκ V: τι Ka 12 τοῦ Va: τι K 14 προσγινόμενα K 23 καθὸ σῶμα m^2, καθὸ σῶμα σώματι m^1 V: καθὸ σῶμα Ka 25 τὸ V: τι Ka 29 τὸ V: τῷ Ka 33 αὐτοῖς V ex. Vict.: αὐταῖς Ka 35 τοῦτο Ka: τοῦτον V ἐν τούτων m^2, ἐν τούτῳ m^1 V: ἐν τούτων Ka 36 οὕτως] ω in lit. V 37 ὡς τὸ m^2, ὡς m^1 V: ὡς τὸ Ka

γουσιν δεικνύναι πειρώμενοι σῶμα τὴν ψυχήν, οὐκ ἔστιν ὑγιῆ. οὔτε γὰρ ἐπεὶ κατηγορεῖται τὸ ὅμοιον αὐτῆς, διὰ τοῦτό ἐστι σῶμα. τὸ γὰρ ὅμοιον οὐκ ἐπὶ σωμάτων. καὶ γὰρ ἐν γραμμαῖς καὶ σχήμασιν καὶ ἐπιπέδοις καὶ ἔτι μᾶλλον ἐν χρώμασιν καὶ ποιότησιν τὸ ὅμοιον, ἅπερ οὐ σώματα. καθόλου δὲ τὸ μὲν σῶμα οὐσία. οὐσίας δὲ ἴδιον τὸ ταὐτὸν κατ' αὐτὴν λέγεσθαι, οὐ τὸ ὅμοιον, ποιότητος δὲ τὸ ὅμοιον οὔσης ἀσωμάτου, ὥστε κἂν τῶν ἄλλων τι ὅμοιον λέγηται, καθὸ ποιότητος μετέχει, ὅμοιον ῥηθήσεται. καὶ ψυχὴ οὖν ψυχῇ ὁμοία, οὐχ ᾗ ψυχή. οὐ γὰρ ᾗ ψυχή, ἀλλ' ᾗ ποιότητός τινος καὶ διαθέσεως κεκοινώνηκεν ὁμοίας. ἀλλὰ καὶ ὁ λόγος ψευδὴς ὁ λέγων ἀσώματον σώματι μὴ συμπάσχειν, ὥστε μὴ εἶναι ἀσώματον τὴν ψυχήν. οὔτε γὰρ τὸ ἀσώματον σώματι μὴ συμπάσχειν ἀληθές (συμπάσχει γὰρ τῶν σωμάτων πασχόντων καὶ τὰ ἐν αὐτοῖς ἀσώματα, τὰ μὲν πλεῖστα κατὰ συμβεβηκός, ἤδη δέ τινα καὶ ἁπλῶς, ὡς ἡ ἐπιφάνεια τοῦ θλωμένου σώματος), ἀλλ' οὐδὲ ἡ ψυχὴ τῷ σώματι συμπάσχει ὡς ἄλλη οὖσα καὶ κεχωρισμένη, ὡς οἱ φίλοι λέγονται συμπάσχειν, ἀλλά ἐστι τὸ πάσχον τὸ συναμφότερον, τὸ γὰρ ζῷον, ὂν ἐκ ψυχῆς καὶ σώματος, κατὰ μὲν τὸ σῶμα τεμνόμενον, ἀλγοῦν δὲ κατὰ τὴν ψυχήν· καὶ ἔστι τὸ ἀλγοῦν τὸ ζῷον, ὥσπερ καὶ τὸ βαδίζον καὶ τὸ ὁρῶν καὶ τὸ ἐπιθυμοῦν καὶ φιλοῦν καὶ μισοῦν, πάθη δὲ τοῦ μὲν σώματός ἐστιν ἴδια, ὥσπερ τὸ θερμαίνεσθαι καὶ τέμνεσθαι, τῆς δὲ ψυχῆς οὐκέτι, διότι σῶμα μὲν καὶ ἄνευ ψυχῆς ὑφίσταται, ψυχὴ δὲ ἄνευ σώματος οὔ. ἐντελέχεια γὰρ καὶ εἶδος τούτου. οὐχ ὑγιὴς δὲ λόγος οὐδὲ ὁ λέγων μηδὲν ἀσώματον σώματος χωρίζεσθαι, τὴν δὲ ψυχὴν τοῦ σώματος χωρίζεσθαι, ὥστε μὴ εἶναι ἀσώματον. τὸ γὰρ χωρίζεσθαι διττόν, τὸ μὲν ὑποστάσει, ὅταν ἑκάτερον χωρισθὲν μένῃ, τὸ δὲ τῇ θατέρου φθορᾷ, ὡς τὸ λευκὸν χωρίζεται τοῦ σώματος μέλανος γενομένου. κατὰ τὸ δεύτερον σημαινόμενον καὶ ἀσώματον σώματος χωρίζεται. οὕτω καὶ ἡ ψυχὴ τοῦ σώματος. ἔστι τινὰ καὶ λόγῳ χωριστὰ ἀσώματα σωμάτων, ὡς τῆς ὕλης τὸ εἶδος, ὡς τοῦ τόπου τὸ σῶμα. οὐκ ἀληθὲς δὲ οὐδὲ τὸ λέγειν ταῦτα χωρίζεσθαι ἀπ' ἀλλήλων, ὅσα ἅπτεται ἀλλήλων. πάντα γὰρ τὰ συμβεβηκότα χωρίζεσθαι μὲν οἷά τε, οὐ μὴν καὶ ἅπτεται. ἔτι οὐκ ἀληθὲς τὸ ᾧ ἀναπνέομεν τούτῳ ἐσμὲν ἔμπνοι, τῇ δὲ ψυχῇ ἔμψυχοι· οὐδὲ εἰ ἄνευ

1 δεικνῦναι V τὴν] ὴν in lit. V οὔτε .. ἀλλὰ καὶ ὁ λόγος ψευδὴς (v. 9)] cf. v. 11 et 14 et p. 12,1 6 ὥστε κἂν] ω̃ et ἂν in lit. V 7 ποιότητος] οιο in lit. V 8 ψυχῇ οὖν ψυχὴ Ka 12 ante πασχόντων συμ erasum V πλεῖστα] εῖ in lit. V 13 θλωμένου m¹, τεθολωμένου m² V: τεθολωμένου Ka 14 ἀλλ' οὐδὲ κτλ.] exspectas ἀλλ' οὐδὲ ὡς ἄλλη οὖσα καὶ κεχωρισμένη τῷ σώματι συμπάσχει ἡ ψυχή sed cf. 7,1 οὐ μόνον δὲ παρὰ τοῦ εἴδους τό τε εἶναι κτλ. 16 συναμφότερον m² αμφότερον m¹, sed lit. trium liter. ante α m¹ V: συναμφότερον Ka 19 θερμαίνεσθαι Ka: θερένεσθαι V 21 οὔ om. Ka ὑγιὴς VK: ἰσχὺς a 22 χωρίζεσθαι σώματος Ka 24 μένει Ka 25 σώματος om. K κατὰ κτλ.] cf. 122,14 adn. 26 ἀσώματος Ka 29 ἀπ' om. Ka 30 ἔτι οὐκ ἀληθὲς κτλ.] aut argumentatio *(eo, quo respiramus animati sumus. anima autem respirare possumus. spiritus igitur anima)* mutilata est, aut, quod magis placet, hoc tantum dixit Alex. „*non verum est, nos eo, quo respiramus, animatos esse*“ (οὐκ ἀληθὲς τό· "ᾧ ἀναπνέομεν τούτῳ ἐσμὲν ἔμψυχοι"), in margine autem aliquis inter ἔμπνους et ἔμψυχος distinxit, unde verba ἔμπνοι τῇ δὲ ψυχῇ in textum irrepserunt 31 ἔμπνοι m², ἔμπνοιοι m¹ V: ἔμπνοι Ka

τοῦ συμφύτου πνεύματος μὴ δύναιτο τὰ ζῷα εἶναι, διὰ τοῦτο τοῦτό ἐστι ψυχή. καὶ γὰρ ἄλλα τινά ἐστιν, ὧν οὐχ οἷόν τε χωρὶς τὸ ζῷον εἶναι, ἃ οὐδὲ αὐτοὶ ψυχὴν λέγουσιν. οὐδὲ γὰρ αἵματος χωρὶς τὰ ἔναιμα οὐδὲ ὑγρότητος ὅλως.

Ὅτι πλείους αἱ τῆς ψυχῆς δυνάμεις καὶ οὐ μία.

Ὅτι μὴ μία ἡ τῆς ψυχῆς δύναμις, ὡς τὴν αὐτήν πως ἔχουσαν ποτὲ μὲν διανοεῖσθαι, ποτὲ δὲ ὀργίζεσθαι, ποτὲ δ' ἐπιθυμεῖν παρὰ μέρος, δεικτέον ἔκ τε τῆς διαμάχης τῶν παθῶν πρὸς τὸν λόγον τῆς ἐπὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς. οὐ γὰρ τοῦ αὐτοῦ ἐν τούτοις καὶ ἡ νίκη καὶ ἡ ἧττα. ἔπειτα εἰ τὸ μὲν χεῖρον, τὸ δὲ βέλτιον τῆς ψυχῆς, εὔλογον ἄλλο ἑκάτερον αὐτῶν εἶναι, ἔπειτα χωριζομένας τὰς δυνάμεις, καὶ οὐ πάσας ἐν πᾶσιν. ὅτι γὰρ τὸ φυτικὸν ψυχή ἐστι καὶ ψυχῆς μέρος καὶ δύναμις, οὗ μόρια τὸ θρεπτικὸν καὶ τὸ αὐξητικὸν καὶ γεννητικόν, ἀλλὰ οὐχ, ὥς τινές φασιν, φύσις, δείξομεν ἔκ τε τοῦ μὴ πάντα τὰ φύσιν ἔχοντα καὶ κατὰ φύσιν ὄντα ἔχειν τὰς δυνάμεις ταύτας. τά τε γὰρ ἁπλᾶ σώματα φύσει μέν ἐστι καὶ ἔχει φύσιν, οὔτε δὲ τρέφεται δι' αὑτῶν οὔτε αὔξεται οὔτε γεννᾷ. ἔτι εἰ τὸ τρέφειν καὶ τὸ αὔξειν καὶ γεννᾶν φύσεως, οὐ ψυχῆς, τὸ δ' αἰσθάνεσθαι ψυχῆς, ἢ ῥητέον μηδὲ ζῆν ἡμᾶς, ὅταν μὴ αἰσθανώμεθα, ἢ δύο ζωὰς ἐν ἡμῖν ὑπάρχειν, ὅπερ ἄτοπον. ἔτι εἰ τὸ ζῆν ψυχῆς παρουσίᾳ, ζῇ δὲ καὶ τὰ τὴν φυτικὴν δύναμιν ἔχοντα μόνην, ἡ φυτικὴ δύναμις ψυχὴ ἂν εἴη. ζωὴ γάρ ἐστιν ἡ δι' αὑτοῦ τροφή τε καὶ αὔξησις. ἔτι εἰ τὸ φύσει χρῆσθαι ζῆν ἐστιν, τὰ ἁπλᾶ στοιχεῖα κατὰ φύσιν κινούμενα ζῴη ἄν. ἔτι εἰ τὰ ψυχῇ μὲν χρώμενα ζῇ, τὰ δὲ φύσει χρώμενα οὐ ζῇ, ἡ φύσις οὐ ψυχή. ἔτι εἰ τὰ μὲν ψυχῇ χρώμενα ζῇ, τὰ δὲ τὸ φυτικὸν ἔχοντα καὶ θρεπτικὸν ζῇ, ψυχὴ τὸ θρεπτικὸν καὶ φυτικόν. ἔτι εἰ τὸ γεννητικὸν μόριον ψυχικόν φασιν, τοῦτο δὲ ὑπὸ τὸ φυτικόν, εἴη ἂν καὶ τὸ φυτικὸν πᾶν ψυχικόν. χρήσιμος δὲ ἡ τούτου δεῖξις μάλιστα πρὸς ἀπόδειξιν τοῦ ὅτι οὐχ εἰσὶν αἱ ψυχικαὶ διαφοραί, περὶ ἃ τῇ ψυχῇ ἡ ἐνέργεια, ἀλλ' ὅτι αὗται αἱ δυνάμεις τῆς ψυχῆς διαφέρουσιν ἀλλήλων, καὶ οὐχ οἷόν τε τῇ αὐτῇ δυνάμει, οἷον τῇ αἰσθητικῇ νοῆσαι ἢ τῇ νοητικῇ αἰσθάνεσθαι. εἰ γὰρ καὶ τὸ φυτικὸν ψυχικόν, ἀδύνατον δὲ τῇ αὐτῇ δυνάμει ἅμα πλέονα καὶ διάφορα ἐνεργεῖν, ἀεὶ δὲ ἐνεργεῖ ἐπὶ τῶν ζώντων | 146v τὸ θρεπτικόν, ἤτοι οὐδεμίαν ἄλλην ἐνέργειαν ἐνεργήσομεν κατὰ ψυχήν, εἰ μία ἡ ψυχικὴ δύναμις, ἢ εἰ καὶ ἄλλας ἐνεργοῦμεν, οἷον αἰσθανόμεθα κατὰ τὸ αὐτὸ καὶ τρεφόμεθα, οὐ μία ἡ ψυχικὴ δύναμις, οὐδέ πως ἔχον τὸ ἡγεμονικὸν περὶ ἕκαστα ἐνεργεῖ. οὐδὲ γὰρ αἱ τέχναι τῇ τῶν ὀργάνων ἑτερότητι τὴν διαφορὰν ἔχουσιν οὐδὲ τῷ περὶ ἃ καὶ ὧν εἰσιν, ἀλλ' ἔστιν ἡ διαφορὰ αὐταῖς κατὰ τὰς οἰκείας δυνάμεις πρότερον. ἔτι πλείοσιν αἰσθήσεσιν αἰσθανόμεθα ἅμα. ἔτι εἰ πρᾶξίς ἐστιν

8 cf. 27,7   11 τὰ a   14 cf. 105,8   18 αἰσθανόμεθα Va   20 φυτικὴ V: φυτικὴν a   21 τε om. a   22 ζώη Va   25 ψυχικόν V: ψυχὴν a   27 οὐχ εἰσὶν κτλ.] *differentiae non [in eis rebus positae sunt], de quibus anima agit*, sed cf. v. 36 οὐδὲ τῷ περὶ ἃ   28 αὗται scripsi: αὐται Va   31 πλείονα a   34 θρεφόμεθα a   37 ἀλλ' ἔστιν] λ ἔστιν in lit. V

ἡ μετὰ συγχρήσεως τῶν ὀργανικῶν τοῦ σώματος μορίων ἐνέργεια, ὡς τὸ λαλεῖν, τὸ βαδίζειν, τὸ ταῖς χερσί τι ἐνεργεῖν, οὐκ ἂν εἴη τὸ θεωρεῖν πράσσειν οὐδὲ τὸ νοεῖν, ὥστε οὐδὲ τὸ κριτικὸν πρακτικόν. ἔτι εἰ τοῦ αἰσθητικοῦ τὸ τέλος θεωρητικόν (κριτικὸν γάρ), διὰ σώματος μέντοι (διὸ καὶ μετὰ πάθους), τοῦ δὲ ὁρμητικοῦ τὸ τέλος πρακτικὸν καὶ αἱ πράξεις, διαφέροι ἂν ταῦτα καὶ τῷ τέλει. καὶ τῷ μὴ ἀντακολουθεῖν δὲ μηδὲ ἅμα ἄμφω παραγίνεσθαι καὶ τῷ ἡγεῖσθαι τὸ αἰσθητικὸν καὶ τῷ μὴ ἀεὶ τῇ αἰσθήσει ἕπεσθαι τὴν ὁρμήν, καὶ τῷ ἀεὶ τὴν ὁρμήν, ὅτε ἂν γένηται, μετὰ αἴσθησιν γίνεσθαι. ἔστι δὲ τοῦ ὀρεκτικοῦ καὶ τοῦ ὁρμητικοῦ τό τε ἐπιθυμεῖν καὶ τὸ θυμοῦσθαι καὶ τὸ βούλεσθαι. ἔτι καὶ τὸ λογικὸν κριτικόν, καὶ ὡς ἡγούμενόν γε. τοῦ γὰρ κριτικοῦ ἡγεῖται μὲν τὸ λογικόν, ὃ καὶ νοητικὸν καλοῦμεν. ἕπεται δὲ καὶ ὑποτέτακται τὸ αἰσθητικόν, οὗ καὶ τὸ φαντασιοῦσθαι καὶ τὸ συγκατατίθεσθαι καὶ τὸ μνημονεύειν. ὅτι δὲ καὶ ἡ κοινὴ αἴσθησις ἄλλη παρὰ τὰς καθέκαστα, δῆλον ἐκ τοῦ τὸ ὁρᾶν αἰσθητὸν μὲν εἶναι, μὴ ὁρατὸν δέ. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἔτι δὲ ὁ θεωρητικὸς νοῦς οὐκ ἔστι περὶ τὰ πρακτικά, οὐδὲ περὶ τὰ αἱρετὰ καὶ φευκτά. ἔτι τὸ ἐφ' ἡμῖν ἐν τῷ πράττειν καὶ ἐν προαιρέσει, οὔτε δὲ ἐν τῷ ὁρμᾶν οὔτε ἐν τῷ συγκατατίθεσθαι οὔτε ἐν τῷ φαντασιοῦσθαι οὔτε ἐν τῷ αἰσθάνεσθαι. ἀλλ' οὐδὲ ἐν τῷ φυτικῷ. ἔτι κατὰ τὸ ὀρεκτικὸν ὑπὸ ψυχῆς κινούμεθα, οὐ κατὰ ἄλλην τινὰ δύναμιν, ὥστε ἄλλη αὕτη ἐκείνων.

Ὅτι οὐκ ἐν ὑποκειμένῳ ἡ ψυχή.

Λέγει μὲν καὶ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις, μηδεμίαν οὐσίαν ἐν τῷ ὑποκειμένῳ εἶναι. ὥστε, εἰ ἡ ψυχὴ οὐσία, οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ. ἀλλὰ ἐπεὶ πρὸς τοῦτο δύναται λέγεσθαι, ὡς περὶ τῶν οὐσιῶν εἰρηκότος αὐτοῦ τούτων ὧν ἐμνημόνευσεν ἐν ταῖς Κατηγορίαις (αὗται δέ εἰσιν ἥ τε ἄτομος καὶ τὸ εἶδος καὶ τὸ γένος), οὐκέτι δὲ περὶ τῆς ὕλης καὶ τῆς κατὰ τὸ εἶδος οὐσίας εἴρηκεν (τῇ γὰρ οὐσίᾳ εἴρηκεν ἐκεῖ μηδὲν ἐναντίον εἶναι, καίτοι λέγων, τῷ εἴδει τῷ φυσικῷ οὐσίᾳ ὄντι τὴν στέρησιν ἐναντίαν, ἀλλὰ ἐκείνων γε τῶν οὐσιῶν οὐδεμιᾷ ἐναντίον οὐδὲν ἦν), φέρε οὖν αὐτὸ καθ' αὑτὸ ἐπισκεψώμεθα, εἰ οἷόν τέ ἐστιν, ἐν ὑποκειμένῳ εἶναι τὴν ψυχὴν τῷ σώματι, ἢ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. μήποτε οὖν ἄλλος τις τρόπος τοῦ ἔν τινι παρὰ τὸ ἐν ὑποκειμένῳ ἐστὶν ὁ τοῦ ὡς εἶδος ἐν ὕλῃ. οὐ γὰρ οἷόν τε τὸ εἶδος ἐν ὕλῃ ὡς ἐν ὑποκειμένῳ εἶναι, εἴ γε τὸ ἐν ὑποκειμένῳ ἐστίν, ὃ ἔν τινι μὴ ὡς μέρος ὂν ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν (δεῖ γὰρ τὸ ὑποκείμενον τῷ ἐν ὑποκειμένῳ ὄντι τόδε τι εἶναι), οὐδὲν δὲ

10 τὸ ante βούλεσθαι om. a 17 ὁρμᾶν V: ὁρᾶν a 21 Cf. Alexandri quaest. nat. 1,8 et 1,17 22 καὶ ὁ Ka ἐν ταῖς Κατηγορίαις] Ar. Cat. 5,3a7 23 τῷ om. K ὡς ἐν K 25 ὧν om. Ka ἥ τε V: εἴ γε Ka 26 οὐκέτι δὲ] de anacolutho cf. p. 122,14 27 εἴρηκεν ἐκεῖ] Ar. Cat. 5. 3b24 28 καίτοι λέγων] saepius cf. Ind. Ar. 700a20 sq. 29 οὖν om. Ka 31 τις τρόπος V: τις τόπος K: τι τόπος a 35 parenthesin posuit Usenerus τι εἶναι οὐδὲν δὲ (τι supra versum ναι ου in marg. δὲν δὲ in lit. m¹ sive vet. corr.) VKa οὐδὲν δὲ κτλ.] „*neque quidquam, si referatur* (πρὸς τὸ) *ad actualem existentiam definitae qualitatis, etiam extra id, in quo inesse dicitur, separatim forma* [corr. εἶδος] *est.*“ Usenerus

πρὸς τὸ εἶναι ἐνεργείᾳ τόδε τι καὶ τοῦ ἐν ᾧ λέγεται εἶναι χωρὶς εἴδους. διὰ τοῦτο γοῦν οὐδὲ ἡ ὕλη αὐτὴ καθ' αὑτὴν ὑπόστασιν ἔχειν δύναται, ὅτι μηδέπω τὸ εἶδός ἐστιν ἐν αὐτῇ. ἕκαστον γὰρ τῶν ὄντων μετὰ εἴδους ἐστὶ τόδε τι. κατὰ γὰρ τὸ εἶδος πᾶν ἐστι τοῦτο ὃ λέγεται. ὥστε οὐκ ἂν εἴη ἐν ὑποκειμένῳ τῇ ὕλῃ τὸ φυσικὸν εἶδος. τὸ μὲν γὰρ κατὰ τέχνην γινόμενον εἶδος ἐν ὑποκειμένῳ ἐστὶ τῷ τόδε τι εἶναι καὶ εἶδος ἔχειν τὸ ὑποκείμενον, ὡς ὁ τεχνίτης τὸ τεχνικὸν εἶδος ἐμποιεῖ τε καὶ περιτίθησιν. οὐκέτι δὲ τὸ φυσικὸν εἶδος οἷόν τε οὕτως εἶναι ἐν τῇ ὕλῃ λέγειν. οὐ γὰρ τόδε τι οὐδὲ ἐνεργείᾳ ὑποκείμενον ἡ ὕλη καθ' αὑτήν. εἰ οὖν τὸ μὲν φυσικὸν εἶδος οὐκ ἐν ὑποκειμένῳ, καὶ ἡ ψυχὴ δὲ φυσικὸν εἶδος, οὐκ ἂν οὐδὲ ἡ ψυχὴ ἐν ὑποκειμένῳ εἴη. οὐ γάρ ἐστιν ἡ ψυχὴ ἐν σώματι ἁπλῶς γινομένη, ἐπεὶ κἂν ἐν παντὶ σώματι ἐγίνετο, ὥστε καὶ ἐν τοῖς ἁπλοῖς, πυρί, ἀέρι, ὕδατι, γῇ· τοῦτο δὲ ἀδύνατον. ἀλλ' ἔστιν ὑποκείμενον αὐτῷ καὶ ὕλη τὸ ὀργανικὸν σῶμα, ὃ οὔτε πρὸ τοῦ τὴν ψυχὴν ἔχειν οἷόν τε ὀργανικὸν εἶναι, οὔτε ἀποβαλὸν τὴν ψυχὴν ὀργανικὸν ἔτι. οὐδὲν γὰρ ἄψυχον σῶμα ὀργανικόν. οὐκ ἄρα ἔστι λαβεῖν διὰ τοῦτο ἐν ᾧ ἐστιν ἡ ψυχή. σὺν γὰρ ταύτῃ ὂν ὀργανικόν, ὡς ὁ μόλιβδος σὺν τῇ βαρύτητι. ἀλλ' οὔτε τὸ πῦρ ἐν τῷ ἄνθρακι ὡς ἐν ὑποκειμένῳ. τὸ μὲν γὰρ πρώτως καὶ κυρίως πῦρ λεγόμενον οὐκ ἔστιν ἐν τῷ ἄνθρακι οὐδὲ ἐν ξύλῳ ἢ ἄλλῃ τινὶ τοιαύτῃ ὕλῃ (καθ' αὑτὸ γὰρ ἡ ὑπόστασις ἐκείνῳ, ὥσπερ ἀέρι τε καὶ γῇ καὶ ὕδατι), τὸ δὲ διακονικὸν πῦρ τὸ τῆς παρ' ἡμῖν ὕλης δεόμενον οὐδὲ αὐτὸ ἐν ὑποκειμένοις τοῖς ξύλοις ἐστὶν ἢ τῷ ἄνθρακι, ἀλλ' ἔστιν τούτων ἕκαστον ὕλη τῷ πυρί. ὅτε γὰρ πῦρ γέγονεν, οὐκ ἄνθραξ ἐστὶν ἔτι οὐδὲ ξύλον, ἀλλὰ ἐνεργείᾳ μὲν πῦρ ἐστιν τότε, δυνάμει δὲ ἄνθραξ, ὡς, εἴ γε ἦν τότε ἄνθραξ, ἦν ἂν ἐν ὑποκειμένῳ αὐτῷ τὸ πῦρ. ὅτι δὲ οὐκ ἔστιν ἄνθραξ, δῆλον ἐκ τοῦ μὴ ἔχειν αὐτὸ τὰ τοῦ ἄνθρακος ἴδια. τὸ δὲ ἔχον ἐν ὑποκειμένῳ τι τὴν οἰκείαν φυλάσσον οὐσίαν ἔχει τοῦτο. ὡς γὰρ ὁ ἀὴρ ἐξ ὕδατος μεταβάλλων δυνάμει μὲν ὕδωρ ἐστίν, ἐνεργείᾳ δὲ οὔ (διὰ τοῦτο οὐδ' ἐν ὑποκειμένῳ τῷ ὕδατι ὁ ἀήρ), οὕτως οὐδὲ ὁ ἄνθραξ πῦρ γενόμενος ἐν ὑποκειμένῳ αὐτῷ τὸ πῦρ ἕξει μηκέτ' ἄνθραξ μένων. οὔτε γὰρ ἐν τούτῳ ἐν ὑποκειμένῳ ἔσται, ὃ ἐν τῷ νῦν τὸ εἶναι ἔχει, οὐδὲ ἐν ἐκείνῳ ὃ πρὸ τοῦ 147r μὲν ἦν ἄνθραξ, νῦν δὲ τοῦ πυρὸς ἐν αὐτῷ γενομένου μηκέτι ἐστίν, ἀλλὰ ἔφθαρται. σημειωτέον ὅτι Ἀριστοτέλης τὴν φύσιν εἶδος οὖσαν ἐν ὑποκει-

6 τὸ om. K 7 ὡς] fortasse ᾧ 16 σὺν γὰρ ταύτῃ ὂν ὀργανικόν] cf. 5,10, nisi exciderunt quaedam post βαρύτητι 17 οὔτε] fortasse οὐδὲ, sed cf. v. 31 adn. 18 ἐν om. Ka 19 τῷ ξύλῳ K 22 ξύλοις m[1] in marg. ὑλικοῖς in text. V: ὑλικοῖς Ka 24 τότε om. Ka ἄνθραξ] ἂν in lit. V 26 τι Ka: τινὶ V 31 νῦν (πρ vet. corr. supra lin.) V: πῦρ Ka: fortasse πυρί; ἐν τούτῳ enim (v. 30) cum ad carbonem referri debeat, sequitur ut ἐν ἐκείνῳ (v. 31) dictum sit de igni. sensus autem est: *neque in carbone* ὡς ἐν ὑποκειμένῳ *esse id, cuius natura in igni posita est* (ὃ ἐν τῷ πυρὶ τὸ εἶναι ἔχει cf. τὸ δὲ ἐν ὕλῃ τὸ εἶναι ἔχει 88,15) *neque in igni esse* ὡς ἐν ὑχομειμένῳ *carbonem.* carbonem autem ita circumscribit: *id quod antea carbo erat, nunc vero, ubi ignis in eo exstitit, carbo esse desiit et interiit.* quae cum ita sint, poterit aliquis conicere v. 17 excidisse post οὔτε τὸ πῦρ ἐν τῷ ἄνθρακι: οὐδ' ὁ ἄνθραξ ἐν τῷ πυρί 33 σημειωτέον] cf. 122,14 adn. ὁ ἀριστοτέλης K

μένῳ λέγει εἶναι ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως. ὑποκείμενον γάρ τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. λέγει δὲ καὶ ἀρχόμενος τοῦ δευτέρου Περὶ ψυχῆς· 'οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα', καθ' ὑποκειμένου μὲν λέγων τὸ ἐν ὑποκειμένῳ. λέγων δὲ τὸ μὲν σῶμα μὴ εἶναι τοιοῦτον, τὴν δὲ ψυχήν, ἣ δύναται καθ' ὑποκειμένου οὐ τὸ ἐν ὑποκειμένῳ λέγειν νῦν, ἀλλ' ὃ δεῖται πρὸς τὸ εἶναι ὑποκειμένου τινός. οὕτως δὲ ἔχει καὶ τὸ εἶδος τὸ ἐν τῇ ὕλῃ. ὅτι δὲ τὸ εἶδος οὕτως, ἐντεῦθεν ἂν τις ἐπιδείξαι. εἰ τὸ εἶδος σῶμα, ἤτοι χωρὶς εἴδους ἔσται αὐτό, ἢ εἶδος ἕξει τὸ σῶμα τοῦτο. εἰ μὲν οὖν χωρὶς εἴδους, ὕλη ἔσται τὸ εἶδος. εἰ δὲ εἶδος ἕξει τὸ εἶδος, ἐκεῖνο ἤτοι καὶ αὐτὸ σῶμα ἔσται, καὶ ὁ αὐτὸς πάλιν ἐπ' ἐκείνου λόγος, ἤ, εἰ ἀσώματον, ἔσται καὶ τὸ πρῶτον εἰλημμένον εἶδος ἀσώματον. ἔτι, εἰ τὸ εἶδος ἐκεῖνο, ὃ ἦν σῶμα, εἶδος ἕξει, τὸ εἶδος ἐκεῖνο, καθ' ὃ τὸ σωματικὸν εἶδος ψυχή, ἢ ἀσώματον ἢ σῶμα ἔσται. εἰ ἀσώματον, τὸ δὲ ψυχῇ εἶναι κατὰ τὸ εἶδος εἶχεν τὸ σῶμα, ἔσται ἀσώματος ἡ ψυχή. εἰ δὲ καὶ τοῦτο σῶμα, ἐπ' ἄπειρον ὁ λόγος προελεύσεται. διὰ τί δὲ ἡ ψυχὴ ἐντελέχεια οὖσα οὐσία; ἢ πάντων τῶν φυσικῶν οὐσιῶν ἅτινα κυρίως οὐσίαι. καὶ γὰρ τὰ τεχνητὰ οὐσίαι οὐ καθὸ τεχνητά, ἀλλὰ καθὸ ὑπόκειται αὐτοῖς φυσικὰ σώματα· τῶν δὴ φύσει ὄντων τὰ εἴδη καὶ αἱ ἐντελέχειαι οὐσίαι, καθά ἐστιν ἕκαστον αὐτῶν τόδε τι, οἷον γῆ, πῦρ. καὶ τὸ ζῷον δὲ φυσικὴ οὐσία καὶ ἔστιν εἶδος αὐτοῦ καὶ ἐντελέχεια, καθὸ ζῷον, ἡ ψυχή. οὐσία ἄρα καὶ αὕτη. ἐξ οὐσιῶν γὰρ αἱ οὐσίαι. ἐκ γὰρ μὴ οὐσιῶν οὐκ ἂν οὐσία γένοιτο. ὥστε ἐπεὶ ἐξ ὕλης καὶ εἴδους αἱ φυσικαὶ οὐσίαι, ἡ ὕλη καὶ τὸ εἶδος οὐσίαι. ἔτι ἐξ ὕλης καὶ εἴδους φυσικῶν ἡ φυσικὴ οὐσία. ἐξ ὧν δὲ ἡ φυσικὴ οὐσία σύγκειται, οὐσίαι ταῦτα. τὸ εἶδος ἄρα καὶ ἡ ὕλη φυσικαὶ οὐσίαι. ἔτι εἰ οὐσίας ἴδιον τὸ τῶν ἐναντίων παρὰ μέρος εἶναι δεκτικόν, δεκτικὴ δὲ καὶ ἡ ψυχὴ τῶν ἐναντίων παρὰ μέρος (κακίας γὰρ καὶ ἀρετῆς), εἴη ἂν οὐσία. πῶς οὖν ἐκ μὲν μὴ οὐσιῶν ἀδύνατον οὐσίαν γενέσθαι, ἐκ δὲ ἀσωμάτων σῶμα γίνεται; οὔτε γὰρ ἡ ὕλη σῶμα, οὔτε τὸ εἶδος, ἐκ τούτων τὸ σῶμα. ἢ εἰ μὲν ἐγίνετο σῶμα, ἔδει αὐτὸ ἐκ μὴ σώματος γενέσθαι, πᾶν γὰρ τὸ γινόμενον ἐκ τοῦ ἀντικειμένου αὐτῷ γίνεται. ὁμοίως καί, εἰ οὐσίας ἦν γένεσις ἁπλῶς, ἐκ μὴ οὐσίας ἂν ἐγίνετο. ἐπεὶ δὲ οὐδὲν τούτων ἁπλῶς γίνεται, οὐδὲ ἡ ὕλη ποτὲ αὐτὴ καθ' αὑτὴν οὐδὲ τὸ εἶδος ὄντα ἰδίᾳ συνελθόντα σῶμα ποιεῖ, ἀλλὰ ἐπινοίᾳ μὲν ταῦτα χωρίζεται, ἀεὶ δέ ἐστιν ἡ ὕλη ἐν εἴδει τινί, καὶ οὐδέποτέ ἐστιν, ὅτε χωρὶς εἴδους ἐστίν, ἡ δὲ γένεσις τοῖς γινομένοις οὐκ ἐξ ὕλης ἁπλῶς καὶ εἴδους, ἀλλὰ ἐκ τοῦδε τοῦ

1 ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως] Ar. ausc. phys. 2,1 192b34 2 ἀρχόμενος τοῦ δευτέρου περὶ Ψυχῆς] de an. 2,1 412a18 τοῦ περὶ ψυχῆς δευτέρου Ka 4 μὲν om. Ka 5 τὴν δὲ ψυχήν V: δῆλον ὅτι τὴν ψυχὴν εἶναί φησιν Ka 6 λέγει Ka 7 εἶδος] εἰ in lit. V τὸ ante ἐν om. Ka 14 ψυχῇ scripsi: ψυχὴ V: ψυχῆς Ka 16 fortasse πάντων τῶν φυσικῶν ⟨γένεσις ἐξ⟩ οὐσιῶν. ita concludit: *partes, quibus formantur verae substantiae physicae, substantiae sunt. animal autem substantia physica et anima pars animalis. anima igitur substantia physica* 17—19 καὶ γὰρ τὰ τεχνητὰ — αἱ ἐντελέχειαι οὐσίαι om. Ka 21 αἱ om. Ka 22 οὐσίᾳ a 27 μὴ] οὖν Ka 28 ἀσωμάτων V: σωμάτων Ka ἐκ τούτων V: ἐξ ὧν Ka cf. 122,14 adn.

σώματος εἰς τόδε κατὰ τὴν τοῦ εἴδους ὑπαλλαγὴν γίνεται, ὥστε ἐκ τοῦ τινος σώματός τι σῶμα γίνεται, οὐχ ἁπλῶς σῶμα ἐκ σώματος. ἐγίνετο δ' ἂν σῶμα ἁπλῶς, εἴ ποτε ἐνεργείᾳ κεχωρισμένον τὸ εἶδος καὶ ἡ ὕλη συνῄεσαν, καὶ οὕτως ἐκ μὴ σωμάτων. πῶς οὖν τὰ μὲν μέρη τῆς οὐσίας οὐσίαν λέγομεν, καὶ διὰ τοῦτο τὸ εἶδος καὶ τὴν ὕλην οὐσίαν φαμέν, τὰ δὲ μέρη τοῦ σώματος οὐκέτι σώματα, εἴ γε καὶ ταῦτα μέρη σώματος, τὸ εἶδος καὶ ἡ ὕλη; ἢ οὐκ ἔστι τὸ εἶδος καὶ ἡ ὕλη ὡς σώματος μέρη. σώματος μὲν γὰρ μέρη τὰ συμπληρωτικὰ τοῦ σώματος, ταῦτα δὲ οὐ συμπληροῖ τὸ σῶμα. ὡς δὲ οὐσίας ἐστὶ μέρη· διὰ ταῦτα, οὗ μέν ἐστι μέρη, τῆς αὐτῆς φύσεώς ἐστιν ἐκείνῳ, οὗ δὲ μή ἐστι μέρη, οὐκ ἔστι ταὐτὰ τούτῳ. ὅτι δὲ ὡς οὐσίας ἐστὶ μέρη, δῆλον ἐκ τοῦ τὴν οὐσίαν τὴν συναμφότερον καὶ καθὸ ὑπόκειται οὐσίαν λέγεσθαι καὶ καθὸ τόδε τί ἐστι τὸ εἶδος. ἡ γὰρ οὐσία ὑποκείμενον· οὐδὲν δὲ οἷόν τε ὑποκεῖσθαι μὴ τόδε τι ὄν. εἴη ἂν πρὸς τὸ ὑποκείμενον εἶναι ἡ οὐσία βοηθουμένη ὑπὸ τοῦ εἴδους. ὥστε παρ' ὧν ἔχει τὸ ὑποκεῖσθαι ἡ οὐσία καθό ἐστιν οὐσία, οὐσία ταῦτα.

Ὅτι αἱ ποιότητες οὐ σώματα.

Εἰ ἡ ποιότης σῶμα φυσικόν, πᾶν δὲ σῶμα φυσικὸν οὐσία, ἡ ποιότης οὐσία. ἢ ἡ ποιότης ἑτέρα τῆς ὑποκειμένης αὐτῇ φύσεως, οὐ γὰρ ταὐτὸν ὕδωρ καὶ ἡ περὶ αὐτὸ ψυχρότης, ἐπεὶ ἦν ἂν πᾶν τὸ ψυχρὸν ὕδωρ καὶ πᾶν ὕδωρ ψυχρόν, καὶ ἔστιν ἡ ὑποκειμένη τῇ ποιότητι φύσις οὐσία. ἡ ποιότης οὐκ οὐσία, ἑτέρας γὰρ φύσεως. τοῦτο δὲ τῇ ἐπαγωγῇ πιστωτέον· πάσης γὰρ οὐσίας ἑτέρα ἡ περὶ αὐτὴν ποιότης. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον. ἡ ποιότης οὖν ἕτερον οὐσίας, τὸ ἕτερον οὐσίας οὐκ οὐσία, ἡ ποιότης ἄρα οὐκ οὐσία. ἀλλὰ εἰ πᾶν σῶμα οὐσία, ἡ δὲ ποιότης οὐκ οὐσία, οὐκ ἄρα ἡ ποιότης σῶμα. ἔτι εἰ ἡ λευκότης σῶμα φυσικόν, πᾶν δὲ σῶμα φυσικὸν ἁπτόν, ἡ λευκότης ἄρα ἁπτή. ἀλλὰ μὴν οὐχ ἁπτή. οὐκ ἄρα σῶμα. εἰ γὰρ ἁπτὴ ἡ λευκότης, πάσχοι ἂν ἡ ἁφὴ ὑπ' αὐτῆς. ἀλλὰ μὴν οὐ πάσχει. οὐκ ἄρα ἁπτή. ἔτι ἡ ἁφὴ ὑπὸ τῶν ἐναντίων ἐναντίως διατίθεται καὶ πάσχει, σκληροῦ, μαλακοῦ, θερμοῦ, ψυχροῦ. ὥστε καὶ ὑπὸ λευκότητος καὶ μελανίας, ὅ ἐστιν ἐναντίον τῷ λευκῷ, ὑπεναντίως πάσχοι ἂν καὶ γλυκύτητος καὶ πικρότητος. ἀλλὰ μὴν οὐ πάσχει ἐναντίως. οὐκ ἄρα ἡ λευκότης ἁπτή. ἔτι πᾶν σῶμα φυσικὸν κινοῦν ἢ σῶμα τοπικῶς

---

2 οὐχ ἁπλῶς] incipit apodosis 3 ὕλης Ka κεχωρισμένον scripsi: κεχωρισμένου Va 4 μὲν om. Ka 4. 5 fortasse οὐσίας οὐσίας 5 τὴν ὕλην καὶ τὸ εἶδος Ka 12 τὸ εἶδος insiticium videtur 14 ἂν V: ἂν οὖν Ka cf. Ind. s. v. asyndeton quae est hypomnematica in hoc libro scribendi ratio, permulta dissoluti sermonis exempla nolui mutare 20 ἡ ποιότης οὐκ οὐσία] cf. quae dixi ad v. 14, quae nisi obstarent, confidentius totum enuntiatum ita conformarem: ἢ ⟨εἰ⟩ ἡ ποιότης ἑτέρα τῆς ὑποκειμένης αὐτῇ φύσεως (οὐ γὰρ ταὐτὸν ὕδωρ καὶ ἡ περὶ αὐτὸ ψυχρότης, ἐπεὶ ἦν ἂν πᾶν τὸ ψυχρὸν ὕδωρ καὶ πᾶν ὕδωρ ψυχρόν), καὶ ἔστιν ἡ ὑποκειμένη τῇ ποιότητι φύσις οὐσία, ἡ ποιότης οὐκ οὐσία 22 ἀλλὰ μὴν τὸ πρῶτον, τὸ κτλ.] cf. Ind. 28 ἐναντίων ἐνανεναντίως (sic) V: ἐναντίως K: ἐναντίως ἐναντίως a 30 μελανίας VK: μελανείας a 32 ἁπτή Ka: ἡ (sic) ἁπτή V

κινεῖ καὶ σωματικῶς, τουτέστιν ἁπτόμενον (ἢ γὰρ ὠθοῦν, ἢ ῥιπτοῦν, ἢ ἕλκον, ἢ θλῖβον, ἢ δινοῦν, ἢ ὀχοῦν καὶ φέρον, ἢ εἴ τις ἄλλος τρόπος σωματικῆς κινήσεως), ποιότης δὲ οὐδεμία τοπικῶς κινεῖ καθ' ἑαυτήν. οὐκ ἄρα σῶμα ἡ ποιότης. ⟨ἔτι⟩ εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ποιότητα ἔχει ἢ οἷόν τε | δέξασθαι ποιότητα, καὶ ἡ ποιότης ἢ ποιότητα ἔχοι ἂν ἢ οἵα 147v τε εἴη δέξασθαι ποιότητα, ὅπερ ἄτοπον. οὐκ ἄρα σῶμα ἡ ποιότης. εἰ γὰρ δέχοιτο, ἐπ' ἄπειρον ἡ πρόοδος. ἔτι εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ἐνεργείᾳ ὂν ποιότητα ἔχει (ἡ γὰρ ὕλη δυνάμει σῶμα), ἕξει καὶ ἡ ποιότης ποιότητα, ὅπερ ἄτοπον. ἔτι, ἣν ἔχει ποιότητα, ἢ σῶμα ἢ οὐ σῶμα. εἰ μὲν οὖν οὐ σῶμα, οὐκέτι ποιότης σῶμα καὶ τίς ἡ ἀποκλήρωσις τοῦ τὴν μὲν πρὸ αὐτῆς ποιότητα σῶμα εἶναι, ταύτην δὲ μή; εἰ δὲ καὶ αὐτὴ σῶμα, ἕξει καὶ αὕτη ποιότητα, καὶ τοῦτο ἐπ' ἄπειρον. ἔτι πολλὰ ἂν εἴη σώματα ἐν τῷ αὐτῷ. τοῦτο δ' ὅτι ἀδύνατον ἐν ἄλλοις ἐδείξαμεν. ἔτι, εἰ αἱ ποιότητες σώματα, πῶς τῇ παρουσίᾳ αὐτῶν καὶ τῇ ἀπουσίᾳ οὐκ αὔξεται καὶ μειοῦται τὰ σώματα; εἰ δὲ λέγοιεν διὰ τὸ ἄλλας παραγίνεσθαι ἄλλων ἀπιουσῶν, ἄξιον ἀπορῆσαι, πῶς ἴσαι πᾶσαι αἱ παραγινόμεναι ταῖς ἀπιούσαις. ἔτι πόθεν ἔρχονται αἱ ἐρχόμεναι, ἢ ποῦ ἀπίασιν αἱ χωριζόμεναι; δεῖ γὰρ τόπον αὐτῶν εἶναι, εἰ σώματα. ἔτι ἐπὶ τῶν ὀσμὴν ἐχόντων πῶς συνεχῶς τῆς ὀσμῆς ἀπιούσης τὸ ἔχον αὐτήν, ἀφ' οὗ ἄπεισιν, οὐ μειοῦται; οὐ γὰρ δὴ καὶ τότε ἀντείσεισιν ἄλλη. ἔτι ⟨εἰ⟩ προσλαμβάνει τινὰ σώματα ποιότητας χωρὶς τοῦ ἀποβάλλειν ὧν ἔχουσίν τινας, ὡς ὁ ἀὴρ ὁ μὴ ἔχων ὀσμήν, τῶν ὀδωδότων τινὸς παρακομισθέντος δίοσμος γίνεται, καὶ ὁ ἀρετὴν ἢ κακίαν ἀναλαβών, μὴ πρότερον ὢν ἐν κακίᾳ, πῶς οὖν οὐκ αὔξονται; ἔτι εἰ ἡ ποιότης σῶμα, ἡ ἐν τῷ μήλῳ ἡ κατὰ τὴν ὀσμὴν ποιότης δῆλον ὡς δι' ὅλου διήκει τοῦ σώματος τοῦ μήλου καὶ ἴσον αὐτῷ κατέχει τόπον. ἀλλὰ μὴν μετακομισθέντος τοῦ μήλου καὶ ὁ πέριξ ἀὴρ εὐωδίας ἀνεπλήσθη πολλαπλάσιος ὤν, ὥστε καὶ διὰ τούτου ἡ αὐτὴ ποιότης διῆλθεν καὶ ἴσον αὐτῷ κατέσχεν τόπον, κἂν πάλιν μετακομισθῇ τὸ μῆλον πάλιν ἄλλον ἀέρα ἀναπλήσει. πῶς οὖν τὸ ἴσον σῶμα μένον καὶ διῆκον καὶ διὰ τοῦ μήλου ἐκεῖνόν τε μένει κατέχον τὸν τόπον σὺν τῷ μήλῳ καὶ ἅμα πολλαπλάσιον ἄλλον καὶ ἄλλοτε ἄλλον; οὔτε γὰρ ἡ αὐτὴ εὐωδία ἐν τῷ πρώτῳ ἀέρι συμμεταφέρεται τῷ μήλῳ, οὔτε ἐκ τοῦ μήλου ἀεὶ ἄλλη καὶ ἄλλη εὐωδία γεννᾶται. πῶς γὰρ οἷόν τε ἐξ ὀλίγου σώματος πολυπλάσιον προϊέναι μηδενὸς προσγινομένου αὐτῷ; ἔτι οὐδὲν σῶμα εἰς τὸ μὴ ὂν φθείρεται, αἱ δὲ ποιότητες εἰς τὸ μὴ ὂν φθείρονται. οὐκ ἄρα αἱ ποιότητες σώματα. οὐ γὰρ ἡ λευκότης μελανία ἐγένετο ὑπομείνασα. ἔτι εἰ ἡ ποιότης σῶμα, πᾶν δὲ σῶμα ἢ ὕλη ἢ ἐξ ὕλης καὶ ποιότητος, εἴη ἂν καὶ ἡ ποιότης τούτων τι. ὕλη μὲν οὖν ἀδύνατον. λείπεται ἄρα ἐξ ὕλης καὶ ποιότητος λέγειν τὴν ποιότητα.

---

4 ἔτι εἰ scripsi: εἰ VKa 5 ἔχει Ka 13 ἐν ἄλλοις] de mixtione libellum respicere videtur. Cf. 20,18 ἐδείξαμεν VK: καὶ δείξαμεν a 19 ἄπισιν V 20 ἀντείσισιν V ἔτι εἰ scripsi: ἔτι VKa 26 μετακομησθέντος, μ in lit. V, fortasse παρακομισθέντος cf. v. 22 27 ἴσον semper V: ἶσον a 31 fortasse ⟨ἢ⟩ ἐν τῷ πρώτῳ ἀέρι 33 πολυπλάσιον V: πολλαπλάσιον Ka 37—38 εἴη ἂν—ποιότητος om. K

εἰ δὲ τοῦτο, πρῶτον μὲν ἡ ποιότης οὐ ποιότης, ἀλλὰ ὕλη καὶ ποιότης (ἕτερα γὰρ ἀλλήλων ταῦτα), ἔτι δὲ ἡ μετὰ τῆς ὕλης ποιότης καὶ αὐτὴ πάλιν ὕλη καὶ ποιότης εἴη ἄν, εἰ σῶμα, καὶ οὕτως ἐπ' ἄπειρον, καὶ ἄπειροι ὕλαι εἶεν ἂν ἐν ἑκάστῃ ποιότητι. εἰ γὰρ ἡ ὕλη ποιότης, πᾶν ἐνεργείᾳ σῶμα ὂν εἴη ἂν οὐκ ἐξ ὕλης καὶ ποιότητος, ἀλλ' ἐκ ποιότητος καὶ ποιότητος, τουτέστιν ἐξ ὕλης καὶ ὕλης, εἴ γε ταὐτὸν ἡ ὕλη καὶ ἡ ποιότης, καὶ οὐδὲν διοίσει ἡ ὕλη τοῦ κατ' ἐνέργειαν σώματος. εἰ δὲ τοῦτο, ἄποιος δὲ ἡ ὕλη, ἄποιον ἂν εἴη καὶ τὸ κατ' ἐνέργειαν σῶμα καὶ ἢ οὐδ' ὅλως ἔσται ἡ ποιότης ἢ οὐδὲν ἄλλο σῶμα ἢ ποιότης. ἔτι εἰ σῶμα αἱ ποιότητες, καὶ τὸ φῶς ποιότης, καὶ ὡς δοκεῖ αὐτοῖς σῶμα, πῶς ἀπὸ τοῦ λύχνου οὕτως ὄντος μικροῦ σώματος τοσοῦτον ἀπέρχεται σῶμα, ὥστε ἐξισωθῆναι τῷ πέριξ ἀέρι τοσούτῳ ὄντι καὶ μετενεχθέντος πάλιν εἰς ἄλλον ἀέρα ἄλλο πάλιν ἄπεισιν τοσοῦτον; ἢ πῶς οὐκ αὔξεται ὁ ἀὴρ τοσούτου προσγινομένου σώματος αὐτῷ, ἢ πῶς διήκει δι' αὐτοῦ μεστοῦ ὄντος καὶ κιρνᾶται αὐτῷ τὸ φῶς; ἤ, εἰ τοῦτο συμμεταφέρεται, πῶς ἥνωται τῷ λύχνῳ τὸ ἐκτὸς ὑπ' αὐτοῦ γινόμενον φῶς; ἔτι πῶς ὁ ἐν τῷ οἰκιδίῳ ἀὴρ ὅταν πολλὰς λάβῃ ποιότητας οὐκ αὔξεται; ἐν ἴσῳ γὰρ τῷ αὐτῷ καὶ φῶς καὶ θερμότης καὶ ὀσμὴ καὶ χρῶμα καὶ ψόφος. ταῦτα δὴ πάντα σώματα ὄντα καὶ δι' ὅλου τοῦ ἀέρος τοῦ ἐν τῷ οἰκιδίῳ ὄντα πῶς οὐκ αὔξει αὐτὸν ἢ πῶς οὐ ῥήγνυσιν τὸν οἶκον; ὁ γὰρ ἐν τῷ ἀσκῷ ἀὴρ ὀλίγον αὐξηθεὶς ῥήγνυσιν τὸν ἀσκόν. ὅτι γὰρ ἄλλο ἐστὶ ποιότης παρὰ τὸ ποιότητα ἔχον καὶ πεποιωμένον σῶμα τῇ τε ἐπινοίᾳ καὶ τῷ λόγῳ, ἐντεῦθεν δῆλον. ἤτοι ταὐτόν ἐστι τὸ σῶμα καὶ τὸ ποιὸν σῶμα ἢ ἕτερον. εἰ μὲν ἕτερον, δῆλον ὡς προσθήκῃ τινὶ καὶ διαφορᾷ τὸ ποιὸν σῶμα τοῦ σώματος ἕτερον. [ἐναργὲς δὲ τὸ εἶναι αὐτὸ ἕτερον. καὶ γὰρ αἱ ὁρισμοὶ αὐτῶν καὶ οἱ λόγοι διαφέρουσιν.] ᾧ δὴ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος, τοῦτ' ἔστιν ποιότης, ὥστε τὸ σῶμα ποιότητος παρουσίᾳ καὶ προσθήκῃ ποιὸν σῶμα ἐγένετο. ἕτερον δὲ τὸ μετειληφός τινος τοῦ πρὸ τοῦ μετειληφέναι, καὶ ἕτερον τὸ μεταλαμβανόμενον τοῦ μεταλαμβάνοντος. ᾧ δὴ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος, τοῦτ' ἔστιν ποιότης, οὐ σῶμα οὖσα δηλονότι. τὸ γὰρ σῶμα κοινὸν τῷ τε σώματι καὶ τῷ ποιῷ σώματι, καὶ οὐ διαφέρει τὸ ποιὸν σῶμα τοῦ σώματος ποιῷ σώματι, ἀλλὰ ποιότητι. ὁριζόμενοι γοῦν τὸ ποιὸν σῶμα καὶ τὸ σῶμα τὴν διαφορὰν αὐτῶν οὐ κατὰ ποιὸν σῶμα, ἀλλὰ κατὰ ποιότητα ποιούμεθα. εἰ δέ τις λέγοι ταὐτὸν εἶναι σῶμα· καὶ ποιὸν σῶμα, πρῶτον οἱ λόγοι αὐτῶν οἱ αὐτοὶ ἔσονται, ὥστε ἔσται λευκοῦ σώματος καὶ πάλιν σώματος καὶ μέλανος σώματος ὁ αὐτὸς λόγος. εἰ δὲ τοῦτο, καὶ λευκοῦ σώματος καὶ μέλανος σώματος ὁ αὐτὸς ἔσται λόγος. ἑκάτερος γὰρ αὐτῶν ὁ αὐτὸς τῷ τοῦ σώματος. ἔτι εἰ ταὐτόν ἐστι σώματι εἶναι καὶ ποιῷ σώματι, ταὐτὸν ἔσται

β . α
1 ἡ—οὐ ποιότης] ἡ ποιότης οὐ ποιότης K: οὐ ποιότης ἡ ποιότης a 4 ἂν om. Ka 15 συμμεταφέρεται] verba respicit: καὶ μετενεχθέντος πάλιν εἰς ἄλλον ἀέρα ἄλλο πάλιν ἄπεισιν τοσοῦτον 19 ὄντα VKa: ὄντος ex Vict.: fortasse διήκοντα 22 ἐπινοίᾳ V 24. 25 ἐναργὲς—διαφέρουσιν] argumentum ex margine inlatum delevi 27 τὸ μὴ μετειληφός Ka 34 λέγον Ka 37 σώματος om. Ka τῷ] fortasse ὡς

τὸ σῶμα τὸ ὑποκείμενον τῷ λευκῷ καὶ τὸ ἤδη δεδεγμένον τὴν λευκότητα καὶ λευκόν, καὶ θατέρου φθειρομένου φθαρήσεται | καὶ τὸ ὑποκείμενον 148r σῶμα τῷ λευκῷ. οὐχ ὁρῶμεν δὲ τοῦτο γινόμενον. ὑπομένον γὰρ τοῦτο τὸ τέως λευκὸν ταὐτὸν τῷ ἀριθμῷ δέχεται τὰ ἐναντία.

Πρὸς τοὺς μηδὲν τῶν τεττάρων σωμάτων ἃ στοιχεῖα λέγομεν κατ' ἰδίαν ὑφίστασθαι λέγοντας.

Εἰ τὰ τέσσαρα σώματα ἀεὶ μετ' ἀλλήλων μέμικται καὶ καλεῖται ἕκαστον αὐτῶν τόδε τι ἀπὸ τοῦ πλεονάζοντος ἐν αὐτῷ, μὴ δύναται δὲ κατ' ἰδίαν τι αὐτῶν ληφθῆναι διὰ τὸ εἶναι γῆς μὲν ἴδιον τὸ ἀντιτυπές, πυρὸς δὲ τὸ ὁρατόν, τῶν δὲ ἄλλων ἑκάστου ἄλλο τι, καὶ διὰ τοῦτο ἕκαστον αὐτῶν πλείοσιν αἰσθήσεσιν αἰσθητὸν εἶναι, καθόσον κεκοινώνηκεν καὶ τῶν ἄλλων (καὶ γὰρ τὸ πῦρ ἁπτὸν καὶ ἀντιτυπές, διότι γῆν ἔχει, καὶ ἡ γῆ ὁρατόν, διότι πῦρ ἐστιν ἐν αὐτῇ), τί ποτε ἐροῦσιν ἴδιον εἶναι σώματος καὶ τίνα τὸν λόγον ἀποδώσουσιν τοῦ κοινοῦ καὶ φυσικοῦ σώματος, καθὸ σῶμα; εἰ γὰρ μή ἐστι παντὸς σώματος ἡ ἀντιτυπία μηδέ ἐστιν ὁ λόγος αὐτοῦ τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας (τοῦτο γὰρ ἴδιόν φασι τῆς γῆς), τίς ὁ τοῦ κοινοῦ σώματος λόγος; δεῖ γὰρ εἶναί τινα, εἴ γε τῶν γενῶν ἐστίν τις λόγος καὶ ἄλλος τις παρὰ τὸν τῶν εἰδῶν ἑκάστου. ταύτῃ γὰρ τὸ γένος τῶν ὁμωνύμως λεγομένων διαφέρει. ἔτι, εἰ διὰ τοῦτο ὁ ἀὴρ ἁπτός, ὅτι γῆς ἔχει, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀντιτυπίαν ἔχων πάνυ τι, διότι ἔλαττον ἔχει γῆς, τί δή ποτε, ἐπειδὰν ἀσκὸν πνεύματος πληρώσῃ τις, ἀντιτυπεῖ τότε μᾶλλον; δεήσει γὰρ αὐτοὺς λέγειν γῆς τότε πλεῖον τὸ πνεῦμα μετειληφέναι, εἴ γε παρὰ τῆς γῆς ἡ ἀντιτυπία. εἰ δέ, ὅτι μὴ χεῖσθαι δύναται συγκεκλειμένος, διὰ τοῦτο ἔχει τὴν ἀντιτυπίαν, οὐ παρὰ τὸ πλέον ἢ ἔλαττον ἔχειν γῆς τὸ ἀντιτυπὲς αὐτῷ, ἀλλὰ παρὰ τὴν οἰκείαν φύσιν. ὁ γὰρ αὐτὸς μένων ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον ἀντιτυπεῖ, ὥστε παρ' ἄλλο τι ἡ ἀντιτυπία. ἔτι, εἰ εἰς ἄλληλα τὰ σώματα μεταβάλλει ταῦτα, κοινῆς ὕλης ὑποκειμένης αὐτοῖς, καὶ ἔστι κατὰ τὸ εἶδος ἐναντίωσιν ἔχοντα πρὸς ἄλληλα, καὶ ἀεὶ τὸ ἐπικρατοῦν μεθίστησιν εἰς τὴν οἰκείαν φύσιν τὸ κρατούμενον, τί δή ποτε ἐπὶ μὲν τῶν ἔξω κεχωρισμένων τὰ παρακείμενα ἀλλήλοις τὰ ἐλάττονα ὑπὸ τῶν πλειόνων, εἰ εἴη ἐναντία, φθείρεται, ἐνυπάρχοντα δὲ ἑκάστῳ τὰ ἐλάττονα ἐν τοῖς μείζοσιν καὶ διὰ τοῦτο λεγομένοις τόδε τι εἶναι, ἀπὸ τοῦ πλεονάζοντος οὐ φθείρεται τὴν αὐτῶν φύσιν; τοῖς γὰρ οὕτως λέγουσιν συμβήσεται κατὰ τὰς ὁμοιομερείας τὰς Ἀναξαγόρου τὴν γένεσιν κατὰ σύγκρισιν καὶ ἔκκρισιν τῶν στοιχείων λέγειν, οὐ κατὰ μεταβολήν. ἔτι, εἰ πᾶν τὸ λαμβανόμενον τὰ τέτταρα ἐν αὐτῷ ἔχει, καὶ μὴ δυνατὸν εἰλικρινές τι ληφθῆναι, ἐπ' ἄπειρον ἡ πρόοδος ἔσται ἀεὶ τοῦ λαμβανομένου καὶ ἀφαιρου-

---

1 τὸ ante ὑποκείμενον om. Ka 5 τεσσάρων a ut solet 9 ἀντιτυπές a: ἄντιπες V 13 ἐν αὐτῷ a 18 ὁμονύμως a 22 τότε om. a πλέον a πνεῦμα τότε a 23 συγκεκλεισμένα a 30 ἔξω V: ἄλλων a 31 εἴη] εἰ in lit. V 33 αυτῶν V: αὐτῶν a 36 αὐτῷ?

μένου τῶν τεττάρων κεκοινωνηκότος. εἰ γάρ, ὅτε ἐκπίπτει τὴν αἴσθησιν διὰ σμικρότητα, τότε ἐροῦσιν αὐτὰ εἰλικρινῆ λαμβάνεσθαι, οὐκ ἔτ' ἔσται μεμιγμένα πάντα. [ἔτι εἰ καὶ μηκέτι ὁρώμενον ἔτι μέμικται πυρί, οὐ διότι ὁρατόν ἐστιν, διὰ τοῦτο πυρὸς ἔχει· καὶ γὰρ μηκέτι ὁρατὸν ὂν μηδὲ ὁρώμενον ἔτι κεκοινώνηκεν πυρὸς τότε.] ἔτι πῶς ἐκ τῆς τῶν τοιούτων συνθέσεως τὸ ὁρατὸν ἔσται; οὐ γὰρ δὴ ἐκ τῶν ἀμίκτων ἡ σύνθεσις μῖξίν τινος τῶν ἄλλων ποιήσει. εἰ δὲ ἡ τῶν τοιούτων σύνθεσις ἀόρατος ἔσται τῷ ἄμικτον ἕκαστον αὐτῶν εἶναι πυρός, δυνήσεταί τι οὕτως συντιθέμενον σῶμα ἐπ' ἄπειρον αὐξόμενον ἀόρατον μένειν. ὁμοίως δὲ καὶ ἀναφές, εἰ ἐκ τῶν καθαρευόντων τῆς γῆς συντίθοιτο. ἔτι πότερον λέγουσιν ἀδύνατον εἶναι τὴν ὕλην θερμότητα καὶ ξηρότητα δέξασθαι καὶ πῦρ γενέσθαι ἄνευ ψυχρότητος καὶ ξηρότητος, ἐν οἷς τῇ γῇ τὸ εἶναι, ἢ οἵα τε καὶ χωρὶς ψυχρότητος δέχεσθαι θερμότητα; εἰ μὲν γὰρ ἀδύνατον ἐροῦσιν, πῶς οὐκ ἄτοπον κατὰ τὸ αὐτὸ αὐτὴν ψυχρότητός τε καὶ θερμότητος εἶναι δεκτικήν, τῶν ἐναντίων, ὧν ἀδύνατός ἐστι τὸ ἕτερον ἰδίᾳ δέξασθαι; εἰ δέ, ὅπερ εὔλογον, χωρὶς τοῦ ἑτέρου θάτερον οἵα τε δέξασθαι (κατὰ γὰρ ταὐτὸν ἀδύνατον), πῶς οὐκ ἔσται τὸ ὑποκείμενον θερμότητα καὶ ξηρότητα ἔχον ἁπτόν; ἔσται γὰρ οὕτως τὸ θερμὸν οὐκ αἰσθητὸν αὐτοῖς κατὰ τὴν αὑτοῦ φύσιν. εἰ δέ γε ἀδύνατόν ἐστιν αὐτὸ ὑφεστὸς ἐνεργείᾳ ὑπ' αἴσθησιν πεσεῖν, εἰ μὴ καὶ ψυχρότητος αὐτῷ μεμιγμένον εἴη· ἐν γὰρ τούτῳ τῇ γῇ τὸ εἶναι, καὶ τούτῳ τοῦ πυρὸς διαφέρει. ὥστε ἔσται παρὰ τοῦ ἐναντίου αὐτῷ τὸ αἰσθητόν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ οὕτως οὐδὲν ἄμικτον ὂν τοῦ ἐναντίου καὶ εἰλικρινὲς αἰσθητὸν ἔσται.

Ὅτι ὁ ἀὴρ φύσει θερμός.

Εἰ τὸ πῦρ, θερμὸν καὶ ξηρὸν ὄν, φύσει κοῦφόν ἐστιν, εἴη ἂν τὸ μετ' αὐτὸ κοῦφον κοινωνοῦν αὐτῷ κατ' ἐκεῖνο, καθ' ὃ κοῦφον ἦν. ἀλλὰ μὴν τὸ πῦρ κοῦφόν τε καὶ θερμόν ἐστιν, τὸ γοῦν ξηρὸν φύσει ἐν τῇ γῇ ἐστιν, οὔσῃ βαρείᾳ, καὶ ὁ ἀὴρ ἄρα, δευτέρως κοῦφος ὤν, θερμός ἐστιν. ἔτι, εἰ τὰ ἄλλα τὰ γειτνιῶντα ἀλλήλοις στοιχεῖα κατὰ κοινόν τι γειτνιᾷ, εὔλογον καὶ τὸν ἀέρα τῷ πυρὶ ἔχειν τι κοινὸν σύμβολον. ὑγρὸς δ' ὢν τί ἂν ἄλλο

---

1 κεκοινονηκότος a 2 ἔτ' om. a 3 καὶ om. a verba, quae uncis seclusi, huic loco non potest scriptor destinasse, cum verbis sequentibus (ἔτι πῶς ἐκ τῆς κτλ.) eorum opinionem refellere pergat, qui esse quaedam minima corpora ignis expertia contendant: fortasse igitur post συντίθοιτο v. 10 collocanda sunt 6 μίξις a 8 αὐτῶν ἕκαστον a 14 θερμότητος V: ξηρότητος a ἐναναντίων V 15—16 εἰ δέ usque ad δέξασθαι om. a 18 fortasse φύσιν, εἴ γε ἀδύνατόν ἐστιν .. πεσεῖν, εἰ μὴ .. μεμιγμένον εἴη· ἐν γὰρ τούτῳ .. διαφέρει, ὥστε. continent enim haec verba εἰ δέ γε — διαφέρει adversariorum argumenta, quae si cum praecedentibus artius coniunxerimus, et anacoluthon tollitur et sententiae (inde a πῶς οὐκ v. 16) bene sic procedunt: *cur materia cum calido siccoque coniuncta non tactilis est? hoc enim negantibus fatendum erit* (ἔσται γὰρ οὕτως αὐτοῖς), *calidum per se non sensibile esse, quia (secundum eosdem) calidum, licet* ὑφεστὸς ἐνεργείᾳ, *nisi cum frigido mixtum percipi non potest* 21 αὐτοῦ a 24 θερμόν a 27 fortasse κοῦφον καθὸ θερμόν 28 βαρείᾳ a: βαρεία K: βαρεῖα V

κοινὸν ἔχοι πρὸς αὐτὸ ἢ τὸ θερμὸς εἶναι; ἔστιν γὰρ τῇ μὲν γῇ καὶ τῷ ὕδατι τὸ ψυχρὸν κοινόν, τῷ δὲ ὕδατι καὶ τῷ ἀέρι τὸ ὑγρόν, τῷ δὲ ἀέρι καὶ τῷ πυρὶ λείπεται τὸ θερμόν. ἔτι εἰ τὰ ἁπλᾶ ἐστι τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν καὶ ταῦτά ἐστι τὰ εἰδοποιοῦντα τὰ στοιχεῖα, εἴδει ἂν ἀλλή|λων διαφέροι τὰ ἁπτικῇ ἁπλῇ διαφορᾷ διαφέροντα. 118v ὥστε εἰ τὸ ὕδωρ καὶ ὁ ἀὴρ εἴδει διαφέρουσιν, ἁπλῇ ἄν τινι διαφορᾷ διαφέροιεν. ἀλλὰ μὴν τὸ ὑγρὸν αὐτοῖς τὸ αὐτό ἐστι, λείπεται ἄρα κατὰ ψυχρὸν καὶ θερμὸν εἶναι τὴν διαφορὰν αὐτοῖς. ἔτι εἰ τὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀλλήλων διαφέροντα εἴδει οὐ διαφέρει, καὶ ὁ ἀὴρ ψυχρὸς καὶ ὑγρός, οὐκ ἂν τοῦ ὕδατος εἴδει διαφέροι· καὶ γὰρ ἐκεῖνο ψυχρόν τε καὶ ὑγρόν ἐστι. καὶ γὰρ εἰ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον λέγοι τις, ἀλλ' οὖν εἴδει οὐ διοίσει· ἄμφω ἄρα ἕν, καὶ οὐκέτι τὰ στοιχεῖα τέσσαρα. ἔτι εἰ τεττάρων οὐσῶν συμπλοκῶν ἐκ τοῦ ξηροῦ καὶ ὑγροῦ καὶ θερμοῦ καὶ ψυχροῦ αἱ τρεῖς τὰ ἄλλα στοιχεῖα εἰδοποιοῦσιν, εὔλογον τὴν καταλειπομένην συζυγίαν τὸν ἀέρα εἰδοποιεῖν. εἰδοποιεῖ γὰρ τὸ μὲν θερμὸν καὶ ξηρὸν τὸ πῦρ, τὸ δὲ ξηρὸν καὶ ψυχρὸν τὴν γῆν, τὸ δὲ ψυχρὸν καὶ ὑγρὸν τὸ ὕδωρ, τὸ ἄρα θερμὸν καὶ ὑγρὸν εἰδοποιήσει τὸν ἀέρα. ἔτι οὗ ἡ γένεσις διὰ θερμοῦ, τοῦτο θερμὸν τῇ αὑτοῦ φύσει. τῷ δὲ ἀέρι γένεσις ἐξ ὕδατος διὰ θερμοῦ γίνεται. θερμαινόμενον γὰρ τὸ ὕδωρ εἰς ἀέρα μεταβάλλει. ἀλλὰ καὶ ὅσον ἐκ γῆς εἰς ἀέρα μεταβάλλει, θερμαινομένης τρέπεται καὶ μεταβάλλει. ὥστε θερμὸς ὁ ἀὴρ τῇ αὑτοῦ φύσει. ἔτι εἰ κατὰ τὸ σύμβολον ἡ μεταβολὴ τοῖς στοιχείοις εὐκολωτέρα γίνεται εἰς ἄλληλα καὶ ἔστι τοῖς τρισὶν κοινόν τι σύμβολον ἄλλῳ πρὸς ἄλλο, εἴη ἂν καὶ τῷ ἀέρι καὶ τῷ πυρὶ κοινὸν σύμβολον. οὐδὲν δὲ ἄλλο δύναται, ἢ θερμόν. θερμὸς ἄρα ὁ ἀήρ. ἔστι δὲ σύμβολον τὸ κοινὸν γῇ μὲν καὶ ὕδατι τὸ ψυχρόν, πυρὶ δὲ καὶ γῇ τὸ ξηρόν, ὕδατι δὲ καὶ ἀέρι τὸ ὑγρόν, πυρὶ δὲ καὶ ἀέρι τὸ θερμόν.

Πρὸς τοὺς δι' ἀκτίνων λέγοντας γίνεσθαι τὸ ὁρᾶν.

Εἰ κατὰ ἀκτίνων ἔκχυσιν καὶ πρόπτωσιν τὸ ὁρᾶν, δῆλον ὅτι σώματα αὗται. οὐδὲ γὰρ οἷόν τε ἄλλως κινηθῆναι αὐτὰς καὶ προελθεῖν. τοῦτο δὴ τὸ σῶμα τὸ τῶν ἀκτίνων πότερον ἀήρ ἐστιν ἢ φῶς ἢ πῦρ; καὶ πότερον συνεχές ἐστιν, ἢ διῃρημένον; καὶ εἰ συνεχές, πότερον ἐκπίπτει τοιοῦτον, ἢ ἐκπίπτει μὲν διῃρημένον, ἐκπεσὸν δὲ συμφύεται καὶ γίνεται συνεχές; πάντα γὰρ ταῦτα ἄτοπα. εἰ μὲν οὖν ἀήρ ἐστι, τί δεῖ αὐτὸν ἐκπεσεῖν, ὄντος γε καὶ ἔξω ἀέρος; εἰ δὲ φῶς καὶ οἷον ἀὴρ διαυγής (τοιοῦτον γάρ τι τὸ φῶς εἶναι οἰόμεθα), καὶ οὕτως μὲν περίεργος ἡ ἔκπτωσις, ὄντος γε καὶ ἔξω φωτός. καὶ γὰρ οὐδὲ ἄνευ τοῦ ἔξω δυνατὸν ὁρᾶν ἐστιν. εἶτα διὰ τί νύκτωρ καὶ σκότους οὐχ ὁρῶμεν; αὐτὸ γὰρ τὸ διὰ τῶν ὀφθαλμῶν ἐκπῖπτον φῶς ἱκανὸν

---

5 διαφέρει Ka   9 εἴδει ex. Vict.: εἴδη VKa   10 διαφέρει Ka   23—24 ἄλλῳ usque ad σύμβολον om. Ka   24 δύναται εἶναι ἢ Ka cf. Ind.   27 διὰ τῶν Ka   τὸ ὁρᾶν λέγοντας Ka   γίνεσθαι om. Ka   33—34 εἰ μὲν—ἀέρος] cf. Al. de sens. comm. 64,10—11   35 μὲν] fortasse μένει sed cf. Ind.   36 εἶτα διὰ τί κτλ.] cf. Al. de sens. 65,6—11

ἂν ἦν φωτίζειν τὸν θύραθεν ἀέρα, ὅ γε καὶ μέχρι τῶν ἄστρων ἀποτείνεσθαι πέφυκεν· οὕτως ἐστὶν ἰσχυρόν. εἰ δέ ἐστιν ἀσθενέστερον τοῦ μεθημερινοῦ φωτός, ἐχρῆν τοσούτῳ μᾶλλον νύκτωρ μὲν καὶ σκότους ὁρᾶν, ἡμέρας δὲ μή. τὸ γὰρ ἧττον ἀεὶ φῶς ὑπὸ τοῦ λαμπροτέρου φωτὸς μαραίνεται· οὕτως γοῦν καὶ λάμπει ἔνια νυκτός, τῆς ἡμέρας δὲ ἐπισκοτεῖται τὸ λάμπον αὐτῶν, ὡς ὀστέα τινὰ καὶ κεφαλαὶ ἰχθύων καὶ αἱ πυγολαμπίδες λεγόμεναι. ἔτι πῶς, εἰ ἀσθενές ἐστι τὸ ἐκπεμπόμενον, ἅμα πολλῶν εἰς ταὐτὸ συνελθόντων σκότους, τί δή ποτε οὐχ ἱκανὸν γίνεται τὸ ἐκ πάντων μιχθέν, ὥσπερ καὶ τὸ ἀπὸ λύχνων πλειόνων φωτίζει πλέον, ὧν ἕκαστος οὐκ ἦν αὐτάρκης φωτίζειν τοσοῦτον; ἔτι εἰ τὸ φῶς ὁρατόν ἐστιν, πῶς τὰς ἀλλήλων ὄψεις οὐχ ὁρῶμεν οὔτε ἡμέρας οὔτε ἐν σκότῳ; εἰ δὲ μήτε ἀήρ ἐστι τὸ ἐκπεμπόμενον μήτε φῶς, λείπεται πῦρ εἶναι. εἰ πῦρ ἐστιν, εἴη ἂν θερμόν τε καὶ καυστικόν. οὐκ ἔστι δέ· ὥστ' οὐδὲ πῦρ. εἰ γὰρ μὴ καυστικόν, φῶς πάλιν ἐροῦσιν. τί δή ποτε ἔσται τοῦτο τὸ φῶς; πυρὸς μὲν γὰρ ἀπόρροια οὐκ ἔστιν, ὡς οἴονται· καὶ γὰρ ἄλλα τινὰ φωτίζει οὐκ ὄντα πῦρ. ἔτι εἰ πῦρ ἐστι τὸ ἐκπεμπόμενον, πῶς οὐκ ἀποσβεσθήσεται ἐν ὕδατι; ὁρῶμεν δὲ καὶ ἐν ὕδατι, ὁρᾷ δὲ καὶ τὰ ἐν τῷ ὕδατι ζῷα. ἔτι εἰ πῦρ τὸ ἐκπεμπόμενόν ἐστι, κατὰ φύσιν ἂν εἴη αὐτῷ ἡ εἰς τὸ ἄνω κίνησις. ὥστε ἐχρῆν ἡμᾶς μὴ ὁμοίως ὁρᾶν ἄνω τε καὶ κάτω ὁρῶντας, ἀλλὰ ἄνω μὲν ῥᾷον, κάτω δὲ βιαζομένους καὶ μόγις. ἔτι εἰ δι' ἀκτίνων τὸ ὁρᾶν, ἁφή τις ἡ ὄψις ἔσται καὶ κατὰ ἁφὴν ἡ τῶν ἀκτίνων ἀντίληψις. εἰ δὲ αἱ ἀποτεινόμεναι ὄψεις αἰσθητικαί εἰσιν, διὰ τί οὐχὶ καὶ θερμοῦ καὶ ψυχροῦ αἰσθάνονται; μᾶλλον γὰρ ⟨ἂν⟩ τῶν ἁπτῶν διαφορῶν, ἢ τῶν χρωμάτων αἰσθάνοιντο. ἔτι εἰ συνεχὲς ἐκπίπτοι τὸ τῆς ὄψεως σῶμα, δεήσει πρῶτον μὲν πόρον τινὰ σύμπασαν τὴν κόρην εἶναι, ὅπερ οὐχ οὕτως ἔχειν φαίνεται. ἔπειτα, εἰ καὶ συνεχὲς ἐκπέμπεται, πῶς οὐ σκεδάννυται τουτὶ τὸ ῥεῦμα τὸ τῆς ὄψεως σχιζόμενον περὶ τὸν ἀέρα τὸν ἔξωθεν λεπτότερον ὂν αὐτοῦ; ἢ εἰ μὴ σκεδάννυται, πῶς οὐκ εἰς στενὸν συνάγεται προϊόν; τοιοῦτον γάρ τι ὁρῶμεν καὶ τὰ ἄλλα σώματα πάσχοντα προχωροῦντα· καὶ γὰρ ὕδωρ προχωροῦν ἤτοι χεῖται ἢ στενοῦται, καθάπερ τὸ ἐκ τῶν κρουνῶν ῥέον, καίτοι στερεώτερον ὂν τῶν ἀκτίνων· ἡ δὲ φλὸξ εἰς ὀξὺ ἀπολήγει. τὸ δὲ τῆς ὄψεως σῶμα πῶς εἰς κῶνον πλατύνεται καὶ μείζονα ἐπὶ πλέον προχωροῦν μήτε τῶν παχυτέρων μήτε τῶν λεπτοτέρων σωμάτων τοῦτο πασχόντων; ἔτι εἰ σῶμά ἐστι, τόπον κατέχει. ἤτοι οὖν σῶμα διὰ σώματος δίεισιν ἢ

3 σκότους m², σκότος m¹ V: σκότους Ka 4 τὸ γὰρ ἧττον κτλ.] cf. Al. de sens. 47,13sq. φῶς ὑπὸ VK: φωτὸς ὑπὸ a 6 λαμπὸν Va 8 supra ταὐτὸ: τὸ m² V 11 ἄλλων Usenerus 12 εἰ m¹ V, εἰ οὖν m²: εἰ οὖν Ka cf. 122,14 14 δή m², δέ m¹ V: δή Ka ἐστι Ka 15 οἴονται Ka: οἷόν τε V 16 ἔτι εἰ κτλ.] cf. Al. de sens. 47,12 εἰ πῦρ ἐστι om. Ka 17 ὁρῶμεν δὲ κτλ.] cf. Al. de sens. 65,3 ἔτι εἰ πῦρ κτλ.] cf. Al. de sens. 64,11–65,3 20 εἰ δι' V ex Vict.: ἡ δι' corr. in εἰ δι' K: ἡ δι' a 23 ἂν addidi 24 ἐκπίπτει Ka 25 πόρον] ante ρ 2—3 lit. er. V 27 τὸν ante ἔξωθεν] ante ν una lit. eras. V 29 σώματα Ka: σῶμα V 30 ἤτοι χεῖται V: εἶτα χεῖται K: ἢ ταχεῖται a: ἤτοι παχεῖται ex. Vict. 34 ἔτι εἰ σῶμά ἐστι κτλ.] cf. Al. de sens. 61,6—62,11 δίεισιν m², δίεσιν m¹ V

κενόν ἐστιν ἀφωρισμένον ἢ ἀντιπερίστασις γίνεται, εἰ μὲν ἐν ἀέρι ἐκπέμποιτο, ἀέρος, εἰ δὲ ἐν ὕδατι, ὕδατος· εἰς μὲν οὖν τὴν κόρην ἄτοπον λέγειν τὸ ὕδωρ ἀντιμεθίστασθαι, χρὴ δὲ ζητεῖν εἰς τί. οὐδὲ γὰρ εἰς τὴν ἀναπνοήν. οὐδὲ γὰρ ἀναπνεῖ τὰ ἐν τῷ ὕδατι ὁρῶντα, οὐδὲ ὅλως τὰ ἔνυδρα χωρίς τινων. ἔτι εἰ εἰς τὴν κόρην ἀντιμεθίσταται, οὐ πάσῃ αὐτῇ ἐκπέμψομεν, οὐδὲ ὀψόμεθα, ἀλλ' ἔσται τις εὐρυχωρία, | καθ' ἣν τὸ ἀντιμεθιστάμενον χώραν ἕξει. 149r κατά τι οὖν αὐτῆς ὀψόμεθα καὶ κατά τι μή. ἔτι διὰ τί τῶν ζῴων τὰ μὴ ἐπιμύοντα ἐν τῷ κοιμᾶσθαι οὐχ ὄψεται, εἴ γε πλήρεις ἔχει τοὺς τοῦ σώματος πόρους; εἰ δὲ μὴ συνεχὲς ἕξεισιν τὸ σῶμα τοῦτο τὸ τῆς κόρης, ἀλλὰ διῃρημένον, ἤτοι διεκπῖπτον συμφύεται καὶ συνεχὲς γίνεται ἢ μένει διῃρημένον. εἰ μὲν οὖν συμφύεται, πῶς πάλιν εἰς κῶνον συμφυόμενον ἐξαπλοῦται καὶ τηλικοῦτον, ὡς ἀποτέμνεσθαί τινος κώνου βάσει τὸ πλεῖστον μέρος τοῦ οὐρανοῦ; ἐχρῆν γὰρ αὐτό, ἀρξάμενον ἅπαξ ξυνιέναι καὶ συμφύεσθαι, ὑπὸ τοῦ περιέχοντος ἀέρος μᾶλλον συστέλλεσθαι καὶ εἰς στενὸν συνάγεσθαι. ἔτι εἰ ὑπ' ἀκτίνων ὁ κῶνος περιέχεται διῃρημένων καὶ κεχωρισμένων, εἰ μὲν εἴη [μὴ] μεῖζον τὸ μεταξὺ τῶν ἀκτίνων, πλέον ἔσται τὸ μὴ ὁρώμενον τοῦ ὁρωμένου, καὶ τὸ μὲν πέριξ ὀφθήσεται, καθὸ αἱ εὐθεῖαι προσβάλλουσιν, τὸ δὲ μέσον οὔ. εἰ δὲ ἴσον, ἴσον οὐχ ὀφθήσεται. ἔλαττον δὲ πῶς ἂν εἴη ⟨τὸ⟩ τῶν εὐθειῶν μεταξύ, τῶν εὐθειῶν τηλικαύτην βάσιν ποιουσῶν; ἔτι τε πῶς οἷόν τε οὕτως τὰς ἀκτῖνας εἶναι παχέα σώματα ἐκ τῆς κόρης προπεμπόμενα ἀπὸ ὀλίγου σώματος; ἔτι δὲ αἱ ἀκτῖνες αἱ ἐκπεμπόμεναι τί δή ποτε οὔτε ὑπὸ τῶν ἀνέμων οὔτε ὑπὸ τῶν ὑδάτων τῶν κινουμένων περιφέρονται, ἀλλ' ἐπ' εὐθείας ἀεὶ καὶ τούτων ὄντων ὁρῶμεν, εἰ ἡ ἐπιφάνεια τοῦ ὕδατος ἐν ταὐτῷ μένοι; ἔτι πῶς διὰ τῶν στερεῶν διαφανῶν αἱ ἀκτῖνες διέρχονται; εἰ γὰρ λέγοιεν πόρους ἔχειν ταῦτα, ἤτοι κενοὺς ἕξει καὶ ἔσται τι κενὸν ἀφωρισμένον ἢ πλήρεις ἀέρος ἤ τινος ἄλλου σώματος, καὶ ποῦ τοῦτο χωρήσει; πῶς δὲ καὶ πλείους διὰ τοῦ αὐτοῦ ὀφθήσονται; πλείω γὰρ σώματα διὰ τῶν αὐτῶν πόρων διελεύσεται. ἔπειτα διὰ τί συνεχῆ τὰ διαφανῆ ὁρᾶται; μόνους γὰρ ἔδει τοὺς πόρους αὐτῶν ὁρᾶσθαι ἢ διαλείπουσάν γε τὴν ἐπιφάνειαν αὐτῶν, καθάπερ τῶν κοσκίνων. ὁμοίως δὲ καὶ τὰ δι' αὐτῶν ὁρώμενα ἐπισκοτεῖσθαι ἔδει, καθὰ μὴ πόρους ἔχει τὰ διαφανῆ. πόθεν δὲ καὶ τὸ τοσοῦτον σῶμα ἐν ἡμῖν, ὥστε καὶ μέχρι τῶν ἄστρων ἐκπέμπεσθαι καὶ τοῦτ' ἔστιν ἐν ἡμῖν

9 πλήρεις VK: πληρεὶς a: fortasse εἴ γε ⟨μὴ⟩ πλήρεις 10 τὸ τῆς m[1], τῆς m[2] V: τῆς Ka (*corpus quod in pupilla inesse solet*) cf. τοῦτο τὸ σῶμα τὸ τῶν ἀ. 127,29 τουτὶ τὸ ῥεῦμα τὸ τῆς ὄψεως 128,26 16 supra καὶ v. c. συν scripsit V μεῖζον scripsi: μὴ μεῖζον VKa 19 ἔλαττον m[1], ἐπ' ἔλαττον v. c. V: ἐπ' ἔλαττον Ka τὸ addidit Usenerus 20 ποιοῦσαν Ka ἔτι τε πῶς κτλ.] cf. Al. de sens. 60,2—7 21 ἔτι δὲ αἱ ἀκτῖνες κτλ.] cf. ἔτι πῶς οὐ συγχέονται οἱ τοιοῦτοι τύποι, ἐπειδὰν ῥέῃ τὸ ὕδωρ, τὸ δὲ αὐτό, εἰ καὶ ἐν ἀέρι πνεῦμα πολὺ εἴη 134,9 23 παραφέρονται Usenerus καὶ τούτων κτλ.] de rapidis fluviis dicere videtur, quorum vadum perlucet, dumne superficies perturbata sit. sed plura exciderunt 26 καὶ ἔσται Ka: ἢ ἔσται V ἢ πλήρεις ex. Vict.: ἢ πλῆρες a: πλῆρες V 28 fortasse ὄψονται σώματος Ka 31 ἐπισκοτεῖσθαι] ι in lit. V 32 τὸ om. Ka 33 ἀστέρων Ka καὶ τοῦτ'] fortasse καὶ ποῦ

πρὶν ἡμᾶς ὁρᾶν; πῶς δὲ οἷόν τε οὕτως ταχέως τὸ σῶμα κινεῖσθαι τοῦτο, ὥστε εὐθὺς τῷ ἀναβλέψαι ἅμα τὸν οὐρανὸν ἡμᾶς ὁρᾶν; ἔτι πῶς οἱ ἐξ ἐναντίας ἀλλήλους ὁρῶντες ὀφθήσονται, ἐὰν κατὰ τὸ αὐτὸ αἱ ἀκτῖνες ἀπαντήσωσιν ἀλλήλαις; ἢ γὰρ ἐν μέσῳ στήσονται καὶ οὐκ ἔσται ὄψις ἀλλήλων, ἢ δι' ἀλλήλων ἐλεύσονται καὶ οὕτως πάλιν σῶμα διὰ σώματος δίεισιν, ἢ ἡ ἑτέρα κρατήσει καὶ ὁ ἕτερος τὸν ἕτερον ὄψεται μόνον. ἔτι πᾶν τὸ κινούμενον τοπικῶς ἐν χρόνῳ κινεῖται καὶ ἀδύνατον κατὰ τὸ αὐτό τι τῷ αὐτῷ τάχει χρώμενον τὴν διπλασίαν ἐν τῷ αὐτῷ κινηθῆναι χρόνῳ. ἀλλὰ μὴν ἅμα ὁρῶμεν τά τε ἐγγὺς καὶ τὰ ἀπὸ πολλαπλασίου διαστήματος. τοὺς γοῦν ἀστέρας πλεῖστον ἀπέχοντας ἅμα ὁρῶμεν τοῖς παρεστῶσιν. οὐκ ἄρα κατὰ κίνησίν τινος τὸ ὁρᾶν. εἰ δὲ μὴ κατὰ κίνησιν, οὔτε κατὰ ἀκτίνων προβολὴν οὔτε κατὰ εἰδώλων ἀπόρροιαν οὔτε κατὰ τὴν ἀπ' ἀμφοῖν.

Πρὸς τοὺς διὰ τῆς τοῦ ἀέρος συνεντάσεως τὸ ὁρᾶν ποιοῦντας.

Εἰσὶν δέ τινες, οἳ διὰ τῆς τοῦ ἀέρος συνεντάσεως τὸ ὁρᾶν φασι γίνεσθαι. νυττόμενον γὰρ ὑπὸ τῆς ὄψεως τὸν συνάπτοντα τῇ κόρῃ ἀέρα σχηματίζεσθαι εἰς κῶνον. τούτου δὲ οἷον τυπουμένου κατὰ τὴν βάσιν ὑπὸ τῶν ὁρατῶν τὴν αἴσθησιν γίνεσθαι, καθάπερ καὶ τῇ ἁφῇ διὰ βακτηρίας. πολλὰ μὲν οὖν τὰ αὐτά ἐστι καὶ πρὸς τούτους εἰπεῖν τῶν εἰρημένων πρὸς τοὺς δι' ἀκτίνων τὸ ὁρᾶν ποιοῦντας, ἰδίᾳ δὲ παρ' αὐτῶν ἐπιζητήσειεν ἄν τις περί τε τῆς ἐντάσεως αὐτῆς τῆς ὑπὸ τῶν ὄψεων γινομένης τοῦ συνάπτοντος ἀέρος τῇ κόρῃ καὶ τῆς κατὰ τὸ ἕτερον μέρος τυπώσεως ὑπὸ τοῦ ὁρωμένου, ἔτι τε τῆς ἐπερείσεως, πῶς οἷόν τε παραδέξασθαι μανοῦ τοῦ ἀέρος ὄντος, ἄλλως τε καί, εἰ τοιοῦτόν τι ἦν, ἐγίνετο ἂν συναίσθησις ἡμῖν ἀντιβάσεώς τινος. ἀλλὰ καὶ ἀναχωροῦντες εἰς τοὐπίσω οὐδὲν ἧττον ὁρῶμεν· καίτοι ἐπερείδοντας μὲν ὁρᾶν ἔδει, ὑποχωροῦντας δὲ μή. τίς γὰρ τότε ἡ ἐπέρεισις δι' ἡμῶν αὐτῶν; ἢ ἐπέρεισιν φήσουσιν γίνεσθαι; ἀλλὰ καὶ τῆς ὄψεως ἀπὸ τοῦ ἡγεμονικοῦ γινομένης, εἰ καὶ ἐπὶ ταύτης τὰ τῆς τονικῆς κινήσεώς ἐστιν, ὥσπερ λέγεται πρὸς αὐτῶν, πῶς οὐ γίνονται διαλείψεις τινὲς τοῦ ὁρᾶν, ἅτε μὴ συνεχοῦς ἐπὶ τὰ πέρατα τῆς τάσεως γινομένης, δι' αὐτὸ δὲ τοῦτο μηδὲ τῆς ἐπερείσεως; ὅπερ ἄν τις ἐπιζητήσειεν καὶ περὶ τῆς

2 ὁρᾶν ἡμᾶς Ka ἔτι πῶς οἱ ἐξ ἐναντίας κτλ.] cf. Al. de sens. 63,4—9 5 σώματος δίεισιν ἢ m², σώματος m¹ V: σώματος δίεισιν ἢ Ka 6—10 ἔτι πᾶν—παρεστῶσιν] cf. Al. de sens. 62,11—63,3 7 κατὰ τὸ αὐτό τι] fortasse τὸ αὐτό τι cf. Al. de sens. ib. ἀλλὰ μὴν ἀδύνατον τὸ αὐτό τι καὶ ἰσοταχῶς κινούμενον ἐν τῷ ἴσῳ χρόνῳ κινηθῆναι τόδε τι τὸ διάστημα καὶ τὸ τούτου πολλαπλάσιον κτλ. 8 fortasse ⟨καὶ⟩ τὴν διπλασίαν
11 τινος m¹, τινα m² V: τινα Ka 17 διὰ βακτηρίας] cf. Galen. de plac. Hipp. et Plat. 642,12 (Iw. Müller) μὴ τοίνυν ὡς διὰ βακτηρίας τοῦ πέριξ ἀέρος ὁρᾶν ἡμᾶς οἱ Στωϊκοὶ λεγέτωσαν. ἡ γὰρ τοιαύτη διάγνωσις ἀντιβαινόντων ἐστὶ σωμάτων, κατὰ συλλογισμὸν ἔτι μᾶλλον, οὐ πληκτοῦ δὲ αἰσθητικὴ ἡ τοῦ ὄμματος αἴσθησις ἡμῖν ἐστιν, οὐδὲ τῆς σκληρότητος ἢ μαλακότητος, ἀλλὰ χρόας καὶ μεγέθους καὶ θέσεως, ὧν οὐδὲν ἡ βακτηρία διαγνῶναι δύναται
21 τυπώσεως] τ in lit. V 25 ἐπερείδοντας] ς in lit. V τό τε Va 26 αὐτῶν a: αὐτῶν V ἢ ἐπέρεισιν—γίνεσθαι] *an tum quoque dicent esse ἐπέρεισιν?* 28 διαλήψεις a
30 ἐπιζητήσεις a

ἁφῆς, καθ' ἣν ἁπτόμεθα τῶν ἑτέρων σωμάτων· οὐδὲ γὰρ ἐπὶ ταύτης διαλείψεις τῆς ἀντιλήψεως γίνονται, ἔδει δέ γε· τοιαύτη γὰρ ἡ τονικὴ κίνησις κατ' αὐτούς. εἰ δὲ τὸ πνεῦμα τοῦτο δή, ὃ καλοῦσιν ὄψιν, μόνον κινεῖται τὴν προειρημένην κίνησιν, ἣν λέγουσι τονικήν, ἄλογον τὸ ἐπὶ μόνου τούτου λέγειν οὕτω, καίτοι γε οὔ φασιν. τὸ δὲ ὅλον ἀπορίας ἔχει πολλὰς ἡ περὶ τῆς τονικῆς κινήσεως δόξα. πρῶτον μὲν γὰρ ὁμοειδές τι ὂν αὐτὸ ἑαυτὸ κινήσει, ὃ ἀδύνατον δείκνυται προχειριζομένοις τὰς καθέκαστα κινήσεις. ἔπειτα, εἴπερ ἕν τι συνέχει τόν τε σύνολον κόσμον ἅμα τοῖς ἐν αὐτῷ, καὶ καθ' ἕκαστον τῶν ἐπὶ μέρους σωμάτων ἐστί τι ὃ συνέχει, πῶς οὐκ ἀναγκαῖον ταὐτὸν ἅμα τὰς ἐναντίας κινεῖσθαι κινήσεις; ὁπότε γὰρ ἀπὸ τοῦ μέσου τοῦ κόσμου πρὸς τὰ πέρατα ἡ κίνησις τῷ διήκοντι πνεύματι γίγνοιτο, τότ' 149v ἀνάγκη καὶ ἑκάστῳ τῶν ἐπὶ μέρους σωμάτων ἤτοι ἀπὸ τοῦ μέσου ἢ πρὸς τὸ μέσον τὴν κίνησιν τῷ τοῦ παντὸς πνεύματος μορίῳ, ὃ δι' ἑκάστου κεχώρηκεν, γίνεσθαι. διαφέρει δὲ οὐδὲν ὁποτερωθενοῦν λέγειν γίνεσθαι. εἰ μὲν δὴ καὶ τοῦτο ἀπὸ τοῦ μέσου κινοῖτο, λέγω δὲ τὸ ἔν τινι τῶν ἐπὶ μέρους σωμάτων, ἅμα κάτω καὶ ἄνω κινήσεται τὸ διὰ τῶν κατωτέρω τοῦ μέσου μερῶν τῆς ἕξεως αὐτοῦ διῆκον. καθὸ μὲν τὸ πᾶν εἰς τὸ ἄνω, οὗ μέρος τοῦτο, ἄνω, καθὸ δὲ ἀπὸ τοῦ μέσου τοῦ ἐν ᾧ ἐστιν ἐπὶ τὰ πέρατα κινεῖται τὰ κατωτέρω τοῦ μέσου, εἰς τὸ κάτω κινήσεται δηλονότι. ὥστε ἅμα ἄνω καὶ κάτω τὸ αὐτό. εἰ δὲ ἀπὸ τῶν περάτων ἐπὶ τὸ μέσον, ταὐτὸν συμβήσεται περὶ τὰ τῶν ἀνωτέρω τοῦ μέσου μερῶν αὐτοῦ διεληλυθότος τοῦ πνεύματος. ἀλλὰ εἰ καὶ δοθείη διὰ τῆς τοῦ μεταξὺ ἀέρος ἐπερείσεως τὸ ὁρᾶν γίνεσθαι, ὅπως δηλοῦν ἐχρῆν μᾶλλον σκληρότητος καὶ μαλακότητος καὶ τραχύτητος καὶ λειότητος καὶ ὑγρότητος καὶ ξηρότητος ἀντίληψιν οὕτως ἢ χρώματος γίνεσθαι. τούτων γάρ τι καὶ διὰ βακτηρίας δυνάμεθα γινώσκειν, ἀλλ' οὐχὶ χρώματα οὐδὲ σχήματα ἢ ποσὸν ἤ τι τῷ μεγέθει, ἅπερ ἐστὶ τὰ ὁρώμενα. τὰ γὰρ χρώματα καὶ τὰ σχήματα καὶ τὰ μεγέθη ἐστίν, ὧν ἡ ἀντίληψις διὰ τῆς ὄψεως. ὅλως δὲ ἔσται ἁφή τις ἡ ὄψις. ἁφῇ δὲ τὰ ἁπτὰ ὑπόπτωτα, ὥστ' ἤτοι τὰ σώματα, καθὸ σώματά ἐστιν, ὁρατὰ ἔσται, ἤ τά γε πάθη τὰ κατὰ συμβεβηκός. ἔτι διὰ τί ἐκ μὲν φωτὸς τὰ ἐν σκότῳ ὄντα οὐχ ὁρᾶται, ἐκ δὲ σκότους τὰ ἐν τῷ φωτί; τὸ γὰρ λέγειν τὸν μὲν πεφωτισμένον ἀέρα τῷ διακεκρίσθαι μᾶλλον ἔχειν ἰσχὺν καὶ δύνασθαι τῇ ἐπερείσει τὴν αἴσθησιν κινεῖν, τὸν δὲ ἀφώτιστον τῷ ⟨μὴ⟩ κεχαλᾶσθαι μὴ δύνασθαι ὑπὸ τῆς ὄψεως συνεντείνεσθαι, καίτοι πυκνότερον ὄντα τοῦ πεφωτισμένου, πῶς πιθανόν; τοὐναντίον γὰρ εὔλογον τὸν πυκνότερον ῥᾷον συνεντείνεσθαι, ἄλλως τε καὶ τοῦτο πεφυκότα πάσχειν, ὁπότε ἐκ σκοτεινοῦ τὰ ἐν φωτὶ θεῷτο. εἰ δὲ μὴ ὁ συνάπτων τῇ κόρῃ ἀφώτιστος ὢν ἐντείνεσθαι πέφυκεν, ἀλλὰ μόνον ὁ πεφωτισμένος, τί διαφέρει ἐν-

---

1 διαλείψεις a 4 λέγουσι] σι m² add. V 8 ἓν V: ἐν a 14 ante ὁποτέρωθεν duae lit. erasae V: ὁπωτέρωθεν a 21 ἀνωτέρου a 23 ὅπως δηλοῦν] fortasse πως, δῆλον ὡς 26 fortasse ἢ [ποσὸν ἤ τι τῷ] μεγέθη sive ἢ πόσον τι τῷ μ. Diels 28 μεγέθει a ἀντίληψις] ις in lit. V 29 ἡ ὄψις m¹ in mg. V δὲ om. a εἴ τοι a 30 πάθη τὰ scripsi: παθητὰ Va 33 μὴ addidi

τεῦθεν ἢ ἐντεῦθεν εἶναι τὸ κεχαλασμένον τοῦ ἀέρος, λέγω δὲ πρὸς τοῦ ὁρωμένου ἢ πρὸς τοῦ ὁρῶντος; εὔλογον γὰρ καὶ ὅταν ᾖ ἀφώτιστος ὁ πρὸς τῇ κόρῃ, ὁ δὲ πεφωτισμένος πρὸς τῷ ὁρωμένῳ, ἐκλύεσθαι πάλιν τὸν τόνον τὸν ἀπὸ τῆς ὄψεως ἰόντα πρῶτον διὰ τοῦ ἀφωτίστου ὄντος δυσκινήτου, ἐκλυθέντα δὲ μηκέθ' οἷόν τε εἶναι συνεντείνειν τὸν πεφωτισμένον τὰ πρὸς τῷ ὁρωμένῳ. οὐδὲν γὰρ μᾶλλον ἔδει τὰ ἐν τῷ φωτὶ ὑπὸ τῶν ἐν τῷ σκότῳ ὁρᾶσθαι ἢ τὸ ἔμπαλιν. ἔτι ἔστιν, ὅτε δύο οἰκημάτων κατάντικρὺ ὄντων καὶ φῶς ἐχόντων, τοῦ δὲ μεταξὺ τῶν οἰκημάτων ἀέρος σκότος ἔχοντος, οὐδὲν ἧττον ἀλλήλους ὁρῶσιν ἐκ τῶν οἰκημάτων, καίτοι τοῦ μεταξὺ μὴ συνεντεινομένου ἀέρος. πῶς οἷόν τε τοῦτο συμβαίνειν; ἔτι τὰ ἄστρα αὐτὰ διὰ τί ἡμέρας μὲν οὐχ ὁρῶμεν, νύκτωρ δὲ ὁρῶμεν; φαινόμεθα γὰρ ἐνταῦθα τὸν ζοφερὸν μὲν ἀέρα καὶ συνεστῶτα δυνατοὶ ὄντες ἐντείνειν μέχρι τῶν ἄστρων, τὸν δὲ διακρινόμενον καὶ ἀλεεινότερον καὶ διὰ τοῦτο μᾶλλον ἰσχὺν ἔχοντα, ὥς φασιν, μήτε ἐντεῖναι μήτε ἐπερεῖσαι δυνάμενοι μέχρι τοσούτου, ἀλλὰ μέχρι πολλῷ ἐλάττονος. ἀλλὰ καὶ τῆς σελήνης ὑπελθούσης τὸν ἥλιον καὶ ἔκλειψιν παντελῆ αὐτοῦ ποιησάσης δυνατοὶ γινόμεθα συστάντα καὶ ζοφωθέντα τὸν ἀέρα ἐντείνειν ἕως τῶν ἄστρων πρὸ τοῦ μὴ δυνάμενοι. ἀλλὰ καὶ ἐν ὕλῃ συσκίῳ ὄντες ἢ ἐν βαθεῖ φρέατι τὸ αὐτὸ ποιοῦμεν. φαίνεται γὰρ ἀπὸ τῶν τοιούτων τόπων ἡμῖν ἄστρα καὶ μεθ' ἡμέραν. ἔτι ὅταν ὁρῶμεν τὰ ἐν τῷ ὑγρῷ, καὶ τὸ ὕδωρ τῷ ἀέρι συνεντείνεται ἢ οὔ; εἰ μὲν γὰρ μὴ συνεντείνεται, οὐχ οὕτως τὸ ὁρᾶν. ὁρᾶται γὰρ καὶ τὰ ἐν τῷ ὕδατι. εἰ δὲ συνεντείνεται καὶ τὸ ὕδωρ, πολὺ εὐλογώτερον τὸν ζοφερὸν ἀέρα. πυκνότερον γὰρ τὸ ὕδωρ μακρῷ τούτου. εἰ δέ, ὅτι μανός, ὁ ζοφερὸς οὐ συνεντείνεται, πολλῷ μᾶλλον τοῦ ὕδατος ὁ πεφωτισμένος μανὸς ὢν οὐ συνεντείνεται. ἔτι ἐν αὐτῷ τῷ ὕδατι ὄντες ὁρῶμεν ἔσθ' ὅτε τὰ ἐν βυθῷ, καίτοι μηδενὸς ἀέρος συνάπτοντος τῇ κόρῃ· ὥστε καὶ τοῦτο ψεῦδος τὸ λέγειν διὰ τῆς τοῦ μεταξὺ ἀέρος συνεντάσεως τὸ ὁρᾶν γίνεσθαι. ἔτι τὰ ἔνυδρα πῶς οἷόν τε ὁρᾶν, εἴπερ μή ἐστιν ἐν τῷ ὕδατι ἀήρ; εἰ δὲ φήσουσιν καὶ ἐν ἐκείνοις εἶναι ἀέρα, πῶς οὐκ ἐκπυρηνίζεται οὗτος ἐκ τοῦ ὕδατος ἐπιπολάζειν αὐτῷ πεφυκώς; ἔτι εἰ τὸ φῶς σῶμα ὂν καὶ δι' ὕδατος καὶ διὰ τῶν ἄλλων κεχωρηκέναι λέγουσιν, δῆλον ὡς, ἂν φανῇ τὸ φῶς μὴ ὂν σῶμα, κενὸς ὁ λόγος ἂν εἴη. εἰ γάρ, διότι σῶμα, ἐπέρεισις αὐτῷ γίνεται, ἂν μὴ σῶμα ᾖ, δῆλον ὅτι οὐκ ἐπερεισθήσεται. ἔτι πῶς οὐ συγκρίνεται τῇ τοῦ ὕδατος ψυχρότητι τὸ φῶς τοῦτο καὶ παύεται τοῦ φῶς εἶναι, εἴπερ διακρίσει φῶς ἐστιν; ἔτι καὶ ἐν τοῖς πάγοις ἐχρῆν ἧττον φῶς γίνεσθαι, καθάπερ καὶ ἀλέαν. τὸ γὰρ μὴ συγκρίνεσθαι τὸ πνεῦμα ὕδατος συγκρινομένου καὶ κρυστάλλου γινομένου παράλογον, εἴ γέ ἐστιν ἀὴρ διακρινόμενος τὸ φῶς. τοῦ γὰρ ὕδατος συγκρινομένου καὶ πηγνυμένου τὸν ἀέρα εὐπαθέστερον ὄντα μὴ

5 τὰ] fortasse τὸν   7 κατ' ἀντικρὺ a: κατ' ἄντικρυ V   8 τοῦ δὲ V: τοῦ μὴ δὲ a   8—9 ἀέρος usque ad τῶν οἰκημάτων om. a   13 ἀλεεινότερον K: ἀλαιεινότερον Va   17 ἐκτείνειν Ka   19 ἡμῖ V   20 τὰ V: τε Ka   μὲν om. K   23 ὅτι V: ἄρα Ka   οὐ om. Ka   30 πεφυκώς K: πεφυκῶς a: πεφυκός V   34 τοῦ om. a   36 ἀλαίαν Va   χρυστάλον a

λέγειν συγκρίνεσθαι παράλογον. ὁρῶμεν δὲ καὶ τὴν φλόγα πάσχουσάν τι ὑπὸ τῶν πάγων. καὶ πρὸς τοὺς λέγοντας δὲ ἐν τῇ χιόνι φωτοειδές τι πνεῦμα ἀπειλῆφθαι καὶ τοῦτο τῆς λευκότητος αἴτιον εἶναι ῥητέον· πῶς οὐ συγκρίνεται τοῦτο ὑπὸ τῆς ψυχρότητος; ἔτι πῶς μετὰ τὴν κλάσιν ἤτοι τὴν ἀπὸ τοῦ κατόπτρου ἢ τὴν ἀπὸ τῶν διαφανῶν ἔτι τὸ τῆς ἐπερείσεως σώζεται; οὐδὲ γὰρ ἐπὶ βακτηρίας τοῦτο δυνατόν· πάντα γὰρ τὰ κεκλασμένα, ὥσπερ τὰ πηρὰ σώματα πρὸς τὰς ἐνεργείας, κἀκεῖνα πρὸς τὰς ἐπερείσεις ἐκλύεται. ἔτι εἰς φρέαρ βαθὺ καὶ ζοφερὸν ἀποβλέψαντες τί δή ποτε τὸ μὲν ὕδωρ οὐχ ὁρῶμεν, τὴν δ' ἑαυτῶν ἔμφασιν ὁρῶμεν; γελοῖον γὰρ | τὸ 150r λέγειν τῷ μὲν ὕδατι μὴ γίνεσθαι ἐπέρεισιν, κλασθέντος δὲ τοῦ μὴ ἐπερείσαντος τῷ ὕδατι ἐπέρεισίν τινα μετὰ τὴν κλάσιν γίνεσθαι τῷ κεκλασμένῳ. ὅμοιον γὰρ τῷ φάναι κλασθείσης ῥάβδου καὶ διπλωθείσης τὸ μὲν κατὰ τὴν κλάσιν ἀντέρεισιν ἡμῖν αἰσθητὴν μὴ παρέχειν, διὰ δὲ τῆς κλάσεως θατέρῳ τῶν περάτων ἀντερείδειν δύνασθαι. ἔτι εἴπερ διὰ πάντων κεχώρηκεν τὸ πνεῦμα, δῆλον ὅτι καὶ διὰ τῶν τοίχων, ὥσπερ καὶ διὰ τῶν διαφανῶν. τί δή ποτ' οὖν τὸν μὲν ἐν τοῖς διαφανέσιν ἀέρα συνεντείνομεν καὶ ὁρῶμεν δι' αὐτῶν, τὸν δὲ ἐν τοῖς μὴ διαφανέσιν οὔτε συνεντείνομεν οὔτε ὁρῶμεν δι' αὐτῶν; εἰ δὲ λέγοιεν τὸ στερεὸν ἐπιπροσθεῖν, στερεὰ καὶ ἡ ὕαλος καὶ τὸ κέρας καὶ οἱ διαφανεῖς λίθοι. εἰ γὰρ ταῦτα λέγοιεν μὴ στερεά, διότι εὔθραυστα, καὶ διὰ τοῦτο δι' αὐτῶν ὁρᾶν ἡμᾶς, εὔθραυστος οὐδὲν ἧττον τούτων καὶ ὁ κέραμός ἐστιν, ὥστε ἐχρῆν ἡμᾶς ὁρᾶν καὶ διὰ τούτου. τί ποτ' οὖν τὸ ἐπιπροσθοῦν τοῖς τοιούτοις καὶ διὰ τί ὁ μὲν ἀὴρ διήκει διὰ πάντων, τὸ δὲ φῶς λεπτότερον αὐτοῦ ὂν οὐ διήκει; ἐχρῆν γάρ, ὅπερ εἰ ἐγίνετο συνέβαινεν ἄν, μηδαμοῦ γίνεσθαι σκιὰν διὰ παντὸς ἰόντος τοῦ φωτὸς καθάπερ καὶ τοῦ ἀέρος. πῶς δέ φασι κατὰ τὸ πέρας τυποῦσθαι τὸν ἀέρα προσπίπτοντα τοῖς ὁρωμένοις; τὰ γὰρ μάλιστα λεπτὰ καὶ ὑγρὰ τῶν σωμάτων οὐ δυνατά ἐστι τὸ ἐνσημαινόμενον δέχεσθαι, ὥσπερ δι' ὑγρότητα ὕδωρ καὶ πηλὸς [ἢ ἀὴρ] ὑγρός. ἔτι, εἰ καὶ δοθείη τυποῦσθαι καὶ δέχεσθαι τὸ ἀποματτόμενον, πῶς ἄλλο τι παρὰ τὸ σχῆμα δύναται δέξασθαι; χρῶμα γὰρ οὐδενὸς οὔτε ἐνσημαίνεσθαι πέφυκεν οὔτε ἐν τοῖς ἐκτυπουμένοις ἐγγίνεσθαι, ὥστ' ἔδει χρόας ἡμᾶς μὴ ὁρᾶν, σχῆμα δὲ μόνον. τάχα δὲ οὐδὲ σχῆμα. νῦν μὲν γὰρ διὰ βακτηρίας τινὰ τῶν σχημάτων γνωρίζομεν, οἷον τὰ μὲν κυρτά, ὅτι περιολισθάνει περὶ αὐτὰ ἡ βακτηρία, τὰ δὲ κοῖλα, ὅτι προσπίπτει ταῖς ἑκατέρωθεν ἐξοχαῖς αὐτῶν, τὰ δὲ εὐθέα, ὅτι τούτων οὐδέτερον, ἃ οὐκ ἂν ἐγινώσκομεν διὰ βακτηρίας, εἰ συνέβαινεν τὸ πέρας τῆς βακτηρίας μετασχηματίζεσθαι ψαῦον ὁτουοῦν σώματος οἷον περιπλαττόμενον, περὶ δὲ τὸν ἀέρα τοῦτο συμβαίνει, ὥστε οὐδὲ τῶν σχημάτων ἂν ἀντίληψις οὕτω γίνοιτο δι' αὐτοῦ. ἔτι ὁ τύπος πρὸς τῷ πέρατι γίνεται. πῶς οὖν

---

12 τὸ μὲν κατὰ τὴν κλάσιν] scil. πέρας, quod nisi excidit certe supplendum est (cf. 63,24), i. e. *baculi in fractura terminus.* hoc enim dicit: *absurdum esse dicere nos in baculi termino per fracturam orto niti non posse, posse in altero eius termino, i. e. in eo, qui ante fracturam proprius erat baculi terminus* (δύνασθαι cf. Ind.) 19 εὔθραστα a 22 τὸ in lit. V 28 ἢ ἀὴρ insiticium videtur 33 περιολισθαίνει a βατηρία a 34 παραπίπτει a

ὁρῶμεν κατὰ θάτερον πέρας; οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων αἱ τυπώσεις δι' ὅλων γίνονται. εἰ δὲ λέγοιεν, ὅτι διαφανὴς ὁ ἀὴρ καὶ διὰ τοῦτο δι' ὅλου τετύπωται καὶ ὁρῶμεν οὕτως, ἄλλο ἄν τι τοῦ ὁρᾶν αἴτιον λέγοιεν, τὴν διαφάνειαν γάρ, καὶ οὐ τὴν ἐπέρεισιν. ἔτι θαυμαστόν, πῶς τοῖς μὲν μάλιστα τυποῦσθαι δυναμένοις οὐ συμβαίνει τὸ διὰ βάθους τυποῦσθαι, τῷ δ' ἀέρι τῷ ἥκιστα ὄντι τοιούτῳ δι' ὅλου ἡ τύπωσις ἐγγίνεται. ἔτι εἰ πέφυκεν ὁ ἀὴρ οὕτως τυποῦσθαι, τί δή ποτε οὐχὶ καὶ ἀπελθόντος τοῦ τυποῦντος ἔτι μένει ἐν αὐτῷ ἡ τύπωσις, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ὥστε καὶ μὴ παρόντα τὰ ὁρατὰ ἐχρῆν ἡμᾶς ἔτι ὁρᾶν; ἔτι πῶς οὐ συγχέονται οἱ τοιοῦτοι τύποι, ἐπειδὰν ῥέῃ τὸ ὕδωρ, τὸ δὲ αὐτό, εἰ καὶ ἐν ἀέρι πνεῦμα πολὺ εἴη; ἔτι ἔμπαλιν φαίνεται, ἢ ὡς ἔχει τῶν ὁρατῶν ἔνια, τὰ μὲν κυρτὰ κοῖλα, τὰ δὲ κοῖλα κυρτά, καὶ ἁπλῶς τὰ μὲν ἐξέχοντα εἰσέχοντα, τὰ δὲ εἰσέχοντα τοὐναντίον ἐξέχοντα; οὕτως γὰρ ἡ τύπωσις γίνεται. εἰ δὲ λέγοιεν τῇ μὲν κοιλότητι τῆς βάσεως τοῦ κώνου τὸ κυρτὸν κρίνεσθαι, τῇ δὲ κυρτότητι τὸ κοῖλον, καθάπερ καὶ ἐπὶ τῆς διὰ τῶν χειρῶν ἁφῆς, τὰ ἐπὶ τῆς γραφῆς συμβαίνοντα μάλιστα τοῦτο ἐλέγξει. ὁμαλοῦς γὰρ οὔσης αὐτῆς τὰ μὲν ἐξέχοντα, τὰ δὲ εἰσέχοντα φαίνεται, καίτοι ὁμαλεῖ τῇ τοῦ κώνου βάσει κρινόμενα. ἔτι περὶ τῶν δι' ἀνακλάσεως ὁρωμένων τί φήσουσιν; τὸ γὰρ πέρας τοῦ κώνου ἐπὶ τούτων τῇ τοῦ κατόπτρου ἐπιφανείᾳ τυποῦται, ὅπερ ἐνδέχοιτ' ἂν ἐναντίως ἐσχηματίσθαι τῷ ἐμφαινομένῳ, οὐχ ὁμοίως, ἀλλὰ φέρε εἰπεῖν κυρτοῦ ὄντος τοῦ ἐμφαινομένου ἢ εὐθέος κοῖλον εἶναι τὸ κάτοπτρον. θαυμαστὸν δὲ καὶ τὸ μὴ τὴν ἀπὸ τούτου τύπωσιν ἐπιπροσθεῖν τῇ ἀπὸ τοῦ ἐμφαινομένου γινομένῃ, ἢ κωλύειν τὴν ἐκείνου μορφὴν ἐμφαίνεσθαι. ἔτι ἄπορος ἡ ἀπὸ τοῦ κατόπτρου πρὸς τὸ ὁρώμενον ἀνάκλασίς τε καὶ ἔντασις τοῦ ἀέρος, ὡς εἰρήκαμεν. πῶς γὰρ μετὰ τὴν κλάσιν οἷόν τε ἔτι τὴν ἐπέρεισιν γίνεσθαι; ἔτι τί δή ποτε τὰ ἐγγυτάτω τῆς κόρης οὐχ ὁρῶμεν; καίτοι ἔδει· καὶ γὰρ καὶ ἡ ἐπέρεισις δι' ὀλίγου καὶ ἡ τύπωσις ἐγγύθεν.

Πρὸς τοὺς διὰ τῆς τῶν εἰδώλων ἐμπτώσεως τὸ ὁρᾶν λέγοντας γίνεσθαι.

Πρὸς δὲ τοὺς διὰ τῶν εἰδώλων τὸ ὁρᾶν λέγοντας γίνεσθαι πρῶτον μὲν προσαπορήσειεν ἄν τις, πῶς οὐκ ἀναλίσκεται τοσούτων ἀπορρεόντων ἕκαστον τῶν ὁρωμένων ταχέως, εἰ δὲ λέγοιεν ἀντιπροσκρίνεσθαι αὐτοῖς ἄλλα, ἀλλ' οὖν τῶν ἀπορρεόντων καὶ τῶν προσκρινομένων οὐκ ὄντων ἀλλήλοις ὁμοιοσχημόνων (τὰ μὲν γὰρ ἀπορρέοντα εἴδωλα καὶ ὁμοιόμορφα, τὰ δὲ προσκρινόμενα οὐχ οὕτως προσκρίνεται) οὐκ ἔδει τὰ ὑποκείμενα καὶ ὁρώμενα ὁμοιοσχήμονα μένειν, ἀλλὰ ἄλλοτε ἀλλοῖον ἴσχειν σχῆμα. ἔτι πῶς συνεχοῦς τῆς ἀπορροίας γινομένης καὶ πανταχοῦ καὶ πανταχόθεν οἷόν τε

2 γίνεται a 4 γὰρ] cf. Ind. 6 διόλου V 12—13 εἰσέχοντα τοὐναντίον] α τοὐναν in lit. V 16 ἐξελέγχει a 18 ἔτι περὶ τῶν δι' ἀνακλάσεως] cf. 133,12 21 εὐθέως a 25 τὴν post ἔτι om. a 26 τί supra lin. V δήποτε τὰ m², δήποτε ταῦτα m¹ V: δήποτε τὰ a 27 ἡ post γὰρ καὶ om. a 29 γίνεσθαι om. a 33 ἀπορρεόντων] ante ν una litera erasa V

τὴν πρόσκρισιν γίνεσθαι; ἀλλήλοις γὰρ ἂν τὰ ἀποκρινόμενα τοῖς προσκρινομένοις ἐμποδίζοι ἀδιαλείπτου ἀμφοτέροις τῆς φορᾶς οὔσης. ἔτι πῶς οἷόν τε τοῦ διαστήματος ἀντίληψιν γίνεσθαι, εἰ τὰ εἴδωλά ἐστι τὰ ὁρώμενα; ἀνεπαίσθητος γάρ, ὃν λέγουσιν προεμπίπτειν, ὁ ἀήρ, οὗ τῇ ποσότητι τὸ διάστημα ἀναμετρεῖσθαι. καὶ τί τὸ μετροῦν τὸν ἀέρα τοῦτον; | καὶ πῶς 150v ἔτι εὐθὺ τῷ ἀναβλέψαι καὶ τὰ πόρρωθεν ὁρᾶται; πῶς δὲ οἷόν τε καὶ τῶν σχημάτων καὶ τῶν μεγεθῶν ἀντίληψιν γίνεσθαι διὰ τῶν εἰδώλων (ἃ βουλόμενοι σώζειν τὰ εἴδωλα ποιοῦσιν), εἴ γε κατὰ βραχὺ ἡ ἔμπτωσις εἰς τὸν ὀφθαλμὸν αὐτῶν γίνεται; οὐ γὰρ δὴ μεῖζόν ἐστι τὸ τῆς κόρης, ᾗ ὁρῶμεν, μέγεθος τοῦ εἰδώλου, ὃ δεχόμεθα κατ' αὐτοὺς εἰς τὴν κόρην. εἰ γὰρ καὶ συγχωρήσειέ τις αὐτοῖς διὰ τὸ τάχος συνεχῶς ἄλλο καὶ ἄλλο δέχεσθαι, ἀλλὰ πόθεν γε ὅτι τὸ ἑξῆς λήψεται τοῦ εἰδώλου, καὶ ⟨οὐχὶ⟩ πολλάκις τὸ αὐτὸ ἢ ἄλλο τι μόριον πόρρω τούτου κείμενον καὶ διεσπασμένον εἶτα συντιθέμενον; πῶς οἷόν τε τὸ σῶμα σωθῆναι τοῦ ὁρωμένου; πῶς δὲ τὸ μέγεθος τὸ οἰκεῖον ἑκάστου; δύναται γὰρ καὶ τὰ τῶν ἄλλων τοῖς πρώτοις προστίθεσθαί τε καὶ μίγνυσθαι καὶ μὴ κατ' οἰκείαν περιγραφὴν ἕκαστον αὐτῶν ὁρᾶσθαι, μηδὲ σημεῖον τοῦ ταῦτα μὲν τούτου τὰ εἴδωλα, ταῦτα δὲ μὴ τούτου εἶναι. ὅλως δὲ τί γίνεται τὰ προεισελθόντα; τὸ γὰρ φυλάσσεσθαι αὐτὰ λέγειν καταβυσσούμενα καὶ συντίθεσθαι ἐν τῷ ὀφθαλμῷ λίαν ἐστὶ μυθῶδες. ποῦ γὰρ καταβυσσοῦται ἢ μένει, τίς δὲ ὁ οἰκοδομῶν αὐτὰ ἐμβαδὸν καὶ συντιθείς; ἢ πῶς ἑκάστου αὐτῶν κατ' ἰδίαν κειμένου ἡ συνέχεια καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα φαίνεται; πῶς δέ, εἰ οὕτως ἐστὶ τὰ εἴδωλα εὐπαθῆ, τῇ ἐμπτώσει τῇ εἰς τὸν ὀφθαλμὸν μένει αὐτῶν τὸ σχῆμα καὶ ἡ ἐξοχὴ καὶ εἰσοχὴ καὶ οὐ συγχεῖται; πῶς δὲ καὶ ἀπὸ τῶν λείων τοίχων ὡς ἐσχηματισμένα λαμβάνει τὰ εἴδωλα οὐκ ἐχόντων ἐξοχὰς καὶ εἰσοχάς; πῶς δὲ ἀπὸ τῶν κατόπτρων ὑδάτων ἐμφαινομένων ἐκείνοις τὰ σχήματα λείων ὄντων; πῶς δὲ εἰδώλου ὄντος τοῦ ἐν τῷ κατόπτρῳ εἴδωλα πάλιν ἀπορρεῖ τοσαῦτα, καὶ διὰ τί τὰ ἐν τοῖς κατόπτροις εἴδωλα παχύτερα, ὡς τοσαύτην ἀπ' αὐτῶν ἀπορροὴν γίνεσθαι; διὰ τί δὲ καὶ μένει ταῦτα καὶ οὐ κινεῖται; διὰ τί δὲ καὶ μένοντα οὐχὶ καὶ ἀπελθόντος τοῦ ὁρῶντος αὐτὰ κἂν ἐπ' ὀλίγον μένει; διὰ τί δὲ οὐκ ἐπὶ τῆς ἐπιφανείας τῶν κατόπτρων τὰ εἴδωλα, ἀλλὰ ἐν βάθει; πῶς δὲ οὐχὶ καί, εἰ οὕτως ἐστὶν εὐπαθῆ καὶ εὐκίνητα, ἀνέμου πνέοντος οὐ παρασύρονται τῷ ἀέρι ἐν ᾧ εἰσιν; τὸ γὰρ λέγειν διεκπίπτειν δι' αὐτῶν τὰ ἄλλα φερόμενα οὐ σωζόντων ἐστὶ τὴν

5 ἀναμετρεῖσθαι] cf. 158r34 6 τῷ V ex. Vict.: τὸ a 8 κατὰ βραχὺ] cf. 136,26 ἡ scripsi: ἢ ex. Vict.: ἢ Va 9 fortasse τοῦ τῆς κόρης 11 fortasse αὐτὴν διὰ 12 οὐχὶ addidi cf. Al. de sens. 121,1 sq. .. καὶ γὰρ εἰ πολλάκις καὶ πολλὰ δέχεται, πῶς καὶ διὰ τί ἄλλο τε καὶ ἄλλο μέρος τοῦ εἰδώλου δέξεται καὶ οὐχὶ ἀεὶ τὸ αὐτὸ καὶ ἐκ διαστημάτων; 14 συντιθέμενων (ο supra ω m[1]) V 17 αὐτῶν om. a 18 φυλάσεσθαι V 22 πῶς δέ κτλ.] cf. Al. de sens. 122,1 sq. 24 πῶς δὲ καὶ κτλ.] cf. Al. de sens. 121,14 sq. 26 fortasse ⟨ἢ⟩ ὑδάτων ἐμφαινόμενα cf. 62,13 29 ἀπ' αὐτῶν om. a 30 διὰ τί δὲ κτλ.] fortasse τοῦ ὁρωμένου cf. Al. de sens. 122,3 διὰ τί δὲ κἂν ὀλίγον ἀπελθόντος τοῦ ὁρωμένου ταῦτα (ταὐτὰ Thurot) μένει ἢ ἐξ ὧν ἐν τῇ ὄψει; 31 φανείας a 32 πῶς δὲ οὐχὶ κτλ.] cf. Al. de sens. 120,11 καὶ ante εἰ add. v. c. V 34 φερόμενα] supra ερ: ων ut videtur v. c. V

συνέχειαν τοῦ εἰδώλου, προσέτι δὲ καὶ στερεότητά τινα καὶ ἀντιτυπίαν καταλιπόντων. οὕτως γὰρ αὐτὰ μένοι, διεκπίπτοι δὲ διὰ τῶν κενῶν τὰ φερόμενα. εἰ δέ ἐστιν εὔκολος αὐτῶν ἡ κίνησις ἐκ φλοιωδῶν καὶ ὑμενωδῶν, ὥς φασιν, καὶ πᾶσα ῥοπὴ ἱκανὴ παρασῦραι αὐτά, ἔδει μὴ ὁρᾶν τοὺς κατὰ τὸν ἄνεμον βλέποντας. ἔτι εἰ τὰ εἴδωλά ἐστιν αὐτὰ τὰ ἐμπίπτοντα καὶ ὁρώμενα, διὰ τί τὰ ὁρώμενα πόρρω ὄντα φαίνεται; τὸ γὰρ μυωπίζεσθαι λέγειν ⟨τὴν ὄψιν⟩ ὑπὸ τῶν εἰδώλων οὐ τῶν εἰδώλων ἐστὶ τὸ ὁρᾶν ποιεῖν, ἀλλὰ ἄλλον τινὰ χρὴ τρόπον ζητεῖν αὐτούς; δι' οὗ μυωπισθεῖσα ἡ ὄψις τὸ ὁρατὸν ὄψεται κἀκείνῳ προσβαλεῖ· πῶς γὰρ ὁρατὸν ἔτι τὸ εἴδωλον γίνεται, εἴ γε μόνον πρὸς τὸ παρασκευάσαι τὴν ὄψιν αὐτὴν καὶ διεγεῖραι τὸ εἴδωλον χρήσιμόν ἐστιν; τὸ δὲ λέγειν τῷ ποσῷ τοῦ ἀέρος τοῦ μεταξὺ τοῦ τε ὁρωμένου, ἀφ' οὗ τὰ εἴδωλα, καὶ τοῦ ὀφθαλμοῦ τὴν ἀντίληψιν γίνεσθαι τοῦ διαστήματος (τοῦτο γὰρ ὑπὸ τοῦ εἰδώλου προωθούμενον προεμπίπτειν τῇ κόρῃ πρὸ τοῦ εἰδώλου) ἀτοπίαν οὐδεμίαν ὑπερβάλλει. πῶς γὰρ τὸ εἴδωλον δύναται τὸν πρὸ αὐτοῦ προωθεῖν ἀέρα, ὃν οὕτως εὐπαθές; καὶ πῶς τοῦτον ἡ κόρη δέχεται, προσέτι τε πολλάκις τοσοῦτον δέξεται; οὐ γὰρ ἑνὸς εἰδώλου ἐμπτώσει τὸ ὁρᾶν· ἕκαστον οὖν τῶν ἐμπιπτόντων τοσοῦτον ἀέρα προπέμψει αὐτοῦ εἰς τὴν κόρην, εἰ μὴ ἄρα τὰ φερόμενα εἴδωλα ἀπὸ τοῦ ὁρωμένου οὐχ ὅτε τις βλέπει τότε φέρεται, ἀλλὰ παρακείμενα τῷ ὀφθαλμῷ· οὐ γὰρ δή, ὅτε ὁρᾷ ὀφθαλμός, τότε ἀπορρεῖ τὰ εἴδωλα. πῶς οὖν τὰ παρακείμενα ἔτι προώσει τὸν μεταξὺ ἀέρα; ἔτι εἰ ὑπὸ τῶν ἀνέμων μὴ σκίδναται τὰ εἴδωλα διὰ τὸ ὑποκάτω καὶ λεπτότερα καὶ ἀραιότερα τὴν φύσιν εἶναι τοῦ φερομένου ἀέρος ὑπὸ τῶν ἀνέμων, πῶς ἅμα τὸν ἀέρα τοῦτον οἷόν τε ἔσται προωθεῖν; ἔτι εἰ ἄχροά ἐστι τὰ εἴδωλα καὶ τοιαῦτα αὐτὰ δέχεται ἡ ὄψις, πῶς χρωμάτων ἀντιλαμβάνεται; πῶς δὲ τῶν σχημάτων κατ' ἐλάχιστον αὐτὰ δεχομένη; ὥστε οὔτε χρωμάτων οὔτε σχημάτων ἂν γίνοιτο ἡ ὄψις, εἴ τις ἀκριβῶς ἐξετάζοι καὶ μὴ πάντα αἰτουμένοις αὐτοῖς διδοίη· τίνος οὖν ἔτι ἡ ὄψις ἔσται;

Πρὸς τοὺς διὰ τῆς ἀπορροίας τῆς ἀπ' ἀμφοῖν τὸ ὁρᾶν λέγοντας.

Πρὸς δὲ τοὺς λέγοντας τὸ ὁρᾶν γίνεσθαι ἐξ ἀμφοτέρων, ἀπορροίας γινομένης ἀπό τε τῆς ὄψεως καὶ ἀπὸ τῶν ὁρωμένων, καὶ κατὰ τὴν τούτων μῖξιν γίνεσθαι τὴν ἀντίληψιν τῇ ὄψει (φῶς γάρ τι ἐκπέμπεσθαι ἀπὸ τῆς ἡμετέρας ὄψεως, ὃ τῇ ἀπορροίᾳ τῇ ἀπὸ τοῦ ὁρωμένου συμμιγὲν ἐχούσῃ

2 fortasse ⟨ἂν⟩ αὐτὰ   μένει a   διεκπίπτει a   3 εὐκόλως a   6 ὁρώμενα καὶ ἐμπίπτοντα a   7 τὴν ὄψιν addidi, cf. Al. de sens. 122,4 sq. τὸ δὲ λέγειν μυωπίζεσθαι τὴν ὄψιν ὑπὸ τῶν φερομένων ἐπ' αὐτὴν εἰδώλων καὶ διορίζεσθαι καὶ πρὸς τὸ ὁρᾶν παρασκευάζεσθαι οὐκέτι τηρούντων ἐστὶ τὸ διὰ τῶν εἰδώλων γίνεσθαι τὸ ὁρᾶν. δῆλον γὰρ ὅτι μυωπισθεῖσα ἡ ὄψις ὑπὸ τοῦ εἰδώλου ἄλλο τι οὐκ ὄψεται, εἰ μὴ τὸ εἴδωλον. τί οὖν ταῦτα καὶ πῶς   11 τὸ δὲ λέγειν κτλ.] cf. Al. de sens. 120,5 sq. huc pertinet etiam de sens. 120,12—121,1, quo summovetur Thuroti aporia   14 ἀτοπίαν] το supra lin. V   15 αὐτοῦ V: τοῦ αὐτοῦ a   17 ἐμπιπτόν| V   18 fortasse τὸν πρὸ αὐτοῦ   21 προώσει] ante ω una lit. eras. V   24 ἃ χρόα a   25 αὐτὰ om. a   27 ἐξετάζει a   29 fortasse λέγοντας ⟨γίνεσθαι⟩ cf. 127,27 134,28 136,30   33 συμμιγὲς a

τὸ εἶδος τοῦ ὁρωμένου ἀναλαμβάνον καὶ ἀναμασσόμενον τὸ παρ' ἐκείνου εἶδος ἀναγγέλλειν τῇ αἰσθήσει), πρὸς δὴ τούτους χρὴ λέγειν πρῶτον μὲν ὅτι, εἰ τὸ ἀφ' ἑκατέρου ἐκπέμπεσθαί τι σῶμα κατ' ἰδίαν ἢ ἀπὸ τῆς ὄψεως ἢ ἀπὸ τοῦ ὁρωμένου ἄτοπον, δῆλον ὡς ἄτοπον καὶ τὸ ἐξ ἀμφοτέρων τὴν ἀπόρροιαν αὐτῶν ποιεῖν (ἀπαντήσει γὰρ καὶ τούτοις ἄτοπα, ὅσα ἑκατέροις ἐκείνων· καὶ γὰρ τὸ ἐν χρόνῳ δεῖν γίνεσθαι τὴν ἀντίληψιν διαφέροντι τῶν ἐγγὺς καὶ πόρρωθεν ὁρωμένων, καὶ τὸ ἀναλίσκεσθαι τά τε ὁρῶντα καὶ τὰ ὁρώμενα | καὶ μειοῦσθαι ἐν τῇ ἐνεργείᾳ ταύτῃ ἑκάτερον 151r αὐτῶν τοσαύτης ἀπορροίας ἀπ' αὐτῶν γινομένης), καὶ τὸ μέχρι πόσου δὲ ἄπεισι τὸ ἐκπεμπόμενον, ἔπειτα συμμίγνυται τῷ ἀπὸ τοῦ ὁρωμένου ἀπορρέοντι, ὡρίσθαι δεῖ. ἣν γὰρ ἂν ἀναλογίαν ποιήσωσιν, δεήσει ἐν πλείονι χρόνῳ τὰ μακρὰν ὁρᾶν τῶν ἐγγύς, ἅτε πλείονα κίνησιν κινουμένου τοῦ ἐκπεμπομένου ἀφ' ἡμῶν ἐν τῇ πρὸς ἐκεῖνα προσβολῇ, τὴν δὲ πλείονα κίνησιν ἐν πλείονι γίνεσθαι χρόνῳ. οὐδὲ γὰρ τὸ ἀπορρέον θᾶττον ἀφικνεῖσθαι πρὸς τὴν ὄψιν αὔταρκες πρὸς τὸ μὴ ἐπὶ πλέον προχεῖσθαι τὸ ἀπὸ τῆς ὄψεως ἐκπεμπόμενον ὑπὸ τῶν πόρρωθεν ὁρωμένων. ἐπὶ γὰρ τῶν ἐγγὺς ὁρωμένων, εἰ τὸ μὲν πληκτικώτερον ἐγγυτέρω τεθείη, οἷον τὸ πῦρ, τὸ δ' οὐχ ὁμοίως πληκτικὸν πορρωτέρω, οἷον ἄνθρωπος (ἐλάττω γὰρ τὸ τούτου χρῶμα πληκτικόν), ὡς τὸ μὲν ἀπὸ πήχεως ἑνός, τὸ δὲ ἀπὸ δύο ἢ τεσσάρων πηχῶν εἶναι, ἔπειτα ἀναβλέψαιμεν, ἅμα ἂν ἴδοιμεν καὶ οὐ θᾶττον τὸ πληκτικὸν καίτοι πλησίον κείμενον, ὥστ' οὐδὲν τὸ πληκτικὸν ἢ μὴ πρὸς τὸ ἐλάττονα τὴν πρόοδον γίνεσθαι ἢ πλείονα τὴν ἀπὸ τῆς ὄψεως συντελεῖ. ἔτι εἰ ἑκάτερον τῶν ἐκπεμπομένων ἐπ' εὐθείας φέρεται, τίς ἡ χρεία τοῦ ἀπ' ἀμφοτέρων ἐκπέμπεσθαι; ἐδύνατο γὰρ ἢ ἀπὸ τοῦ ὁρωμένου ἐπὶ τὴν ὄψιν ἀφικνεῖσθαι ἢ τὸ ἀπὸ τῆς ὄψεως ἐπὶ τὸ ὁρώμενον. ἔτι τίς ἡ ἀνάμαξις τοῦ εἴδους, καὶ πῶς γίνεται τῷ ἐκπεμπομένῳ ἀπὸ τῆς ὄψεως παρὰ τοῦ ἀπορρέοντος ἀπὸ τοῦ ὁρωμένου τύπωσις, ἀλλὰ οὐκ ἀλλοίωσις; δεῖ γὰρ καὶ τοῦτο διωρίσθαι. ἔτι ποδαπόν ἐστι τὸ ἀπὸ τοῦ ὁρωμένου φερόμενον; εἰ μὲν γὰρ καὶ τὸ σχῆμα καὶ τὸ χρῶμα ὅμοιον τῷ ἀφ' οὗ φέρεται ἔχει, οὐδὲν ἀλλ' ἢ εἴδωλον ἔσται ἢ καὶ πλέον ἔχον τι. ἐκεῖνα γὰρ οὔ φασιν ἔχειν χρῶμα. εἰ δὲ τὸ μὲν χρῶμα ἔχον, τὸ δὲ σχῆμα μή, πῶς τῶν σχημάτων ἡ ἀντίληψις, ἐχρῆν λέγειν. εἰ δὲ τὸ μὲν σχῆμα ἔχει, τὸ δὲ χρῶμα μή, οὐ χρωμάτων ἔτι ἡ ὄψις ἀντιληπτική. τίς δὲ καὶ ὁ τρόπος τῆς μετὰ τὸ παθεῖν τὸ ἐκ τῆς ὄψεως ἐκπεμφθὲν μηνύσεως τῇ ὄψει; ἔτι εἰ φῶς ἐστι τὸ ἐκ τῆς ὄψεως ἐκπεμπόμενον, δῆλον ὅτι ὁρατόν ἐστιν. διὰ τί οὖν ἐν τῷ σκότῳ ἀναβλέποντες οὐχ ὁρῶμεν ἄλλος τὸ ἄλλου; ὡς γὰρ ἐν τοῖς σκοτεινοῖς οἰκήμασιν, κἂν διὰ βραχείας ὀπῆς εἰσέλθῃ φῶς, ὁρατὸν γίνεται καὶ

---

2 ἀναγγέλλειν] cf. 158r34 9 δὲ πόσου a 10 ἄπεισι corr. ex. ἄπισι V 16 fortasse ἐπὶ τῶν πόρρωθεν 19 πήχεως m^2, πῆχος m^1 V: πήχεως a 24 fortasse ἢ ⟨τὸ⟩ ἀπὸ 25 ἀνάμαξις V: ἀνάμιξις a. Cf. φῶς . . ὃ τῇ ἀπορροίᾳ συμμιγὲν . . ἐχούσῃ τὸ εἶδος τοῦ ὁρωμένου ἀναλαμβάνον καὶ ἀναμασσόμενον τὸ παρ' ἐκείνου εἶδος 136,32 27 ἀλλὰ οὐκ m^2, ἀλλὰ m^1 V: ἀλλὰ οὐκ a 29 μὲν om. a 30 ἀλλ' Va οὔ φασιν V ex. Vict.: ὅν φασιν a 36 τι ἄλλου Ka 37 τὸ φῶς Ka

εὐθὺς ὁρᾶται, οὕτως ἔδει καὶ ἀπὸ τῶν ὀμμάτων ἀπιὸν ὁρᾶσθαι, ἐπειδὰν ἐν σκότῳ ἀναβλέψωμεν. ἔτι καὶ κατὰ τούτους σῶμα ἔσται τὸ φῶς.

Ὅτι μὴ σῶμα τὸ φῶς.

Εἰ σῶμα τὸ φῶς, ἤτοι πῦρ ἐστι ἢ πυρὸς ἀπορροή, ἣν αὐγήν τε λέγουσιν καὶ τρίτον τι πυρὸς εἶδος. πῦρ μὲν οὖν οὐκ ἂν εἴη. φῶς μὲν γάρ ἐστι μᾶλλον καὶ ἧττον, πῦρ δὲ μᾶλλον καὶ ἧττον οὐκ ἔστιν. οὐκ ἄρα πῦρ τὸ φῶς. ἢ εἰ ἦν τὸ μᾶλλον πῦρ, μᾶλλον ἂν ἦν καὶ φῶς, εἴ γε ταὐτὸν πῦρ τε καὶ φῶς. μᾶλλον δὲ πῦρ ἡ φλὸξ τοῦ φωτὸς ὁμολογεῖται καὶ οὐκ ἔστι μᾶλλον φῶς. ἔτι τὸ μὲν πῦρ θερμαίνει τε καὶ καίει, τὸ δὲ φῶς οὐδέτερον. ἔτι τὸ φῶς καὶ ἐν ὕδατί ἐστιν, πῦρ δὲ οὐχ οἷόν τε ἐν ὕδατι, καὶ φῶς μὲν καὶ ἐν κρυστάλλοις, πῦρ δὲ ἀδύνατον, εἴ γε ἐν ὑπερβολῇ ψυχρότητος ὁ κρύσταλλος. ἔτι εἰ πῦρ τὸ φῶς, παρὰ φύσιν αὐτῷ ἡ ἄνωθεν κάτω κίνησις καὶ βίαιος. ὁρῶμεν δὲ οὐδὲν ἔλαττον τὸ φῶς κάτωθεν ἄνω ἢ ἄνωθεν κάτω φερόμενον κατὰ φύσιν. εἰ δὲ ἀπορροήν τις λέγοι πυρός, πῶς καὶ μὴ ἀπὸ πυρὸς φῶς γίνεται; πολλὰ γὰρ φωτίζει καὶ μὴ τοιαῦτα, ὡς ἡ λαμπυρίς. ἔτι εἰ ἔστιν ἀπορροή, διὰ τί οὐδὲ πρὸς ὀλίγον ὑπομένει παραφερομένων τούτων, ἀφ' ὧν ἀπορρεῖ; ἐπὶ γὰρ ὧν εἰσιν ἀπόρροιαι, ἐπὶ τούτων ὑπομένει πρός τινα χρόνον καὶ ἀπελθόντων τὸ ἀπορρεῦσαν. εἰ δέ ἐστιν εὔφθαρτον οὕτως, ὡς μηδ' ὅλως ὑπομένειν, ἀλλὰ πρὸς τὸ εἶναι συνεχοῦς δεῖσθαι χορηγίας, διὰ τί οὐ ταχέως καταναλίσκεται τὰ φωτίζοντα τοσαύτης ἀπ' αὐτῶν γινομένης ἀπορροῆς; πόση γὰρ ἡ ἐκ τῆς τροφῆς προσθήκη; πῶς δὲ οἱ λίθοι, μὴ τρεφόμενοι, φωτίζοντες δέ, οὐκ ἀναλίσκονται; πόσης δὲ δεῖ χορηγίας καὶ τροφῆς ταῖς λαμπυρίσιν; ὅλως δὲ εἰ τὸ φῶς σῶμα, δῆλον ὅτι τόπον καθέξει καὶ ἔσται που. τίς οὖν ὁ τοῦ φωτὸς τόπος; ἢ γὰρ ὁ αὐτὸς ἔσται τοῦ φωτὸς καὶ τῶν διαφανῶν, καὶ ἤτοι ἐκεῖνα οὐ σώματα ἢ σῶμα διὰ σώματος διελεύσεται καὶ δύο σώματα τὸν αὐτὸν καθέξει τόπον, ἤ, εἰ ταῦτα ἄτοπα, οὐκ ἔσται τὸ φῶς σῶμα. γελοῖον γάρ τοι τὸν μὲν λίθον τὸν διαφανῆ ἢ τὴν ὕαλον μὴ λέγειν εἶναι σῶμα, τὸ δὲ φῶς λέγειν. ἔτι τὸ σκότος σῶμα καὶ αὐτὸ ἐροῦσιν ἢ ἀσώματον; ἀλλὰ τὸ μὲν σῶμα λέγειν σκιὰν λέγοντας ἄτοπον, εἰ δ' ἀσώματον, εὔλογον καὶ τὸ φῶς ἀσώματον λέγειν, ἐναντίον ὂν τῷ σκότῳ. ἔτι εἰ τὸ σκότος σῶμα, πότερον ὑπομένον δέχεται τὸ φῶς ἢ ἀντιπεριίσταται; εἰ μὲν γὰρ ὑπομένει, ἔσται οὐ δύο μόνον ἐν αὐτῷ σώματα, ἀλλὰ καὶ τρία, ὅ τε γὰρ ἀὴρ καὶ τὸ σκότος καὶ τὸ φῶς. εἰ δὲ ἀντιπεριίσταται, ποῦ ἀντιπεριστήσεται; ἢ δηλονότι ὅθεν ἔπεισιν τὸ φῶς; ἔσται ἄρα τὸ σκότος ἐν τῷ ἡλίῳ καὶ τοῖς ἄστροις καὶ τῷ πυρί. τοῦτο δὲ παντάπασιν ἄτοπον. ἔτι εἰ τὸ σκότος, σῶμα ὄν, ὑπομένον δέχεται τὸ φῶς, ἔσται τὸ ἐναντίον τοῦ ἐναντίου δεκτικόν. τοῦτο δὲ ἀδύνατον. εἰ γὰρ ἀλλοιοῦσθαί τις λέγοι τὸ ὑποκείμενον, οὔτε τὸ φῶς ἔσται

4 ἔσται Ka 7 τὸ] τι Usenerus 9 fortasse φῶς· ⟨οὐκ ἄρα πῦρ τὸ φῶς⟩. Usenerus 11 γε om. Ka 12 τὸ πῦρ φῶς Ka 14 λέγει Ka 24 ἔσται Diels: ἔστι VKa 25—26 οὐ σώματος Ka 27 γάρ τι Ka 29 ἀσώματος a 31 τῷ om. Ka 33 fortasse ⟨τῷ⟩ αὐτῷ καὶ ante τρία om. Ka

σῶμα οὔτε τὸ σκότος. ἔτι εἰ σῶμα τὸ σκότος, ὁ ἀήρ, ἐν ᾧ γίνεται τὸ φῶς, ἤτοι δι' ὅλου σῶμα ὢν δέξεται τὸ φῶς, καὶ οὕτω σῶμα διὰ σώματος χωρήσει, ἢ ἕξει πόρους, δι' ὧν δίεισιν τὸ φῶς. οὗτοι δὴ ἤτοι, ὅταν μὴ ᾖ φῶς, ἔσονταί τινος | ἄλλου σώματος πλήρεις, ὅ τί ποτε ἐροῦσιν εἶναι, 151v ἢ ποῦ μεθίστασθαι; δεήσει γὰρ αὐτὸ λεπτότερον ἀέρος εἶναι, ἀλλὰ καὶ τοῦ φωτὸς αὐτοῦ, εἴ γε καὶ τούτῳ ὑποχωρεῖ καὶ μεθίσταται· τί δ' ἂν εἴη σῶμα κατ' αὐτοὺς τοῦ φωτὸς λεπτότερον; εἰ δὲ λέγοιεν πῦρ εἶναι τοῦτο, πυρὸς ἔσται πλήρης, ὃ ἀτοπώτατον, εἴ γε τοῦ πυρὸς τό τε φωτίζειν καὶ τὸ θερμαίνειν, ὧν οὐδέτερον ἐν τῷ σκότῳ. εἰ δὲ οἱ τοῦ ἀέρος πόροι κενοὶ μένουσιν ὄντος σκότους, πρῶτον μὲν ἔσται κενόν τι ἐνεργείᾳ ἐν τῷ κόσμῳ κατ' αὐτούς, ὅπερ οὐ θέλουσιν, ἔτι καὶ μανότερος ὁ ἀὴρ ἔσται τῆς νυκτός, ἅτε ἔχων ἐν αὑτῷ κενά (δοκεῖ δὲ πυκνότερος γίνεσθαι τότε), ἔτι τὸ φῶς οὐκ ἔσται διακριτικὸν καὶ λεπτυντικὸν τοῦ ἀέρος, ὡς λέγουσιν, ἀλλὰ τοὐναντίον. ἔτι πῶς ὁμαλὲς ἔσται τὸ φῶς ἐν τῷ ἀέρι, μόνων τῶν πόρων ἐχόντων αὐτό, εἴ γε, ἔνθα μέν ἐστι τὸ φῶς, τοῦτο πεφώτισται (τοῦτο δ' εἰσὶν οἱ πόροι), ἔνθα δὲ ὁ ἀὴρ ἢ ἄλλο τι τῶν διαφανῶν σῶμα, μὴ πεφώτισται. ἔτι εἰ σῶμα τὸ φῶς, πῶς ἐὰν διὰ βραχείας ὀπῆς εἰς οἶκόν τινα σκότους ὄντος εἰσέλθῃ ἀπό τινος φωτίσαντος, ἀποληφθείσης ἀθρόως τῆς ὀπῆς οὐχ ὑπομένει οὐκ ἔχον ἄλλην ἔξοδον; ἔτι εἰ σῶμα τὸ φῶς, πῶς οἷόν τε ἅμα φωτίζεσθαι καὶ τὰ πόρρω καὶ τὰ ἐγγύς, τὰ δυνάμενα ἀπὸ τοῦ αὐτοῦ διαστήματος φωτισθῆναι; ἔδει γὰρ ἐν πλείονι χρόνῳ τὰ πλέον ἀφεστῶτα, εἴ γε παντὸς σώματος ἡ τοπικὴ κίνησις ἐν χρόνῳ. ὅτι δὲ ἅμα τὸ φῶς καὶ ἐν τῷ ἐγγυτάτῳ καὶ ἐν τῷ πορρωτάτῳ γίνεται διαστήματι τῷ οἵῳ τε φωτίζεσθαι, ἐν ταὐτῷ τοῦ φωτίζοντος μένοντος, ἐναργές. ἔτι εἰ τὸ φῶς σῶμα ὄν ἐστιν ἐν τοῖς τοῦ ἀέρος πόροις ἢ τοῖς τοῦ ὕδατος, πῶς ἢ τοῦ ὕδατος ῥέοντος ἢ τοῦ ἀνέμου μετακινουμένου οὐ συμμεταφέρεται καὶ συγκινεῖται καὶ αὐτό, ἀλλ' ἀεὶ ἐν τῷ αὐτῷ μένει τῶν ἐν οἷς ἐστιν οὐ μενόντων;

Ὅτι σῶμα διὰ σώματος ἀδύνατον διήκειν.

Τὸ σῶμα διὰ σώματος διήκειν, εἰ μὲν ὡς ἐχόντων κενὰ τῶν σωμάτων καὶ διὰ τούτων χωροῦντος θατέρου διὰ θατέρου, ἄλλος ὁ λόγος (ἀτοπίας δ' ἔχει, καὶ ἅμα οὐ σῶμα διὰ σώματος γίνεται, ἀλλὰ σῶμα διὰ κενοῦ διῆκον), εἰ δὲ μὴ διὰ κενῶν (οὐδὲ γὰρ εἶναί φασιν κενὸν ἐν τῷ κόσμῳ ἐνεργείᾳ οἷς τοῦτο ἀρέσκει), ἀλλὰ μεστόν τι ὂν αὑτοῦ σῶμα ἄλλο δεξάμενον αὑτοῦ σῶμα κἀκεῖνο μεστὸν ὂν ὁμοίως ἐν αὑτῷ οὐδὲν ηὐξήθη, ἀλλ' ἔμεινεν ἐν τῷ αὐτῷ τόπῳ, τί δή ποτε τόδε μὲν τὸ σῶμα δέξεται ἐν αὑτῷ ἄλλο σῶμα, τόδε δὲ οὔ, εἴ γε τὸ σῶμα δέξεται καὶ παρεκταθήσεται καὶ ἰσω-

4 ὅ τί scripsi: ὅτι VKa 8 ἀτοπώτατον V: ἄτοπον K ex. Vict.: ὃ τόπον a 12 αὐτῷ VKa 18 ἀπολειφθείσης Ka 19 οὐχ K: οὐ Va 20 τὰ δυνάμενα κτλ.] cf. 143,22 34 μεστόν V: μέσον Ka ὂν αὐτοῦ VKa δεξάμενον αὑτοῦ scripsi: δεξάμενον αὐτοῦ m[1], δεξάμενον m[2] V: δεξάμενον Ka 35 αὐτῷ VKa 36 ἐν αὐτῷ VKa

θήσεται αὐτῷ, οἷον τὸ πῦρ, ὕδωρ δὲ οὐ δέξεται; οὐδὲ γάρ, διότι λεπτότερον τὸ πῦρ τοῦ ὕδατος, διὰ τοῦτο ἐκεῖνο μένον οὐσίαν προσδέξεται, τὸ δὲ ὕδωρ παχύτερον ὂν οὐκέτι. ἐπίσης γὰρ πλῆρες τὸ λεπτομερέστερον τῷ παχυμερεστάτῳ, εἰ μηδαμοῦ χώρα κενοῦ σώματος. ἔτι εἰ παχύτερος χαλκὸς ὕδατος, πῶς χρυσῷ χαλκὸς μὲν μίγνυται, ὕδωρ δὲ οὔ; καὶ καττίτερος χαλκῷ, ἔλαιον δ' οὔ; καὶ μολίβδῳ χαλκὸς μὲν μίγνυται, κηρὸς δὲ οὔ; ὅσον γὰρ ἐπὶ τῷ λόγῳ, ἢ πᾶν παντὶ ἐχρῆν μίγνυσθαι, ἢ ταῦτα μᾶλλον ἐκείνων, ἤ, ὅπερ εὔλογον, μηδὲν μηδενί. εἰ γὰρ πόρους αἰτιῶνται, οὐκέτι γίγνεται πᾶν παρεκτεινόμενον παντί, ἀλλὰ παράθεσις ἂν εἴη καὶ τὸ κενὸν αἴτιον ἂν οὕτως λέγοιεν. ἔτι εἰ ὅλα ὅλοις παρεκτείνεται καὶ τὰ βραχύτατα τοῖς μεγίστοις μέχρι τῆς ἐσχάτης ἐπιφανείας, ὃν κατέχει τὸ ἓν τόπον, τὸ συναμφότερον καθέξει. τὰ μὲν γὰρ μόρια τοῦ ὅλου, ἔστ' ἂν ἐν τῷ ὅλῳ ᾖ, πέρασιν οἰκείοις μὴ περιγεγραμμένα εἰκότως οὐκ ἔστιν ἐν τόπῳ καθ' αὑτά, τῶν δὲ μεμιγμένων ἑκάτερον ὁμοίως τῷ ὅλῳ τῷ ἐξ ἀμφοτέρων ὑπὸ πέρασιν περιγέγραπται, εἴ γε δι' ὅλων κεχωρήκασιν ἀλλήλων. ἑκάτερον γὰρ αὐτῶν τὸν πάντα καθέξει τόπον, ὃν καὶ θάτερον κατεῖχεν πρὸ τῆς μίξεως καὶ μετὰ τὴν μῖξιν τὸ συναμφότερον. καὶ γὰρ τὸ μεμιγμένον, τῷ ἑτέρῳ ἴσον αὐτῷ γινόμενον, ἀνάγκη τὸν αὐτὸν καὶ ἴσον ἐκείνῳ κατέχειν τόπον. ἔσται ἄρα ἐν τῷ αὐτῷ τόπῳ πλείω σώματα, καὶ ἕκαστον αὐτῶν τὸν ὅλον καθέξει τόπον. εἰ δέ, ὧν ὁ τόπος ἴσος, καὶ αὐτὰ ἴσα, τά τε, ἐξ ὧν τὸ συναμφότερον, ἴσα ἀλλήλοις ἔσται, καὶ τὸ συναμφότερον ἑκατέρῳ αὐτῶν· καὶ ὁ κύαθος ἄρα τοῦ οἴνου εἰς πέλαγος ἐκχυθεὶς ἴσος ἔσται τῷ πελάγει, καὶ τὸ πέλαγος μετὰ τοῦ κυάθου τῷ κυάθῳ μόνῳ. τὸ γὰρ λέγειν, ὅτι τῇ δυνάμει οὐκ ἴσον, οὐδὲν πρὸς τὸν λόγον. ἀρκεῖ γὰρ εἰς τὴν τοῦ προκειμένου δεῖξιν τὸ κατὰ τὸ ποσὸν ἴσα αὐτὰ πεφυκέναι. ἔτι τε οὐδὲν μᾶλλον τὸ πῦρ διὰ τοῦ σιδήρου δίεισιν, ἢ ὁ σίδηρος διὰ τοῦ πυρός· καὶ γὰρ καὶ ἡ ψυχὴ διὰ τοῦ σώματος καὶ ἡ φύσις διὰ τῶν φυτῶν καὶ ἡ ἕξις διὰ τῶν ἄλλων σωμάτων, καὶ ἀνάπαλιν ταῦτα δι' ἐκείνων. οὐδὲν γὰρ τὸ λεπτότερόν τι εἶναι καὶ παχύτερον εἰς τοῦτο συντελεῖ, εἴ γε ἀμφότερα ὁμοίως ἐστὶ πλήρη· εἰ δὲ καὶ τοῦτο συγχωρηθείη, ἐπὶ οἴνου καὶ ὕδατος πότερον διὰ ποτέρου διελεύσεται; ἔτι τίς αἰτία, δι' ἣν ἔκ τινων μὲν μιγνυμένων ὁ ὄγκος γίνεται μείζων, ἔκ τινων δὲ ὁ αὐτὸς μένει; τὸ γὰρ λέγειν τὸν σίδηρον παχύτερον γεγονέναι τῇ μίξει τοῦ πυρὸς παράλογον. τὰ μὲν γὰρ παχυνόμενα συγκρίνεται, ὁ δὲ σίδηρος ὑπὸ τοῦ πυρὸς διακρίνεται. ἔτι ὅτι λεπτύνεται ὑπὸ τοῦ πυρὸς δῆλον. θερμανθεὶς γὰρ ἐλαύνεσθαι δύναται πρὸ τούτου μὴ δυνάμενος. ἔτι εἰ τὸ χεόμενον ὑπό τινος λεπτύνεται, μᾶλλον χεῖται δὲ ὑπὸ τοῦ πυρὸς τὰ οἷά τε χεῖσθαι, οὐκ ἂν εἴη παχυντικὸν τὸ πῦρ. ἀκολουθήσει δὲ λέγειν καὶ τὸν ἄνθρακα τοῦ ξύλου παχύτερον, ἀλλὰ καὶ τὸν πεφωτισμένον ἀέρα τοῦ μή. | καίτοι δοκεῖ λεπτότερος ὁ ἡλιούμενος εἶναι 152r

3 παχυμερεστέρῳ Ka 5—6 ὕδωρ usque ad μίγνυται om. Ka 6 δὲ] ε in lit. V 8 γίνεται a 10 εἰ om. Ka 11 ὃν VK: ὂν a 13 αὐτό K 14 τῷ ἐξ V ex. Vict.: τὸ ἐξ Ka ὑπὸ delendum videtur cf. v. 12 23 μόνον Ka 25 τὸ ποσὸν V: τόπον Ka 29 τοῦτο m², τοῦ m¹ V: τοῦτο Ka 30 συγχωρηθείη] ρι m¹ ρη m² V 38 τὸν post ἀλλὰ καὶ] ante ν una liter. erasa V 39 εἶναι om. Ka

τοῦ μή. ἔτι εἰ ἐν μικρῷ οἴκῳ πολλάς τις δᾷδας στήσειεν ἢ λύχνους ἅψειεν, παχύτερος ἂν ὁ ἀὴρ μελανθεὶς γίνοιτο καὶ ὅσα τὰ φωτίζοντα, τοσαῦτα ἅμα σώματα δι' ἀλλήλων χωρήσει καὶ τὸν ἴσον καθέξει τόπον· ταῦτα δὲ ἄτοπα. ἔτι, εἰ ἴσον τόπον κατέχει ἥ τε ψυχὴ καὶ τὸ σῶμα σὺν αὐτῇ, καὶ χωρισθείσης τὸ σῶμα μηδὲν ἐλάττονα, τίς ἔσται τόπος τῆς ψυχῆς; ἢ γὰρ κενὸν ἔσται, ὃ καθέξει, ἢ ἄλλο τι ἐξ ἀνάγκης ἔσται ζῴου σῶμα, εἰς ὃ μεταβήσεται, καὶ οὕτως οὐδέποτε ψυχὴ ἔξω σώματός τε καὶ ζῴου ἔσται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ πυρὸς τοῦ ὄντος ἐν τῷ σιδήρῳ. ἔτι, ὅταν οἴνου κοτύλη δύο κοτύλαις ὕδατος μιχθῇ, γίνεται μὲν τὸ πᾶν κρᾶμα καὶ μῖγμα τρικοτυλιαῖον. πῶς δὲ κατ' ἐκείνους οἷόν τε; εἰ γὰρ ἡ τοῦ οἴνου κοτύλη διὰ παντὸς τοῦ ὕδατος ἐχώρησεν καὶ παρισώθη αὐτῷ, ἢ τέσσαρες ἔσονται κοτύλαι τὸ πᾶν (καὶ γὰρ ὁ οἶνος τῷ ὕδατι ἴσος γέγονεν κατὰ τὸ ποσόν, ὥστε δύο κοτυλῶν· οὐ γὰρ δὴ ἰσωθεὶς κοτύλαις δύο κοτυλιαῖος ἔτι ἔσται· ἀδύνατον γὰρ ἦν τὸ διπλάσιον ἴσον τῷ ἡμίσει εἶναι), ἢ ἀνάπαλιν τὸ ὕδωρ τῷ οἴνῳ ἴσον ἔσται καὶ ἔσται κοτύλης· καὶ οὕτως πάλιν τὸ μῖγμα δύο κοτυλῶν. τὸ γὰρ λέγειν τὸν μὲν οἶνον ἐκτείνεσθαι, τὸ δὲ ὕδωρ συστέλλεσθαι καὶ οὕτως εἰς τὸ μέσον ἥκειν, τοῦ μὲν ὕδατος ἀποβάλλοντος ἥμισυ κοτύλης, τοῦ δ' οἴνου προσλαμβάνοντος τὸ τοσοῦτον, λίαν ἄτοπόν ἐστιν αἰτούμενον. καὶ ὁ σταλαγμὸς δὲ ὁ μεμιγμένος τῇ θαλάττῃ αὐτὸς ἴσος ἔσται κατὰ τὸ ποσὸν τῇ πάσῃ θαλάττῃ, ἢ πᾶσα ἡ θάλασσα τῷ σταλαγμῷ. ἄλλως γὰρ οὐχ οἷόν τε παρισωθῆναι αὐτὰ καὶ μιχθῆναι ἀλλήλοις κατ' αὐτούς. ἔτι πῶς ὁ σταλαγμὸς τοῦ ὕδατος ὁ τῇ θαλάττῃ παρεκτεινόμενος ἐπὶ τοσοῦτον λεπτυνόμενος ὕδωρ ἔτι μένει; διακρινόμενος γὰρ καὶ ἐπιτεινόμενος εἰς τοσοῦτο φθάσαι ἂν πῦρ γενόμενος. πολλῷ γὰρ ἥττων ἡ διάκρισις ταύτης ἀέρα μὲν ἐξ ὕδατος, ἐκ δὲ ἀέρος πῦρ ποιεῖ· ἔτι ὡς ἄτοπον τὸ ἐξ ἀμεγεθῶν μέγεθος ποιεῖν, οὕτως ἄτοπον καὶ τὸ ἐκ μεγεθῶν μηδὲν μέγεθος ποιεῖν, ὃ ἕπεται τοῖς δύο σώματα ἐν ταὐτῷ τόπῳ ποιοῦσιν. μεγέθη γὰρ ὄντα οὐδὲν συναυξήσει.

Πῶς κατὰ Ἀριστοτέλη τὸ ὁρᾶν γίνεται.

Δοκεῖ τοίνυν Ἀριστοτέλει, ὥσπερ καὶ αἱ ἄλλαι αἰσθήσεις πασχόντων γίνονται τῶν αἰσθητηρίων, οὕτως δὲ καὶ τὸ ὁρᾶν πασχούσης τῆς ὄψεως γίνεσθαι, [ἀλλ' οὐχὶ ἐκπεμπούσης τι καὶ ποιούσης, εἰ μὴ καὶ τὸ πάσχειν ποιεῖν τις λέγοι.] πάσχει δὲ οὐκ ἀπορρέοντά τινα ἀπὸ τῶν ὁρατῶν δεχομένη, ἀλλὰ τοῦ μεταξὺ τῆς τε ὄψεως καὶ τοῦ ὁρωμένου διαφανοῦς ἀλλοιουμένου πως ὑπὸ τοῦ ὁρατοῦ καὶ τὸ εἶδος τὸ ἀπὸ τοῦ ὁρατοῦ τῇ ὄψει διαγγέλλοντος. πᾶν γὰρ τὸ διαφανές, ὅταν ᾖ κατ' ἐνέργειαν τοιοῦτον, του-

---

1 δᾴδας Va 2 παχύτερος] χ in lit. V 4 εἰ supra lin. V 5 χωρισθείσης] cf. 156r11 7 μετεβήσεται V 11 παρισωθῇ Ka 13 κοτυλῶν] post ο una lit. er. V ἰσοθεὶς a 14 ἔτι om. Ka ἡμίσει VK: ἥμισυ a 21 αὐτὰ V: αὐτοὺς Ka 25 αὕτη ταύτης Ka 26—27 οὕτως usque ad ποιεῖν om. Ka 28 μεγέθη V ex. Vict.: μεγέθει Ka 29 ἀριστοτέλην a ut solet 34 τε om. a

τέστιν, ὅταν ᾖ πεφωτισμένον (τὸ γὰρ φῶς ἐστιν ἐνέργεια τοῦ διαφανοῦς, ᾗ διαφανές), τὸ δὴ κατ' ἐνέργειαν διαφανὲς τρέπεταί πως καὶ πάσχει πρὸς τῶν χρωμάτων τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὸ κατὰ δύναμιν διαφανὲς τῇ τοῦ φωτίζειν πεφυκότος παρουσίᾳ τρεπόμενον φωτίζεται. ἔστι δὲ τὸ φωτίζειν πεφυκὸς τό τε τῶν ἄστρων σῶμα καὶ τὸ πῦρ καὶ εἴ τις τοιαύτη ἐστὶν ἐν διαφέρουσιν σώμασιν κοινὴ φύσις ἡ τοῦτο δυναμένη. ἡ γὰρ τούτων παρουσία ἐν τῷ διαφανεῖ φῶς, καὶ τοῦτό ἐστι τὸ κατ' ἐνέργειαν διαφανές. τότε γὰρ τὴν αὑτοῦ τελειότητα τὸ διαφανὲς ἴσχει, λέγω δὲ τὸ δυνάμει διαφανές, ἐπειδὰν ᾖ πεφωτισμένον, καὶ ἔστι κυρίως διαφανὲς τὸ πεφωτισμένον. ὡς οὖν ἡ τῶν φωτίζειν πεφυκότων παρουσία ποιεῖ τὸ διαφανὲς δυνάμει κατ' ἐνέργειαν διαφανές, οὕτως πάλιν τὸ κατ' ἐνέργειαν διαφανὲς τὸ χρῶμα τῶν ὁρωμένων ὡς δεύτερόν τι φῶς τῇ παρουσίᾳ αὐτῶν λαμβάνει δευτέραν τινὰ ταύτην ἐνέργειαν δεχόμενον· ἔστι γὰρ τὸ χρῶμα τοῦ κατ' ἐνέργειαν διαφανοῦς κινητικόν, ὡς τὸ φῶς τοῦ κατὰ δύναμιν, παντὸς ἀθρόως τοῦ δυναμένου ἀπὸ τῆς τοιᾶσδε τοῦ χρώματος παρουσίας τραπῆναι τρεπομένου τε καὶ χρωματιζομένου τρόπον τινά. ἔστιν δὲ τῶν διαφανῶν καὶ ἡ κόρη, καὶ αὕτη δὴ σὺν τῷ μεταξὺ ἀέρι τῷ πεφωτισμένῳ καὶ αὐτὴ οὐδὲν ἔλαττον ἐκείνου τὸ φῶς δεχομένη, εἴ γε καὶ αὐτὴ διαφανὴς ἔκκειται, τῇ τροπῇ τῇ ὑπὸ τῶν χρωμάτων, ὑφ' ὧν τρεπομένη πως ὁμοιοτρόπως τῷ ἐκτὸς διαφανεῖ, ὁρατική τε καὶ αἰσθητικὴ ψυχὴ γίνεται. τὸ δὲ χρῶμα ἐν μὲν τῷ ἀέρι οὐκ ἐμφαίνεται ὄν, ἐν δὲ τῇ κόρῃ, ὅτι τῶν διαφανῶν τὰ μέν ἐστι διαφανῆ μόνον, τὰ δὲ πρὸς τῷ εἶναι διαφανῆ καὶ ἐμφανῆ ἐστιν, διὰ λειότητα καὶ πυκνότητα στέγειν καὶ ἀθροίζειν τὴν ἔμφασιν δυνάμενα. τὰ μὲν οὖν διαφανῆ μόνον οὐχ οὕτως ἐν αὐτοῖς σώζει τὸ ὁρώμενον, ὥστε καὶ ἐμφαίνεσθαι ἐν αὐτοῖς (τοιαῦτα δέ ἐστιν, ὅσα λεπτὰ τῶν διαφανῶν, ὡς ὁ ἀήρ), ὅσα δὲ πυκνότητός τινος καὶ στερρότητος μετέχει, ταῦτα διαδείκνυσιν ἐν αὐτοῖς καὶ σώζει τὴν ἀπὸ τοῦ ὁρωμένου εἰκόνα καὶ σκιάν. τοιαῦτά ἐστι τῶν διαφανῶν τά τε κάτοπτρα καὶ αἱ ὕελοι καὶ αἱ διαφανεῖς λίθοι καὶ δὴ καὶ τὸ ὕδωρ· στερεώτερον γὰρ καὶ παχύτερον τοῦτο τοῦ ἀέρος καὶ μᾶλλον στέγειν τε καὶ ἀθροίζειν τὰς ἀπὸ τῶν ὁρωμένων εἰκόνας τε καὶ σκιὰς δυνάμενον. ὑδατώδης δὲ οὖσα καὶ ἡ κόρη δέδεικται, καὶ ὁ ἀπὸ τῆσδε διήκων πόρος ἐπὶ τὸ πρῶτον αἰσθητικὸν τοιοῦτος

4 τρεπόμενον] ρ in lit. V 6 τις φύσις ἡ τοῦτο δυναμένη] cf. 43,1 ἀλλ' ἔστι τις ἡ ἀπ' ἀμφοτέρων κίνησις γινομένη 11 διαφνὲς m[1], διαφανὲς v. c. V fortasse ⟨τὸ⟩ δυνάμει 13 δευτέραν v. c., δευτέρα m[1] V: δευτέραν a ταύτην V: ταύτης a 14 τοῦ κατὰ m[2], κατὰ m[1] V: τοῦ κατὰ a τὸ φῶς] suspectum. exspectas τὸ φωτίζειν πεφυκὸς τοῦ κατὰ δύναμιν cf. v. 4 18 δεχομένη a: δεχομένη V 20 ὁρατική τε καὶ αἰσθητικὴ ψυχὴ γίνεται] pupillam animam ὁρατικὴν fieri dici nequit, ὅτι μή ἐστιν ἡ ψυχὴ καὶ ἡ ὁρατικὴ δύναμις ἐν τῷ ὀφθαλμῷ (Al. de sens. 76,3). itaque aut scribendum erit ⟨ἧς⟩ τῇ τροπῇ aut prius enuntiatum (καὶ αὕτη — δεχομένη) per absolutum quem dicunt nominativum constructum est (*inter perspicua corpora etiam pupilla est; et quia haec, sicut aer, lumen accipit, siquidem ipsa quoque perspicua est, per mutationem, quae fit coloribus, quibus (pupilla) sicut perspicuum externum mutatur quodammodo, anima* ὁρατικὴ *fit et* αἰσθητική) 24 et 27 αὑτοῖς? 26 ὁ ἀήρ m[2], ἀήρ m[1] V: ὁ ἀὴρ a 28 αἱ scripsi: οἱ Va ὕαλοι a

ὧν τὸ ἀπὸ τοῦ ὁρωμένου εἶδος καὶ χρῶμα διαγγέλλει τῷ αἰσθητικῷ. τοῦτο δὲ κρίνει τῇ προσβολῇ τῇ ἀπὸ τούτων τὸ προσπεσὸν χρῶμα. αὕτη γὰρ φύσις αἰσθήσεως τὸ διὰ τῶν αἰσθητηρίων τὰ | διαγγελλόμενα κρίνειν πάθη. 152v ἔστι δὲ οὐ τοιαύτη ἡ ἐν τῷ ἀέρι καὶ τῷ διαφανεῖ τῷ κατὰ δύναμιν ὑπό τε τοῦ πυρὸς καὶ τῶν χρωμάτων τροπή, ὁποίαν φαμὲν ἐν τοῖς ἀλλοιουμένοις γίνεσθαι. ἡ μὲν γὰρ ἀλλοίωσις κίνησίς ἐστιν καὶ ἐν χρόνῳ γίνεται καὶ κατὰ μεταβολήν, τὸ δὲ διαφανὲς οὐχ οὕτως τὸ φῶς καὶ τὰ χρώματα δέχεται, ὡς ἠλλοιῶσθαι καὶ ταῦτα, ἀλλ' ἔστιν οὕτως λεγόμενον πάσχειν τὸ διαφανές, ὡς εἰ καὶ τὸν δεξιὸν γενόμενόν τινος πεπονθέναι λέγοι τις μήτε κινηθέντα αὐτὸν μήτε τι πάθος ἀναδεξάμενον ἐν αὐτῷ. τοιαύτη γὰρ καὶ ἡ τοῦ διαφανοῦς τροπὴ κατά τε τὸ φῶς καὶ τὰ χρώματα· τῇ γὰρ τοῦ φωτίζοντος ἢ κεχρωσμένου παρουσίᾳ τοιοῦτον τὸ διαφανὲς γίνεται, ὡς καὶ τῇ τοῦ ἐξ ἀριστερῶν παραστάντος σχέσει ὁ δεξιός· σημεῖον δὲ τοῦ τοῦτον ἔχειν τὸν τρόπον, ὅτι ὡς ὁ δεξιὸς παύεται δεξιὸς ὢν μεταστάντος τοῦ ἀριστεροῦ, οὕτως καὶ τὸ φῶς παύεται μεταστάντος τοῦ φωτίζοντος, ὁμοίως δὲ καὶ τοῦ ὁρᾶσθαι πεφυκότος παύεται τοιοῦτον εἶναι ὡς οὐδὲν πάθος ἀναδεξάμενον κατὰ τὴν ἐν αὐτῷ μεταβολήν, ἀλλὰ γενομένης αὐτῷ τῆς δοκούσης ἀλλοιώσεως κατὰ σχέσιν. καὶ ἔοικεν καὶ τὸ φῶς καὶ τὰ χρώματα ἐν τῷ διαφανεῖ γίνεσθαι ὥσπερ καὶ ἡ σκιὰ τρόπον τινά. ὡς γὰρ ἡ σκιὰ τῇ τοῦ ἐπισκοτεῖν πεφυκότος παρουσίᾳ ἐν τοῖς ἐπισκοτουμένοις γίνεται, οὕτως δὲ καὶ τὸ φῶς καὶ τὰ χρώματα. ἀθρόως γοῦν καὶ ταῦτα τοσοῦτον καὶ οὕτως τοῦ ἀέρος ἐπιλαμβάνει, ὅσον δύναται ἀπὸ τοῦ τοσούτου διαστήματος ἐπιλαβεῖν, ὥσπερ καὶ ἡ σκιά. καὶ ὃ μέγιστόν ἐστι σημεῖον τοῦ μὴ ἀλλοίωσιν μηδὲ κίνησιν εἶναι διαφανοῦς τὸ γινόμενον· πᾶν γὰρ τὸ κινούμενον ἐν χρόνῳ κινεῖται καὶ πρῶτον ἐπὶ τὰ ἐγγυτέρω πρόεισιν καὶ ἐν ἐλάττονι χρόνῳ, εἶθ' οὕτως ἐπὶ τὰ πορρωτέρω καὶ ἐν πλείονι, τὸ δὲ φῶς καὶ τὰ εἴδη τῶν ὁρωμένων ἀθρόως καὶ ὁμοίως ἐν παντὶ τῷ κατὰ ταῦτα διαφανεῖ γίνεται, ὥσπερ καὶ ἡ σκιὰ καὶ τὸ σκότος. καὶ γὰρ ἅμα ἐξ ἅπαντος τοῦ διαφανοῦς ἄπεισιν τὸ φῶς καὶ ἅμα ἐν παντὶ γίνεται. διὰ τοῦτο δὴ καὶ ἀχρόνως δείκνυσιν ὁ Ἀριστοτέλης γινόμενον τὸ ὁρᾶν. τοῦ γὰρ χρόνου, ἐν ᾧ τις ὁρᾷ, τούτου ἐν ᾡτινιοῦν μορίῳ καὶ τῷ τυχόντι τοῦτο ὁρᾷ. ἃ δὲ μὴ δεῖται χρόνου πρὸς τὸ συμπληρωθῆναί τε καὶ τελειωθῆναι, ταῦτα ἀχρόνως γίνεται. οὐ γὰρ τὸ εἶναι, ἀλλὰ τὸ δεῖσθαι χρονικοῦ διαστήματος πρὸς τὸ τελειωθῆναί τε καὶ γενέσθαι ὅλον † οὕτως οὐδὲ τὸ ἥδεσθαι ἐν χρόνῳ γίνεται. τῶν δὲ διαφανῶν τὰ μέν ἐστιν ἐνεργείᾳ διαφανῆ, τὰ δὲ δυνάμει. ἐνεργείᾳ μὲν ἀεὶ τὸ ἐν τοῖς θείοις καὶ αἰδίοις διαφανές· ἀνεπίδεκτα γὰρ

3 κρίνειν V ex. Vict.: κρίνει a πάθει a 5 ἀλλοιουμένοις m², ἠλλοιωμένοις m¹ V: ἀλλοιουμένοις a 10 ἐν αὐτῷ m², ἐν ταὐτῷ m¹ V: ἐν αὐτῷ a 16 τοῦ ὁρᾶσθαι πεφυκότος] sc. μεταστάντος 17 μεταβολήν] cf. οὐδ' αὐτὰ κατὰ τὴν ἐν αὐτοῖς μεταβολὴν ἀλλοιωθέντα 144,18 22 τοσούτου V: τοιούτου a 26 οὕτως] ω in lit. V πορωτέρω V 29 ἄπισιν V 30 δείκνυσιν ὁ Ἀριστοτέλης] cf. Praef. γινόμενον] ν post ο in lit. V 30—31 τοῦ γὰρ—ὁρᾷ] *in quavis particula eius temporis, per quod quis videt, id (quod videt) videt* 32 τε om. a

τὰ αἴδια τοῦ δυνάμει. δυνάμει δέ ἐστι διαφανὲς τὸ ἐν τοῖς ἐν γενέσει. τοῦτο γάρ, ὥσπερ οὖν καὶ τὰ ἄλλα τὰ ἐν γενέσει, ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ πρόεισιν, καὶ ἔστιν ὁ ἀὴρ καὶ ὅσα παρ' ἡμῖν διαφανῆ πρὸ τῆς παρουσίας τοῦ φωτίζειν πεφυκότος ὕλη τοῦ κατ' ἐνέργειαν διαφανοῦς τουτέστιν τοῦ φωτός, ἡ δὲ τοῦ φωτίζοντος παρουσία διαφανές τε αὐτὸ ποιεῖ καὶ χρώννυσιν τρόπον τινά. τὸ γὰρ φῶς οἷον χρῶμα τοῦ διαφανοῦς ἐστιν. ἔστι δὲ διαφανὲς οὔτε ὁ ἀὴρ καθὸ ἀὴρ οὔτε τὸ ὕδωρ καθὸ ὕδωρ. ἔστι γὰρ πλείω σώματα διαφέροντα κατ' εἶδος ἀλλήλων κοινόν τι τὸ τῆς διαφανείας πάθος ἔχοντα. καὶ γὰρ τὸ αἴδιον σῶμα καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, καὶ αἱ ὕελοι δὲ καὶ λίθοι τινὲς ταύτης κεκοινωνήκασιν τῆς φύσεως. τὸ μὲν οὖν αἴδιον σῶμα ἀεὶ κατ' ἐνέργειάν ἐστι διαφανές, ὥσπερ εἴρηται, τὰ δ' ἄλλα ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐντελεχείᾳ, καὶ ἡ μὲν τοιαύτη φύσις δεκτικὴ φωτός. ὅσα δὲ μὴ κεκοινώνηκεν τῆς τοιᾶσδε φύσεως, ἀνεπίδεκτα τούτου. διὰ τοῦτο οὔτε διὰ τοίχου τὸ φῶς οὔτε διά τινος ἄλλου τῶν μὴ διαφανῶν χωρεῖ, ὅτι μόνη ἡ τοῦ διαφανοῦς φύσις πέφυκεν ταυτὶ πάσχειν, τρόπον τινά, καθάπερ εἰρήκαμεν, ὡς οἰκεῖον χρῶμα τὸ φῶς δεχομένη. χρωματίζεται δὲ ταῦτα καὶ φωτίζεται οὐ σώματός τινος χωροῦντος δι' αὐτῶν, ἀλλ' οὐδ' αὐτὰ κατὰ τὴν ἐν αὐτοῖς μεταβολὴν ἀλλοιωθέντα δέχεται τὸ φῶς, παρουσία δὲ πυρὸς ἢ τοιούτου τινὸς ἐν διαφανεῖ ἡ αἰτία γε αὐτοῦ. οὐ γὰρ πυρὸς παρουσία μόνον φωτίζει τὸ διαφανές, ἀλλ' ἔστιν καὶ τὸ αἰθέριον σῶμα τοιοῦτον καὶ ἄλλα τινὰ μόρια ζῴων θαλαττίων τε καὶ χερσαίων καὶ πτηνῶν καὶ λίθων τινῶν γένη, ἃ πάντα, ᾗ τοιαῦτά ἐστιν, οὐ ῥᾴδιον ἑνὶ περιλαβεῖν ὀνόματι. διὸ ῥητέον τὸ φῶς πυρὸς ἢ τοιούτου τινὸς παρουσίαν ἐν τῷ διαφανεῖ εἶναι. ἔτι εἰ τὸ σκότος, στέρησις ὂν φωτός, ἀπουσία τούτων ἐστὶν ἢ γίνεταί γε τῇ τούτων ἀπουσίᾳ, εὔλογον καὶ τὸ φῶς τὴν τούτων λέγειν εἶναι παρουσίαν. ἢ γὰρ τοῦτ' ἔστι τὸ φῶς καὶ τὸ σκότος, ἢ αἰτιά γε ταῦτα τούτων. οὐ γὰρ πᾶν ὑπὸ παντὸς πάσχειν τε καὶ διατίθεσθαι φύσιν ἔχει, ἀλλὰ ἄλλα ὑπ' ἄλλων παθητικά, ὥσπερ οὖν καὶ τὸ διαφανὲς ὑπὸ τῶν προειρημένων. εἰ δέ ἐστιν ἐντελέχεια τοῦ διαφανοῦς τὸ φῶς, ἀσώματον ἂν εἴη. κοινότερον δὲ φῶς καὶ τὸ πεφωτισμένον λέγομεν, ὅπερ ἤδη σῶμα. δεδειγμένου δέ, ὅτι οὐκ ἔστι πάθος τὸ φῶς τοῦ διαφανοῦς (ἀλλ' οὐδὲ τὸ χρῶμα πάθος οὐδ' αὐτό, ἀλλὰ σχέσει τινὶ ἡ τούτων ἐν τῷ διαφανεῖ παρουσία), οὐκέτι γίνεται οὐδὲ τὸ θεῖον σῶμα παθητόν, εἰ δι' αὐτοῦ τὰ ἄστρα ὁρᾶται. οὐ γὰρ πάσχει τὸ διαφανὲς ὑπὸ τῶν ὁρατῶν, ὥσπερ οὖν οὐδ' ὑπὸ τοῦ φωτός· οὐδὲ γὰρ ἡμῖν παθεῖν ἐστι τὸ ἐν φωτὶ εἶναι, ἀλλ' ἔοικεν τὸ φωτίζεσθαί τε καὶ τὸ χρώννυσθαι τοῖς διαφανέσιν παραπλησίως γίνεσθαι τῷ θεωρεῖν, ὃ ἅμα τε εὗρεν ὁ ζητῶν καὶ ἐπι-

1 διαφανὲς m², διανὲς m¹ V 3 πρόεισιν V 10 ὕελοι] ῠ in lit. V ταύτῆς sic V 13 τοιᾶσδε V: τοιαύτης a 14 διὰ τοῦτο om. a 15 ταυτὸ a πάσχειν] π in lit. V 16 καθάπερ εἰρήκαμεν] cf. v. 6 τρόπον τινά] cf. ὅσα μὲν οἰκεῖον πέρας οὐκ ἔχει, ταῦτα δὲ μηδὲ χρῶμα ἔχειν οἰκεῖον 46,8 18 δέχεται τὸ] έχεται τ in lit. V 19 παρουσία a: παρουσίᾳ V ἡ a: ἢ V 20 παρουσία ι v. c. (?) adscripsit 22 πάντα] ν in lit. V 24 τῷ V: τὸ a 31 ὅτι V: ἄρα a 32 sc. τῶν χρωμάτων 36 χρώνυσθαι a 37 εὗρεν V ex. Vict.: εὗρον a

στήμων ἐστίν, οἷον θιγόντος τοῦ νοῦ καὶ διὰ παρουσίαν τοῦ ἐπιστητοῦ ἐπιστήμονος γενομένου. οὕτω καὶ τὸ δυνάμει διαφανὲς διὰ παρουσίαν πυρὸς ἢ τοιούτου τινὸς ἀθρόως φωτίζεται, τὸ δὲ πεφωτισμένον πάλιν καὶ κατ' ἐνέργειαν διαφανὲς ὑπὸ τῆς τῶν χρωμάτων παρουσίας εἰδοποιεῖταί πως τῶν | χρωμάτων ὁμοίως τῷ φωτὶ γινομένων ἐν αὐτῷ. οὕτως δὲ οὐδὲ ἡ σελήνη, 153r εἰ καὶ φωτίζεται ὑπὸ τοῦ ἡλίου, πάσχειν ἂν λέγοιτο. ὡς γὰρ τὸ ἐπισκιαζόμενον οὐ πάσχει, οὕτως οὐδὲ τὸ φωτιζόμενον. τὸ δὲ ἀπελθόντων τῶν ὁρωμένων ἔτι τινὰ δοκεῖν καταλείπεσθαι τῶν χρωμάτων ἐν τοῖς ὀφθαλμοῖς τοῖς ἰδοῦσιν οὐκ ἔστιν σημεῖον ἀλλοιώσεως. τοῦτο γὰρ οὐχ ᾗ διαφανὲς πάσχει, ἀλλ' ᾗ ἔμψυχόν τε καὶ φαντασιοῦσθαι δυνάμενον. διὰ γὰρ τοῦτο δύναται φυλάττειν μέχρι τινὸς τὰς γενομένας κινήσεις ἔτι ἀπὸ τῶν ἔξωθεν ἐν τοῖς αἰσθητηρίοις. καὶ γὰρ καὶ ἐν ὑστέρῳ χρόνῳ πρὸ ὀμμάτων τίθεσθαι τὰ ἔμψυχα δυνατά ἐστιν τὰ γενόμενα αὐτοῖς φαντάσματα. τὰ γοῦν κάτοπτρα καίτοι λεῖα ὄντα καὶ διαυγῆ οὐδὲν ἐν αὐτοῖς φυλάττει τῶν ἐμφαινομένων χρωμάτων ἤτοι τοῦ φωτὸς ἀπελθόντος ἢ τῶν φωτιζόντων ἢ τῶν ὁρατῶν, ὅτι μήτε πάσχει μήτε ἐστὶν ἔμψυχα. ὅτι δὲ ἡ ὄψις καὶ ἡ κόρη, διαφανὴς οὖσα, ὡς ὑπὸ τοῦ φωτὸς διατίθεται, οὕτως δὲ καὶ ὑπὸ τῶν χρωμάτων κινητικῶν ὄντων τοῦ κατ' ἐνέργειαν διαφανοῦς καὶ πεφωτισμένου ἐπ' εὐθείας, καὶ τὸ ὁρᾶν οὕτως γίνεται, ἀλλ' οὐ πρὸς τῷ ὁρωμένῳ ἐκπεμπομένου τινὸς ἀπὸ τῆς ὄψεως, σημεῖον τὸ καὶ ὑπὸ τῶν πάνυ λαμπρῶν δάκνεσθαι τῶν ὁρώντων τοὺς ὀφθαλμούς, ὥσπερ γε καὶ τὰς ἀκοὰς ὑπὸ τῶν μεγάλων ψόφων. τὸ γάρ, διότι [ἐπεὶ] ἀφεστῶτες αἰσθανόμεθα τοῦ ὁρωμένου, ἐκεῖ καὶ τὴν ἀντίληψιν ἡγεῖσθαι γίνεσθαι, κενόν. καὶ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, καίτοι κατὰ πάθος ἀντιλαμβανομένων αὐτῶν τῶν οἰκείων αἰσθητῶν, ὅμως ἀφεστώτων ἡ ἀντίληψις γίνεται. ἀλλὰ καὶ ἐμφαίνεταί τινα χρώματα καὶ ἐν τῷ μεταξὺ διαφανεῖ ὡς αὐτῷ δεχομένῳ τε τὰ εἴδη καὶ διακονουμένῳ. φαίνεται γοῦν ἐπιχρώννυσθαί τινα ταῖς τῶν παρακειμένων χροιαῖς· φοινικοῦν γοῦν τὸ ἐπὶ τούτου τοῦ χρώματος φαίνεται ἢ ἁλουργόν, εἰ εἴη τοιαῦτα παρακείμενα χρώματα ὡς διαπεμπομένων τῶν χρωμάτων διὰ τοῦ ἀέρος, ἀλλ' οὐχὶ ὁρωμένων ἐκεῖ. ἔτι δὲ τῶν χρωμάτων τὰ μὲν ἀμυδρότερα ἧττον, τὰ δὲ λαμπρότερα μᾶλλον καὶ σφοδρότερον κινεῖ τὴν ὄψιν. ἔτι δὲ καὶ παρὰ τὰς διαφόρους αὐγὰς καὶ παρὰ τὸ διάφορον φῶς καὶ παρὰ τὰς θέσεις τὰς πρὸς τοὺς ὁρῶντάς τε καὶ τὸ φῶς ἀλλοῖα τὰ ὁρώμενα φαίνεται. ἀλλὰ καὶ ταὐτὸν χρῶμα ἐγγύθεν τε καὶ πόρρωθεν φαινόμενον διάφορον φαίνεται· οὐ γὰρ ὁμοίως λευκὸν τὸ πόρρωθεν ὁρώ-

---

3 ἀθρόον a 10 ἀλλ ᾗ—δυνάμενον] oculum imaginari dici nequit (cf. 68,5 sq.); quare fortasse ἐμψύχου et δυναμένου: *quia (oculus) pars est hominis animati et phantasia praediti.* eadem de causa δύναται (v. 11) aut impersonaliter (cf. Ind.) aut de homine dictum est, non de oculo 14 λεῖα V ex. Vict.: λία a οὐδὲν scripsi: οὐδὲ Va αὐτοῖς Va 17 τῶν om. a 19 fortasse πρὸς τὰ ὁρώμενα 20 ante ὑπὸ una lit. erasa V 22 ἐπεὶ delendum videtur 24 τῶν om. a 27 ταῖς] α in lit. V 28 ἀλουργόν Va 30 χρωμάτων] χρω in lit. V 31 ἀμυδρότερα] μυ in lit. V λαμπρότερα] μ in lit. V

μενον. παρὰ δὴ τὰς τοιαύτας διαφορὰς τῶν ὁρωμένων σχημάτων ἡ ὄψις ἀντιλαμβάνεται. τὴν μὲν γὰρ ἔξωθεν περιγραφὴν τῶν ὁρωμένων τῇ διαφορᾷ τῆς χρόας πρὸς τὸ περιέχον κρίνει· διὸ καὶ δυσόρατα ἢ ὁρατὰ καθ' αὑτά, ὅσοις ὁμόχρουν τὸ περιέχον. τὴν δὲ μεταξὺ τῆς ἔξωθεν περιγραφῆς ἐπιφάνειαν ὁμόχρουν μὲν οὖσαν καὶ ἐπίπεδον τοιαύτην καὶ ὁρᾷ, ὁμοίως ὑπὸ τοῦ χρώματος κινουμένου τοῦ αὐτοῦ καὶ ὁμοίως κινουμένου διὰ τοῦ μεταξύ. εἰ δὲ μὴ ἐπίπεδον εἴη τὸ μεταξύ, ἀλλὰ ἀνώμαλον, εἰ καὶ μὴ ἀνομοιόχρουν, τῇ ἀνομοιότητι τῆς τοῦ χρώματος ἀντιλήψεως κρίνει. οὔτε γὰρ τὸ φῶς ὁμοίως ἐπὶ πάντα τὰ μόρια τοῦ ἀνωμάλου πίπτει διὰ τὸ τὰ μὲν αὐτῶν εἶναι κοῖλα, τὰ δὲ κυρτά, καὶ τὰ μὲν ἐκ πλαγίου τοῦ φωτίζοντος, τὰ δὲ καταντικρύ. διὰ γὰρ ταύτας τὰς διαφοράς, κἂν ὁμοιόχρουν ᾖ τὸ ὁρώμενον, τὰ μὲν ἀχλυωδέστερα αὐτοῦ, τὰ δὲ εὐσημότερα φαίνεται, οὕτως δὲ τὰ μὲν εἰσέχοντα, τὰ δὲ ἐξέχοντα ὁραθήσεται. ὃ μιμούμενοι καὶ οἱ ζωγράφοι, ὅταν βούλωνται ἄνισον δεῖξαι ἐν τῷ αὐτῷ ὂν ἐπιπέδῳ, τὰ μὲν φωτίζουσιν, τὰ δὲ ἐπισκιάζουσιν. οὕτω γὰρ τὰ μὲν ἐξέχοντα, τὰ δὲ εἰσέχοντα αὐτῶν φαίνεται, καὶ ἐξέχοντα μὲν τὰ μᾶλλον πεφωτισμένα, εἰσέχοντα δὲ τὰ ἐπεσκιασμένα. μέγεθος δὲ ὁρᾷ καὶ κρίνει τῇ τοῦ κώνου γωνίᾳ τῇ πρὸς τῇ ὄψει συνισταμένῃ. κατὰ κῶνον γὰρ ὁρᾷ τὰ ὁρώμενα κορυφὴν μὲν τὴν κόρην ἔχοντα, βάσιν δὲ τὴν ὁρίζουσαν γραμμὴν τό τε ὁρώμενον τοῦ αἰσθητοῦ σώματος καὶ μή. γίνεται δὲ ὁ κῶνος οὗτος οὐ κατὰ ἀκτίνων ἔκχυσιν, ἀλλ' ἀπὸ τοῦ ὁρωμένου. τῆς γὰρ χρόας κινητικῆς οὔσης τοῦ κατ' ἐνέργειαν διαφανοῦς καὶ τῆς ἐν τούτῳ γινομένης ὥσπερ χρώσεως ἐπ' εὐθείας γινομένης παραπλησίως τῷ φωτὶ παντί τε τῷ καταντικρὺ προσκαθημένης, μάλιστα δὲ τοῖς λείοις καὶ λαμπροῖς προσιζούσης τε καὶ προσλαμπούσης (τοιαύτη δὲ καὶ ἡ κόρη), συνίστανταί τινες πρὸς ταύτῃ κῶνοι ἀπὸ τοῦ ὁρωμένου, οἷοι τὴν ἔμφασιν δέχεσθαι τὴν ἀπ' αὐτοῦ. κατὰ γὰρ κῶνον ἑκάστου τῶν ἐπ' εὐθείας ὁρωμένων τὸ εἶδος τοῦ ὁρατοῦ ἐμφαίνεται. ὧν κώνων ταῖς γωνίαις τὰ μείζω καὶ τὰ ἐλάττω καὶ τὰ ἴσα κρίνει· τὰ μὲν γὰρ ἴσαις ὁρώμενα γωνίαις ἴσα, τὰ δὲ μείζοσιν μείζω ὁρᾷ. ἀποστήματος δὲ τοῦ ἀφ' αὑτῆς πρὸς τὸ ὁρώμενον καὶ διαστήματος τοῦ μεταξὺ τῶν ὁρωμένων ἀντιλαμβάνεται ἡ ὄψις τοῦ μὲν διαστήματος τῇ τοῦ κώνου γωνίᾳ, ὃς ἀπὸ τοῦ μεταξὺ τῶν ὁρωμένων καὶ αὐτοῦ συνίσταται πρὸς τῇ κόρῃ (τῷ ταύτης δὴ μεγέθει τῆς γωνίας κρίνει τὸ διάστημα τῶν ὁρωμένων· τότε γὰρ ἀφεστῶτα ἀλλήλων τινὰ φαίνεται, ὅταν ἐν τῷ μεταξὺ αὐτῶν ὁρατόν τι ᾖ), τοῦ δὲ ἀφ' αὑτῆς ἀποστήματος αἰσθάνεται διὰ συνη-

3 fortasse ἢ ⟨μὴ⟩ ὁρατὰ 5 ὁμόχρω⁻ sic in medio versu V: ὁμόχρω a 6 fortasse ὑπὸ τοῦ χρώματος κινουμένη (scil. ἡ ὄψις) διὰ τοῦ μεταξύ] intellegas de aere intermedio. hoc enim dicit: *visus animadvertit superficiem unicolorem talem, qualis est, quia aequabiliter per colorem movetur* (ὁμοίως ὑπὸ τοῦ χρώματος κινουμένη), *quippe qui et (in quavis superficiei particula) idem sit* (ὑπὸ τοῦ χρώματος τοῦ αὐτοῦ) *et aequabiliter moveatur per spatium intermedium* (καὶ ὁμοίως κινουμένου διὰ τοῦ μεταξύ) 12 ἀχλυωδέστερα scripsi: ἀλλοιωδέστερα Va 13 ὃ μιμούμενοι κτλ.] cf. p. 50,26 14 βούλονται a fortasse ⟨τι⟩ ἄνισον 16 αὐτῶν om. a 17 τε καὶ a 18 γωνείᾳ a 26 δέχεται a 35 τι in lit. V

θείας τινός. ἐπεὶ γὰρ τῶν ὁρωμένων ἠρέμα μὲν ἡμᾶς τὰ πόρρωθεν κινεῖ, σφοδρῶς δὲ τὰ ἐγγύς, διὰ τῆς περὶ τὰ τοιαῦτα συνηθείας τὰ μὲν ἀχλυωδέστερα φαινόμενα πόρρω ἡγεῖται εἶναι, τὰ δὲ εὐσημότερα καὶ ἐναργέστερα ἐγγύς. τὸ δὲ αὐτὸ γίνεται καὶ περὶ τὴν φωνήν τε καὶ τὴν ἀκοήν· διὸ καὶ οἱ μιμούμενοι τοὺς πόρρω ὄντας ἀδρανῆ τὴν φωνὴν προίενται. κινήσεως δὲ αἰσθάνεται τῷ διαστήματός τε καὶ ἀποστήματος αἰσθάνεσθαι. ὅταν γὰρ ἤτοι πρός τι ὡρισμένον ᾖ μὴ τὴν αὐτὴν ἔχον διάστασιν φαίνηταί τι ἢ πρὸς αὐτὴν τὴν ὄψιν μὴ τὴν αὐτὴν ἀπόστασιν, ἤτοι μὴ | κινουμένου τοῦ 153v ὁρῶντος ἢ λανθάνοντος αὐτὸν ὅτι κινεῖται, τότε ὡς κινούμενον ὁρᾷ τὸ ὁρώμενον. ὅλως γὰρ τοῦ κινουμένου αἰσθάνεται τῷ πρός τι μένον καὶ ὡρισμένον αὐτὸ συγκρίνειν. διὸ καὶ τῶν μὲν ἐν ἀχανεῖ κινουμένων ἥκιστα ὡς κινουμένων ἀντιλαμβάνεται, τῶν δὲ ἐν στενωποῖς καὶ παρά τινα κινουμένων μάλιστα. θᾶττον γὰρ αὕτη παραλλάττειν δοκεῖ. στάσεως δὲ καὶ ἀριθμοῦ αἰσθάνεται. τῆς μὲν στάσεως τῇ τῆς κινήσεως ἀποφάσει, τοῦ δὲ ἀριθμοῦ τῇ τοῦ συνεχοῦς στερήσει. τὰ γὰρ διοριζόμενα διαστήματι σωμάτων ἄλλων τῷ εἴδει πλείω λέγει. οὕτως δὲ τοῦ ὁρᾶν γινομένου, οὐ κατὰ πάθος καὶ ἀλλοίωσιν τοῦ μεταξύ, ἀλλὰ κατὰ σχέσιν, λύεται καὶ ἡ ἀπορία, ἣν ἀποροῦσίν τινες, πῶς οἷόν τε τοὺς τὰ διαφέροντα ἢ καὶ ἐναντία ὁρῶντας ἀλλήλοις διαγώνια κείμενα ὁρᾶν. ὁ γὰρ μεταξὺ ἀὴρ καθὸ συμβάλλει ἀλλήλοις τὰ χρώματα, τοῦτο δέ ἐστι καθὸ τέμνουσιν ἄλληλα, αὐτῶν τὰ διαγώνια ὁρώντων, ἅμα δόξει τὰ ἐναντία χρώματα ἀναδέχεσθαι. τοῦτο δὴ λύεται τῷ μὴ χρώννυσθαι τὸν ἀέρα, ἀλλὰ κατὰ σχέσιν τὴν τοῦ ὁρωμένου πρὸς αὐτὸν ἐμφαίνεσθαι ἐπ' εὐθείας τοῦ ὁρωμένου τὸ χρῶμα. οὐδὲν γὰρ κωλύει τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο μὴ τὴν αὐτὴν σχέσιν φυλάττειν, ὥσπερ οὖν καὶ τὸ αὐτὸ οὐδὲν κωλύει τοῦ μὲν ἥμισυ εἶναι, τοῦ δὲ διπλάσιον.

Ὅτι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς.

Ἡ διαφάνεια κοινή τις φύσις καὶ κοινὸν πάθος ἁπάντων ἐστὶ τῶν σωμάτων, ἀλλὰ τὰ μὲν μᾶλλον αὐτῆς μετέχει, τὰ δὲ ἧττον, πῦρ μὲν καὶ ἀὴρ καὶ ὕδωρ μᾶλλον, ἧττον δὲ γῆ, πλὴν ἐν πᾶσίν γε ἐστι τοῖς σώμασιν. ἔστι γὰρ ἡ διαφάνεια ὕλη πως χρώματος. ὡς γάρ ἐστι μεγάλου καὶ μικροῦ ὕλη τις, καὶ κούφου καὶ βαρέος καὶ τῶν ἄλλων ἐναντιοτήτων ὁμοίως, ὃ δεκτικὸν αὐτῶν ἐστι παρὰ μέρος, οὕτως καὶ τῆς ἐν χρώμασιν ἐναντιότητος

1 ἐπεὶ Va: ἐπὶ ex. Vict. ἠρέμα ut solet V 2 περὶ ταῦτα a ἀχλυωδέστερα V: ἀχαιωδέστερα a 7 ᾖ] expectamus ὡρισμένον ἠρεμοῦν vel ὡρισμένον καὶ μένον, ut v. 10. hoc enim dicit: *si quid aut a certa stabilique re aut ab ipso visu (sive manet sive manere videtur) idem intervallum videtur non tenere, id moveri putamus* φαίνεται a 8 μὴ τὴν ἀπόστασιν τὴν αὐτὴν a 9 αὐτὸν a 11 αὐτῷ a 13 αὕτη] fortasse ταῦτα nisi ἀντιπαραλλάττειν (Usenerus) latet παραλάττειν V 16 λέγει] scil. ἡ ὄψις 17 ἀπορία] cf. 62,9, de sens. 63,11 20 τέμνουσιν] fortasse τέμνει, nisi pauca exciderunt: τέμνουσιν ἀλλήλους ⟨οἱ κῶνοι οἱ ἀπὸ⟩ τῶν τὰ διαγώνια ὁρώντων cf. Al. de sens. 64,3 21 τὰ in lit. V 23 αὐτὸν] ante ν una lit. erasa V 26 ὅτι τὸ χρῶμα πέρας τοῦ διαφανοῦς] cf. Al. de sens. 91,8 sq. 32 δεκτικὸν αὐτῶν] ὸν αὐ in lit. V τοῖς ἐν Ka

ὕλη τὸ διαφανές. εἴπερ οὖν πᾶν σῶμα χρώματός ἐστι δεκτικόν, πᾶν καὶ διαφανές ἐστιν. ἔστι γὰρ τὸ τοῖς χρώμασιν ὑποκείμενον τοῦτο, καὶ ἔστιν ἐν τῷ πέρατι τοῦ ὡρισμένου διαφανοῦς κατάδηλος ἡ τῶν χρωμάτων φύσις. τῶν γὰρ ἀδιόπτων σωμάτων, ἅπερ ἐστὶν ὡρισμένα καὶ στερεά, μόνον τὸ πέρας φανερόν ἐστι, ὅπερ ἐστὶ τὸ χρῶμα. τῶν δὲ διαφανῶν ἐναργέστατόν ἐστι τοῦτο, κρινόμενον τῇ πρὸς τὸ περιέχον ἑτερότητι καὶ ἀνομοιότητι. διαφανῆ δὲ καλεῖται μόνα τῶν σωμάτων τὰ δίοπτα, ἐπεὶ ὄψει ληπτὸν αὐτῶν ἐστι τὸ χρῶμα. δι' οὗ δὲ τοῦτο φαίνεσθαι πέφυκεν δέξασθαι δυναμένου τὸ εἶδος αὐτοῦ, τοῦτο διαφανὲς ἰδίως καλεῖται καὶ ἔστι. τί ποτ' οὖν, εἰ ἐν ἅπασιν τοῖς σώμασίν ἐστιν ἡ διαφάνεια, οὐ πάντα ἐστὶ διαφανῆ; ἢ διαφέρει τὰ σώματα τῷ μᾶλλόν τε καὶ ἧττον ἔχειν τήνδε τὴν φύσιν. τὸ δὲ μᾶλλόν τε καὶ ἧττον μίξει τοῦ ἀντικειμένου γίνεται. ἐναντίον δὲ τὸ ἐλάχιστον διαφανές. τοῦτο δέ ἐστιν ἡ γῆ. τὸ γὰρ ἐναντίον τῷ μάλιστα διαφανεῖ γῆ. δῆλον δὲ τοῦτο ἐντεῦθεν· φαμὲν γὰρ τὸ δυνάμει διαφανὲς λεγόμενον ἐνεργείᾳ γίνεσθαι τοιοῦτον διὰ πυρὸς ἤ τινος τοιούτου παρουσίαν. κατὰ λόγον οὖν λήψομεν ἐγγὺς τοῦ πυρὸς τήν τε φύσιν καὶ τὴν θέσιν, ὃ μάλιστα καὶ τάχιστα ἀναπίμπλαται φωτός (καὶ τοῦτ' ἔστιν τὸ μάλιστα διαφανές), τὸ δὲ πορρωτάτω ἥκιστα, τῶν δὲ ἄλλων ἄλλο ἄλλου μᾶλλον, ὡς ἂν ἔχωσιν ἀποστάσεως πρὸς τὸ πῦρ καὶ πᾶν τὸ φωτίζειν πεφυκός. ἐγγυτάτω μὲν οὖν ἐστιν τοῦ πυρός τε καὶ τοῦ φωτίζειν πεφυκότος σῶμα τῶν ἐν γενέσει τὸ ὑπὸ σελήνην, ὃ καὶ ὑπέκκαυμα καλοῦμεν, μετὰ δὲ τοῦτο ἀήρ, καὶ τρίτον τὸ ὕδωρ, πορρωτάτω δὲ ἡ γῆ. διὸ κἀκεῖνα μὲν τοῦ μάλιστα ὁρατοῦ, λέγω δὲ τοῦ φωτός ἐστι δεκτικὰ μάλιστα, ὄντα διαφανῆ, ἡ δὲ γῆ οὐχ ὁμοίως. ἐναντία γὰρ αὕτη τῷ τε φωτίζειν καὶ τῷ μάλιστα φωτίζεσθαι δυναμένῳ, ἥπερ φαμὲν ὕλην· ὥσπερ γὰρ πᾶσιν τοῖς ἐν ἄλλῳ πεφυκόσιν γίνεσθαί ἐστί τι ὑποκείμενον, ἐπιτηδειότητα ἔχον πρὸς τὸ κατ' αὐτὸ εἰδοποιεῖσθαι, ὃ καὶ ὕλη ἐστὶν αὐτῶν (καὶ γὰρ βαρεῖ καὶ κούφῳ καὶ μεγάλῳ καὶ μικρῷ καὶ θερμῷ καὶ ψυχρῷ καὶ τοῖς ἄλλοις τοῖς ἀνάλογον τούτοις ἔχουσιν ὑπόκειται), οὕτως δὲ καὶ τοῖς χρώμασιν καὶ τῆς ἐν τούτοις ἐναντιώσεώς ἐστί τις ὕλη καὶ ἔστιν αὕτη τὸ διαφανὲς σῶμα. τὸ γὰρ τοιοῦτο πᾶν κατὰ τὴν δύναμιν ταύτην, καθ' ἣν διαφανές ἐστι, δεκτικόν ἐστι χρωμάτων. εἴη δ' ἂν ἡ δύναμις αὕτη διαφάνεια. ἔστι δὲ ἡ

1 χρώματί Ka 7 δίοπτρα Ka ὄψει V: ὄψι a ἐπεὶ ὄψει ληπτὸν αὐτῶν ἐστι τὸ χρῶμα] haec non pertinere ad praecedentia (τὰ δίοπτα), et res ipsa et verba docent quae sequuntur δι οὗ δὲ τοῦτο φαίνεσθαι πέφυκεν et q. s. agitur enim de differentia quae interest inter φαίνεσθαι et διαφαίνεσθαι, de qua cf. Al. de sens. 95,1 ἰδίως δὲ διαφανῆ, ὡς εἴθισται λέγεσθαι, τῶν σωμάτων μόνα τὰ δίοπτα, ἀπὸ τοῦ φαινόμενον μὲν ἰδίως λέγεσθαι τὸ τῇ ὄψει ἀντιληπτὸν παρὰ τὸ φῶς. ὧν δὴ τοῦτο χρῶμα, ταῦτα ἰδίως διαφανῆ. τὰ γὰρ δεχόμενα τὸ φάος ἤτοι φῶς, δι' οὗ πάντα τὰ ὁρώμενα ὁρᾶται, ταῦτα λέγεται συνήθως διαφανῆ. quare fortasse legendum est τὰ δίοπτα· ⟨φαινόμενα γὰρ καὶ τὰ ἄλλα σώματα παρὰ τὰ δίοπτα⟩, ἐπεὶ ὄψει ληπτὸν κτλ. 12 γίνεται V: λέγεται Ka 14 διαφανεῖ] φ in lit. V 16 λήψομεν v. c., λείψομεν m[1] V: λείψομεν Ka 20 οὖν om. Ka τε καὶ V: τὰς Ka 21 ὑπέκκαυμα] cf. 149,14 τὸ δυνάμει πῦρ, τοῦτο δέ ἐστι τὸ ὑπέκκαυμα et Arist. met. 1,4. 371b17 sq. 22 καὶ om. Ka πορρωτάτω corr. ex. ποαρωτάτω V κἀκεῖνα (sic) V

δύναμις αὕτη ἐν ἅπασιν μὲν τοῖς σώμασιν, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον. ἐφ' ὅσον δὲ ἕκαστον αὐτῶν μετέχει, ἐπὶ τοσοῦτον καὶ τοῦ χρώματός ἐστι δεκτικόν. ἔστιν δ' ἐναντία αὐτοῖς οὐ κατὰ τὰς ἁπτὰς δυνάμεις. τὸ γὰρ ὕδωρ μᾶλλον οὕτω γε καὶ κατὰ ταύτας ἐναντίον τῷ πυρί. τὸ μὲν γὰρ θερμόν τε καὶ ξηρόν, τὸ δὲ ὕδωρ ψυχρόν τε καὶ ὑγρόν. ἀλλ' οὐ κατὰ τοῦτο τὸ φωτίζειν τῷ πυρί. καὶ γὰρ ἄλλα μὴ τοιαύτης ὄντα φύσεως φωτίζει. ἀλλ' ὡς ἐναντία ἡ γῆ τῷ πυρὶ καὶ κατὰ τὴν ῥοπὴν καὶ κατὰ τὸν οἰκεῖόν τε καὶ κατὰ φύσιν τόπον καὶ κατὰ τὸ μανὸν καὶ πυκνόν, τουτέστιν λεπτὸν καὶ παχύ, οὕτω καὶ κατὰ τὴν τοῦ φωτὸς δύναμιν καὶ διαφάνειάν τε καὶ φῶς ἐναντία ἡ γῆ τῷ πυρί. καὶ γὰρ δὴ ὁ μὲν ἀὴρ οἰκεῖος τῷ πυρί (διὸ καὶ ταχὺ ἐκπίμπραται), τὸ δὲ ὕδωρ καὶ τροφὴ δοκεῖ τῷ πυρὶ εἶναι. καὶ γὰρ ἐν τοῖς καιομένοις ξύλοις ἡ ὑγρότης ἐστὶν ἡ καιομένη ἐν αὐτοῖς. ὁ γὰρ καπνὸς τοιοῦτον. ἡ δὲ γῆ πορρωτάτω ἀφέστηκεν αὐτοῦ. διὰ τοῦτο δὴ μάλιστα μέν ἐστι δεκτικὸν φωτὸς τὸ δυνάμει πῦρ. τοῦτο δέ | ἐστι τὸ ὑπέκκαυμα, δευτέρως δὲ ἀὴρ καὶ τρίτον τὸ ὕδωρ. ἡ 151r δὲ γῆ πλεῖστον ἀφεστῶσα τοῦ πυρὸς καὶ τῆς δεκτικῆς φύσεως τοῦ φωτὸς ἐλάχιστα μετέχει. αὕτη δέ ἐστιν ἡ διαφάνεια. τὸ γὰρ ἕτερον τῶν ἐναντίων στέρησις. ἐναντίον δὲ τὸ πλεῖστον ἀφεστός. πλεῖστον δὲ ἀφέστηκεν, μεθ' ὃ εἰς ἄλλο μετάβασις οὐκ ἔστιν· τοιοῦτον δὲ ἡ γῆ. ἔσχατόν τε γὰρ τῶν ὑφισταμένων καὶ τελευταῖον τῆς ἐπὶ τάδε μεταβάσεως. εἰκότως οὖν τὴν τῆς στερήσεως τοῦ φωτὸς χώραν ἔχει οὔτε αὐτὴ δεχομένη τὸ φῶς ἐν αὑτῇ, ὅτῳ τ' ἂν ἄλλῳ μιχθῇ ἀντιφράττουσα καὶ κωλύουσα αὐτὸ δι' ὅλου φωτίζεσθαι. δηλοῖ δὲ ὁ ἀὴρ ὁ ἀνάπλεως καπνοῦ· ἧττον γὰρ δέχεται τὸ φῶς διὰ τὴν μῖξιν τοῦ γεώδους· τοιοῦτος δὲ ὁ κονιορτός. διὰ τὴν αὐτὴν δὲ αἰτίαν οὐδὲ ἡ φλὸξ δίοπτός ἐστιν, διότι γεῶδες αὐτῇ μέμικται, εἰ ἡ φλόξ ἐστι καιόμενος καπνός. ἡ δὲ ὕαλος καὶ τὰ διαφανῆ, οἷς τοὺς οἴκους φράττουσιν, ὕδατός ἐστιν, ὡς δῆλον ἐκ τῆς γενέσεως αὐτῶν. διὸ καὶ διαφανῆ. καὶ κέρας δὲ καὶ τὸ χελώνιον τὸ πλεῖον ὕδατος ἔχει. διά πως ἐργασθέντα γίνεται διαφανῆ· ὅτι γὰρ ὕδατος, δῆλον τῷ μαλακτὰ εἶναι. ὅτι δὲ τὰ γῆς πλεῖον ἔχοντα τῶν διαφανῶν ἧττόν ἐστι διαφανῆ δηλοῖ καὶ τὸ γλεῦκος. γεωδέστερον γὰρ τοῦ καθεστῶτος οἴνου. ὥστε ἡ μὲν γῆ διὰ ταῦτα οὔτε αὐτὴ διαφανὴς οὔτε τὰ ἐν οἷς μέμικται. τὰ μὲν οὖν δίοπτα καὶ διαφανῆ τὸ μάλιστα ὁρατὸν ἔχει τε καὶ δέχεται χρῶμα, τοῦτο δέ ἐστι τὸ φῶς καὶ πρὸς τούτῳ καὶ τοῖς ἄλλοις χρώμασιν τοῦ ὁρᾶσθαι παρέχει τὴν αἰτίαν. τὸ γὰρ ὁρᾶν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. τούτου γὰρ κινητικὰ τὰ χρώματα. τὰ δὲ στερεὰ καὶ διωρισμένα τῶν σωμάτων καὶ γήϊνα

---

7 ῥοπὴν] ante π una lit. eras. V 10 ἐναντία—πυρί suspectum 10—14 καὶ γὰρ δὴ—ἀφέστηκεν αὐτοῦ] cf. Al. de sens. 96,12—97,3 15 ὑπέκκαυμα VK: ὑπέκκαυμένᾳ a 18 ἀφεστώς Ka 20—29 εἰκότως—μαλακτὰ εἶναι] cf. Al. de sens. 97,3—12 22 αὐτῇ Ka 23 ἀὴρ ἀνάπλεως Ka 24 γεώδους Ka: γαιώδους V, ut semper 26—27 οἷς—διαφανῆ om. K 29 δῆλον scripsi: δηλοῖ VKa cf. Al. de sens. 97,10 κέρας δὲ καὶ τὸ χελώνιον διαφανῆ ἐργασθέντα πως γίνεται, ὅτι τὸ πλεῖστον ὕδατος ἐν αὐτοῖς· δῆλον δὲ τῷ μαλακτὰ εἶναι 31 διὰ in lit. V 32 δίοπτρα Ka

ἢ γῆς ἔχοντα πλεῖον οὐκέτι μέν ἐστι δίοπτα. οὐδὲ γὰρ οὕτω διαφανῆ, οὐδὲ τὸ φῶς ἔτι ὡς χρῶμα οἰκεῖον ταῦτα δέχεται. οἰκεῖον δὲ ἕκαστον αὐτῶν ἔχει χρῶμα καὶ κατὰ τοῦτό ἐστιν ὁρατόν, καθόσον καὶ τῆς διαφανείας μετέχει τῆς ὑποκειμένης τοῖς χρώμασιν. κατὰ μὲν γὰρ τὴν τῆς γεώδους φύσεως μῖξιν ἐστέρηται τοῦ δίοπτα εἶναι. πρώτη γὰρ τῶν σωμάτων πέπονθεν τοῦτο. καθ' ὅσον δὲ μετέχει τῆς διαφανείας, κατὰ τοσοῦτον καὶ οὕτω κέχρωσται. τὰ μὲν γὰρ μᾶλλον διαφανῆ φωτοειδὲς ἔχει τὸ χρῶμα, τὰ δὲ ἐγγὺς τούτοις λευκόν, καὶ δεῖ τὰ μᾶλλον ὁρατὸν ἔχοντα χρῶμα μᾶλλον ἔχειν καὶ διαφάνειαν. ἔστιν δὲ μᾶλλον μὲν ὁρατὰ τὰ φωτοειδῆ καὶ λευκά, δευτέρως δὲ τὰ τούτοις ἀκολούθως παρακείμενα, ἥκιστα δὲ τὰ μέλανα. αἰσθητὰ μὲν γάρ ἐστι καὶ ταῦτα, οὐ μὴν ὁρατὰ προηγουμένως· [ὧν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον μετέχειν διάφορα καὶ τὰ χρώματα τοῖς σώμασιν] οἰκεῖον δὲ τοῦτο τῇ γῇ. ἐπεὶ δὲ πᾶν διαφανὲς ὁρατόν ἐστιν, πᾶν δὲ ὁρατὸν ὁρᾶται κατὰ τὸ πέρας, πᾶν διαφανὲς ὁρατόν ἐστι κατὰ τὸ πέρας. ἀλλὰ μὴν χρῶμά ἐστιν, καθὸ ὁρατόν ἐστιν, χρῶμα ἄρα ἐστὶ καθὸ τὸ διαφανὲς ὁρατόν ἐστιν, ὁρατὸν δέ ἐστιν, ὡς ἔφαμεν, κατὰ τὸ πέρας τὸ ἴδιον. τὸ ἄρα χρῶμά ἐστιν τοῦ διαφανοῦς πέρας. μόνον γὰρ ὁρατὸν κατ' ἐνέργειαν τοῦτο.

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ πρώτου οἰκείου.

Ἐπειδή ἐστί τι ὀρεκτὸν καὶ ὀρεκτικόν, ἔστι δὲ καὶ ἔσχατόν τι ὀρεκτόν, ὡς ἡ εὐδαιμονία, τὸ δὲ ἔσχατον πρώτου τινός ἐστιν ἔσχατον, εἴη ἄν τι καὶ πρῶτον ὀρεκτόν. καὶ γὰρ ἐν ᾧ ἔσχατόν τί ἐστιν ὄντι συνεχεῖ, ἀνάγκη ἐν τούτῳ εἶναι καὶ τὴν ἀρχήν, ἀφ' ἧς ἡ πρόοδος διὰ τῶν μεταξὺ ἐπὶ τὸ τέλος καὶ τὸ ἔσχατον γίνεται, ὥστε, εἰ ἔστιν ἔσχατόν τι ὀρεκτόν, ἐστίν τις τούτου ἀρχή, ὃ καὶ πρῶτον οἰκεῖον καλοῦσιν. τοῦτο δὴ τὸ πρῶτον οἰκεῖον ἐζήτηται, τί ποτέ ἐστι, παρὰ τοῖς φιλοσόφοις, καὶ οὐ ταὐτὸ πᾶσιν ἔδοξεν, ἀλλὰ σχεδὸν κατὰ τὴν τοῦ ἐσχάτου ὀρεκτοῦ διαφορὰν καὶ ἡ περὶ τοῦ πρώτου τοῖς περὶ αὐτοῦ λέγουσιν γίνεται. οἱ μὲν οὖν Στωϊκοὶ οὐ πάντες δέ, λέγουσιν πρῶτον οἰκεῖον εἶναι τὸ ζῷον αὑτῷ (ἕκαστον γὰρ ζῷον εὐθὺς γενόμενον πρός τε αὑτὸ οἰκειοῦσθαι, καὶ δὴ καὶ τὸν ἄνθρωπον· οἱ δὲ χαριέστερον δοκοῦντες λέγειν αὐτῶν καὶ μᾶλλον διαρθροῦν περὶ τοῦδέ φασιν πρὸς τὴν σύστασιν καὶ τήρησιν ᾠκειῶσθαι εὐθὺς γενομένους ἡμᾶς τὴν ἡμῶν αὐτῶν), τοῖς δὲ περὶ Ἐπίκουρον ἡδονὴ τὸ πρῶτον οἰκεῖον ἔδοξεν εἶναι ἁπλῶς, προϊόντων δὲ διαρθροῦσθαι ταύτην τὴν ἡδονήν φασιν, τοῖς δὲ ἀοχλησία, ὥσπερ τοῖς Μεγαρικοῖς, τοῖς δὲ Ἀκαδημαϊκοῖς ἡ ἀπροσπτωσία.

1 διαφανῆ] α ante ν in lit. V 6 πέπονθεν] cf. καὶ μᾶλλόν γε τὸ εἶδος τοῦτο τῆς ὕλης πέπονθεν 4,21 9 μᾶλλον] μαλ in lit. V ἔχει sic V 12—13 ὧν κατὰ—σώμασιν] insiticium videtur 13 δὴ τοῦτο Ka 19 οἰκείους Ka 20 ἐπεὶ δέ ἐστι ἃ ἔστι δὲ om. a 21 πρώτως a 24 γίνεται] αι in lit. V εἰ om. a 27 ἐσχάτου V 29 αὐτῷ a 30 γινόμενον a αὑτὸ scripsi: αὐτὸ V: αὐτὸν a 31 διαρθροῦντες a 32 ὠκειῶσθαι Va 33 ὑμῶν a 34 φασιν in lit. V

πρὸς ταύτην γάρ φασιν ἡμᾶς οἰκείως ἔχειν πρώτην, ὥστε μηδὲν προσπταίειν. καὶ καθόλου ἀκολούθους τοῖς τελικοῖς ὀρεκτοῖς καὶ τὰς ἀρχὰς ἕκαστοι, ὡς ἔφαμεν, ὑποτίθενται. κατὰ δὲ Ἀριστοτέλη οἱ μέν φασιν εἶναι πρῶτον οἰκεῖον ἡμῖν ἡμᾶς αὐτούς. εἰ γὰρ τὸ φιλητὸν ὀρεκτόν ἐστι (φιλοῦμεν δὲ οὐδένας πρὸ ἡμῶν αὐτῶν, οὐδὲ ᾠκειώμεθα πρός τι ἄλλο οὕτως· καὶ γὰρ τῶν ἄλλων ἀντιποιούμεθα καὶ φιλοῦμέν τινα κατὰ τὴν ἐφ' ἡμᾶς ἀναφοράν), εἴη ἂν τὸ πρῶτον οἰκεῖον ἕκαστος αὑτῷ κατὰ τοῦτο. ταύτης τῆς δόξης οἱ περὶ Ξέναρχόν εἰσι καὶ Βοηθόν, τὴν ἀφορμὴν λαβόντες ἀπὸ τῶν περὶ φιλίας εἰρημένων ἐν τῷ ὀγδόῳ τῶν Νικομαχείων, οὗ ἡ ἀρχὴ τῆς λέξεως· 'τάχα δ' ἂν γένοιτο περὶ αὐτῶν φανερόν, γνωρισθέντος τοῦ φιλητοῦ' ἕως· 'διοίσει δ' οὐδέν· ἔσται γὰρ τὸ φιλητὸν φαινόμενον'· καὶ ἐν τῷ ἐνάτῳ δὲ ὁμοίως λέγει· 'τοῖς λόγοις δὲ τούτοις τὰ ἔργα διαφανεῖ' ἕως· 'φιλητέον δὴ μάλιστα ἑαυτόν'. ἀδιάρθρωτος δὲ ἡ δόξα. ἡμᾶς γὰρ φιλοῦμεν ἤτοι ὡς ὀρεκτὰ ὄντας καὶ ὥσπερ πρᾶγμά τι ἄλλο ἄλλου κεχωρισμένον ἡμῶν, οὐ ὀρεγόμεθα (οὐδὲν γὰρ αὑτοῦ ὀρέγεται | οὐδὲ τοῦ παρόντος αὐτῷ καθὸ 151v πάρεστιν), ἢ τοῦ εἶναι αὐτοὺς ἡμᾶς ὀρεγόμεθα ἁπλῶς, ἐπεὶ μὴ ἐκείνως οἷόν τε. οὐ γὰρ ἡμεῖς γε ἡμῶν αὐτῶν ἄλλοι. καὶ μοχθηρῶς ἄρα καὶ λυπηρῶς. καὶ γὰρ ἐν τούτοις ὄντες ὅμως ἐσμέν. εἰσὶν δὲ οἱ λέγοντες ἡδονὴν εἶναι κατὰ Ἀριστοτέλη τὸ πρῶτον οἰκεῖον, κινούμενοι καὶ αὐτοὶ ἐξ ὧν ἐν Ἠθικοῖς Νικομαχείοις λέγει. τρία γάρ φησιν εἶναι τὰ ὀρεκτά, τὸ καλόν, τὸ συμφέρον, τὸ ἡδύ. ὀρεκτὸν δέ τι καὶ πρὸς ὃ οἰκειώμεθα. ἀλλὰ τοῦ μὲν καλοῦ καὶ τοῦ συμφέροντος ἀντιλαμβανόμεθα προϊόντες τῇ ἡλικίᾳ, τοῦ δὲ ἡδέος εὐθύς. εἰ οὖν μόνα μὲν ταῦτα ὀρεκτά τε καὶ οἰκεῖα, πρῶτον δὲ τούτων τὸ ἡδύ, καὶ πρῶτον ἂν ἡμῖν οἰκεῖον εἴη τοῦτο. ἔτι εἰ ὄρεξις μὲν πᾶσα ἀγαθοῦ ἢ φαινομένου ἀγαθοῦ, ἀλλὰ τὸ μὲν ὡς ἀληθῶς ἀγαθὸν τελικόν, τὸ δὲ φαινόμενον οὐ τοιοῦτον, φαινόμενον δὲ ἀγαθὸν τὸ ἡδύ, πρῶτον ἂν ἡμῖν τοῦτο εἴη ὀρεκτὸν κατὰ φύσιν. καὶ τοῦτο δὲ ἀδιαρθρώτως λέγεται. ἡδέος γὰρ ὀρεγόμεθα ἢ τοῦ ἁπλῶς ἢ τοῦ πῇ, ὃ κατά τι ἡδύ ἐστιν, ἁπλῶς μηδὲν ἔχοντες οἰκεῖον πρὸς αὐτό, ἵνα ἡμῖν περιγένηται. Βεργίννιος δὲ Ῥοῦφος καὶ πρὸ αὐτοῦ Σωσικράτης φησίν, ἕκαστον ὀρέγεσθαι τῆς τελειότητος καὶ τοῦ ἐνεργείᾳ εἶναι, δηλονότι ἀνεμποδίστως ἐνεργοῦντα. διὸ καὶ ἡμῖν φησιν ὀρεκτὸν εἶναι τὸ εἶναι ἐνεργείᾳ, τουτέστιν τὸ ζῆν καὶ τὰς ἀπὸ τοῦ ζῆν ἐνεργείας οὔσας ἡδείας. αἱ γὰρ τοιαῦται ἐνέργειαι κατὰ φύσιν, ἕως ἂν ὦσιν ἀνεμπόδιστοι, ἡδεῖαι. ἀλλὰ ἑκάστῳ ἡ τελειότης ἀγα-

---

2 ὀρεκτικοῖς a 4 αὑτούς V 5 αὑτῶν V ᾠκειώμεθα Va 9 ἐν τῷ ὀγδόῳ τῶν Νικομαχείων] ὀγδόῳ (i. e. ἐν τῷ Θ) scripsi: ἐνάτῳ Va cf. Arist. Eth. Nic. 8,2 1155b17—27 11 γὰρ τὸ Aristoteles: γάρ τοι V: γάρ τι a ἐν τῷ ἐνάτῳ] ἐνάτῳ (i. e. ἐν τῷ Ι) scripsi: δεκάτῳ Va cf. Eth. Nic. 9,8 1168a35—b10 12 διαφανῆ a 15 αὐτοῦ a 16 ἁπλῶς ἡμᾶς αὐτοὺς ὀρεγόμεθα a αὐτοὺς ἡμᾶς] cf 152,26 ἐκείνων a 17 αὑτῶν V καὶ μοχθηρῶς ἄρα καὶ λυπηρῶς] videtur supplendum esse ἔχοντες οὐκ ἄλλοι ἡμεῖς ἡμῶν αὐτῶν 18 fortasse εἰσὶν δέ, οἳ cf. 5,10 et 168,24 19 εἶναι om. a 20 ἐν Ἠθικοῖς Νικομαχείοις] Ar. Eth. Nic. 2,2 1104b30 27 τοῦτο] το in lit. V 30 βεργίνιος a Σωσικράτης] σωκράτης a 31 ἐνέργεια a 33 τοῦ a: τὸ V fortasse ζῆν ⟨ἐνεργεῖν⟩ ἐνεργείας 34 ἡδίαι V

θόν. τελειότης δὲ τοῦ δυνάμει παντὸς τὸ ἐνεργείᾳ γενέσθαι τοῦθ' ὃ ἦν δυνάμει, καὶ ἔστιν τὸ ζῷον οὐκ ἐν τῷ ἐνεργεῖν, ἀλλ' ἐν τῷ δύνασθαι. καὶ γὰρ κοιμώμενοι ζῶσιν. ὀρεγόμενος ἄρα τοῦ ἐνεργείᾳ εἶναι ὀρέγοιτ' ἂν τῆς οἰκείας τελειότητος. ἀγαθὸν δ' ἑκάστῳ τοῦτο, ὥστε τούτου ὀρεγόμεθα. ἀκολουθεῖ δὲ τοῖς τιθεμένοις πρῶτον οἰκεῖον τὸ εἶναι καὶ ζῆν κατ' ἐνέργειαν καὶ τὸ ἡδονὴν εἶναι λέγειν τὸ πρῶτον οἰκεῖον καὶ τὸ ἀγαθόν. ἀλλὰ καὶ τὸ τέλος συνᾴδει τούτῳ. τὸ γὰρ ἐνεργεῖν κατὰ τὸν νοῦν καὶ τὸ ἐνεργείᾳ νοητὸν εἶναι τὸ τέλος ἐστίν, ὃ ἤρτηται ἐκ τοῦ οἰκειῶσθαι ἡμᾶς πρὸς τὸ κατὰ δύναμιν. τελειωθεὶς δὲ ὁ ἄνθρωπος ἐν τῷ νοητικὸς εἶναι τὸ εἶναι ἔχει. δεῖται δὲ τὸ λεγόμενον διαρθρώσεως καὶ διορισμοῦ, πότερον γὰρ ὡς πάσης τῆς ἀπὸ τοῦ ζῆν ἐνεργείας ἡδείας οὔσης εὐθὺς τῷ γενέσθαι ὀρεγόμεθα αὐτῆς ἡμεῖς, ἢ οὐ πάσης; ἴσως γὰρ οὐ τῆς ἀρίστης, αὕτη γὰρ τελική τε καὶ ἐσχάτη. ἢ λέγουσιν τῇ καθὸ ἐσμεν; ἐσμὲν δὲ τότε αἰσθητικοί (ὥστε τῆς κατ' αὐτάς), ὕστερον δὲ λογικοί. ἐν δὲ τῷ δεκάτῳ τῶν Νικομαχείων λέγει· 'ἑκάστῳ ἡ κατὰ τὴν οἰκείαν ἕξιν αἱρετωτάτη ἐνέργεια'. αὗται μὲν αἱ περὶ τοῦ πρώτου οἰκείου δόξαι κατὰ τοὺς ἀπὸ τοῦ Περιπάτου. διαρθρώσεως δὲ ἐπιμελεστέρας ὁ τόπος δεῖται. ἐπεὶ γὰρ διττὸν τὸ τέλος, ὥς φησιν Ἀριστοτέλης, τὸ μὲν ὅ, τὸ δὲ ᾧ, τὸ μὲν ὃ ὡς ἡ εὐδαιμονία (τοῦτο γὰρ πάντων ἔσχατον καὶ μέγιστον τῶν ἀγαθῶν καὶ σκοπός), τὸ δὲ ᾧ ἡμῖν (τελικώτατον γὰρ ἡμῖν τοῦτο τὸ ἡμῖν τὴν εὐδαιμονίαν περιγενέσθαι), καὶ ὡς μὲν πρὸς τὰ πράγματα ἡ εὐδαιμονία τέλος καὶ σκοπός, ὡς δὲ πρὸς ἡμᾶς ἡμεῖς εὐδαιμονοῦντες. διττοῦ τοίνυν τοῦ τέλους ὄντος, δεῖ καὶ περὶ τὰς ἀρχὰς διφυΐαν τινὰ εἶναι, ἑκάστης ἀρχῆς κατὰ τὴν συνέχειαν τῶν ὀρεκτῶν ἐπὶ τὸ οἰκεῖον τέλος ἀγούσης. ἔστιν οὖν ὥς φαμεν καὶ τὸ πρῶτον ὀρεκτὸν σύνθετον. ἡμεῖς τε γὰρ ἡμῖν αὐτοῖς ἐσμεν οἰκειότατοι καὶ οὐχ ἁπλῶς πρὸς ἑαυτοὺς οἰκειώμεθα, ἀλλὰ τοῦ αὐτοῖς ἡμῖν περιγενέσθαι τὰ ἀγαθά. τοῦτ' οὖν τὸ πρῶτον οἰκεῖον τὸ ἡμέτερον ἀγαθόν, καὶ τούτου ὀρεγόμεθα. ἐπεὶ δὲ εὐθὺς γενομένους ἀδύνατον τοῦ ἀληθῶς ἀγαθοῦ ἀντίληψιν ἴσχειν, τοῦ φαινομένου ἀγαθοῦ ὀρεγόμεθα. φαινόμενον δὲ ἀγαθὸν τὸ ἡδύ. τὸ ἄρα ἡμῖν ἡδύ ἐστι τὸ πρῶτον οἰκεῖον, τουτέστιν τὸ φαινόμενον ἀγαθόν, ὅπερ, εἰ καὶ τοῖς ἄλλοις εἰρηκόσιν τὸ πρῶτον οἰκεῖον ἀκόλουθόν ἐστι λέγειν διὰ τὴν ἀνάγκην τῆς ἐκ τῶν λόγων ἀκολουθίας, ἀλλ' αὐτοί γε οὐ διελόντες οὐδὲ διαστειλάμενοι, οἱ μὲν ἡμᾶς ἔφασαν εἶναι, οἱ δὲ τὸ πρᾶγμα τὸ ἐκτὸς τὸ ἡδὺ τὸ πρῶτον οἰκεῖον, οὐδεὶς δὲ αὐτῶν συνθεὶς τὸ πᾶν ἐξειργάσατο. ἀμφότεροι μὲν οὖν ὑγιῶς λέγουσιν, ἅμα ἑκάτεροι δὲ οὐχ ὑγιῶς. ἢ καὶ ὁ λέγων ἑκάστῳ οἰκεῖον εἶναι τὸ ἐνεργείᾳ εἶναι καὶ ζῆν καὶ τὴν καθὸ τὸ εἶναί

4 τελειότητος] ς in lit. V 8 οἰκειῶσθαι V: οἰκειοῦσθαι a cf. Ind. 10 πότερον] π in lit. V 11 (et 151,33) ἡδίας V 13 καί τε a τῇ] fortasse τὴν 14 τῆς κατ' αὐτάς] scil. τῆς κατὰ τὰς αἰσθήσεις ἐνεργείας ὀρεγόμεθα cf. 153,4 ἐν δε τῷ δεκάτῳ τῶν Νικομαχείων] Ar. Eth. Nic. 10,6 1176b26 17 ὥς φησιν Ἀριστοτέλης] cf. de animal. gen. 2,6 742a22, phys. ausc. 2,2 194a35 19 ἔσχατον] ον in lit. V ᾧ] fortasse ᾧ ⟨ὡς⟩ 23 τὴν om. a 25 τε add. v. c. V αὐτοῖς V οὐχ] χ in lit. V 26 τοῦ] fortasse τὸ αὐτοις V 28 ἀληθῶς] ω in lit. V 32 ἀλλ' αὐτοί γε a: ἀλλὰ τοίγε V 33 οἱ μὲν V: ἡμῖν a 36 καὶ ζῆν V: ζῆν a

ἐστιν αὐτῷ ἐν συνεχείᾳ (τὸ γὰρ κατὰ φύσιν, καθὸ ἐστι τὸ εἶναι ἑκάστῳ, ἡδύ τε καὶ οἰκεῖον καὶ πρῶτον ὀρεκτόν) διηρθρωμένως λέγει. τὸ γὰρ παιδίον τῷ μηδέπω λογικὸν εἶναι οὐκ ἂν εἴη πρῶτον οἰκειωμένον τῇ κατὰ τοῦτο ἐνεργείᾳ, ἀλλὰ ἐπεὶ αἰσθητικόν ἐστι ταῖς κατὰ τὰς αἰσθήσεις ἐνεργείαις εἴη ἂν προσοικειωμένον καὶ ἔτι τῷ τρέφεσθαι. ὀρεγόμενα δὲ τῆς καθό ἐστιν ἐνεργείας ἀνεμποδίστου, τοῦ τε οἰκείου ἀγαθοῦ καὶ τῆς ἡδονῆς ἂν ὀρέγοιτο, εἴ γέ ἐστιν ἡδονὴ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος καὶ ἔτι τοῦ αὐτοῖς περιγενέσθαι αὐτήν (τῆς γὰρ ἰδίας ἐνεργείας ὀρέγονται). ὁ γὰρ τῆς οἰκείας ἐνεργείας τῆς καθό ἐστι δυνάμει ὀρεγόμενος ὀρέγεται μὲν δηλονότι τῆς ἀνεμποδίστου (τὸ γὰρ κωλυτικὸν καὶ ἐμποδιστικὸν τῆς ἐνεργείας φευκτὸν τῷ ὀρεγομένῳ αὐτῆς), ἅμα δὲ ἡ τοιαύτη καὶ ἡδεῖα. ὀρέγεται δὲ οὐχ ἁπλῶς ἐνεργείας, ἀλλὰ τοῦ αὐτὸ ἐνεργεῖν καὶ τῆς οἰκείας [τοῦ αὐτὸ ἥδεσθαι ὀρέγοιτο ἂν] μᾶλλον δὲ ἐπεὶ ἡ ἡδονὴ ἕπεται τῇ τοιαύτῃ ἐνεργείᾳ πρὸς ἣν οἰκειοῦται πρώτην. οὐ γὰρ σκοπὸν τῆς ὀρέξεως τὴν ἡδονὴν πεποίηται, ἀλλὰ ἔχει ἑπομένην αὐτὴν τῇ ἐνεργείᾳ. πᾶν γὰρ τὸ κατὰ φύσιν ἡδύ. οὐ γὰρ ἡσθεὶς πρῶτον, εἶθ' οὕτως ὀρέγεται τοῦ δι' οὗ ἥσθη. οὐ γὰρ δὴ λόγου γε ἡ φύσις οἰκείου χρῄζει, ἀλλ' ἕπεται τῇ τοιᾷδε ἀρχῇ τοῖς γινομένοις φύσει πάντως τὰ μετ' αὐτὴν καὶ τοιόνδε τέλος, εἰ μηδὲν ἐμποδίζοι, οὐ προνοηθὲν ὡς ἐπὶ τῶν τεχνῶν, ἀλλ' οὕτω κατεσκευασμένον. σύμφωνον δὲ τῇ τοιαύτῃ ἀρχῇ καὶ τὸ τέλος τὸ κατὰ Ἀριστοτέλη, ὂν ἐνέργεια κατὰ ἀρετήν. 155r λέγει δὲ ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων Ἠθικῶν καὶ Ἀριστοτέλης οὕτως περὶ τούτου· 'ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰηθείη τις ἂν ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται. ἡ δὲ ζωὴ ἐνέργειά τίς ἐστι, καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ μάλιστα ἀγαπᾷ. ἡ δὲ ἡδονὴ τελειοῖ τὰς ἐνεργείας, καὶ τὸ ζῆν δέ, οὗ ὀρέγονται. εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν ὅπερ ἐστὶν αἱρετόν'.

Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί.

Τὸ τὰς ἀρετὰς ἀντακολουθεῖν ἀλλήλαις καὶ ταύτῃ μὲν ἂν δεικνύοιτο, ᾗ ἀδύνατον μίαν τινὰ ἐξ αὐτῶν ἔχειν ὁλόκληρον μὴ καὶ τὰς ἄλλας ἔχοντα. οὔτε γὰρ δικαιοσύνην οἷόν τε ἔχειν μόνην, εἴ γε τοῦ μὲν δικαίου τὸ ἐν

1 post ἐν συνεχείᾳ, nisi corruptum est, aliquid excidisse videtur. exspectas enim τὴν καθὸ τὸ εἶναί ἐστιν αὐτῷ κατὰ φύσιν ἐνέργειαν (sive ἕξιν sive τελειότητα) cf. 151,31, 153,6,7. 5 ἂν om. a προσοικειωμένον] σ m¹ suppl. in mg. ante σ una lit. erasa V ὀρεγόμενα] ὁ in lit. V: ὀρεγόμεθα a 8 fortasse αὐτοῖς ἰδίας m², ἡδίας m¹ V: ἰδίας a cf. 152,26 11 ἡδεία corr. ex. ἡδία V 12 αὐτὸ ἐνεργεῖν] exspectas αὐτὸς ἐνεργεῖν et αὐτὸς ἥδεσθαι, sed. cf. Ind. s. v. neutrum 13 τοῦ αὐτὸ ἥδεσθαι ὀρέγοιτο ἂν] haec nisi transposueris post πρὸς ἣν οἰκειοῦται πρώτην non intellego 14 γὰρ] ρ in lit. V 20 ἀριστοτέλην a 21 ὂν a δεκάτῳ scripsi: $\overline{\kappa}$ V: $\overline{\iota}$ a ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων Ἠθικῶν] Ar. Eth. Nic. 10,3 1175a10 22 δὲ om. a 24 ἐστι] εἶναι Va ἕκαστον Va 26 ὅπερ ἐστὶν αἱρετόν Va: αἱρετὸν ὂν Arist. 28 Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί] cf. Alexandri quaest. nat. et mor. 4,22 29 ἀκολουθεῖν a 31 ἔχειν v. c. ἔχει m¹ V: ἔχειν a

πᾶσιν τοῖς δεομένοις τῆς ἀρετῆς δικαίως ἐνεργεῖν (οὐκ ἐνεργήσει δὲ δικαίως ὁ μὲν ἀκόλαστος ἔνθα περιέλκει τι τῶν ἡδέων αὐτόν, ὁ δὲ δειλὸς ἔνθα φοβερὸν ἀπειλεῖταί τι τὰ δίκαια πράξαντι, ὁ δὲ φιλοχρήματος ἔνθα λήμματος ἐλπίς, καὶ ὅλως πᾶσα κακία τῇ κατ' αὐτὴν ἐνεργείᾳ λυμαίνεταί τι τοῦ δικαίου), ἀλλ' οὐδὲ ἀνδρεῖον οἷόν τε τὸν ἀκόλαστον ἢ τὸν ἄδικον εἶναι ἢ τὸν ἄλλην τινὰ κακίαν ἔχοντα· ὁ μὲν γὰρ ἀκόλαστος πρὸ τῆς κατ' ἀνδρείαν ἐνεργείας ⟨τὴν ἡδονὴν ἕλοιτ' ἄν⟩, ὁ δὲ ἄδικος αἱρήσεταί ποτε τὸ πλέον ἔχειν ἀμελήσας τοῦ κατὰ ἀνδρείαν ἐνεργεῖν· ἀλλὰ καὶ τοὺς προδότας ὑπὸ τούτων τῶν κακιῶν γινομένους ἰδεῖν ἔστιν. πῶς δὲ οἷόν τε κατὰ σωφροσύνην καὶ σωφρόνως ἐνεργεῖν τὸν δειλὸν ἢ τὸν ἄδικον; ὁ μὲν γὰρ ἄδικος αὑτῷ πλέον καὶ τῶν ἡδέων νεμεῖ, ὁ δὲ δειλὸς ἐνδώσει ποτὲ διὰ φόβον ἀπειλούμενος ὑπὸ τυράννου αἰσχραῖς τισιν ἡδοναῖς ἢ καὶ τὴν ἀρχὴν ἀρέσκειν βουλόμενος αὐτῷ διὰ δειλίαν ταῖς αὐταῖς ἡδοναῖς χαίρειν ἐθισθήσεται, καὶ καθόλου ἀδύνατον ἡντινοῦν ἔχοντα κακίαν μὴ τὴν κατ' ἐκεῖνο λυμαίνεσθαι τῆς ἀρετῆς ἐνέργειαν, ὥστ' οὐδὲ ταύτην ἂν ἔχοι τις, ἣν οἴεται, μὴ δυνάμενος ἐν πᾶσιν τοῖς καιροῖς καὶ πρὸς πάντα αὐτῇ χρῆσθαι, πρὸς ἅ ἐστιν ἡ κατὰ ταύτην ἐνέργεια. ἔτι, εἰ ταύτῃ διαφέρουσιν οἱ διὰ παρουσίαν ἀρετῆς ἀγαθοὶ λεγόμενοι τῶν κατά τινα τέχνην ἢ ἐπιστήμην ἀγαθῶν λεγομένων, ὅτι οἱ μὲν μετὰ προσθήκης ἀγαθοὶ λέγονται (ἀγαθὸς γὰρ τέκτων καὶ ἀγαθὸς σκυτεὺς καὶ ἀγαθὸς γεωμέτρης καλεῖται τὸ ὅλον τοῦτο), ὁ δὲ τὴν ἀρετὴν ἔχων ἁπλῶς καὶ χωρὶς προσθήκης ἀγαθὸς καλεῖται (ἀδύνατον δὲ ἁπλῶς ἀγαθὸν εἶναι τὸν μὴ κατὰ πάντα ἀγαθόν), ἀδύνατον ἄρα μίαν τινὰ μόνην ἀρετὴν ἔχειν. ἔτι δὲ καὶ ἐκ τῆς κακίας οἷόν τε ταὐτὸν τοῦτο δεῖξαι. εἰ γὰρ ὁ κακίαν ἔχων ἁπλῶς κακός (ὁ δ' ἁπλῶς κακὸς οὐκ ἂν εἴη καὶ ἁπλῶς ἀγαθός· ἅμα γὰρ ἂν εἴη ἐν τῷ αὐτῷ κατὰ ταὐτὸν τἀναντία ἔχων), ἀδύνατον τὸν ἔχοντα κακίαν τινὰ καὶ ἀρετὴν ἔχειν ἅμα. ἔτι εἰ οὐκ ἀντακολουθοῦσιν ἀλλήλαις αἱ κακίαι (πῶς γὰρ οὖσαί γε ἀλλήλαις ἐναντίαι, εἴ γε αἱ μὲν ἐν ὑπερβολῇ, αἱ δὲ ἐν ἐνδείᾳ) καὶ ἔστιν αὐτάρκης ἡ κακία πρὸς κακοδαιμονίαν, εἴη ἂν καὶ μία κακία αὐτάρκης πρὸς κακοδαιμονίαν. τὸν δὲ κακοδαίμονα πῶς οἷόν τε λέγειν ἔχειν ἀρετήν τινα; ἔτι εἰ ἡ ἀρετὴ τοῦ καλοῦ χάριν ᾗ καλὸν πάντα πράττει (πρακτικὴ γὰρ ἡ ἀρετὴ τῶν ἐν τοῖς πρακτοῖς καλῶν), ὁ τὴν ἀρετὴν ἔχων φιλόκαλός τις ἂν εἴη· ὁ δὲ φιλόκαλος τὸ ἐν πᾶσιν καλὸν ἀσπάζεται· ὁ δὲ τὸ ἐν πᾶσι καλὸν ἀσπαζόμενος πᾶσαν ἀρετὴν ἔχει. εἰ γάρ τις τὸ μὲν ἐν ἀνδρείᾳ καλὸν ἀσπάζοιτο, μηκέτι δὲ καὶ τὸ ἐν δικαιοσύνῃ, οὐδὲ τὸ ἐν ἀνδρείᾳ ἂν καλὸν ᾗ καλὸν μεταδιώκοι. εἰ δὲ τοῦτο, οὐδ' ἂν ἀνδρεῖος εἴη. πᾶν γὰρ καλὸν ἀδιά-

2 μὲν om. a αὑτόν a: αὐτόν V 3 πράξαντι] π in lit. V φιλοχρήμματος V 6 πρὸ V ex. Vict.: πρὸς a 7 τὴν ἡδονὴν ἕλοιτ' ἂν m² in mg. add. V 8 ἀλλὰ in lit. V ante προδότας desideratur sive θρασεῖς sive λεγομένους ἀνδρείους 11 αὐτῷ a νεμεῖ scripsi: νέμει Va cf. 63,25 ἐνδήσει a 12 ἀπειλούμενος scripsi: ἀπειλούμενον Va 13 χαίρειν ταῖς αὐταῖς ἡδοναῖς a 14 fortasse τῇ κατ' ἐκεῖνο (cf. Ind. s. v. neutrum) λυμαίνεσθαι ⟨τὴν⟩ τῆς 20 γεωμέτρης a: γεσωμέτρης V καλεῖται] ει in lit. V 23 τινὰ om. a ταὐτὸ a 24 γὰρ καὶ ὁ a 25 γὰρ ἂν εἴη a: γὰρ ἂν εἶν Va 29 εἴη ἂν καὶ—πρὸς κακοδαιμονίαν om. a 32 πρακτοῖς V: πρακτικοῖς a

φορον ἢ καλόν. εἴτε γὰρ μὴ γνωρίζει πᾶν καλόν, οὐδ' ἂν τόδε τι ὡς καλὸν γνωρίζοι (μία γὰρ γνῶσις ἡ τοῦ καλοῦ καθὸ καλόν), εἴτε γνωρίζει μέν, μὴ αἱρεῖται δέ, οὐκ ἂν εἴη φιλόκαλος· ὥστ' οὐδέ, ὃ πράττει καὶ προαιρεῖται, πράξει καθὸ καλόν· ὥσπερ γὰρ ὁ φίλοινος πρὸς πάντα οἶνον οἰκείως ἔχει, οὕτως δὲ καὶ ὁ φιλόκαλος πᾶν καλὸν αἱρεῖταί τε καὶ ἀσπάζεται. ἔτι εἰ αἱ ἀρεταὶ ἀλλήλων [διαφέρουσιν] οὐ τῷ σκοπῷ, ἀλλὰ τῷ περὶ ἃ διαφέρουσιν (σκοπὸς μὲν γὰρ πάσαις αὐταῖς εἷς τὸ καλὸν πρόκειται, ἡ δὲ διαφορὰ αὐταῖς καθὸ ἡ μὲν περὶ τάδε τὰ πάθη, θάρρη φέρ' εἰπεῖν καὶ φόβους, ἡ δὲ περὶ τὰς δι' ἁφῆς ἡδονάς, ἄλλη δὲ περί τινα ἄλλα), ὁ μίαν ἔχων ἀρετὴν καὶ τὸν κοινὸν πάσης ἀρετῆς σκοπὸν τὸ καλὸν ἔχει. ὁ ἔχων δὲ τοῦτο τῶν ὑπ' αὐτοῦ πραττομένων σκοπὸν πάντα ἂν τούτου χάριν πράττοι. οὕτως δὲ πάσας ἂν τὰς ἀρετὰς ἔχοι σκοπὸν τὸ καλὸν ἐν πᾶσιν οἷς πράττει ποιούμενος. ἔτι εἰ πᾶσα ἀρετή τινος ἀκρότης ἐστὶ τῆς φύσεως τῆς ἐκείνου, εἴη ἂν καὶ ἡ ἀνθρώπου ἀρετὴ ἀκρότης ἀνθρώπου φύσεώς τε καὶ ψυχῆς. ἔστι δὲ ἡ τοῦ ἀνθρώπου ψυχὴ λογικὴ μέν, οὐχ ἁπλῶς δέ, ἀλλ' ἔχουσα δυνάμεις πλείους (τὴν μὲν γὰρ λογικὴν κυρίως, τὴν δὲ ὡς ὑπακούουσαν λόγῳ), καὶ ἀρετὴ εἴη ἂν αὐτοῦ ἡ καθ' ἕκαστα τῶν τῆς λογικῆς ψυχῆς δυνάμεων ἀκρότης, ὥστε μία τις ἐξ αὐτῶν οὐδ' ἂν ἀρετὴ εἴη ἀνθρώπου λαμβανομένη καθ' αὑτήν. οὐ γὰρ τῷ χωρίζεσθαι καὶ καθ' αὑτὰς ὑφίστασθαι δύνασθαι ἀρεταὶ πᾶσαι καθ' ἑκάστην καλοῦνται, ἀλλὰ τῷ δυνάμεώς τε εἶναι ἄλλης καὶ περὶ ὕλην ἄλλην ἐνεργεῖν. ὅλον γάρ τι ἡ τέλειος ἀρετή, μέρη δὲ αὐτῆς ἀνδρεία σωφροσύνη δικαιοσύνη τῶν λοιπῶν ἑκάστη, οὐχ ἁπλῶς ἀρεταὶ οὖσαι, ἀλλὰ περὶ τάδε καὶ μετὰ προσθήκης· ἁπλῶς γὰρ ἡ ὅλη. ὡς οὖν ἐπὶ τῶν ἄλλων μερῶν ἐν τῷ ὅλῳ τὰ μέρη λαμβανόμενα τότε ἐστὶ μέρη, ὅταν ᾖ συμπληροῦντα τὸ ὅλον, χωρισθέντα δὲ καὶ καθ' αὑτὰ γενόμενα οὐκέτι | μέρη, εἰ μὴ ὁμωνύμως, οὕτως δὲ καὶ 155v
αἱ ὡς μέρη ἀρεταὶ ἐν μὲν τῇ ὅλῃ οὖσαι ἀρεταί εἰσιν, πλὴν ὁμωνύμως τὰς ἐπιτηδειότητας καὶ τὰς εὐφυΐας εἰώθαμεν ἀρετὰς λέγειν. ὡς γὰρ ὁ μίαν πρᾶξιν πράξας δικαίως οὐκ ἔστιν δίκαιος, εἰ μὴ ὅμοιος ἐν πάσαις εἴη, οὕτως οὐδὲ τὸν καλοῦ τινος χάριν πράσσοντά τινα περὶ μίαν ὕλην ἀρετήν τις ἂν ἔχειν λέγοι, εἰ μὴ πανταχοῦ καὶ ἐν πᾶσιν ὁμοίως τὸ καλὸν διώκοι. ἔτι εἰ τοῦ μὲν λογιστικοῦ ἐστιν ἀρετὴ ἐπιστήμη καὶ γνῶσις τῶν ἀγαθῶν, τοῦ δὲ παθητικοῦ πρᾶξις τῶν ἀγαθῶν (οὔτε δὲ πράσσειν οἷόν τε τὰ ἀγαθὰ μὴ γνωρίζοντα αὐτὰ καὶ εἰδότα, οὔτε γνῶναι τἀγαθὰ οἷόν τε ὅτι ἐστὶν ἀγαθὰ μὴ αἱρούμενον αὐτὰ καὶ πρόσκλισιν ἔχοντα πρὸς αὐτά· σημεῖον δὲ τούτου τὸ τὸν αἱρούμενόν τινα ταῦτα καὶ ἀγαθὰ εἶναι προειληφέναι), οὔτε τὴν τοῦ λογιστικοῦ χωρὶς τοῦ παθητικοῦ οἷόν τε ἀρετὴν ἔχειν οὔτε τούτων τινὰ χωρὶς ἐκείνης τε καὶ ἀλλήλων. ἔτι εἰ τῷ μὲν εἰδέναι τὰ ἀγαθὰ ὅτι ἀγαθὰ

1 γνωρίζει] ει in lit. V 3 πράττει καὶ m², πράττει m¹ V: πράττει καὶ a 6 διαφέρουσιν delevi 7 εἷς a: εἰ sic V 12 ἔχει a 14 καὶ ἡ V: καὶ a 26—27 οὕτως δὲ—πλὴν ὁμωνύμως om. a 27 post ἀρεταί εἰσιν nonnulla excidisse videntur. fortasse εἰσιν, ⟨οὐκέτι δὲ χωρισθεῖσαι⟩ 31 τῷ καλῷ a 32 (et 37) λογιστικοῦ V: λογικοῦ a 33 δὲ supra lin. V 38 τἀγαθὰ a

τὸ καὶ αἱρεῖσθαι ἕπεται (διὰ τοῦτο γὰρ τὸν ἀκρατῆ οὐδὲ κυρίως καὶ ἁπλῶς εἰδέναι φαμὲν) καὶ ἔστι τὸ μὲν εἰδέναι τῆς φρονήσεως, τὸ δὲ αἱρεῖσθαι τῶν ἠθικῶν ἀρετῶν, ἕποιντ' ἂν τῇ φρονήσει αἱ ἠθικαὶ ἀρεταί· ἀλλὰ καὶ ταύταις ἐκείνη, εἴ γε ἑκάστη αὐτῶν ἀρετή ἐστιν ἐν τῷ πράττειν κατὰ τὸν ὀρθὸν λόγον τουτέστιν κατὰ φρόνησιν. ἀλλὰ καὶ ἀλλήλαις αἱ ἠθικαί, εἴ γε ὁ μίαν τούτων ἔχων ἔχει καὶ φρόνησιν καὶ τὰς ἠθικάς. ἔτι εἰ πᾶσα κατὰ ἀρετὴν πρᾶξις ἐκ τοῦ τόν τε σκοπὸν τοιοῦτον ἔχειν καὶ οὕτω πως πράττεσθαι σύγκειται, καὶ ἔστιν τὸ μὲν τὸν σκοπὸν ὑγιῆ θέσθαι τῆς ἠθικῆς ἀρετῆς, τὸ δὲ γνωρίζειν τὰ συντείνοντα πρὸς τοῦτον τῆς φρονήσεως, πῶς ἂν εἴη κεχωρισμένη; ἔτι εἰ ἀδύνατον φρόνησιν ἔχειν τὸν μὴ περὶ πάντα φρόνιμον, ὁ τὴν φρόνησιν ἔχων εἴη ἂν πάντων τῶν πρακτέων γνωριστικός. ἀδύνατον δὲ ἐν οἷς μὴ ὁ προσήκων πρόκειται σκοπός, τὴν τὰ πρὸς τοῦτο συντείνοντα γνωρίζειν δυναμένην δύναμιν φρόνησιν εἶναι· οὐκέτι γὰρ ὧν χρὴ πράττειν ὁ φρόνιμος ἔσται κριτικός τε καὶ γνωριστικός· ἀλλὰ μὴν ἐν πᾶσιν ὧν χρὴ πράττειν γνωριστικός τε καὶ κριτικὸς καὶ πρακτικὸς ὁ φρόνιμος. ἐν πᾶσιν ἄρα ἕξει τοῖς πρακτοῖς ὑγιᾶ τὸν προκείμενον σκοπόν. οὕτω δὲ καὶ πᾶσαν ἀρετὴν ἔχει, εἴ γε τῶν μὲν ἠθικῶν ἀρετῶν τὸ τέλος καὶ τὸν σκοπὸν τὸν ἄριστον τῶν πρακτέων ὁρίζειν, ὁ δὲ φρόνιμος ἐν πᾶσιν ἔχει τοῖς πρακτοῖς τὸν ἄριστον σκοπὸν ὡρισμένον. δεινοῦ μὲν γὰρ τὸ πρὸς πάντα σκοπὸν τὰ συντείνοντα συνορᾶν, φρονίμου δὲ τὰ πρὸς τὸν ἄριστον. εἰ οὖν ἀδύνατον μὲν κατά τινα τῶν ἠθικῶν ἀρετῶν χωρὶς φρονήσεως ἐνεργεῖν, ἡ δὲ φρόνησις οὖσα περὶ πάντα τὰ πρακτὰ συνάγει πάσας τὰς ἠθικὰς ἀρετὰς ἑαυτῇ (εἴ γέ ἐστιν ἕξις κατὰ λόγον πρακτικὴ περὶ πάντα τὰ ἀνθρώπου ᾗ ἄνθρωπος ἀγαθά, οὐ τάδε μέν, τάδε δὲ οὔ, ἀλλὰ πάντα). πᾶσαι ἂν ἕποιντο αἱ ἀρεταὶ τῇ φρονήσει. οὐδὲ γὰρ ῥᾴδιον τῶν ἀρετῶν κατὰ τὸν Θεόφραστον τὰς διαφορὰς οὕτω λαβεῖν· ὡς μὴ κατά τι κοινωνεῖν αὐτὰς ἀλλήλαις, γίνονται δ' αὐταῖς αἱ προσηγορίαι κατὰ τὸ πλεῖστον.

Ὅτι φύσει τὸ δίκαιον.

Ὅτι φύσει τὸ δίκαιον, δείκνυται ἐκ τοῦ φύσει κοινωνικὸν ⟨μὲν⟩ εἶναι ⟨τὸν ἄνθρωπον⟩, μὴ δύνασθαι δὲ κοινωνίαν διαμένειν χωρὶς δικαιοσύνης. ὅτι δὲ φύσει κοινωνικόν, δῆλον ἐκ τῆς ἐναργείας. οὐ γὰρ τοιοῦτον ὁ ἄνθρωπος, ὡς μόνον βιοῦν καὶ ἐφ' ἑαυτοῦ δύνασθαι. ὡς οὖν τὰ ἄλλα ζῷα τὰ συναγελάζεσθαι πεφυκότα φύσει φαμὲν τοῦτ' ἔχειν, οὕτως καὶ ὁ ἄνθρωπος φύσει ἂν ἔχοι τὸ κοινωνικὸς εἶναι, ἐν κοινωνίᾳ τῇ πρὸς ἀλλήλους

1 ἀκρατῆ V ex. Vict.: ἀκροατῆ a 2 φρωνήσεως a 3 ἔποιτ' ἂν a 8 τὸ μὲν ex. Vict.: τὸν μὲν Va 9 ἂν εἴη m², εἴη m¹ V: ἂν εἴη a 12 fortasse τοῦτον scil. τὸν μὴ προσήκοντα σκοπόν 13 δύναμιν om. a 14 ἐν πᾶσιν om. a 15 κριτικὸς] τι in lit. V 16 πρακτοῖς ex. Vict.: πρακτικοῖς Va σκοπὸν ἔχειν a 17 ἔχει a: ἔχοι V fortasse πᾶσαν ⟨ἂν⟩ ἀρετὴν ἔχοι 20 φρονίμου scripsi: φρόνιμον Va 24 τάδε δὲ m², τάδε m¹ V: τὰ δὲ a 29 μὲν εἶναι τὸν ἄνθρωπον m², εἶναι m¹ V: μὲν εἶναι τὸν ἄνθρωπον a 30 δικαιωσύνης a 31 ἐνεργείας a

ἀεὶ καταζῶν. ἔτι τῶν μὲν συναγελάζεσθαι ζώων πεφυκότων καίτοι φύσει τοῦτ' ἐχόντων (ἐφ' ὃ γὰρ ἐκ φύσεως ὁρμᾷ τι, μήτε ἐκ διδασκαλίας μήτε ἐξ ἔθους μήτε ὑπ' ἀνάγκης ἀγόμενον, τοῦθ' ὑπάρχειν αὐτῷ φαμεν φύσει. οὕτω δὲ τὰ συναγελαζόμενα ζῷα τὸ σὺν ἀλλήλοις εἶναι ἔχει κατὰ φυσικὴν ὁρμήν), ἀλλ' ὅμως, τούτων καίτοι πεφυκότων οὕτως, ἔστι που χωρίσαντα ἕν τι τῆς σὺν τοῖς ἄλλοις ἀνατροφῆς ἀνατρέφειν καθ' αὑτό, καὶ διήρκεσέν τινα ἐπὶ πλεῖστον τῶν ἀλλήλοις συναγελάζεσθαι πεφυκότων ἐστερημένα τῆς ἐκείνων κοινωνίας. ἄνθρωπος δὲ οὐδεὶς ἂν οὐδὲ διαρκέσαι χωρὶς ἀνθρώπων ἄλλων γενόμενος. σημεῖον δὲ μέγιστον τοῦ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον, καὶ πολὺ πλέον τῶν ἄλλων ζῴων ἁπάντων, τὸ καὶ μόνον λογικὸν εἶναι καὶ χρῆσθαι μόνον δύνασθαι λόγῳ, τὸν δὲ λόγον πρὸς μόνην τὴν μήνυσιν τῶν οἰκείων νοημάτων τε καὶ θεαμάτων τοῖς συνοῦσιν τὴν ἀναφορὰν ἔχειν. ὅτε γοῦν μηδεὶς ἡμῖν πάρεστιν, ἢ μὴ βουλόμεθα τῶν παρόντων τινὶ μηνῦσαι τι τῶν ἡμετέρων ⟨νοημάτων⟩ ἢ μαθεῖν τι παρ' ἐκείνου, τὴν ἡσυχίαν ἔχομεν ἀρκούμενοι τῷ διανοεῖσθαι μόνῳ. ὥστε, εἰ πρός τι τούτῳ χρώμεθα μόνον τῷ δεδομένῳ παρὰ τῆς φύσεως ἡμῖν λόγῳ, μηδὲν δὲ ἡ φύσις μάτην ποιεῖ τε καὶ δίδωσιν, ὡς κοινωνικοῖς ἂν ἡμῖν εἴη τὸν λόγον δεδωκυῖα. ἔτι καὶ ἐξ αὐτοῦ τοῦ θέσει λέγειν τὸ δίκαιον εἶναι μαρτυροῖτ' ἂν τὸ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον. εἰ γὰρ δέονται μὲν τοῦ δικαίου καὶ τῆς συνθήκης ταύτης φυσικῶς πάντες ἄνθρωποι (οὐ γὰρ οἱ μέν, οἱ δὲ οὔ), τοῦτο δὲ ὡς τῆς κοινωνίας ὂν σωστικὸν παραλαμβάνουσιν, εἴη ἂν πᾶσιν ἀνθρώποις τὸ κοινωνικὸν ὑπάρχον φύσει. φύσει δὲ οὔσης τῆς κοινωνίας ἀνάγκη καὶ τὸ δίκαιον αὐτοῖς ὑπάρχειν φύσει. οὐ γὰρ οἷόν τε λέγειν τὸ δεῖσθαι δικαίου, μηκέτι δὲ εἶναι τὸ δίκαιον φύσει. οὗ γὰρ χωρὶς ἀδύνατον εἶναί τι τῶν ὑπαρχόντων ἡμῖν, ἀνάγκη καὶ τοῦτο εἶναι φύσει. οἷον ἀδύνατον | ὁρᾶν χωρὶς ὀφθαλμῶν. διό, καὶ τοῦ ὁρᾶν 156r ὄντος φύσει, καὶ οἱ ὀφθαλμοὶ φύσει. ὁμοίως καὶ τὰ ὦτα φύσει (οὔτε γὰρ χωρὶς τούτων ἀκούειν οἷόν τε, καὶ τὸ ἀκούειν φύσει), καὶ καθόλου τὰ αἰσθητήρια ἡμῖν φύσει τῷ καὶ τὰς ἐνεργείας τὰς δι' αὐτῶν ὑπάρχειν ἡμῖν φύσει. εἰ δὴ καὶ κοινωνικοὶ μέν ἐσμεν φύσει, ἀδύνατος δ' ἡ κοινωνία χωρὶς δικαιοσύνης, ἀνάγκη καὶ τὸ δίκαιον εἶναι φύσει. εἰ δ', ὅτι παρ' ἄλλοις ἄλλο τι δίκαιον, διὰ τοῦτο οὐ φύσει φήσουσιν αὐτό, δῆλον, ὡς φύσει τοῦτ' ἐροῦσιν, ὃ παρὰ πᾶσίν ἐστιν ταὐτό. καὶ εἰ τὸ ἔγγραφον ἐροῦσιν, διότι ἐστὶν ἔγγραφον, κατὰ συνθήκην καὶ οὐ φύσει, δῆλον ὡς ἀνάγκη τούτοις φύσει καὶ μὴ κατὰ συνθήκην λέγειν τὸ τὴν ἰσχὺν οὐκ ἐν τοῖς γράμμασιν ἔχον. ἔστι δὲ τοιαῦτα πολλὰ καὶ προσαγορεύειν εἰώθαμεν ἀπ' αὐτοῦ τοῦ πάθους ἄγραφα νόμιμα, κοινὰ πᾶσιν ἀνθρώποις ὄντα, τοῖς γε μὴ πεπηρω-

2 ὁρμά τι a   3 φαμεν V: μὲν a   10 ζῴων m^2, ζωιον m^1 V: ζώων a   14 τι τῶν m^2, τῶν m^1 V: τι τῶν a   νοημάτων ἢ scripsi: ἢ Va   16 τι τί m^1 V μόνον V: μόνῳ a: fortasse μὲν   18 λέγειν] λ in lit. V: λέγειν θέσει a   19 μαρτυρεῖτ' a   γὰρ supra lin. V   23 αὐτοῖς] αἱ τοῖς a   25 argumentatio postulare videtur ὑπαρχόντων ἡμῖν ⟨φύσει⟩ cf. v. 29   τῷ καὶ τὰς ἐνεργείας ὑπάρχειν ἡμῖν φύσει   30 κοινωνικοὶ] post ων una lit. erasa V   35 γράμμασιν om. a   36 fortasse πολλά ⟨ἃ⟩

μένοις. τό τε γὰρ αἰδεῖσθαι τοὺς πρεσβυτέρους καὶ τὸ σέβειν τὸ θεῖον καὶ τὸ τιμᾶν τοὺς γονέας καὶ τοὺς βελτίονας, ἄγραφα καὶ κοινὰ δίκαια παρὰ πᾶσιν ἀνθρώποις φύσει τηρούμενα. οὐ γὰρ περὶ τούτων οὔτε συντίθενται πρὸς ἀλλήλους οὔτε γράφουσιν, ἀλλ' ὡς ὁμολογουμένων καὶ κεκυρωμένων ὑπὸ τῆς φύσεως οὕτως ἔχειν, περὶ τοῦ τρόπου τῆς τιμῆς νομοθετοῦσιν, οἱ μὲν οὕτως, οἱ δὲ οὕτως, καὶ οἱ μὲν διὰ τοιῶνδε, οἱ δὲ διὰ τοιῶνδε ταῦτα ποιήσειν ἡγούμενοι, ἐν οἷς ἂν ἕκαστος ᾖ προειθισμένος, περὶ ἃ λοιπὸν τὸ κατὰ συνθήκην δίκαιον ἰσχὺν ἔχει. ὧδε μὲν γὰρ ἢ ὧδε σέβειν τὸ θεῖον ἢ τιμᾶν τοὺς γονεῖς τὸ κατὰ συνθήκην δίκαιόν τε καὶ νόμιμον λέγει. διὸ καὶ ἄλλοτε ἄλλως παρ' ἄλλοις τούτων ἕκαστον. ἀεὶ δὲ καὶ παρὰ πᾶσίν ἐστι τὸ τιμᾶν τε καὶ σέβειν τὸ θεῖον ἐν τῇ τῶν ἀνθρώπων ἐνιδρυμένον φύσει. διὸ καὶ οὐχ ὅτε μέν, ὅτε δ' οὔ, οὐδὲ παρ' οἷς μέν, παρ' οἷς δ' οὔ. καθόλου δὲ ταῦτά τις λέγων εἶναι φύσει δίκαια οὐκ ἂν ἁμαρτάνοι τῆς ἀληθείας, ὧν χωρὶς ἀδύνατον εἶναι κοινωνίαν. οὐ γὰρ δὴ τὸ μὲν τῆς κοινωνίας φύσει, οὐ φύσει δὲ τὸ δι' ὧν ἡ κοινωνία σώζεται, ἀλλ' ἔστιν ἀνάγκη, φυσικῆς οὔσης τῆς κοινωνίας, εἶναι φύσει καὶ τὰ δίκαια, δι' ὧν ἐστιν ἡ κοινωνία. ὅτι γὰρ τὸ δίκαιον συνέχει τὴν κοινωνίαν δῆλόν ἐστιν ἐπὶ τῶν ἀδικωτάτων εἶναι δοκούντων. οὗτοι δέ εἰσιν οἱ λῃσταί, οἷς ἡ πρὸς ἀλλήλους κοινωνία ὑπὸ δικαιοσύνης σώζεται τῆς πρὸς ἀλλήλους. διά τε γὰρ τὸ μὴ πλεονεκτεῖν ἀλλήλους καὶ διὰ τὸ μὴ ψεύδεσθαι, καὶ διὰ τὸ τιμᾶν τὸ κρεῖττον δοκοῦν καὶ τὸ τὰ συγκείμενα φυλάττειν, καὶ διὰ τὸ βοηθεῖν τοῖς ἀσθενεστέροις, διὰ ταῦτα ἡ πρὸς ἀλλήλους αὐτοῖς κοινωνία συμμένει, ὧν πᾶν τοὐναντίον εἰς οὓς ἀδικοῦσιν ποιοῦσιν. ὅτι γὰρ φύσει ταῦτά ἐστι δίκαια, σημεῖον μέγιστον τὸ μηδ', ἂν συνθῶνται τὰ ἀντικείμενα τούτων πρὸς ἀλλήλους ὡς δίκαια, δύνασθαι συμμένειν αὐτῶν τὴν κοινωνίαν, καίτοι γε ἦν ἂν ἀκόλουθον πᾶν ὁμοίως τῆς κοινωνίας εἶναι σωστικὸν ἐν συνθήκῃ γενόμενον. εἰ δὲ τὰ μὲν συνθεμένων καὶ μὴ συνθεμένων τηρεῖ τὴν κοινωνίαν, τὰ δ' ἀντικείμενα τούτων φθείρει, ἃ συνθεμένους σώζει, φύσει ταῦτά ἐστιν, κἂν κατὰ συνθήκην γένηται. ἔοικεν γὰρ ἡ συνθήκη ζήτησίς τις εἶναι τοῦ φύσει δικαίου καὶ ὁμολογία κοινὴ τῶν εὑρημένων. ἀλλ' οἱ μὲν τῶν ζητούντων καὶ εὑρίσκουσιν τὸ ζητούμενον, οἱ δὲ διαμαρτάνουσιν, ὥσπερ οὖν καὶ ἐν τοῖς ἄλλοις πᾶσιν τοῖς διὰ ζητήσεως εὑρίσκεσθαι πεφυκόσιν. ἔτι οἱ διεγνωκότες ἀδικεῖν τε καὶ λῃστεύειν οὐκ ἐξετάσαντες τὰ κείμενα νόμιμα διὰ τοῦ ταῦτα παραβαίνειν λῃστεύουσίν τε καὶ κακουργοῦσιν, ἀλλ' ὡς ὄντων φανερῶν ἀδικημάτων, δι' ὧν τὸ λῃστεύειν, ἄγουσιν ἐπ' αὐτό. εἰ δ' ἔστιν ἄδικά τινα φύσει, καὶ οὐ τῇ τῶν συγκειμένων δικαίων παραβάσει, ἀνάγκη καὶ δίκαια φύσει λέγειν εἶναι τὰ τούτοις ἐναντία. ὅτι δέ ἐστιν ἄδικα φύσει, δῆλον ἐκ τοῦ παρὰ πᾶσιν καὶ

4 ὁμολογουμένων καὶ κεκυρωμένων] cf. οὕτως καὶ ὑποκειμένων μέν, μὴ προηγησαμένης μεν τῆς φαντασίας ὁρμὴν ἀδύνατον γενέσθαι 161,11 εἰ ἴσον τόπον κατέχει ἥ τε ψυχὴ καὶ τὸ σῶμα σὺν αὐτῇ, καὶ χωρισθείσης τὸ σῶμα μηδὲν ἐλάττονα 141,4 δεδειγμένου δέ 144,31
7 ἡγούμενον a 15 γὰρ δὴ v. c. γὰρ m[1] V: γὰρ δὴ a ἡ supra lin. V 19 λῃσταί, λῃστεύειν a δικαισύνης a 24 τὸ m[2], τοῦ m[1] V: τὸ a

τοῖς ὑπεναντιωτάτους ἔχουσι νόμους εἶναί τινα κοινά, ἃ οἱ τὸ ἀδικεῖν προαιρούμενοι πράττουσιν, εἰς οὓς ἀδικοῦσιν. πάντα γὰρ σχεδὸν οἱ λῃστεύοντες παρὰ πᾶσιν τὰ αὐτὰ ποιοῦσιν, εἰς οὓς ἀδικοῦσιν. εἰ δὲ τοῦτο, δῆλον ὡς καὶ τὰ τούτοις ἀντικείμενα, οὖσιν ἀδίκοις φύσει, δίκαιά ἐστι φύσει. καὶ γὰρ οὐδ' ἄλλο τί ἐστιν τὸ ἀδικεῖν ἢ παράβασις τοῦ δικαίου. ὥστε εἰ παράβασις δικαίου ἐστίν τις φύσει, δῆλον ὡς καὶ τὸ δίκαιον πολὺ πρότερον, οὗ ἡ παράβασις ἄδικός ἐστι, φύσει. ὕστερον γὰρ ἡ παράβασίς τινος· ἐκείνου, οὗ ἐστιν παράβασις. οὐδὲν γὰρ ἄλλο ἄδικόν ἐστι τὸ φύσει, ἢ παράβασις καὶ ἐναντίωσις τοῦ φύσει δικαίου. ἔτι ὡς ἐπὶ τῶν ἄλλων ἀρετῶν ἔχει, οὕτως εὔλογον καὶ ἐπὶ δικαιοσύνης ἔχειν. ἐπὶ δὲ τῶν ἄλλων καθ' ἑκάστην αὐτῶν φύσει ἐστὶ τὰ πρασσόμενα ὑπ' αὐτῶν τοιαῦτα. φύσει γὰρ ἀνδρεῖα ὁ τὴν ἀνδρείαν ἔχων πράττει, καὶ φύσει σωφρονικὰ τὰ ἀπὸ σωφροσύνης πραττόμενα, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἔστιν ἄρα καὶ δίκαια φύσει πραττόμενα καὶ δικαιοσύνη.

Ὅτι οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν.

Εἰ ὁ τὴν ἀρετὴν ἔχων εὐδαίμων, ὁ δὲ εὐδαίμων εὐδαιμόνως βιοῖ (ἡ γὰρ εὐδαιμονία ἐν βίῳ), ὁ τὴν ἀρετὴν ἔχων εὐδαίμονα βιοῖ βίον. ὁ δὲ εὐδαίμων βίος αἱρετός, οὐκ ἀβούλητος· ὁ εὐδαίμων ἄρα βίος οὐκ ἀβούλητος. οὐκ ἄρα, ὃν καταλείπει τις βίον ἑκών, εὐδαίμων οὗτος βίος. ὁ δὲ τὴν ἀρετὴν ἔχων καταλείποι ἄν ποτε τὸν βίον τὸν μετὰ ἀρετῆς ἑκὼν διὰ τὴν ἐξαγωγὴν τὴν εὔλογον. ὁ τὴν ἀρετὴν ἄρα ἔχων βίος καὶ ὁ κατὰ ἀρετὴν οὐκ εὐδαίμων. οὐκ ἄρα ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν αὐτάρκης. ἔτι εἰ ὁ ζητῶν, εἰ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν οὐκ ἄτοπόν τι ζητεῖ, ὁ δὲ ζητῶν, εἰ αὐτάρκης ἡ ἀρετὴ πρὸς ἀρετήν, ἄτοπόν τι ζητεῖ, οὐ ταὐτὸν ζήτημα ἑκάτερον αὐτῶν. εἰ δὲ μὴ ταῦτα ταὐτά, οὐ ταὐτὸν | ἀρετὴ καὶ εὐ- 156v
δαιμονία. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον. εἰ δὴ ἄλλο ἐστὶν ἀρετὴ καὶ εὐδαιμονία, δῆλον ὡς οὐκ ἐν τῷ ἀρετὴν ἔχειν τὸ εὐδαιμονεῖν, ὥσπερ οὐδὲ ἐν τῷ αὐλητικὴν ἔχειν τὸ αὐλεῖν. οὐκ ἄρα ἐν ἕξει μόνῃ καὶ κτήσει τῆς ἀρετῆς ἡ εὐδαιμονία. ἔτι εἰ ἄλλο τὸ ὑπό τινος γινόμενον τοῦ ποιοῦντος αὐτό, καὶ ἔστιν ἡ εὐδαιμονία γινομένη κατ' αὐτοὺς ὑπὸ τῆς ἀρετῆς, ἄλλο ἡ ἀρετὴ τῆς εὐδαιμονίας. τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον. ἔτι εἰ ἡ εὐδαιμονία ἐν βίῳ καὶ ἐνέργεια, ἡ δὲ ἀρετὴ ἕξις, οὐ ταὐτὸν εὐδαιμονία καὶ ἀρετή. ἔτι εἰ πᾶσα τέχνη ἕτερον ἑαυτῆς ποιεῖ τι καὶ οὐχ ἑαυτήν, ἡ δὲ ἀρετὴ τέχνη κατ' αὐτοὺς εὐδαιμονίας ποιητική, ἕτερον ἂν εἴη τῆς ἀρε-

1 ὑπεναντιωτάτοις a 11 πραττόμενα a ἀνδρεῖα scripsi: ἀνδρεία Va 12 ἀπὸ τῆς a 15 editum est Basileae apud Joan. Vualder „Aristotelis et Xenophontis ethica politica et oeconomica“ (anno incerto) cf. p. 592sq., deinde ex hac Vualderi editione a Sylburgio post Aristotelis Ethica Francofurti 1584 p. 248sq. cf. 301. utrumque scias cum Aldinae lectione consentire, si hanc solam adnotavi 18 fortasse βίος αἱρετός, ⟨ὁ δὲ βίος αἱρετὸς⟩ οὐκ ἀβούλητος 21 ἐξαγωγὴν] ν in lit. V fortasse κατὰ ἀρετὴν ⟨ζῶν⟩ οὐκ 26 τὸ ἄρα V: ἄρα a, cf. 23,2 et 159,31 28 ἐν om. a μόνη a 32 ἐνεργείᾳ a 33 ποιεῖ V: ποιῇ a καὶ post τι om. a

τῆς ἡ εὐδαιμονία, τὸ γινόμενον ὑπ' αὐτῆς. ἔτι εἰ ἡ κατὰ ἀρετὴν ἐνέργεια τῆς εὐδαιμονίας ποιητική, πρὸς δὲ τὴν κατὰ ἀρετὴν ἐνέργειαν οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετή, ἡ ἀρετὴ ἄρα οὐκ ἔστιν αὐτάρκης πρὸς εὐδαιμονίαν. ἤτοι γὰρ περὶ τὴν ἐκλογήν ἐστι τῶν ἡδέων κατ' Ἐπίκουρον, ἢ περὶ τὴν ἐκλογὴν τῶν κατὰ φύσιν, ὡς τοῖς ἀπὸ τῆς Στοᾶς δοκεῖ, ἢ τῶν ὁπωσοῦν ἄλλως οἰκείων, ἃ δεῖ ταῖς ἐνεργείαις αὐτῆς ὡς ὕλην ὑποκεῖσθαι πάντα ὡς τῇ χαλκευτικῇ χαλκόν, σίδηρον, πῦρ, ἄνθρακας. ὧν οὐδενός ἐστιν αὐτὴ ποιητική, χρῆται δὲ ὑποκειμένοις. τῶν γὰρ κατὰ φύσιν οὐχ ἡ κατὰ ἀρετὴν ἐνέργειά ἐστι ποιητική. εἰ δὴ περὶ ὑποκείμενά τινα ἡ ἐνέργεια αὐτῆς, ὧν οὐκ ἔστιν αὐτὴ ποιητική, οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετὴ πρὸς τὰς οἰκείας ἐνεργείας, ἐπεὶ δεῖται καὶ τῶν περὶ ἃ ἡ ἐνέργεια ἔξωθεν ὄντων αὐτῆς. οὐδὲ γάρ, ὥς φασιν, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχει ταῦτα, ἀλλ' ἔστιν κινητικὰ τῆς ἀρετῆς καὶ τοῦ πράττειν αὐτὴν καὶ ἐνεργεῖν αἴτια. στοχάζεται γὰρ αὐτῶν ὡς καὶ τῆς οἰκείας ὕλης οἱ τεχνῖται. ἀναιρεθήσεσθαι γοῦν φασι τὰς πράξεις αὐτοῖς τούτων μὴ ἐπισπωμένων καὶ κινούντων ταῖς ἐν αὐτοῖς διαφοραῖς τὰς ἀρετάς. οὐδὲ γὰρ οἱ αὐλοί, εἰ πρὸς τὸ εἶναι ἡμῖν συνετέλουν, διὰ τοῦτο οὐκ ἦσαν συντελοῦντες πρὸς τὸ αὐλεῖν, ἀλλὰ τὸν ὧν οὐκ ἄνευ λόγον ἐπεῖχον. οὐκ ἄρ' εἰ ἀναγκαίως ὑπάρχει τῷ ἀνθρώπῳ ταῦτα οἷς ἡ ἀρετὴ χρῆται καὶ ἄνευ αὐτῶν μή ἐστι, διὰ τοῦτο οὐ γίνεται πρὸς τὴν ἐνέργειαν τῇ ἀρετῇ συντελοῦντα ἄλλα γε ὄντα αὐτῆς. ἔτι εἰ πρὸς τὴν τῶν κατὰ φύσιν ἐκλογὴν χρεία καὶ σώματος ὑγιαίνοντος καὶ αἰσθήσεων, ἅ ἐστιν ἔξω τῆς ἀρετῆς (πῶς γὰρ ἄνευ τούτων κατὰ τρόπον ἂν τῶν κατὰ φύσιν τὴν ἐκλογὴν ποιήσαιτο; ταῦτα δὲ τῆς ἀρετῆς ἔξω), οὐκ αὐτάρκης ἡ ἀρετή, καὶ ἔτι, εἰ περὶ τὴν τῶν κατὰ φύσιν καὶ οἰκείων ἐκλογὴν ἡ ἐνέργεια τῆς ἀρετῆς καὶ περὶ τὴν ἀποικονομίαν καὶ ἔκκλισιν τῶν τούτοις ἐναντίων, δεῖ δηλονότι παρεῖναι, ἃ ἐκλέξεται. οὐ γὰρ δὴ ἀεὶ τῷ ἀνθρώπῳ ταῦτα πάρεστι. διὰ γοῦν τὴν τούτων ἔνδειαν ὁ τὴν ἀρετὴν ἔχων ἑαυτὸν ἐξάγει ποτέ. οὐδὲ γὰρ διὰ τὸ ἀδυνατεῖν ἐκλέγεσθαι ταῦτα ἡ ἐξαγωγή, ὅπερ ἔργον τῆς ἀρετῆς, ἀλλὰ τῷ μὴ παρεῖναι, ἃ οὐκ ἐπ' αὐτῇ. εἰ δὴ οὐκ ἐπ' αὐτῇ μὲν ἡ τούτων παρουσία, ἡ δὲ ἐνέργεια αὐτῆς περὶ τὴν τούτων ἐκλογήν, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὴν οἰκείαν ἐνέργειαν. ἔτι διττῆς οὔσης τῆς ἐνεργείας καθ' ἑκάστην τέχνην, τῆς μὲν ἐν προηγουμένοις, ὡς τῷ αὐλητῇ, εἰ ὑγιαίνοι τε τῷ σώματι καὶ αὐλούς, οἵους βούλεται ἔχοι καὶ μηδὲν ἔξωθεν αὐτὸν ἐνοχλοῖ, τῆς δὲ ἐν ἀβουλήτοις καὶ ἐναντίοις τῶν προ-

---

6 πάντα Usenerus: ταῦτα Va 7 χαλκευτικὴ a 8—9 χρῆται δὲ — ἐστι ποιητική om. a Vualder Sylburg 10 αὐτὴ Usenerus: αυτη V: αὕτη a 12 τὸν ὧν οὐκ ἄνευ λόγον] de hoc cf. 161,26 αἱ αἰσθήσεις .. εἰ μὲν πρὸς τὸ εἶναι τὸν ἄνθρωπον ἀναγκαίου χώραν ἔχουσιν, μηκέτι δὲ συνεργοῦσιν πρὸς τὰς ἐνεργείας τῆς ἀρετῆς, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχοιεν ἄν. εἰ δὲ πρὸς τῷ ἀναγκαῖαι εἶναι καὶ συνεργοῦσιν..., οὐκ ἔχουσιν τὸν ὧν οὐκ ἄνευ λόγον 15 μὴ V: μὲν a 17 fortasse ἦσαν ⟨ἂν⟩ 18 οὐκ ἄρ' Usenerus: οὐ γὰρ Va 19 οὐ scripsi: οὖν (sic) V: οὖν a 21 ἐκλογὴν] κ in lit. V ὑγιαίνοντος om. Vualder 22 ἄνευ] ευ in lit. V 23 ποιήσαντο a 24 περὶ] ἐπὶ Vualder ut solet. Sylburg correxit in adnot. 30 παρουσίᾳ a τούτων] ν in lit. V 31 οὐκ om. a 33 ὑγιαίνοι τε] ι τ in lit. V αὐλούς] α in lit. V 34 αὐτῶν ἐνοχλεῖ a ἐναβουλήτοις a

ειρημένων. ὥσπερ ταῖς ἄλλαις τέχναις τὸ τέλος ἐν ταῖς περὶ τὰ βουλητὰ καὶ ἐν προηγουμέναις ἐνεργείαις, οὕτως καὶ ἐπὶ τῆς ἀρετῆς, εἴ γε καὶ αὕτη τέχνη. ἔτι εἰ μηδεμία τέχνη αὐτάρκης πρὸς τὴν οἰκείαν ἐνέργειαν τῷ δεῖσθαι δι' ὧν τε ἐνεργήσει καὶ περὶ ἅ, τέχνη δὲ καὶ ἡ ἀρετή, οὐδ' ἂν αὐτὴ αὐτάρκης εἴη πρὸς τὴν κατ' αὐτὴν ἐνέργειαν. ἔτι εἰ ἡ ἀρετὴ περὶ τὴν ἐκλογὴν τῶν κατὰ φύσιν, μὴ οἷόν τε δὲ ἐκλογήν τινων ποιεῖσθαι καὶ κρίσιν μὴ πρότερον φαντασίαν περὶ αὐτῶν λαβόντα, ταύτην δὲ οὐχ οἷόν τε μὴ αἰσθανομένῳ ὑπάρξαι καὶ αἰσθανομένῳ ὑγιῶς, δεῖ μὲν αἰσθήσεως ὑγιαινούσης πρὸς τὴν καὶ περὶ ταῦτα ἐνέργειαν αὐτῇ, οὐκ ἔστιν δὲ ταύτης κυρία, οὐδ' ἂν τῆς ἐνεργείας εἴη κυρία. ὡς γὰρ μὴ ὄντων τῶν ὑποκειμένων οὐχ οἷα τε ἦν ἐνεργεῖν, ὧν οὐκ ἦν αὐτὴ κυρία, οὕτως καὶ ὑποκειμένων μέν, μὴ προηγησαμένης δὲ φαντασίας ὁρμὴν ἀδύνατον γενέσθαι, φαντασία δὲ αἰσθήσεώς πως ἐχούσης, ἂν μὴ διαψεύδωνται αὐτὸν αἱ φαντασίαι. •εἰ δὲ μήτε πρὸς τὴν ὑπόστασιν τῶν περὶ ἃ ἡ ἐνέργεια, μήτε πρὸς φαντασίαν καὶ αἴσθησιν ἡ ἀρετὴ αὐτάρκης, ὧν χωρὶς οὐκ ἐνεργεῖ, οὐδ' ἂν πρὸς τὴν ἐνέργειαν αὐτάρκης εἴη τὴν ἑαυτῆς. ἔτι εἰ οἷόν τε τὴν ἀρετὴν ἔχοντα καὶ ἐν ληθάργῳ καὶ ἐν μελαγχολίᾳ καὶ ἐν σκοτώσει καὶ ἐν παρακοπῇ γενέσθαι, ἐν οἷς ὄντα ἀδύνατον κατ' ἀρετὴν ἐνεργεῖν, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὰς οἰκείας ἐνεργείας. πῶς γὰρ οἷόν τε λέγειν τὸν παρακόπτοντα καὶ δεσμῶν δεόμενον διὰ τοῦτο καὶ τῆς ἐκ τῶν φίλων βοηθείας φρονίμως ἐνεργεῖν τότε μὴ βουλομένους θέσιν φυλάττειν; ἔτι εἰ ἡ ἀρετὴ τὰ μὲν διωθεῖ καὶ ἐκκλίνει τῶν ἀδιαφόρων κατὰ τούτους, τὰ δὲ αἱρεῖται καὶ ἐκλέγεται, οὐκ αὐτάρκης ἂν εἴη πρὸς εὐδαιμονίαν. πῶς γὰρ εὐδαίμων ὁ ὢν ἐν τούτοις, ἃ ἡ ἀρετὴ διωθεῖται; ἢ γὰρ οὐκ εὖ ποιεῖ διωθουμένη αὐτά, ἢ οὐχ οἷόν τε εὐδαιμονεῖν παρόντων τούτων, ἃ ἦν διωθεῖσθαι τῆς ἀρετῆς ἔργον. αἱ δὲ αἰσθήσεις καὶ αὐταί, εἰ μὲν πρὸς τὸ εἶναι τὸν ἄνθρωπον ἀναγκαίου χώραν ἔχουσιν, μηκέτι δὲ συνεργοῦσιν πρὸς τὰς ἐνεργείας τῆς ἀρετῆς, τὸν ὧν οὐκ ἄνευ λόγον ἔχοιεν ἄν· εἰ δὲ πρὸς τῷ ἀναγκαῖαι εἶναι τῷ ἀνθρώπῳ καὶ συνεργοῦσιν πρὸς τὰς πράξεις, καὶ προσχρῆται αὐταῖς ἡ ἀρετὴ πρὸς τὰς ἰδίας ἐνεργείας (ἡ γὰρ φαντασία κρηπὶς τῶν κατ' ἀρετὴν πράξεων), οὐκ ἔχουσιν τὸν ὧν οὐκ ἄνευ λόγον πρὸς τὰς κατ' αὐτὴν ἐνεργείας, ὡς ἔχει ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁ τόπος καὶ ὁ χρόνος. εἰ γὰρ ἐνεργήσομεν κατὰ ἀρετὴν ὁπωσοῦν ἐχουσῶν τῶν αἰσθήσεων, ἤτοι καὶ ταῖς ψευδέσιν φαντασίαις ταῖς ἀπὸ τῶν τοιούτων αἰσθήσεων | συγκαταθησόμεθα 157r καὶ ταύταις ἀκόλουθα πράξομεν (καὶ πῶς σπουδαίου τοῦτο;), ἤ, εἰ ἐφέξομεν καὶ μὴ συγκαταθησόμεθα, οὐδὲν δὲ πράξομέν τι τῶν ἐπ' αὐταῖς, ὥστ' οὐδὲν ἐνεργήσομεν. εἰ δ' ἄλλα τινὰ ἐνεργήσουσιν, ἐφέξουσιν δὲ περὶ τούτων, οὐ πρὸς πάντα κατὰ τὸν βίον κατὰ τοῦτο κατὰ ἀρετὴν ἐνεργήσει ὁ τὴν ἀρετὴν ἔχων, ὥστε οὐκ αὐτάρκης πρὸς τὰς οἰκείας ἐνεργείας, ἅς γε διὰ τήν τινων ἀπουσίαν οὐδὲ ἐνεργεῖ. τὸ δὲ λέγειν καὶ κοιμωμένους ἐνεργεῖν (καὶ γὰρ

---

11 οἷόν τε a οὐκ ἦν] cf. 160,4 sq. αὐτὴ a: αυτη V ὑποκειμένων] cf. 158,4 12 fortasse φαντασίᾳ δὲ ⟨δεῖ⟩ 13 αὐτὸν V: αὐτῶν a: fortasse αὐτὴν 21 εἰ om. a 24 αὐτα V: αὐτοὺς a 26 αὐταὶ a: αὐται V 28 ἀναγκαίῳ a 30 κρηπὶς a: κριτὴς Vualder Sylburg 35 fortasse ἢ [εἰ] ἐφέξομεν

μνημονεύειν τινῶν· διεγερθέντες γοῦν ἔχουσιν τὴν μνήμην καὶ οὐκ ἀποβεβλήκασιν) ὅμοιον καὶ τῷ λέγειν κοιμωμένους ὁρᾶν, ἐπεὶ καὶ ἐξυπνισθέντες ὁρῶσιν καὶ μὴ ἀπέβαλον τὴν δύναμιν τὴν ὁρατικήν. ἔτι εἰ μὴ ψυχῆς εὐδαιμονία ζητεῖται, ἀλλὰ ἀνθρώπου. ὁμολογεῖται δὲ τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος, ὧν ἑκατέρου ἐστὶ καὶ ἀγαθὰ οἰκεῖα καὶ κακὰ διαφέροντα ἀλλήλων, ὥσπερ οὖν καὶ αὐτὰ ἀλλήλων ἕτερα, πῶς οὐκ ἀκολουθεῖ τὸ τὸ τέλος τοῦ ἐξ ἀμφοῖν ὄντος καὶ τὸ ἀγαθὸν προσδεῖσθαι τοῦ ἑκατέρου τούτων, ἐξ ὧν ἐστιν, ἀγαθοῦ; εἰ δὲ τοῦτο, οὐκ αὔταρκες τὸ τῆς ψυχῆς ἀγαθὸν πρὸς τὸ τοῦ ἀνθρώπου τέλος, ἀλλὰ δεῖ αὐτῷ καὶ τῶν τοῦ σώματος, σώματος δὲ ἀγαθὰ ὑγίεια, ἣ γίνεται περὶ τὴν τῶν πρώτων σωμάτων, ἐν οἷς τῷδε τὸ εἶναι, εὐκρασίαν, ἰσχύς, ἣ ἐστιν ἐν τῇ εὐτονίᾳ τῶν δευτέρων καὶ ἐξ ἐκείνων συγκειμένων σωμάτων, κάλλος, ὅ ἐστιν ἐν τῇ εὐσχημοσύνῃ καὶ συμμετρίᾳ τῶν τρίτων ἤδη καὶ ἀνομοιομερῶν σωμάτων, ἃ καὶ μέρη τοῦ σώματος λέγομεν προσεχῆ. ὡς γὰρ ἐπὶ τῆς ψυχῆς πασῶν τῶν ἀρετῶν καθ' ἑκάστην δύναμιν χρεία πρὸς τὸ τοῦ ἀνθρώπου τέλος, οὕτως δὲ καὶ ἐπὶ τοῦ σώματος. ἔτι εἰ πρὸς ἃ ἐκ φύσεως ὁ ἄνθρωπος οἰκείωται, ταῦτα καὶ ἔχειν εὖ βούλεται ἡ ἀρετή, ἀβούλητον δέ ἐστιν αὐτῇ τὸ μὴ εὖ ἔχειν ταῦτα, οἰκείωται δ' ἐκ φύσεως ὥσπερ πρὸς αὑτὸν αὐτὸς καὶ τὰ μόρια αὑτοῦ καὶ τὰς δυνάμεις καὶ τὰς ἀκρότητας, οὕτως δὲ καὶ πρὸς τοὺς πλησίον, γονεῖς τε καὶ φίλους, οἰκείους, πολίτας (κοινωνικὸν γὰρ καὶ πολιτικὸν ζῷον), δῆλον ὡς καὶ ταῦτα εὖ ἔχοντα καὶ σωζόμενα συντελοῖ τι ἂν αὐτῷ πρὸς τὸ οἰκεῖον ἀγαθὸν καὶ τέλος καὶ ὅσων αὐτῷ χρεία πρὸς τὸ σώζειν δύνασθαι αὑτόν τε καὶ ἕκαστον τῶν πρὸς ἃ οἰκείωται ἐκ φύσεως. ὥστε καὶ τῶν ὠφελίμων ἀγαθῶν αὐτῷ δεῖ, ἃ ἢ ποιητικὰ γίνεται τῶν δι' αὑτὰ αἱρετῶν τῷ ἀνθρώπῳ (ταῦτα δέ ἐστιν πρὸς ἃ ἐκ φύσεως οἰκείωται), ἢ φυλακτικὰ αὐτῶν, ἢ τῶν ἐναντίων αὐτοῖς ἀλεξητικά. ἔτι εἰ ἡ εὐδαιμονία συμπλήρωσις ἀγαθῶν, ἕκαστον δὲ τῶν πρὸς ἃ ἐκ φύσεως οἰκειώμεθά ἐστιν ἀγαθόν τι, πῶς οὐ πάντων δεῖ τούτων εἰς τὴν συμπλήρωσιν τῶν ἀγαθῶν; τὸ γὰρ οἰκειῶσθαι μὲν λέγειν ἡμᾶς πρὸς πλείω, μηδὲν μέντοι διαφέρειν ἡμῖν ὁπωσοῦν ἐχόντων αὐτῶν, μαχόμενα λέγειν ἐστίν. εἰ δὲ δεόμεθα αὐτῶν, πῶς ἂν εὐδαιμονεῖν τις λέγοιτο ἀπολειπομένων αὐτοῦ τούτων ὧν δεῖται, εἴ γε ἀνενδεὲς ἡ εὐδαιμονία καὶ τέλειον. ἔτι εἰ αἱ κοιναὶ περὶ εὐδαιμονίας ἔννοιαι αὐτάρκειάν τε αὐτὴν ζωῆς τίθενται (ἀνεπιδεῆ γὰρ τὸν εὐδαίμονα προειλήφασιν) καὶ τὴν εὐδαιμονίαν τὸ ἔσχατον τῶν ὀρεκτῶν ὑπολαμβάνουσιν (ἀλλὰ καὶ τὸ ζῆν κατὰ φύσιν καὶ τὸν κατὰ φύσιν βίον εὐδαιμονίαν λέγουσιν, πρὸς δὲ τούτοις τὸ εὖ ζῆν καὶ τὸ εὖ βιοῦν καὶ τὴν εὐζωΐαν εὐδαιμονίαν φασὶν εἶναι), εἰ τοιοῦτον μὲν ἡ εὐδαιμονία προείληπται, πρὸς μηδὲν δὲ τούτων αὐτάρκης ἡ ἀρετή, οὐδ' ἂν πρὸς εὐδαιμονίαν αὐτάρκης

2 τῷ scripsi: τὸ Va cf. 60,25 ὅμοιον γὰρ το λέγειν κεχωρισμένα εἶναι τὰ αἰσθανόμενα τῷ λέγειν 3 εὐδαιμοία a 6 οὖν del. Madvig Cic. de fin. 4,11,26, sed cf. Ind. 7 τὸ τὸ V: τὸ a καὶ τὸ ἀγαθὸν del. Madvig ib. 9 σώματος] ς in lit. V 17 τὸ in lit. V 18 αὐτὸν a 21 συντελεῖ a 23 δύναται Vualder Sylburg αὐτὸν Va καὶ om. a 24 αὐτὰ Sylburg 26 εἰ ἡ om. a Vualder: ἡ om. Sylburg 27 ἕκαστον scripsi: ἑκάστου Va 32 ἀνενδεές V: ἀνενδεὴς a cf. Ind. s. v. neutrum

εἴη. ἆρ' οὖν ὁ τὴν ἀρετὴν ἔχων ἐν αὐταρκείᾳ ἐστὶν καὶ οὐδενὸς ἐπιδεῖται κατὰ τὸν βίον; ἢ πολλά ἐστιν, ὧν ὁ τὴν ἀρετὴν ἔχων δεῖται· ὑγιείας ἰσχύος, εὐπορίας καὶ πλεόνων ἄλλων καὶ τοῦτο καὶ καθ' οὓς ἡ ἀρετὴ αὐτάρκης πρὸς εὐδαιμονίαν τίθεται. λέγουσι γὰρ εἶναί τινα προηγμένα τῷ σοφῷ καὶ ἀξίαν ἔχοντα καὶ οἰκεῖά τινα καὶ ἐπισπαστικά. ἀλλὰ καὶ δίχα κειμένων ἀρετῆς τε σὺν τούτοις καὶ ἀρετῆς μόνης, μηδέποτ' ἂν τὸν σοφὸν τὴν κεχωρισμένην ἑλέσθαι, εἰ εἴη αὐτῷ δυνατὸν τὴν μετὰ τῶν ἄλλων λαβεῖν. εἰ δὲ τοῦτο, δῆλον ὡς χρείαν ὁ σοφὸς ἕξει τούτων. γελοῖος γὰρ ἂν εἴη ἐκλεγόμενος μὲν αὐτά, πρὸς οὐδὲν δ' αὐτῶν ἀναφέρων τὴν ἐκλογήν. πῶς οὖν ἔτι τὸ ἔσχατον ὀρεκτὸν ἡ ἀρετὴ εἴη ἄν, καὶ οὐ τυχόντες οὐδενὸς ἂν ἄλλου ἔτι ὀρεγοίμεθα, καὶ αὐτάρκης εἴη πρὸς τὸ ζῆν; εἰ δὲ μὴ πρὸς ταῦτα, οὐδὲ πρὸς εὐδαιμονίαν. κεῖται γὰρ ἡ εὐδαιμονία τοιοῦτον. εἰ δὲ εἴη ὁ κατὰ φύσιν βίος εὐδαίμων κείμενος, πῶς ἡ ἀρετὴ πρὸς τοῦτον αὐτάρκης; ἡ γὰρ φύσις ἡ τὴν ψυχὴν ἡμῖν δοῦσα ἔδωκε καὶ τὸ σῶμα, καὶ πρὸς τὰς ἑκατέρου τούτων τελειότητάς τε καὶ οἵας δεῖ κατασκευὰς ᾠκείωσεν ἡμᾶς, ὥστε ὁ τῆς τοῦ ἑτέρου τούτων τελειότητος κατὰ φύσιν στερόμενος οὐδ' ἂν κατὰ φύσιν βιοῖ (τὸ γὰρ κατὰ φύσιν τὸ κατὰ τὸ βούλημα τῆς φύσεως ἀκούεται)· εἰ δὲ μὴ τοῦτο, οὐδὲ εὐδαιμόνως. ἔτι εἰ τὸ σῶμα ἡμῖν ὄργανον ὂν ὑπὸ τῆς φύσεως δέδοται πρὸς τὰς κατὰ φύσιν πράξεις, ἐν παντὶ δὲ ὀργάνου δεομένῳ, οὗ χάριν τὸ ὄργανόν ἐστιν, εἰς τοῦτο συντείνει καὶ ἡ τοῦ ὀργάνου ἀρετή, εἴη ἂν καὶ ἡ τοῦ σώματος ἀρετὴ συντείνουσα πρὸς τὰς κατὰ φύσιν πράξεις καὶ τὸν κατὰ φύσιν βίον. οὐκ ἄρα οἷόν τε ἄνευ τῶν τοῦ σώματος ἀρετῶν κατὰ φύσιν βιοῦν. εἰ δὲ τοῦτο, οὐδὲ εὐδαιμονεῖν. ἔτι εἰ μηδὲν μάτην ἡ φύσις ποιεῖ (οὐδὲ γὰρ ἄλλη τις τέχνη τῶν ὑπ' αὐτῆς γινομένων μάτην τι ποιεῖ, ἀλλ' ἕκαστον τῶν ὑπὸ τέχνης γινομένων συντείνει πρὸς τὸ οἰκεῖον αὐτῆς τέλος, τέχνη δέ τις θεία καὶ ἡ φύσις, ὥστε καὶ τὰ ἀπ' αὐτῆς γινόμενα συντείνοι ἂν πρὸς τὸ οἰκεῖον τοῦ ἐν ᾧ γίνεται τέλος, οἰκειώσει δὲ ἡμᾶς πρὸς τοῦτο τά τε σωματικὰ καὶ ἐκτὸς ἀγαθά, συνεργὰ ἄρα καὶ ταῦτα πρὸς τὸ κατὰ φύσιν ἡμῶν τέλος, καὶ οὐ μάτην ἡ οἰκείωσις ἡ πρὸς ταῦτα), οὐκ ἄρα αὐτάρκης ἡ ἀρετὴ πρὸς τὸ κατὰ φύσιν τοῦ ἀνθρώπου τέλος, εἴ γε μήτε πρὸς τὴν κτῆσιν μήτε πρὸς τὴν τήρησιν τούτων πρὸς ἃ ἐκ φύσεως οἰκειώμεθά ἐστιν αὐτάρκης. ἔτι εἰ | 157v ὑπὸ ἐκλογὴν πίπτει ταῦτα τῇ ἀρετῇ κατ' αὐτούς, καὶ ἡ φύσις τῆς τούτων ἐκλογῆς ἕνεκεν οἰκείων ὄντων ἡμῖν τὴν ἀρετὴν παραλαμβάνει, τῶν δὲ τούτοις ἀντικειμένων ἀποικονομίας, ἆρα ἐκλέγεσθαι μὲν δεῖ τὰ σωματικὰ καὶ ἐκτὸς ἀγαθά, οὐχὶ δὲ καὶ ἐπιμελεῖσθαι αὐτῶν; τί δὲ τοῦτο μέν, οὐχὶ δὲ καὶ κτᾶσθαι αὐτά; τί δὲ κτᾶσθαι μέν, οὐχὶ δὲ καὶ τὴν χρῆσιν πρός τι αὐτῶν

---

2 ὑγειας Va 4 πρς (sic) V προηγμένα V: προηγούμενα a 5 ἐπισπαστικά V: ἐπιστατικά a 8 γὰρ ἂν v. c. ἂν m[1] V: γὰρ ἂν a 13 τοῦτο a 15 δεῖ V: δὴ a ᾠκείωσεν V: ἐκείνωσεν a: οἰκείωσεν Vualder Sylburg 18 ἡμῖν in lit. V 20 δεομένου a 27 συντείνοι V Sylburg: συντείνει a 34 παραλαμβάνειν a 35 ἀποικονομίας V Sylburg: ἀπ' οἰκονομίας a cf. 160,25 36 οὐχὶ| χ in lit. V

συντείνειν; πρὸς τί οὖν, εἰ μὴ πρὸς τὸ τέλος; οὔτε γὰρ ἂν ἡ φύσις ἐβούλετο, οὔθ' ἡ ἀρετὴ προσέταττεν, οὔθ' ὁ σοφὸς ἐξελέγετο, εἴπερ οὐδὲν διέφερεν ἔχειν αὐτὰ ἢ μή. οὐδὲ γὰρ ἄλλη τις τέχνη ἐκλέγεταί τι αὐτοῦ χάριν τοῦ ἐκλέξασθαι μόνου, ἀλλὰ πάντων ἡ ἐκλογὴ πρὸς τὸ τέλος ἔχει τὴν ἀναφοράν. ἐν γὰρ τῇ χρήσει τῶν ἐκλεγομένων, οὐκ ἐν τῇ ἐκλογῇ τῶν ὑποκειμένων τὸ τέλος, καὶ καθόλου πῶς οὐκ ἄτοπον τὸ τὴν ἀρετὴν ἐπὶ τοῦτο λέγειν εἶναι μόνον, ἐπὶ τὸ ἐκλέγεσθαι; εἰ γὰρ ἀδιάφορος ἡ κτῆσις τῶν ἐκλεγομένων καὶ μὴ συντείνουσα πρὸς τὸ τέλος, κενὴ ἂν εἴη καὶ ματαία ἡ ἐκλογή. ἀλλ' εἰ καὶ ἡ εὐδαιμονία ἐν τῷ εὖ ζῆν εἴη, οὐδὲ πρὸς τοῦτο ἡ ἀρετὴ αὐτάρκης. λέγεται γὰρ εὖ ζῆν ὁ χρώμενος ἀρετῇ καὶ ζῶν κατὰ ἀρετὴν καὶ πράττων τι. ἐν γὰρ πράξει ποιᾷ ἡ εὐζωία ἀνθρώπου. τῶν δὲ πράξεων αἱ μέν εἰσιν κτητικαί, αἱ δὲ χρηστικαὶ τοῖς κτηθεῖσιν. ἐν μὲν οὖν ταῖς κτητικαῖς οὐκ ἂν εἴη τὸ τέλος (ἑτέρου γὰρ χάριν αὗται), ἐν δὲ ταῖς χρηστικαῖς. οὐδὲ γὰρ τοῖς τεχνίταις τὸ τέλος ἐν τῷ κτᾶσθαι τὰ οἷς χρήσονται, ἀλλ ἐν τῇ χρήσει τούτων τῇ κατὰ τὴν τέχνην. καὶ τῇ ἀρετῇ δὴ τὸ ἔσχατον καὶ τὸ τέλος οὔσῃ τέχνῃ καὶ αὐτῇ οὐκ ἐν ἐκλογῇ καὶ περιποιήσει τινῶν, ἀλλ' ἐν χρήσει τῶν περιποιηθέντων. εἰ δ' ἐν ταῖς χρηστικαῖς τῶν ἐνεργειῶν καὶ πράξεων ἡ εὐδαιμονία καὶ ἡ εὐζωία, αὗται δὲ οὐκ ἄνευ τῶν σωματικῶν ἀγαθῶν καὶ τῶν ἐκτὸς καὶ τῶν οἰκείων καὶ κατὰ φύσιν, ὧν ἡ ἀρετὴ ἐκλεκτική, οὐκ ἂν ἡ ἀρετὴ εἴη αὐτάρκης πρὸς εὐζωίαν τε καὶ εὐδαιμονίαν. ἔτι εἰ ὑπὸ τῆς φύσεως τὸ σῶμα ὄργανον τῷ ἀνθρώπῳ πρὸς τὰς πράξεις δέδοται, καὶ τὰ τούτου ἀγαθὰ συντείνοι ἂν πρὸς τὸ ἐν ταῖς πράξεσιν ἀγαθὸν τοῦ ἀνθρώπου καὶ τὸ τέλος, ὥσπερ καὶ ἐπὶ τῶν τεχνῶν. καὶ γὰρ τὸ τῶν αὐλῶν ἀγαθὸν πρὸς τὸ εὖ αὐλεῖν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. εἰ γὰρ μηδὲν πρὸς τὴν κατὰ τὸν βίον ἐνέργειαν καὶ τὴν εὐδαιμονίαν καὶ τὸ τέλος ταῦτα συντελοῖ, μάτην ἂν εἴη ὑπὸ τῆς φύσεως ἡμῖν δεδομένον τὸ σῶμα. οὐ γὰρ δή, ἃ παρόντα ὠφελεῖ, ταῦτα ἀπόντα οὐκ ἐλαττοῖ τὸ ἔργον, ὃ ὠφελεῖ. ἔτι εἰ, ὅσα τῆς ἰατρικῆς ἐστιν ἕνεκεν, ταῦτα καὶ τῆς ὑγιείας χάριν ἐστὶν τῆς γινομένης ὑπ' αὐτῆς, καὶ ὅσα τῆς κυβερνητικῆς, καὶ τῆς εὐπλοίας, ἣν αὐτὴ ποιεῖ, καὶ ὅσα τῆς ἀρετῆς ἕνεκεν, καὶ τῆς εὐδαιμονίας ἔσται, εἰ ταύτης ἔργον ἡ εὐδαιμονία, τὰ δὲ σωματικὰ καὶ τὰ ἐκτὸς καὶ αὐτοί φασιν τῆς ἀρετῆς ἕνεκα εἶναι, ὅπως ἐκλέγηται αὐτὰ καὶ περιποιῆται, ὥστε καὶ πρὸς τὸ τέλος ταῦτα χρήσιμα. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης πρὸς τὸ τέλος ἡ ἀρετή. ἔτι ὅσα τοῦ ἰατροῦ χάριν, ᾗ ἰατρός, ταῦτα καὶ τῆς ὑγιείας, ὃ τέλος ἐστὶ καὶ σκοπὸς τῷ ἰατρῷ, καὶ ὅσα τοῦ κυβερνήτου χάριν, ᾗ κυβερνήτης, ταῦτα καὶ τῆς εὐπλοίας, ὃ τέλος ἐστὶ τοῦ κυβερνήτου. καὶ ὅσα δὴ τοῦ ἀνθρώπου ἕνεκεν, ᾗ ἄνθρωπος, ταῦτα καὶ τοῦ τέλους αὐτοῦ τουτέστιν

3 ᾗ in lit. V 4 μόνου corr. ex. μόνον V 5 ἐν] ν in lit. V 10 ἀρετὴ καὶ Va 11 ποιὰ a 16 ἐν V Sylburg: ἐν om. a 19 ἐκτὸς] ο in lit. V 25 ἢ a 26 συντελεῖ a 28 ὃ Valder: ὁ Va 29 ὑγείας Va 32 εὐδαινία a αὐτοί] αὐτὰ Sylburg 35 ὑγιείας V: ὑγείας a 36—37 καὶ σκοπὸς τῷ — ὁ τέλος ἐστὶ om. a Vualder Sylburg 37 ταῦ|τὰ V

τῆς εὐδαιμονίας. τὰ δὲ σωματικὰ καὶ τὰ ἐκτὸς τοῦ ἀνθρώπου ἕνεκά ἐστι καὶ ὁ ἄνθρωπος, ὥστε καὶ τῆς εὐδαιμονίας. οὐκ αὐτάρκης ἄρα ἡ ἀρετὴ πρὸς τὸ τέλος. ἔτι εἰ ὥσπερ κατὰ νοῦν πράττειν λέγομέν τινα οὐχ ὅτι νοῦν ἔχων πράττει ὅπως δή, ἀλλ' ὅτι ὡς ὁ νοῦς βούλεται, καὶ κατὰ ψυχὴν οὐχ ὅτι ψυχὴν ἔχων, ἀλλ' ὅτι ὡς ἡ ψυχὴ βούλεται, οὕτως καὶ ὁ κατὰ ἀρετὴν πράττων πράττοι ἂν κατὰ ἀρετὴν οὐχ ὅτι ἔχει ἀρετήν, ἀλλ' ὅτι ὡς ἡ ἀρετὴ βούλεται, καὶ ἐν οἷς καὶ δι' ὧν. ἔστιν δὲ τὸ εὐδαιμονεῖν ἐν τῷ κατὰ ἀρετὴν πράττειν. τὸ εὐδαιμονεῖν ἄρα ἐστὶν ἐν τῷ κατὰ τὸ βούλημα τῆς ἀρετῆς. κατὰ βούλημα δὲ τῆς ἀρετῆς ἐστιν τὸ εἶναι μετὰ τῶν ἐκλεκτῶν τε αὐτῇ καὶ οἰκείων καὶ αὐτῆς ἕνεκα κατεσκευασμένων. φορὰ ἄρα καὶ ταῦτα πρὸς τὴν κατὰ ἀρετὴν ἐνέργειαν, τουτέστιν πρὸς εὐδαιμονίαν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετή. ἔτι ὥσπερ τῷ αὐλητῇ [πρὸς] τὸ εὖ αὐλεῖν ἐν τῷ αὐλεῖν ἐστιν καὶ οὐκ ἔστιν ἀδιάφορον τῷ αὐλητῇ πρὸς τὸ εὖ αὐλεῖν καὶ τὸ ἴδιον τέλος τὸ αὐλεῖν (ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν), οὕτως καί, εἰ τῷ εὐδαιμονοῦντι ἐν τῷ εὖ ζῆν ἐστιν τὸ εὐδαιμονεῖν, οὐκ ἂν εἴη αὐτῷ ἀδιάφορον τὸ ζῆν πρὸς τὸ εὖ ζῆν, ἀλλὰ συντελοῦν πρὸς τὸ εὖ ζῆν. εἰ δὲ τοῦτο, οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὸ τέλος, εἴ γε κατὰ ταύτην οὐ τὸ ζῆν, ἀλλὰ τὸ εὖ ἡμῖν περιγίνεται μόνον. ἔτι εἰ ὁ τὴν ἀρετὴν ἔχων μάλιστα ἂν παρεῖναι αὑτῷ βούλοιτο τά τε σωματικὰ ἀγαθὰ καὶ τὰ ἐκτός, καὶ παρόντα τε φυλάττοι καὶ μὴ παρόντα ἐκλέγοιτό τε καὶ κτῷτο, καὶ ὑπὲρ αὐτῶν εὔχοιτο τοῖς θεοῖς, δῆλον ὡς ἐλαττούμενος πρὸς τὸ προκείμενον αὐτῶν, εἰ μὴ παρείη ταῦτα, βούλοιτ' ἂν αὐτά. εἰ δὲ ἐλαττοῦται, τῶν ἐναντίων τούτοις παρόντων αὐτῷ, πῶς εὐδαίμων; ἔτι εἰ τὸν μὲν τὴν ἀρετὴν ἔχοντα ἐνδέχεται μαίνεσθαι καὶ νοσεῖν, εὐδαιμονεῖν δὲ τὸν μαινόμενον, ὅτε μαίνεται, ἢ τὸν νοσοῦντα ἢ τὸν κοιμώμενον οὐδεὶς ἂν εἴποι, οὐκ ἂν εἴη τὸ εὐδαιμονεῖν ἐν τῷ τὴν ἀρετὴν ἔχειν. ἔτι εἰ ὅλως πρὸς τὸ εἶναί τε καὶ ὁπωσοῦν ἐνεργεῖν ἡ ἀρετὴ δεῖταί τινων, ἐν δὲ τῇ κατ' αὐτὴν ἐνεργείᾳ τὸ εὐδαιμονεῖν τινα, πῶς ἂν αὐτάρκης πρὸς εὐδαιμονίαν εἴη, δεομένη τινῶν ἔξωθεν πρὸς τὸ ἐνεργεῖν, ἐν ᾧ τὸ εὐδαιμονεῖν; ἔτι εἰ τῷ σοφῷ τὰ κατὰ φύσιν ὀρεκτά, οὐδενὸς δὲ μάτην ὁ σοφὸς ὀρέγεται, ἔχοι ἂν ταῦτα, ὧν ὀρέγεται, πρὸς τὸ τέλος τὸ οἰκεῖον αὐτοῦ τὴν ἀναφορὰν καὶ συντελοῖ ἄν τι αὐτῷ πρὸς εὐδαιμονίαν. ἔτι ἤτοι προσχρωμένη τισὶν ἡ ἀρετὴ τυγχάνει τοῦ τέλους ἢ ὅλως αὐτὴ καθ' αὑτήν. εἰ μὲν δὴ προσχρωμένη, οὐκ αὐτάρκης ἔσται πρὸς τὸ τέλος, εἰ δὲ καθ' αὑτήν, ταὐτὸν ἔσται ἀρετὴ καὶ εὐδαιμονία. ἀλλὰ ὁρῶμεν ἀδύνατον ἐπὶ τῶν τεχνῶν τὸ | τοιοῦτον· τριῶν 158r γὰρ δεῖ καθ' ἑκάστην πρὸς τὸ τέλος, τοῦ τέλους καὶ τοῦ τυγχάνοντος τοῦ τέλους καὶ τοῦ ἐπιφέροντος τὸ τέλος· ὁ μὲν γὰρ τυγχάνων ἰατρὸς ἢ κυβερνήτης, τὸ δὲ τέλος ἡ εὔπλοια ἢ ὑγίεια, τὸ δ' ἐπιφέρον ταῦτα ἰατρικὴ ἢ

4 βούλεται] α in lit. V   6 ἂν κατὰ ἂν κατὰ a   12 αὐτάρκης V   12—13 ὥσπερ τῷ αὐλητῇ — αὐλεῖν ἐστιν] τὸ αὐλεῖν post ἐστιν addit Sylburg, melius πρὸς delebis, quod suadent verba respondentia εἰ τῷ εὐδαιμονοῦντι ἐν τῷ εὖ ζῆν ἐστιν τὸ εὐδαιμονεῖν
19 αὑτῷ Sylburg: αὐτῷ Va   20 παρόντα a: παρον (παρο⁻|) V   31 συντελεῖ a
38 ὑγεία Va

κυβερνητική. καὶ ἐπὶ εὐδαιμονίας δὴ ὁ μὲν τυγχάνων ὁ σοφός, τὸ δὲ τέλος ἡ εὐδαιμονία, τὸ δ' ἐπιφέρον ἡ ἀρετή. ὡς οὖν ἡ ἰατρικὴ οὐκ ἔστιν ὑγίεια, ὑγιείας δὲ ποιητική, καὶ ἡ κυβερνητική, οὖσα εὐπλοίας ποιητική, οὐκ ἔστιν εὔπλοια, οὕτως οὐδὲ ἡ ἀρετή, οὖσα εὐδαιμονίας ποιητική, εἴη ἂν εὐδαιμονία. οὐδὲν γάρ ἐστι τῶν ποιούντων τι αὑτοῦ ποιητικόν. ὥστε οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς τὴν εὐδαιμονίαν τὴν γινομένην ὑπ' αὐτῆς. ἔτι εἰ ἕκαστος τῶν τεχνιτῶν, ἃ κατὰ τὴν τέχνην ἐκλέγεται, συνεργὰ πρὸς τὸ τέλος τὸ τῆς τέχνης ἔχει, καὶ ὁ τὴν ἀρετὴν ἔχων, ἃ ἐκλέγεται κατὰ τὴν ἀρετήν, ὡς συνεργὰ ἂν πρὸς τὸ τέλος αὑτῷ ἐκλέγοιτο. ἐκλέγεται δὲ τά τε σωματικὰ καὶ τὰ ἐκτός, εἴ γε καὶ ὅλως ἡ ἀρετὴ τῆς τούτων χάριν ἐκλογῆς παρῆλθεν. οὐ γὰρ δή, ἀρετὴ οὖσα, μάτην ἐκλέγεταί τινα. οὐκ ἄρα αὐτάρκης. εἰ δ', ὅτι καὶ αἱ ἄλλαι πᾶσαι τέχναι ἐκλέγονται καὶ τὰ σωματικὰ ἀγαθὰ καὶ τὰ ἐκτός, μὴ λέγουσιν αὐτὰ ὄργανα γίνεσθαι τῆς ἀρετῆς, ῥητέον πρῶτον μὲν ὅτι οὐδὲν ἄτοπον τὸ ταὐτὰ πλείοσιν τέχναις εἶναι χρήσιμα. εἶτα ἐκείνων μὲν οὐδείς, καθό ἐστιν τεχνίτης τῆσδέ τινος τῆς τέχνης, ἐκλέγεται αὐτά, ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ καθὸ αὐλητής τίς ἐστιν ἢ κυβερνήτης ἐκλέγεται πλοῦτον ἢ δόξαν, ἀλλὰ καθὸ ἄνθρωπος. ἡ δὲ ὑγίεια, εἰ ἦν κἀκείνοις ὄργανον, τῇ δὲ ἀρετῇ προηγουμένως τούτων ἐκλογή. τοῦτο γὰρ ἔργον αὐτῆς. ἐκλεκτικὴ γὰρ τούτων ἐστὶ καὶ δοκιμαστική, ὥστε εἴη ἂν καὶ ὄργανα αὐτῆς καὶ συνεργὰ πρὸς τὸ ὑπ' αὐτῆς γινόμενον τέλος. ἔτι οὐχ, εἰ ᾧ ὁρῶμεν, τῇ τούτου ἀρετῇ εὖ ὁρῶμεν, καὶ ᾧ ἀκούομεν τῇ τούτου ἀρετῇ εὖ ἀκούομεν, καὶ διὰ τοῦτο, ᾧ ζῶμεν, τῇ τούτου ἀρετῇ εὖ ζῶμεν, ὥστε εἴη ἂν ⟨τῇ⟩ τῆς ψυχῆς ἀρετῇ εὐδαιμονία (ψυχῇ γὰρ ζῶμεν), οὐ δὴ διὰ τοῦτο οὐδενὸς ἔξωθεν ἄλλου δεησόμεθα παρὰ τὴν ἀρετὴν τῆς ψυχῆς πρὸς τὸ εὖ ζῆν. καὶ γὰρ ἐπὶ τοῦ ὀφθαλμοῦ τῷ μὲν ὀφθαλμῷ ὁρῶμεν καὶ τῇ τούτου ἀρετῇ εὖ ὁρῶμεν, ἀλλ' ὅμως πρὸς τὸ εὖ ὁρᾶν καὶ φωτὸς δεόμεθα καὶ ἄλλων τινῶν. καὶ γὰρ τοῦ μηδὲν ἐπισκοτεῖν καὶ διαστήματος συμμέτρου καὶ μεγέθους ποσοῦ καὶ τοῦ ὁραθησομένου χρώματος. οὕτως δὴ καὶ εὖ μὲν ζῶμεν τῇ τῆς ψυχῆς ἀρετῇ, δεόμεθα μέντοι καὶ ἄλλων τινῶν εἰς τοῦτο συνεργῶν τε καὶ ὀργάνων. καὶ γὰρ καὶ κατὰ τὰς τέχνας καὶ ταῖς κατ' αὐτὰς ἀρεταῖς εὖ πράττομεν τὰ κατὰ ταύτας, ἀλλ' ὅμως δεόμεθα πρὸς τὰ κατὰ τὰς τέχνας τέλη καὶ ἄλλων τινῶν, ἃ ἐστιν ἕτερα παρὰ τὰς τέχνας. καὶ ἡ ἀρετὴ δὴ ὡς τέχνη ποιητικὴ τῆς εὐδαιμονίας ἔσται, οὐ μὴν διὰ τοῦτο ἄνευ τῆς ὕλης καὶ τῶν οἰκείων ὀργάνων. ἔτι εἰ μὲν οὕτως λέγοιτο ἡ ἀρετὴ αὐτάρκης πρὸς εὐδαιμονίαν, ὡς καὶ τῶν τεχνῶν ἑκάστη πρὸς τὸ οἰκεῖον ἔργον, ὅτι οὐκ ἄλλης τινὸς τέχνης προσδέονται πρὸς τὸ τὸ κατ' αὐτὰς ποιεῖν ὑγιές (οὐδὲ γὰρ ἡ ἀρετὴ ἄλλης τινὸς δυνάμεως καὶ τέχνης προσδεῖται πρὸς τὸ σὺν ἐκείνῃ τὴν εὐδαιμονίαν ποιεῖν· προσδεήσεται μέντοι κατὰ τοῦτο ὁμοίως ταῖς τέχναις καὶ ἄλλων

1 τέλος ἡ a: τέλος V 2 ἡ ἀρετὴ m[1] in mg. V 3 ὑγεία ὑγιείας V: ὑγεία ὑγείας a 5 αὐτοῦ a 9 αὑτῷ Sylburg: αὐτῷ Va ἐκλέγοιτο] ιτ in lit. V 11 παρῆλθεν] cf. p. 163,33 ἡ φύσις τῆς ἐκλογῆς ἕνεκεν τὴν ἀρετὴν παραλαμβάνει ἄρα] accent. et spir. in lit. V 23 τῇ addidi ἀρετῇ scripsi: ἀρετὴ Va 24 οὐ V Sylburg: οὗ a 36 (et 38) τινὸς sic V

τινῶν πρὸς τὸ τὸ ἴδιον ἔργον ἀποδιδόναι), εἰ δέ τις λέγοι τὰς ἀρετὰς οὕτως αὐτάρκεις πρὸς εὐδαιμονίαν, ὅτι μηδέ τινος ὅλως ἔξωθεν προσδέονται, οὐχ ὑγιῶς ἐρεῖ. πολλῶν γὰρ ἔξωθεν, ὥσπερ αἱ τέχναι, οὕτως δὲ καὶ ἡ ἀρετὴ δεῖται, ὡς ἐδείχθη, πρὸς τὸ περιποιῆσαι τὸ τέλος. τὸ δὲ φάναι ὥσπερ τὴν αὐλητικὴν παντὶ τῷ δοθέντι μέλει ὀρθῶς δύνασθαι χρῆσθαι, οὕτως καὶ τὴν ἀρετὴν παντὶ πράγματι, ὑγιὲς μέν ἐστιν, προσδιασταλτέον δέ, ὡς οὔτε ἡ αὐλητικὴ ἄνευ τῶν οἰκείων ὀργάνων δυνατὴ ποιῆσαι τοῦτο, οὔθ' ἡ ἀρετή, ἀλλὰ μόνης μὲν αὐτῆς τὸ ἔργον ἐστὶ τοῦτο, οὐ μὴν χωρίς γε τῶν εἰς αὐτὸ συνεργῶν. ἔτι οὐκ, ἐπεὶ πᾶσιν τοῖς πράγμασιν καλῶς χρῆται, ἤδη καὶ ἡ παντὸς χρῆσις εὐδαιμονική, ἀλλ' ἡ τῶν βουλητῶν τοιάδε χρῆσις. ἔστι δέ τινα καὶ ἀβούλητα τῷ σπουδαίῳ προσπίπτοντα, οἷς εὖ μὲν καὶ αὐτοῖς χρῆται, οὐ μὴν περὶ ταῦτα ἐνέργεια αὐτῷ καὶ ἡ τοιάδε χρῆσις τῶνδε εὐδαιμονική. ἔτι τὰ οἰκεῖα προηγμένα καὶ εὔχρηστα καὶ ἀξίαν ἔχοντα πρὸς τί ποτε ταύτας ἔχει τὰς ὀνομασίας, εἰ μηδὲν συνεργεῖ πρὸς εὐδαιμονίαν; πᾶν γὰρ τὸ προηγμένον πρός τι προῆκται, καὶ τῷ φορὸν εἶναι πρὸς τὸ προκείμενον μᾶλλον ἄλλου διὰ τοῦτο λέγεται καὶ προῆχθαι πρὸς τὸ τέλος, καὶ ἡ προαγωγὴ αὐτῶν δῆλον ὡς συνεργεῖ πρὸς εὐδαιμονίαν. εἰ δὲ μὴ πρὸς τοῦτο συνεργεῖ, πρὸς δὲ τὸν κατὰ φύσιν βίον, ἄξιον ἐρέσθαι περὶ τοῦ κατὰ φύσιν αὐτοὺς βίου, πότερον οὗτος ἀγαθόν ἐστιν, ἢ οὐκ ἀγαθὸν μέν, οἰκεῖον δὲ καὶ αὐτὸ καὶ προηγμένον, ἢ ἀλλότριον καὶ ἀποπροηγμένον ἢ ἀρρεπὲς ὅλως. παρὰ γὰρ ταῦτα οὐδὲν οἷόν τε ἀποκρίνασθαι. οὐ γὰρ δὴ κακόν γε ἐροῦσιν αὐτόν εἰ μὲν οὖν ἀγαθόν, πρῶτον μὲν πῶς οὐχὶ τὰ συμπληρωτικὰ αὐτοῦ καὶ ποιητικὰ ἀγαθὰ ἂν καὶ αὐτὰ εἴη, ὥστε ἀγαθὰ τὰ προηγμένα; ἔπειτα δὲ οὐ μόνον ἔσται τὸ καλὸν ἀγαθόν· καὶ γὰρ ὁ κατὰ φύσιν βίος, εἴ γε ἀγαθὸν καὶ πρὸς εὐδαιμονίαν ἔσται συντελῶν, εἴ γε ἡ εὐδαιμονία συμπλήρωσις ἀγαθῶν, ὥστε οὐκ αὐτάρκης πρὸς εὐδαιμονίαν ἡ ἀρετή. εἰ δὲ ἀλλότριον καὶ ἀποπροηγμένον ἢ ἀρρεπές, πῶς οὐ γελοῖον τὰ ποιητικὰ αὐτοῦ προηγμένα λέγειν; τί γὰρ μᾶλλον τὰ πρὸς τοῦτο φορὰ προηγμένα, ἢ τὰ πρὸς τὸ ἀντικείμενον αὐτῷ; εἰ δὲ καὶ αὐτὸς προηγμένος τε καὶ ἀξίαν ἔχων ἐστὶν ὁμοίως ἐκείνοις, καὶ διὰ τοῦτον τοιαῦτα ἦν καὶ τὰ ποιητικὰ αὐτοῦ, εἰς τί προῆκται καὶ ἀξίαν ἔχει, πευσόμεθα παρ' αὐτῶν, ὥσπερ καὶ περὶ τῶν τούτου ποιητικῶν, ἐπεὶ πᾶν τὸ προηγμένον πρός τι | προῆκται. εἰ μὲν οὖν εἰς τὴν εὐδαιμονίαν φήσουσιν, συνεργὸς ἂν ὁ κατὰ 158v φύσιν εἴη βίος πρὸς εὐδαιμονίαν, οὕτως δὲ καὶ τὰ τούτου ποιητικά, καὶ οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς αὐτόν, εἰ δὲ πρὸς ἄλλο τι φήσουσιν, ὁ αὐ-

---

1 οὕτως] fortasse ἁπλῶς   2 αὐτάρκεις] ει in lit. V   ἔξω a   3 ὑγειῶς a   4—5 τὸ δὲ φάναι, ὥσπερ .. δύνασθαι χρῆσθαι, οὕτως κτλ.] cf. ἀνεπαίσθητος γάρ, ὃν λέγουσιν προεμπίπτειν, ὁ ἀήρ, οὐ τῇ ποσότητι τὸ διάστημα ἀναμετρεῖσθαι p. 135,5 φῶς γάρ τι ἐκπέμπεσθαι ἀπὸ τῆς ὄψεως, ὃ τῇ ἀπορροίᾳ . . . ἀναγγέλλειν p. 137,2   6 πρὸς διασταλτέον V   13 ἔχοντα v. c. ἔχον m[1] V: ἔχοντα a   16 λέγεται] αι in lit. V προῆχθαι] αι in lit. V   18 ἐρέσθαι scripsi: ἔρεσθαι a: αἱρεσθαι (sic) V   20 καὶ post αὐτὸ om. a   ἀποπροηγμένον V Sylburg: ἀπὸ προηγουμένον a   21 ἢ Vualder: ἡ Va   27 ἀπὸ προηγμένον V   28 φορὰ V Sylburg: φορᾶ a   29 προηγμένος] ante ς una lit. eras. V   32 προηγμένον V Vualder Sylburg: προγμένον a

τὸς καὶ περὶ ἐκείνου, καὶ τοῦτ' εἰς ἄπειρον. καθόλου δέ, εἰ ἡ ἀρετὴ αὐτάρκης πρὸς τὸ παρασχέσθαι τὸν βίον ἡμῶν ἄκρως εὐδαίμονα καὶ μακάριον, πῶς εὔλογος ἐξαγωγὴ τῷ τὴν ἀρετὴν ἔχοντι ἐν μακαρίῳ βίῳ ὄντι; ὡς γὰρ ἄτοπον τὸ λέγειν τὸν Δία ἐθέλειν ἀποθανεῖν, οὕτως ἄτοπον καὶ τὸν ἐπίσης τούτῳ μακαρίως ζῶντα ἑαυτὸν ἐξάγειν εὐλόγως τοῦδε τοῦ βίου, τῶν μὲν σωματικῶν καὶ ἐκτὸς ἀδιαφόρων ὄντων καὶ μήτε ποιούντων τὴν εὐδαιμονίαν μήτε ἀναιρούντων, τῆς δὲ ἀρετῆς, ἣ μόνη καὶ κατασκευάζει τὸν μακάριον βίον καὶ φυλάττει βέβαιον παροῦσα, μηδέποτ' ἂν ἀπολειπούσης τὸν σοφόν. τὸ γὰρ μήτε παρόντος τινὸς κακοῦ μήτε προσδοκωμένου τῆς τε ἄκρας εὐδαιμονίας περὶ αὐτὸν οὔσης τὸν βίον ἀπολιπεῖν καὶ αὐτὴν τὴν ἀρετὴν βούλεσθαι θαυμάσιον καὶ τῷ κατὰ λόγον μαχόμενον. πῶς γὰρ εὔλογον τὴν ἀρετὴν τοῦθ' ὑποβάλλειν τῷ σοφῷ; οὐδὲ γάρ, ὥσπερ ἐπὶ τῶν ἄλλων τινός, οὕτως δὲ καὶ ἐπὶ εὐδαιμονίας εὔλογον λέγειν, ἅλις ἔχειν. οὐδεὶς γὰρ κόρος εὐδαιμονίας καὶ ἀρετῆς. εἰς ἄπειρον γὰρ τῶν τελῶν ἡ ὄρεξις καὶ οὐκ ἐπ' ἄλλο τι αὐτῶν ἡ ἀναφορά. τὸ γὰρ εὔλογον ἐξαγωγὴν τίθεσθαι ἐξομολογούντων ἐστὶ τὸ ἀδύνατον εἶναι χωρὶς τῶν σωματικῶν καὶ ἐκτὸς εὐδαίμονα γενέσθαι βίον. ἔτι εἰ εὔλογος μὲν ἡ ἐξαγωγή, κωλυθείημεν δὲ ἐξάγειν ἑαυτοὺς ἀπό τινος, πῶς οὐκ ἄθλιος ὁ βίος ἐν τοῖς τοιούτοις, δι' ἃ ἦν εὔλογον ἐξάγειν ἑαυτόν; εἰ δὲ ἄθλιος ὁ βίος, δῆλον ὡς οὐκ εὐδαίμων ἔτι· ὥστ' οὐδὲ ἀναπόβλητος ἡ εὐδαιμονία ἔσται κατά γε τοῦτο.

Ὅτι μὴ ἕτερον τῷ εἴδει τὸ θῆλυ καὶ τὸ ἄρρεν.

Τὸ θῆλυ καὶ τὸ ἄρρεν οὔ φησιν Ἀριστοτέλης διαφορὰς εἰδοποιοὺς εἶναι τοῦ ζῴου, ὅτι καθόλου αὗταί εἰσιν διαιρετικαὶ τῶν γενῶν εἰς τὰ εἴδη διαφοραί, αἳ ἔχουσαι ἐναντίωσιν καὶ ἀντίθεσιν κατὰ τὸν λόγον, αἱ δὲ ὑλικαὶ διαφοραὶ καὶ τὰ τοῦ ὑποκειμένου πάθη οὐ ποιοῦσιν ἕτερα τῷ εἴδει. διὰ τοῦτο τὸ λευκὸν καὶ τὸ μέλαν, καίτοι ἐναντία ὄντα, οὐ ποιεῖ σώματος εἰδικὴν διαίρεσίν τε καὶ διαφοράν. πάθη γὰρ ταῦτα τοῦ ὑποκειμένου, ἀλλ' οὐ τοῦ κοινοῦ εἴδους τε καὶ λόγου τοῦ σώματος διαίρεσις. ἐπεὶ τοίνυν καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν κατὰ πάθος ὑλικὸν τὴν διαφορὰν ἔχει, οὐ ποιεῖ τὰ ζῷα τῷ εἴδει διάφορα. πέψει γὰρ καὶ ἀπεψίᾳ καὶ θερμότητι καὶ ψυχρότητι τῆς ὑποκειμένης ὕλης ἡ τούτων διαφορά. οὐ γάρ ἐστι ταῦτα τὰ πάθη οἰκεῖα τοῦ ζῴου κατὰ τὴν οὐσίαν καὶ τὸν λόγον, ἀλλὰ κατὰ τὸ ὑποκείμενον καὶ τὴν ὕλην καὶ τὸ σῶμα. διὸ τὸ αὐτὸ σπέρμα καὶ θῆλυ καὶ ἄρρεν οἷόν τε γενέσθαι, ἀλλ' οὐ λογικὸν ἢ ἄλογον ἢ πτηνὸν ἢ χερσαῖον. διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ οἱ καθ' ἕκαστα ἄνθρωποι καίτοι διαφέροντες ἀλλήλων οὐκ εἰσὶν ἕτεροι κατὰ τὸ εἶδος. ὑλικοῖς γὰρ πάθεσιν διαφέρουσιν ἀλλήλων, ἀλλ' οὐ κατὰ τὸν

---

1 fortasse περὶ ἐκείνου ⟨λόγος⟩ 4 καὶ τὸν V: καὶ τὸ a 7 ἡ Va 11 τὴν a: τ cetera evanuerunt V 13 εὐδαιμονίας] υδ in lit. V λέγειν om. a ἅλις V Sylburg: ἄλος a 14 τῶν a: 'τῶν' τῶν V 18 δι' ἃ ἦν Sylburg: διὰ ἦν V: δι' ἦν a 20 εὐδαινία a 22 οὔ φησιν Ἀριστοτέλης] Ar. Met. 10,9 1858a31 24 αἳ ἔχουσαι] cf. 151,18 28 ἐπεὶ V: ἐπὶ a 36 ὑλικοῖς V: εἰδικοῖς a

λόγον καὶ τὴν ἐν τούτῳ διαφοράν, ποιότητι γὰρ σαρκῶν καὶ ποσότητι καὶ τοῖς τοιούτοις. διάφορος οὖν ὁ χαλκοῦς κύκλος καὶ ξύλινος, οὐχ ἕτεροι τῷ εἴδει, ὅτι κατὰ τὸ ὑποκείμενον αὐτοῖς, οὐ κατὰ τὸν λόγον ἡ διαφορά. οὕτως δὲ καὶ ἐπὶ τῶν ἀτόμων ἀνθρώπων. ἡ γὰρ ἐν τῷ λόγῳ ἐναντίωσις εἴδη διαφέροντα γεννᾷ, οὐχὶ τὰ κατὰ τὸ ὑλικὸν πάθη. καὶ τὸ ἄρρεν δὴ καὶ τὸ θῆλυ, ἐπεὶ μὴ κατὰ τὸν λόγον, ἀλλὰ κατὰ πάθος ὑλικὸν διαφέρουσιν, οὐχ ἕτερα τῷ εἴδει. ὅτι δὲ μή εἰσιν διαιρετικαὶ διαφοραὶ καὶ εἰδοποιοὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ καὶ [τὸ] ἐκ τούτων δῆλον. ἤτοι γὰρ ἀνθρώπου εἰσὶν διαφοραὶ ἢ ἄλλου τινὸς εἴδους, ἐν οἷς τὸ μὲν ἄρρεν ἐστί, τὸ δὲ θῆλυ, ἢ τοῦ ζῴου τοῦ τούτων γένους. ἀλλ' ἀνθρώπου μὲν οὐκ ἔστι διαιρετικὴ διαφορά. αἱ γὰρ οἰκεῖαί τινος διαιρετικαὶ διαφοραὶ οὐκ εἰσὶν ἐπὶ πλέον ἐκείνου, ὃ διαιροῦσιν, οἷον τῶν τὸ ζῷον διαιρούντων διαφορῶν οὐδεμία ἔξω τοῦ ζῴου πίπτει οὐδὲ ὑπάρχει τινί, ὃ μὴ ζῷόν ἐστιν. περιέχεσθαι γὰρ δεῖ τὰς τεμνούσας τι κυρίως διαφορὰς ἐν τῷ τεμνομένῳ πρὸς αὐτῶν. εἰ γάρ τινες ἐπὶ πλέον εἶναι δοκοῦσιν τῶν τεμνομένων πρὸς αὐτῶν, τῷ μὴ τούτων εἶναι κυρίως, ἀλλὰ τῶν ἐπαναβεβηκότων αὐτοῖς γενῶν κατὰ τοῦτο δοκοῦσιν ὑπερβάλλειν τούτων, οὐκέτι ἐκείνων ἐκπίπτουσαι. οἷον εἴ τις τὸ πεζὸν ζῷον τέμοι τῷ δίποδι, δοκεῖ ἡ δίπουν διαφορὰ εἶναι καὶ ἐν παντὶ ζῴῳ. ἔστι γὰρ καὶ ἐν τῷ πτηνῷ· τοῦ γὰρ ζῴου κυρίως ἐστὶν διαιρετική, οὗ οὐκέτι ἐπὶ πλεῖον ῥηθῆναι δύναται. οὐ γάρ ἐστί τι μὴ ζῷον δίπουν. καὶ τὸ θῆλυ δὴ καὶ τὸ ἄρρεν οὐκ ἂν εἶεν ἀνθρώπου τμητικαὶ διαφοραί, ἐπεὶ καὶ ἐν ἄλλοις ζῴοις εἰσίν, καὶ οὐκ ἐν ἀνθρώποις μόνοις. διὰ ταῦτα οὖν οὐδὲ τῶν ἄλλων τινὸς εἶεν ἂν διαφοραὶ τῶν εἰδῶν τοῦ ζῴου, ἀλλ' οὐδὲ τοῦ ζῴου οἷόν τε λέγειν αὐτὰς τμητικὰς εἶναι καὶ εἰδῶν ποιητικάς. αἱ γὰρ ἀντιδιαιρούμεναι ἀλλήλαις διαφοραὶ οὐ δύνανται συνυπάρχειν ἐν εἴδει τῷ αὐτῷ. οὔτε γὰρ τὸ λογικὸν καὶ ἄλογον ἐν τῷ αὐτῷ εἴδει οἷόν τε εἶναι, οὔτε τὸ πεζὸν καὶ πτηνὸν ἢ ἔνυδρον οὔτε δίπουν καὶ ἄπουν, τὸ δὲ θῆλυ καὶ τὸ ἄρρεν ἐν τοῖς αὐτοῖς ἐστιν εἴδεσιν. καὶ γὰρ ἐν ἀνθρώπῳ ὄντι ταὐτῷ κατὰ τὸ εἶδος καὶ ἐν ἵππῳ καὶ κυνὶ καὶ τοῖς ἄλλοις ὁμοίως, ὅσα ἐκ συνδυασμοῦ γίνεται. οὐκ ἄρα τμητικαὶ διαφοραὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν· οὐδ' ἄρα ἕτερον τῷ εἴδει τὸ ἄρρεν καὶ τὸ θῆλυ, ὥστε οὐδὲ γυνὴ καὶ ἀνήρ. |

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ ἐφ' ἡμῖν. 159r

Περὶ τοῦ ἐφ' ἡμῖν ἐλέγετό τις καὶ τοιάδε δόξα. εἰ ἡ μὲν φύσις οὐχ ὁμοία πάντων, ἀλλ' ἔχει διαφοράν (φύσει γὰρ εὐφυεῖς τινες, οἱ δ' ἀφυεῖς· μεγίστην δὲ ἰσχὺν ἡ φύσις ἔχει πρὸς τὸ τοίους ἢ τοίους γίνεσθαι, μετὰ δὲ τὴν φύσιν τὰ ἔθη, ἐξ ὧν ἀμφοτέρων καὶ ἡ προαίρεσις ποιὰ γίνεται), πῶς ἔτι ἔσται ἐφ' ἡμῖν ἡ προαίρεσις, ὅλως ἀπορήσειεν ἄν τις. καὶ γάρ, εἰ καὶ τὴν διδασκαλίαν αἰτιῷτο, οὐδὲ τὸ μαθεῖν ἐφ' ἡμῖν, λέγω δὲ τὸ

---

8 τὸ delevi 10 ζούου a γένος a 18 fortasse ἡ ⟨κατὰ τὸ⟩ δίπουν 19 ἐν παντὶ V γὰρ post ἔστι om. a 25 δύναται a 27 πτηνὸν καὶ πεζὸν καὶ ἔνυδρον a

τοιοῦτον ἐφ' ἡμῖν, οὗ καὶ τὸ ἀντικείμενον δυνατόν τέ ἐστι καὶ ἐφ' ἡμῖν, [ὁποῖον ἡμεῖς εἶναι τὸ ἐφ' ἡμῖν ἀξιοῦμεν]. ἔτι δὲ μᾶλλον ἀποροῖτ' ἂν τοῦτο, εἰ μηδὲν ἀναιτίως γίνοιτο· καὶ αὐτὸ ἅπασιν ἐδόκει. δεῖ γὰρ τῶν ἐπὶ τοῦ παρόντος ὑφ' ἡμῶν γιγνομένων προϋπάρχειν τὸ αἴτιον, ἀδύνατον δέ ἐστι τὴν αὐτὴν αἰτίαν εἶναι τῶν ἀντικειμένων, ἀλλ', εἰ τοῦτο, ἐξ ἀνάγκης πάντα τὰ γιγνόμενα γίγνεται. προκαταβέβληται γὰρ αὐτῶν τὰ αἴτια. τοῦτο δὴ οὕτως ἔχειν ἀναγκαῖόν ἐστιν, ἐὰν μή τις ἀναίτιος κίνησις εὑρεθῇ. εὑρίσκεται δὲ καὶ ἔστιν. οὗ δειχθέντος καὶ τὸ ἐφ' ἡμῖν σωθήσεται καὶ τὸ αὐτόματον καὶ τὰ ἐπὶ τῇ τύχῃ. δοκεῖ δὲ καὶ Ἀριστοτέλει εἶναί τις ἀναίτιος κίνησις ὡς ἐν τῷ πέμπτῳ λέγεται τῶν Μετὰ τὰ φυσικά. ἡ δὲ κατασκευὴ τοῦ εἶναι ἀναίτιον κίνησίν ἐστιν, εἰ δειχθείη ἐν τοῖς οὖσιν τὸ μὴ ὂν παρεσπαρμένον πως αὐτοῖς καὶ συνοδεῦον. εἰ γάρ ἐστίν πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν, ἔστι τὸ κατὰ συμβεβηκὸς ὄν. τὸ γὰρ μὴ ὄν, † συμβέβηκεν εἶναι λεγόμενον κατὰ συμβεβηκός τι ὄν, εἴη ἄν τις καὶ κίνησις ἀναίτιος, οὗ ὄντος δεδειγμένον ἂν εἴη τὸ προκείμενον. ὅτι δέ ἐστί πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ἐνεργείᾳ, εὐκόλως ἄν τις ἐπιστήσας μάθοι. εἰ γὰρ τῶν ὄντων τὰ μέν ἐστιν ἀΐδια, ἄλλα δὲ φθειρόμενα, οὐ παρ' ἄλλην τινὰ ἂν αἰτίαν ἡ διαφορὰ τούτων ἐν αὐτοῖς εἴη ἂν ἢ παρὰ τὴν τοῦ μὴ ὄντος μετουσίαν. παρὰ γὰρ τὴν τούτου μῖξίν τε καὶ κρᾶσιν καὶ παρουσίαν ἡ ἀτονία τε καὶ ἀσθένεια τοῖς μὴ ἀιδίοις ἐγγιγνομένη κωλύει αὐτὰ ἀεί τε

1 τε καὶ ἐφ' ἡμῖν suspectum cf. 171,23 2 ὁποῖον—ἀξιοῦμεν insiticium videtur 3 ἅπασιν ἐδόκει m^2, υπεσιν εδουει m^1, πασιν ἐδόκει v. c. V: ἅπασιν ἐδόκει Ca: fortasse γίνοιτο, ⟨ὃ⟩ καὶ αὐτό τισιν ἐδόκει 4 γιγνομένων V: γινομένων Ca 6 γίγνεται corr. ex. γίνεται V: γίνεται Ca δὴ V: δὲ Ca 9 τύχῃ v. c. et m^2, εὐχῇ m^1 V: τύχῃ Ca 9 ἀριστοτέλει VC: ἀριστοτέλῃ a 10 ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά] i. e. ἐν τῷ E (cf. p. 151,9. 11) τῶν Μετὰ τὰ φυσικά. respicit enim, ut videtur, Ar. Met. E 2, 1026^a33—1027^b16. 11 τοῦ Va: τῶν C τὸ μὴ m^2, μὴ m^1 V: τὸ μὴ Ca 13 συμβεβηκος ὂν v. c. συμβεβηκοσιν m^1 V: συμβεβηκός τι ὂν C: συμβεβηκὸς ὂν a τὸ γὰρ μὴ ὂν v. c. τὸ γὰρ δι' ὂν ὂν m^1 V: τὸ γὰρ μὴ ὂν ὂν C: τὸ γὰρ μὴ ὂν ὂν a † συμβέβηκε (βη in mg. m^1, τινι sive γινι, quod in extremo margine a v. c. adscriptum est, ad vocem obscuram † referendum esse videtur) V: συμβέβηκεν C: καὶ συμβέβηκεν a. locus corruptus ita fere restituendus videtur: εἰ γάρ ἐστίν πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν (⟨ἔστι δέ, ἐπεὶ ἐν τοῖς οὖσίν⟩ ἐστὶ τὸ κατὰ συμβεβηκὸς ὄν· τὸ γὰρ μὴ ὄν, εἴ τινι συμβέβηκεν εἶναι, λεγόμενον [sc. ἐστὶ cf. p. 5,10] κατὰ συμβεβηκός τι ὄν), εἴη ἄν τις καὶ κίνησις ἀναίτιος. omnis quantum ego video huius capitis disputatio mirabili quadam nititur verborum Aristoteliorum interpretatione (Met. E 2, 1026^b13) ὥσπερ γὰρ ὀνόματι μόνον τὸ συμβεβηκός ἐστιν. διὸ Πλάτων τρόπον τινὰ οὐ κακῶς τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν et (v. 21, ib) φαίνεται γὰρ τὸ συμβεβηκὸς ἐγγύς τι τοῦ μὴ ὄντος. haec enim a logica ad physicam rationem transferens sumit scriptor idem esse secundum Aristotelem τὸ μὴ ὂν atque τὸ κατὰ συμβεβηκός, et, cum τὸ συμβεβηκὸς in rebus esse appareat, esse etiam τὸ μὴ ὄν. hoc autem (in parenthesi v. 13, quam ego constitui) demonstrato pergit (v. 15), *etiam actu esse* τὸ μὴ ὄν: ὅτι δέ ἐστί πως τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ἐνεργείᾳ κτλ. 15 οὗ ὄντος v. c. et m^2, οὗ παντος m^1 V: οὗ ὄντος Ca πως m^2, πω m^1 V: πως Ca 16 ὂν] ὂν a 17 ,ἐστιν ἀΐδια' sic m^1 V ἄλλα δὲ φθειρόμενα m^2, αλλα αειρομεν m^1, ἄλλα φθειρόμενα v. c. V: ἄλλα δὲ φθειρόμενα Ca 18 αἰτίαν Ca: αιτιαν v. c. αιτια m^1 V 19 τε VC: τι a 20 ἀτονία m^2, ἀτοπία m^1 V: ἀτονία Ca

εἶναι καὶ ὁμοίως ἔχειν ἀεί. εἰ γὰρ μὴ ἦν τι τοῦ μὴ ὄντος ἐν τοῖς οὖσιν, οὐδ' ἂν τοῦ εὖ ἐγίγνετο. εἰ δὲ παρὰ μὲν τὴν τοῦ μὴ ὄντος μῖξιν τά τε φθαρτὰ τοιαῦτ' ἐστι, καὶ πρὸς αὐτοῖς τὰ ψευδῆ, ἔστι δέ τινα ἐν τοῖς οὖσιν φθαρτά τε καὶ φθειρόμενα καὶ ψευδῆ, ἔστιν τι τοῦ μὴ ὄντος ἐν αὐτοῖς. καὶ ἀνάπαλιν δὲ ὑγιές ἐστι ληφθέν· εἰ μή ἐστι τὸ μὴ ὂν ἐν τοῖς οὖσιν, οὐκ ἔσται τινὰ τῶν ὄντων φθαρτά. ἔστιν ἄρα τὸ μὴ ὄν. εἰ δή ἐστιν τὸ μὴ ὂν ἐν τοῖς ἐν γενέσει παρεσπαρμένον καὶ μεμιγμένον, τῶν δὲ γιγνομένων αἰτιά τινα προηγεῖται οὐδ' αὐτὰ ὄντα ἀίδια, ἔστι καὶ ἐν τοῖς αἰτίοις τι τοῦ μὴ ὄντος καὶ τοῦτ' ἔστιν, ὃ λέγομεν κατὰ συμβεβηκὸς αἴτιον. τὸ γὰρ κατὰ συμβεβηκὸς ὂν ἐν τοῖς αὐτοῖς, ὅταν ὡς αἰτίοις ᾖ, κατὰ συμβεβηκὸς αἴτιον ἂν εἴη. ὅταν γὰρ ἐπί τινι αἰτίᾳ ἐπακολουθήσῃ τι, μὴ τοῦ τοῦτο γενέσθαι χάριν τῆς αἰτίας οὔσης, τότε τούτου τοῦ ἐπηκολουθηκότος κατὰ συμβεβηκὸς αἴτιον λέγεται τὸ προηγούμενον, τουτέστιν οὐκ αἴτιον ἄρα. ἐπακολουθῆσαν τούτῳ ἀναιτίως ἐγένετο· οὐ γὰρ δι' οἰκείαν αἰτίαν. τοῦτο δὲ ἐν μὲν τοῖς ἐκτὸς αἰτίοις γενόμενον τὴν τύχην ἐποίησεν καὶ τὸ αὐτόματον, ἐν δὲ τοῖς ἐν ἡμῖν τὸ ἐφ' ἡμῖν. αἰτία γὰρ ἐν ἡμῖν φύσις δοκεῖ καὶ ἔθος εἶναι τῆς προαιρέσεως, ἀλλά, καθόσον καὶ ἐν τούτοις ἐστὶ τὸ μὴ ὄν, κατὰ τοσοῦτον καὶ ἐν τῇ προαιρέσει. διὸ καὶ προαιρούμεθα ἔσθ' ὅτε ταῦτα, ὧν ἡ αἰτία οὐ προκαταβέβληται ἐν ἡμῖν δι' ἀσθένειαν καὶ ἀτονίαν τῆς θνητῆς φύσεως· ἀεὶ γὰρ ἂν ὁμοίως ἐπὶ τοῖς αὐτοῖς ἐκινούμεθα. ἀλλὰ ἡ τοῦ μὴ ὄντος φύσις, ὡς εἶπον, ἐν οἷς ἂν ᾖ ταῦτα, ἀφαιρεῖται τὴν ἀιδιότητα καὶ τὴν κατὰ τὰ αὐτὰ ἀεὶ ἐνέργειαν. ἃ οὖν ἀναιτίως καὶ μὴ προϋπαρχούσης αἰτίας προαιρούμεθα, ταῦτά ἐστιν τὰ λεγόμενα ἐφ' ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενά ἐστι δυνατὰ διὰ τὸ τὴν αἰτίαν μὴ προκαταβεβλῆσθαι, ἥτις προϋπάρχουσα πάντως ἂν τοῦ γενέσθαι τοῦτο τὴν ἀνάγκην παρεῖχεν. διὰ ταῦτα πολλάκις τινὲς καὶ πεφυκότες ὁμοίως καὶ ἐν τοῖς αὐτοῖς ἔθεσιν ἠγμένοι διαφέροντες ἀλλήλων γίγνονται παρὰ τὰς ἀναιτίους προαιρέσεις. ἔστιν δὲ τὸ μὴ ὂν ἐγκεκραμένον τοῖς οὖσιν οὔτε πολλοῖς, οὔτε, ἐν οἷς ἐστι, πολύ τι, ἀλλὰ καὶ ἐν ὀλίγοις τῶν ὄντων καὶ ὀλίγον· τῶν τε γὰρ ὄντων ἐν τούτοις, ἐν οἷς τὸ μὴ ἀίδιον (τοῦτο δέ ἐστι τὸ περὶ τὴν γῆν, καὶ ὁ τόπος οὗτος ἐλάχιστός ἐστιν ὡς πρὸς πάντα τὸν κόσμον· εἰ γὰρ ἡ γῆ σημείου λόγον ἐπέχει κατὰ τοὺς ἀστρολόγους πρὸς τὸν ἅπαντα οὐρανόν, περὶ ταύτην δὲ καὶ τὰ ἐν ταύτῃ τὸ μὴ ὄν, περὶ ὀλίγον πάνυ ἂν εἴη)· καὶ ἐν τούτοις δὲ ἀμυδρῶς πώς ἐστι καὶ οὐκέτι πολύ. ἐν γὰρ τοῖς ἐν γενέσει οὖσιν τὸ μὲν ἐπὶ πολύ ἐστιν, οὗ ἡ φύσις αἰτία, ὅσον δὲ παραλύε-

2 ἐγίγνετο] fortasse ἐφίετο 3—4 δέ τινα—ψευδῆ ἔστιν om. C 7 γενέσει V: γενέσι Ca 8 προηγεῖται οὐδ' αὐτὰ om. C αὐτὰ corr. ex. αὖ τὰ V 9 τι τοῦ m², του m¹ V: τι τοῦ Ca 10 ὂν ἐν—κατὰ συμβεβηκὸς om. C 11 αἰτία a ἐπακολουθήσει Ca μὴ τοῦ m², μὴ m¹ V: μὴ τοῦ Ca 12 ἐπηκολουθηκότος VC: ἐπηκολουθηκότως a 13 fortasse οὐκ αἴτιον. ⟨τὸ⟩ ἄρα ἐπακολουθῆσαν τούτῳ κτλ. 14 τούτω a 15 αὐτόματος a 17 εἶναι om. Ca 19 προκαταβέβληται] προκ in lit. V 20 ἐκινούμεθα] κι in lit. V 21 fortasse τοῦτο 22 κατ' αὐτὰ C 28 πολλῷ C 29 ὀλίγον m², οὐκ ὀλίγον m¹ V: ὀλίγον Ca τε] cf. Ind. 33 εἴη ἂν Ca

ται τῆς φύσεως καὶ τῆς δυνάμεως αὐτῆς πρὸς τὸ ἐξ ἀνάγκης τὰ κατ' αὐτὴν γίγνεσθαι γιγνόμενα (τοῦτό ἐστι τὸ ἐπ' ἔλαττον, ἐν ᾧ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν), περὶ τοῦτό ἐστι καὶ ἡ ἀπὸ τοῦ μὴ ὄντος ἀσθένεια. οὔτε ἄρα ἐν τοῖς ἐξ ἀνάγκης ἐστὶ τὸ μὴ ὄν (διὸ οὐδὲ τὸ ἐνδεχόμενον), οὐδὲ τὸ ἐν τοῖς ἐπὶ πολύ, καθόσον οὕτως ἔχει, ἀλλ' ἐν τοῖς ἀντικειμένοις αὐτοῖς. ταῦτα δέ ἐστι τὰ ἐπ' ἔλαττον· ἐν τούτοις δέ ἐστι καὶ τὰ τυχηρὰ καὶ αὐτόματα καὶ κυρίως λεγόμενα ἐφ' ἡμῖν. ὧν γὰρ προαιρέσεων ἡ φύσις ἢ ἀγωγαὶ καὶ ἔθη ἐστὶν αἴτια, αὗται οὕτως ἐφ' ἡμῖν λέγονται ὡς δι' ἡμῶν γιγνόμεναι, † ἀναίτιοι ἃς κατὰ τὸ μὴ ὂν αὗται δεῖ τὸ κυρίως λεγόμενον ἐφ' ἡμῖν οὕτως σώζουσιν, γιγνόμεναι διὰ φύσεως ἀσθένειαν καὶ ἔστι τὸ ἐφ' ἡμῖν τοῦτο, οὗ καὶ τὸ ἀντικείμενον ἐνεδέχετο προελέσθαι τὸν τοῦτο προῃρημένον. τὸ οὖν διὰ | τὴν τοῦ μὴ ὄντος ὕπαρξιν ἐξησθενηκὸς τὴν 159v συνέχειαν τῶν αἰτίων τῶν ἐν ἡμῖν τὸ ἐφ' ἡμῖν κατέχει, καὶ ταύτην τὴν χώραν ἔχει, αἴτιον γιγνόμενον ἐν οἷς τὸ ἀναγκαῖον ἐπιλέλοιπεν αἴτιον διὰ τὴν τοῦ μὴ ὄντος ἐν τῷ ὄντι μῖξίν τε καὶ συμπλοκήν.

Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ ἐφ' ἡμῖν.

Τῶν γιγνομένων τε καὶ συνισταμένων ὑπὸ τῆς θείας δυνάμεως τῆς ἐν τῷ γενητῷ σώματι ἐγγιγνομένης ἀπὸ τῆς πρὸς τὸ θεῖον γειτνιάσεως, ἣν καὶ φύσιν καλοῦμεν, τιμιώτατον ἄνθρωπός ἐστι· μόνον γὰρ κεκοινώνηκεν τοῦτο τῶν τῆδε τῆς τελειοτάτης τῶν ψυχικῶν δυνάμεων, αὕτη δέ ἐστι νοῦς, καὶ μόνον ψυχὴν λογικὴν ἔχει, καθ' ἣν βουλεύεσθαί τε καὶ ζητεῖν δύναται περὶ τῶν πρακτέων αὐτῷ, καὶ οὐ παραπλήσιόν ἐστι τοῖς ἄλλοις ζῴοις, ἃ τῷ μὴ κοινωνεῖν τῆς τοιᾶσδε δυνάμεως ἄλογα καλοῦμεν, ταῖς προσπιπτούσαις φαντασίαις ἑπόμενά τε καὶ συγκατατιθέμενα καὶ ἀνεξετάστως ἕκαστον, ὧν πράττει, ποιοῦντα. ὁ γὰρ ἄνθρωπος μόνον τῶν ἄλλων ζῴων μετὰ τὴν προσπεσοῦσαν αὐτῷ φαντασίαν περί τινος ὡς πρακτέου οἷός τε ζητεῖν περὶ αὐτοῦ καὶ βουλεύεσθαι, εἴτε χρὴ συγκατατίθεσθαι τῷ φανέντι, εἴτε καὶ μή. βουλευσάμενος δὲ καὶ κρίνας οὕτως ὁρμᾷ καὶ ἐπὶ τὸ πράττειν ἢ μὴ πράττειν ὁπότερον· καὶ ὁπότερον προέκρινεν ἐκ τῆς βουλῆς ἔρχεται. διὰ τοῦτο καὶ μόνον τῶν ζῴων ἁπάντων ἐφ' αὑτῷ τὸ πράττειν ἔχει, ὅτι καὶ τοῦ μὴ πράττειν τὸ αὐτὸ τοῦτο τὴν ἐξουσίαν ἔχει. ἐφ' ἑαυτῷ γὰρ ἡ αἵρεσις τῶν πρακτέων, εἴ γε βουλεύεσθαι καὶ κρίνειν

4—5 οὐδὲ τὸ ἐν τοῖς ἐπὶ πολύ] fortasse οὔτε ἐν οἷς τὸ ἐπὶ πολύ 9 αἱ εἀναίτιοι (sic) spatio duarum litterarum post αἱ relicto (ad hanc lacunam φ referenda est, quam litteram in mg. posuit v. c.) V: ἀναιτιος C: αι ἀναίτιοι (post αι fenestra) a δεὶ sic V: δε? C: δεῖ a 11 τοῦτο ante οὗ] οὕτω (in mg. τοῦτο) C. apertum est scriptorem inter ea distinguere, quae iussu naturae coacti agimus eaque, quae propter τοῦ μὴ ὄντος praesentiam libera voluntate ipsi comittimus. temptavi igitur γιγνόμεναι, ⟨αἳ δὲ γίγνονται⟩ ἀναιτίως (cf. v. 171,13 sq.) καὶ κατὰ τὸ μὴ ὄν, αὗται δὲ τὸ κτλ. τοῦτον C 13 τῶν post αἰτίων om. C 14 ἔχειν C 18 γεννητῷ Ca 27 οἷόν τε Ca 29 καὶ ὁπότερον m[1] in mg. V 30 ἔρχεται (a supra ἔ m[1]) V: ἄρχεται Ca: fortasse βουλῆς, ἔρχεται ⟨ἐπὶ τοῦτο⟩

ἐφ' ἑαυτῷ. ἔστι γὰρ τὸ ἐφ' αὑτῷ τὸ αὐτὸ ⟨τῷ⟩ ἀρχήν τε καὶ αἴτιον ποιητικὸν εἶναι τούτων, ἅ φαμεν εἶναι ἐφ' αὑτῷ. ἔστι δὲ τὸ ἐφ' ἡμῖν ἐν τούτοις, περὶ ἃ καὶ τὸ βουλεύεσθαι. βουλευόμεθα δὲ οὔτε περὶ τῶν γεγονότων οὔτε περὶ τῶν ὄντων ἤδη, ἀλλὰ περὶ τῶν μελλόντων καὶ ἐνδεχομένων γενέσθαι καὶ μὴ γενέσθαι, καὶ ὧν αἰτία διάνοια. ταῦτα γὰρ οἷά τε ὑφ' ἡμῶν πραχθῆναί τε καὶ μή. ἐν τούτοις ἄρα καὶ τὸ ἐφ' ἡμῖν. καὶ ἔστιν ἀρχὴ καὶ αἰτία τῶν δι' αὐτοῦ πραττομένων ὁ ἄνθρωπος, τοῦτο παρὰ τῆς φύσεως ἐξαίρετον ἔχων παρὰ τὰ ἄλλα πάντα τὰ γιγνόμενα πρὸς αὐτῆς, ὅτι καὶ μόνον λογικόν ἐστι φύσει καὶ βουλευτικόν. τὸ γὰρ λογικὸν ἐν τούτῳ τὸ εἶναι ἔχει. εἰ δὲ ἀρχὴ μὲν ἡ αἰτία τούτων, ὧν ἐστιν αἰτία, ὁ δὲ ἄνθρωπος ἀρχὴ τῶν πραττομένων ὑπ' αὐτοῦ, καὶ αἴτιος τούτων ἂν εἴη. εἴπερ οὖν ἀρχὴν ἀρχῆς ζητεῖν τε καὶ λέγειν ἄτοπον (οὐ γὰρ ἔτι ἁπλῶς ἀρχὴ τοῦτο, οὗ ἐστιν ἀρχή τις ἄλλη), οὐδ' ἂν τῆς προαιρέσεως καὶ τῆς βουλήσεώς τε καὶ τοιᾶσδε κρίσεως τοῦ τε ἀνθρώπου αἴτιον ἄλλο τι ποιητικὸν προκαταβεβλημένον εἴη (οὐ γὰρ ἂν ἔτι ἀρχὴ μένοι). ἀλλὰ τῶν μὲν πραττομένων ὑφ' αὑτοῦ αὐτὸς αἴτιος καὶ ἡ κρίσις τε καὶ προαίρεσις καὶ ἡ ποιητικὴ τούτων αἰτία, αὐτῶν δὲ ἐκείνων οὐκέτι ἄλλο τι. εἰ γὰρ ἀρχὴ μὲν ταῦτα, οὐκ ἔστιν δὲ τῆς κυρίως λεγομένης ἀρχῆς ἀρχή τε καὶ αἴτιον (τοῦ μὲν γὰρ εἶναι καὶ γενέσθαι τὸν ἄνθρωπόν ἐστί τις ἀρχή, τοῦ δὲ τάδε ἢ τάδε προαιρεῖσθαι οὔ, καὶ τοῦτο γὰρ εἶναι τουτέστιν αὐτῷ τὸ τὴν τοιάνδε ἔχειν δύναμιν ἐν αὑτῷ) †. τί γὰρ ἔτι καὶ χρήσιμον ἂν εἴη τὸ βουλεύεσθαι, εἰ προκαταβεβλημένας ἔχοιμεν τῶν πραττομένων τὰς αἰτίας; πῶς δ' ἂν ἔτι τῶν ἄλλων ζῴων τιμιώτερον ἄνθρωπος εἴη ἀχρήστου τοῦ βουλεύεσθαι φανέντος; ἄχρηστον δέ, εἰ μὴ ἐφ' ἡμῖν εἴη τὸ ἐκ τῆς βουλῆς προκρῖναί τι καὶ τὸ προκριθὲν ἑλέσθαι. τὸ μὲν γὰρ λέγειν αἰτίαν τὴν φαντασίαν τοῦ βουλεύεσθαι περὶ τοῦ φανέντος οὐδὲν ἄτοπον, τὸ δὲ καὶ τοῦ πράττειν τόδε τι μὴ τὴν βουλήν, ἀλλὰ τὴν φαντασίαν αἰτιᾶσθαι ἀναιρεῖν ἐστι τὴν βουλήν, ἥν τε ἔχομεν ὡς οὔσης τινὸς τὴν φαντασίαν αἰτίαν. ὥστ' εἰ τοῦ μὲν βουλεύεσθαι τὸ φανὲν αἴτιον, τῆς δὲ κρίσεως ἡ βουλή, τῆς δὲ ὁρμῆς ἡ κρίσις, ἡ δὲ ὁρμὴ τῶν πραττομένων, οὐδὲν ἐν τούτοις ἐστὶν ἀναίτιον. ὥσπερ δὲ τὸ βουλεύεσθαι τοῦ ἐφ' ἡμῖν εἶναί τι δεικτικόν, οὕτως καὶ τὸ μεταγινώσκειν ἐπὶ πραχθεῖσίν τισιν καὶ αὑτοὺς καὶ τὴν αὑτῶν αἵρεσιν αἰτιᾶσθαι· μαρτύριον γὰρ ἡ τοιαύτη αἰτία τοῦ καὶ τοῦ πρᾶξαι τότε τὸ πεπραγμένον ἡμᾶς τὴν αἰτίαν ἔχειν, τὸ δὲ ἄλλο τι ζητεῖν αἴτιον τοῦ τόδε τι ἐκ τῆς βουλῆς προκρῖναι ἀνελεῖν ἐστι τὴν βουλήν. τὸ γὰρ

1—2 γὰρ τὸ usque ad ἐφ' αὑτῷ ἔστι om. Ca τὸ αὐτὸ τῷ scripsi: τὸ αὐτὸ m[1], τῷ αὐτὸ m[2] V 5 γενέσθαι καὶ m[2], καὶ m[1] V: καὶ Ca 14 τοῦ τε ἀνθρώπου] cf. v. 16 et p. 174,9: ἡ βουλὴ καὶ ἡ προαίρεσις καὶ ἡ κρίσις καὶ ὁ ἄνθρωπος τῆς τοιαύτης πράξεως αἴτιος αἴτιον] scil. τῶν πραττομένων 20 αὐτῷ] fortasse αὐτὸ 21 post ἐν αὑτῷ apodosis excidisse videtur ἔχει C 27 ἀνερεῖν Ca 28 τὴν βουλήν, ἥν τε — αἰτίαν] i. e. τὴν βουλὴν τήν τε αἰτίαν, ἣν ὡς οὔσης τινὸς (scil. τῆς βουλῆς) τὴν φαντασίαν ἔχομεν *(hoc est tollere) consilium consiliique causam in phantasia positam* 31 τὸ V: τοῦ Ca 32 τὸ om. C τισιν Va: αὐτοῖς C 33 τοῦ πρᾶξαι scripsi: το̂͜͡ πρᾶξαι sic (ο̂͜͡ in lit.) V: τὸ πρᾶξαι Ca

εἶναι τῷ βουλεύεσθαι ἐν τῷ δύνασθαι κρίνειν τε καὶ αἱρεῖσθαι τὸ φανὲν ἐκ τῆς βουλῆς ἄριστον. ὁ δὴ τοῦτο τῆς βουλῆς ἀφαιρῶν ὄνομα βουλῆς καταλείπει μόνον. τὸ γὰρ λέγειν πάντων τῶν ἐκτὸς περιεστώτων ὁμοίων ἢ ταὐτὰ αἱρήσεσθαί τινα, ἢ καὶ πράξειν, ἢ δὴ ἀναιτίως ἔσεσθαί τι, τούτων δὲ τὸ μὲν ἀναιτίως τι γίγνεσθαι ἀδύνατον εἶναι, τὸ δὲ ταὐτὰ αἱρεῖσθαι τῶν αὐτῶν περιεστώτων δεικτικὸν εἶναι τοῦ τὰ ἐκτὸς αἴτια κύρια τῶν ὑφ' ἡμῶν πραττομένων εἶναι, οὐχ ὑγιές. οὔτε γὰρ ἀνάγκη τὰ αὐτὰ αἱρεῖσθαι τὸν ἄνθρωπον ἀεὶ τῶν αὐτῶν περιεστώτων ἁπάντων, οὔτε ἀναίτιος ἡ πρᾶξις, εἰ μὴ κατὰ τὰ αὐτὰ γίγνοιτο. ἡ γὰρ βουλὴ καὶ ἡ προαίρεσις καὶ ἡ κρίσις καὶ ὁ ἄνθρωπος τῆς τοιαύτης πράξεως αἴτιος. ἔχων ἐν αὐτῷ τὴν ἐξουσίαν τοῦ βουλεύεσθαι περὶ τῶν περιεστώτων, ἔχει καὶ τὸ δύνασθαι ἐκ τῶν αὐτῶν μὴ τὰ αὐτὰ αἱρεῖσθαι. καὶ τοῦτο οὐκ ἀλόγως τίθεται, οὐδέ ἐστιν αἴτημα τὸ λεγόμενον. εἰ μὲν γὰρ ἦν εἷς ὁ σκοπὸς αὐτῷ, πρὸς ὃν τὴν ἀναφορὰν τῆς κρίσεως ἐποιεῖτο, εὔλογον ἦν ἀπὸ τῶν αὐτῶν ἀεὶ ταὐτὸν αὐτὸν αἱρεῖσθαι τὴν αὐτήν γε σχέσιν ἔχοντα ἀεὶ καὶ φυλάττοντα πρὸς τὸν προκείμενον αὐτῷ σκοπόν, πρὸς ὃν ὁρῶν ἐποιεῖτο |160r τὴν κρίσιν αὐτῶν. ἐπεὶ δέ ἐστι πλείω τὰ τέλη, πρὸς ἃ βλέπων τὴν κρίσιν καὶ τὴν αἵρεσιν τῶν πρακτέων ποιεῖται (καὶ γὰρ τὸ ἡδὺ καὶ τὸ συμφέρον καὶ τὸ καλὸν ἔχει πρὸ ὀφθαλμῶν), ταῦτα δὲ ἀλλήλων διαφέρει, οὐ πάντα δὲ τὰ περιεστῶτα ὁμοίαν τὴν σχέσιν ἔχει πρὸς τούτων ἕκαστον, τὴν κρίσιν αὐτῶν καὶ τὴν ἐξ αὐτῶν αἵρεσιν ποιούμενος ποτὲ μὲν πρὸς τὸ ἡδύ, ποτὲ δὲ πρὸς τὸ καλόν, ἄλλοτε δὲ πρὸς τὸ συμφέρον καὶ οὐκ ἀεὶ ταὐτὰ πράξει οὐδὲ ἀεὶ ταὐτὰ αἱρήσεται τῶν αὐτῶν περιεστώτων ἁπάντων, ἀλλ' ἑκάστοτε ταῦτα τὰ πρὸς τὸν κριθέντα σκοπὸν μάλιστα συντείνειν δοκοῦντα. λύοιτο δ' ἂν διὰ τούτου καὶ ὁ τῇ φαντασίᾳ τὴν αἰτίαν ἀνατιθεὶς τῶν πραττομένων λόγος. διότι παρὰ τὸ φαινόμενον ἄμεινον αὐτῷ οὐδεὶς ἄν τι πράξαι ποτέ. πλείους γὰρ οἱ σκοποί, πρὸς οὓς ἡ τῆς φαντασίας κρίσις. ὅτι δὲ οὐδ' εἰ τὰ αὐτὰ αἱροῖτό τις τῶν αὐτῶν περιεστώτων, ἤδη τούτῳ καὶ τὸ κατηναγκασμένως αἱρεῖσθαι ταῦτα ἕπεται καὶ τὸ εἶναι τῆς κρίσεως τὰ ἐκτὸς αἴτια· ἐφ' ἑκάστης γὰρ αἱρέσεως ἔνεστιν αὐτὸν δεικνύναι πρὸ τοῦ πρᾶξαι καὶ προκρῖναί γέ τι καὶ τὸ ἀντικείμενον ἑλέσθαι δυνάμενον· οὐ γὰρ ὡς οὐ δυνάμενος καὶ τὰ ἀντικείμενα τούτοις ἑλέσθαι αἱρεῖται ταῦτα, ἀλλ' ὡς εὔλογα μᾶλλον αὐτῷ δοκοῦντα. ἔξεστιν γοῦν αὐτῷ αὐτὸ τὸ μὴ κατηναγκασμένην τὴν αἵρεσιν εἶναι βουληθέντι δεῖξαί ποτε καὶ πρὸς τοῦτο φιλονεικήσαντι καὶ τὸ μὴ δοκοῦν εὔλογον ἑλέσθαι. ἔτι, εἰ μὴ ἀεὶ τὴν ἕξιν ἐσμὲν ὅμοιοι, καθ' ἣν βουλευόμεθα, οὐκ ἀεὶ τὰ αὐτὰ αἱρησόμεθα ἐκ τῶν περιεστώτων ὄντων ὁμοίων. εἰ δὲ τῶν αὐτῶν περιεστώτων τοῖς ἀνομοίοις οὐ τῶν αὐτῶν ἡ αἵρεσις, δῆλον ὡς καὶ τῆς τῶν ὁμοίων αἱρέσεως αἴτια οὐ τὰ περιεστῶτα ὅμοια ὄντα, ἀλλ' ᾧ περιέστηκεν ὢν ὅμοιος αὐτῷ. ὅλως δέ,

1 εἶναι VC: εἰ a   κρίνειν Va: κινεῖν C   2 ἐκ τῆς βουλῆς Va: ἐν ταῖς βουλαῖς C   3 τῶν Va: τῶν κακῶν C   4 ἢ δὴ scripsi: ἤδη VCa   7 ἡμῶν VC: ἡμῖν a   12 ἀλόγως VC: ὀλίγως a   15 γε om. C   21 ποτὲ δὲ om. C   27 τῆς supra lin. V   28 οὐδ' εἰ Va: οὐδείς C   τὰ αὐτὰ VC: τὰ κατὰ a: τὰ κακὰ ex. Vict.   39 ὄντα Va: ἀεὶ ὄντα C   ὅμοιος] ante ος lit. unius lit. V   αὐτῷ scripsi: αὐτῷ VCa

ὅτι ἐστίν τι ἐφ' ἡμῖν, πειρᾶσθαι δεικνύναι διὰ λόγων οὕτως ἐναργὲς ὄν, οὐκ εἰδότων κρίνειν ἐστὶ τό τε γνώριμον καὶ τὸ μή· δῆλον γὰρ τοῦτο, ὡς ἔφαμεν, ἐκ πολλῶν, ἐκ τοῦ βουλεύεσθαι, ἐκ τοῦ μετανοεῖν, ἐκ τοῦ συμβουλεύεσθαι, ἐκ τοῦ καταγιγνώσκειν τινῶν, ἐκ τοῦ προτρέπειν, ἐκ τοῦ ἐπαινεῖν, ἐκ τοῦ ψέγειν, ἐκ τοῦ τιμᾶν, ἐκ τοῦ κολάζειν, ἐκ τοῦ διδάσκειν, ἐκ τοῦ κελεύειν, ἐκ τοῦ μαντεύεσθαι, ἐκ τοῦ εὔχεσθαι, ἐκ τοῦ ἐθίζειν, ἐκ τοῦ νομοθετεῖν. ὅλως γὰρ τούτοις καὶ τοῖς τοιούτοις ὁ πᾶς τῶν ἀνθρώπων βίος χρώμενος μαρτυρεῖ μηδὲν οὕτως ἴδιον εἶναι τοῦ ἀνθρώπου παρὰ τὰ ἄλλα ζῷα ὡς τὸ ἐφ' ἡμῖν. ὅτι δὲ καὶ τοῦ ποιοὶ γενέσθαι τὸ ἦθος αὐτοὶ τὴν ἀρχὴν ἔχομεν, δι' ἃ καὶ τὰς αἱρέσεις διαφόρους ποιούμεθα, δῆλον ἐκ τοῦ διὰ τῶν ἐθῶν ἡμᾶς ποιοὺς γίγνεσθαι, τῶν δὲ ἐθῶν τὰ πλεῖστα ἐφ' ἡμῖν εἶναι. καὶ γὰρ εἰ τὰ πρῶτά τις μοχθηρῶς ἐθισθείη παῖς ὢν ἔτι, ἀλλὰ φύσει γε πάντες ἄνθρωποι διορατικοὶ τῶν καλῶν εἰσιν τελειούμενοι. οὐδεὶς γοῦν κατὰ φύσιν ἔχων ἀνεννόητός ἐστιν, τίνα μέν ἐστι δίκαια, τίνα δὲ ἄδικα, καὶ τίνα μὲν καλά, τίνα δὲ αἰσχρά. ἀλλ' οὐδ' ὅτι ἐκ τοῦ ἐθίζεσθαί πως ἢ τῶν καλῶν ἢ τῶν αἰσχρῶν γίγνονται προαιρετικοί τε καὶ πρακτικοί, οὐδὲ τοῦτο αὐτοὺς λανθάνει. οἱ γοῦν ἀσκῆσαί τι καὶ μαθεῖν βουλόμενοι ἐπὶ τὸ διὰ τῶν ἐθῶν αὑτοὺς προάγειν τῷ προκειμένῳ τρέπονται, ὡς οὐκ ἀγνοοῦντες τὴν τῶν ἐθῶν ἰσχὺν πρὸς τὸ τῶν προκειμένων τυγχάνειν. τίνι γὰρ ἄδηλον, ὅτι διὰ τοῦ τὰ σωφρονικὰ ποιεῖν περιγίνεται τὸ σωφρονεῖν; εἰ δὲ μήτε τὰ καλὰ τοῖς κατὰ φύσιν ἔχουσιν ἔτι καὶ μηδέπω διὰ κακίαν πεπηρωμένοις † οὐκ ἀγνοεῖται ᾗ γε ὁδὸς ἡ ἐφ' αὐτὰ ἐφ' ἡμῖν τε καὶ γνώριμος, ἐφ' ἡμῖν ἂν εἴη καὶ τὸ ποιοῖς γίνεσθαι τὰ ἤθη καὶ τὰς ἕξεις κτήσασθαι, ἀφ' ὧν ἢ τάδε ⟨ἢ τάδε⟩ αἱρησόμεθά τε καὶ πράξομεν. αἱ δὲ εὐφυΐαι τε πρός τινα καὶ ἀφυΐαι ἔστ' ἂν ἐν τῇ οἰκείᾳ φύσει τηρῶσιν τὸν ἄνθρωπον, πρὸς εὐκολωτέραν ἀνάληψιν τούτων συντελοῦσιν μόνον ἢ χαλεπωτέραν, πρὸς ἃ πεφύκασιν εὖ τε καὶ κακῶς. πᾶσιν γὰρ ἀνθρώποις τοῖς κατὰ φύσιν τε ἔχουσιν καὶ ἀστρόφοις ἐπὶ τὴν κρίσιν τε καὶ τὴν αἵρεσιν δυνατὸν ἀρετὴν κτήσασθαι καὶ δυνατὸν δι' αὑτοῦ. διὸ πολλῶν καλῶς πρὸς ἀρετὴν πεφυκότων φαυλότερόν τινες πεφυκότες ἀμείνους γίγνονται πολλάκις τὴν ἔνδειαν τῆς φύσεως ἰασάμενοι τῇ παρ' αὑτῶν ἐξουσίᾳ.

---

7 ὅλως γὰρ τούτοις scripsi: ὅλως[οι] (m¹) τούτοις γὰρ V: ὅλοις γὰρ τούτοις Ca 9 ὥς τι Ca 12 ἐσθίει Ca 14 ἀ͜νεννόητος (ν post α in mg. m¹) V: ἀνόητος C: ἀνενόητος a τὰ δίκαια Ca 15 τὰ ἄδικα Ca 16 πραιρετοικοί a 18 αὑτοὺς scripsi: αὐτοὺς VCa 22—23 ᾗ γε ὁδὸς—γνώριμος] *„si quidem via ad ipsa in nostro arbitrio est et nota"* Caninius. ante οὐκ ἀγνοεῖται plura exciderunt. sensum fortasse haec assequuntur: πεπηρωμένοις ⟨ἀγνοεῖται μήτε τὰ αἰσχρὰ (ἀμφότερα γὰρ) οὐκ ἀγνοεῖται, εἴ γε ὁδὸς ἡ ἐπ' αὐτὰ ἐφ' ἡμῖν τε καὶ γνώριμος⟩ 22 ὁδὸς ἐστὶν ἡ C 23 ποιοῖ a 24 ἢ τάδε addidi 25 εὐφυΐαι] αι in lit. V τε πρός τινα καὶ (α supra lin. καὶ supra lin. et in lit.) V: τε καὶ πρός τινας C: τε πρός τινας a ἀφυΐαι] εὐφυΐαι a 26 τηρῶσιν] fortasse μὴ πηρῶσιν cf. τοῖς κατὰ φύσιν ἔχουσιν ἔτι καὶ μηδέπω διὰ κακίαν πεπηρωμένοις 28 ἀστροφόροις Ca 29 αὑτοῦ scripsi: αὐτοῦ VCa

Περὶ τύχης.

Ἡ τύχη καὶ τὸ αὐτόματον, ὅτι μέν ἐστιν ἐν τοῖς οὖσιν, ἱκανὴ περὶ αὐτῶν ἡ κοινὴ τῶν ἀνθρώπων πρόληψις μαρτυροῦσα, τί δέ ποτέ ἐστιν ἑκάτερον αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων, οὐκέθ' οἱ πολλοὶ τῆς τῶν δεδογμένων διδασκαλίας κύριοι. οὔτε γὰρ ἑαυτοῖς οὔτε ἀλλήλοις συμφωνοῦσιν περὶ τῶνδε, συμφωνοῦντες ἐν τῇ περὶ τοῦ εἶναι ἑκάτερον αὐτῶν δόξῃ. ἄξιον τοίνυν ἐπιστῆσαι, τίς ποθ' ἡ φύσις αὐτῶν καὶ περὶ τίνα τῶν ὄντων γίγνεται. δοκεῖ τοίνυν ἐν τοῖς [αὐτοῖς] αἰτίοις καὶ ταῦτα καταριθμεῖσθαι· καὶ γὰρ ἡ τύχη αἰτία δοκεῖ τῶν γιγνομένων ἀπὸ τύχης, καὶ τὸ αὐτόματον τῶν τοιούτων. ὄντων τοίνυν αἰτίων τεττάρων, περὶ ὧν πολλάκις ἡμῖν λέγειν ἔθος, τοῦ τε ὑλικοῦ καὶ τοῦ κατὰ τὸ εἶδος, καὶ τοῦ ποιητικοῦ, καὶ τοῦ τέλους, ἐν τούτοις ἀνάγκη κἀκείνων ἑκάτερον εἶναι, εἴ γέ ἐστιν αἴτια. ὡς μὲν οὖν ὕλην τὴν τύχην καὶ τὸ αὐτόματον οὐδεὶς ἂν αἰτιάσαιτο τῶν γιγνομένων δι' αὐτά. οὐ γὰρ ὑποκείμενόν τι ἡ τύχη, σχηματιζόμενόν τε καὶ εἰδοποιούμενον ὑπό τινος ὡς ὕλη. ὑπομένουσα γὰρ αὕτη δέχεται τὸ εἶδος καὶ ἔστιν αἰτία τῶν γιγνομένων ὡς ἐνυπάρχουσα τοῖς ἐξ αὐτῆς γεγονόσιν, ἡ δὲ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς | δι' αὐτὰ γιγνομένοις οὐκ ἔστιν ἐν- 160v
υπάρχον· τὸ γὰρ αὐτὸ τοῦτο γιγνόμενον κατὰ τύχην ἔχει τὴν τύχην ἐν αὑτῷ· διὰ ταῦτα δὲ οὐδ' ὡς εἶδός τε καὶ τὸ τί ἦν εἶναι αἴτια ταῦτα τοῖς δι' αὐτά· τὸ μὲν γὰρ εἶδος ἐνυπάρχει τῷ οὗ αἴτιόν ἐστι, γιγνόμενον ἐν τῇ ὕλῃ καὶ μένον, τούτων δὲ οὐδέτερον. ἀλλὰ μὴν οὐδ' ὡς τέλος καὶ τὸ οὗ ἕνεκεν αἴτιον ἡ τύχη τε καὶ τὸ αὐτόματον· οὐδενὶ γὰρ τῶν γιγνομένων ἡ τύχη σκοπός· ἑκάστῳ μὲν γὰρ τῶν γιγνομένων ἕνεκέν τινος ὡρισμένος ὁ σκοπός, ἀόριστον δὲ τούτων ἑκάτερον. ἀλλὰ μὴν εἰ ἐν μηδενὶ τῶν τριῶν αἰτίων τούτων ἐστὶν ἡ τύχη, ἢ οὐδενός ἐστιν αἰτία, ἢ εἴη ἂν ἐν τοῖς ποιητικοῖς. καὶ μὴν τὰ ποιητικὰ αἴτιά τινος ἕνεκεν ποιεῖ τὰ γιγνόμενα πρὸς αὐτῶν, καὶ ἔστιν αὐτοῖς ὡρισμένον τι τέλος προκείμενον, ὥσπερ ἥ τε φύσις καὶ ἡ τέχνη καὶ ἡ προαίρεσις, οὐδενὶ δὲ τούτων ταὐτὸν οὔτε τὸ αὐτόματον οὔτε ἡ τύχη. ἄλλο γάρ τι παρὰ ταῦτα τούτων ἑκάτερον εἶναι δοκεῖ, καὶ τὰ μέν ἐστιν ὡρισμένα, καὶ ἐφ' ὡρισμένον ἄγει τι, ἄστατον δὲ καὶ ἀόρι-

1 edidit Ioan. Conr. Orelli in libro „Alexandri Aphr. Ammonii etc. de fato quae supersunt" Turici 1824 p. 124 2 καὶ Va: δὲ καὶ HC ἱκανὴ περὶ αὐτῶν κτλ.] cf. 179,25 et Alex. de fato 163r30 τὸ μὲν οὖν εἶναί τι τὴν εἱμαρμένην .. ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησι πρόληψις κτλ. 4 τῆς om. C τῶν δεδογμένων HCa: τῶνδε δε^{o}ιγμενον V 6 αὐτῶν om. C Orelli 7 τίς ποιῇ a 8 αἰτίοις Ca: αὐτοῖς αἰτίοις VH καὶ ταῦτα VHa: καὶ καταυτα C 10 τεττάρων] τε in lit. V 12 κἀκείνων VC: καὶ τούτων H: κἀ̣είνων a 13 αὐτόματον] ante ν una litera erasa V καὶ τὸ αὐτόματον om. Orelli 15 αὕτη scripsi: αὐτὴ VHCa 16 αἰτιατῶν a ἐξ αὐτῆς VH: ἐξ αὐτῶν C: ἐξ αὐτοῖς a 17 fortasse ἐνυπάρχοντα· οὐ γὰρ αὐτὸ τὸ γιγνόμενον 18 οὐκ ἔχει Orelli 19 αὐτῷ VHCa 20 δι' αὐτό^{a} V: αὐτά HCa 22 τε om. Ca 24 ὁ σκοπὸς ὡρισμένος Ca 26 ποιητιτὰ a ποιεῖν C 27 φύσει a 28 δὲ VHCa: τε Orelli 30 ἄστατον VH: ἄτακτον Ca

στον τὸ τῆς τύχης. εἰ δὴ δοκεῖ μὲν αἰτιά τινων εἶναι, μηδενὶ δέ ἐστι τῶν αἰτίων ταὐτά, κινδυνεύει ἢ μηδ' ὅλως εἶναι, ἢ ἄλλος τις αἰτίων τρόπος ζητητέος. μηδὲ ὅλως μὲν οὖν λέγειν εἶναι αὐτὰ ἄτοπον, πράγματα τοσαύτην ἰσχὺν ἐν τοῖς οὖσιν ἔχειν πεπιστευμένα, ἄλλος δέ τίς ποτ' ἂν εἴη παρὰ τοὺς προειρημένους τρόπους αἰτίων; μήποτ' οὖν, ἐπεὶ τῶν αἰτίων τὰ μέν ἐστι καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκός (ἔστι γάρ τινα καὶ κατὰ συμβεβηκὸς αἴτια· τὸ γὰρ τῷ καθ' αὑτὸ καὶ κυρίως αἰτίῳ τινὸς συμβεβηκὸς κατὰ συμβεβηκὸς αἴτιον, καὶ αὐτὸ τοῦτο προηγουμένως ἦν αἴτιον, ᾧ τοῦτο συμβεβήκει. ὁ μὲν γὰρ ἰατρὸς αἴτιος καθ' αὑτὸ τῆς ὑγιείας, ὁ δὲ λευκὸς κατὰ συμβεβηκός, εἰ εἴη τῷ ἰατρῷ τοῦτο συμβεβηκός· τὸ γὰρ συμβεβηκὸς τῷ ποιοῦντι ποιητικὸν αἴτιον κατὰ συμβεβηκός· ἔτι κατὰ συμβεβηκὸς ὁ ἰατρὸς ποιητικὸν αἴτιον, ἰσχνότητος φέρε εἰπεῖν, ἂν τῷ ὑγιαζομένῳ τοῦτο ᾖ συμβεβηκός), ἐπεὶ τοίνυν ἐστὶ τῶν αἰτίων τὰ μὲν καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκός, καὶ ἐν τοῖς καθ' αὑτὰ αἰτίοις οὐχ οἷόν τε τιθέναι τὴν τύχην, ἐν τοῖς κατὰ συμβεβηκὸς ἂν εἴη. τὰ μὲν γὰρ ὡρισμένα οὐ κατὰ συμβεβηκὸς ἂν εἴη, τὰ δὲ κατὰ συμβεβηκὸς ἀόριστά τε καὶ ἄστατα, ὁποῖον καὶ τὸ τῆς τύχης εἶναι φιλεῖ· ἀόριστα γὰρ τὰ τῷ καθ' αὑτὸ καὶ κυρίως αἰτίῳ συμβεβηκέναι δυνάμενα, ἃ πάντα καὶ αὐτὰ κατὰ συμβεβηκὸς αἴτια γίγνεται. ἀλλ' εἰ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, δεῖ τινι τῶν κυρίως αἰτίων λεγομένων αὐτὴν συμβεβηκέναι. ἐπεὶ οὖν δοκεῖ ποιητικὸν εἶναί τινος ἡ τύχη (τὰ γὰρ κατὰ τύχην ἀπὸ τύχης φαμὲν γίγνεσθαί τε καὶ γεγονέναι), τῶν ποιητικῶν αἰτίων τινὶ ταῦτα ὑπάρχειν ἀνάγκη, εἴ γε φυλάξει τὴν χώραν τῶν αἰτίων. ἀλλὰ μὴν τὰ κυρίως αἴτια ποιητικὰ φύσις τε καὶ τέχνη καὶ προαίρεσις. πάντα μὲν γὰρ τὰ κυρίως ὡρισμένως ποιητικὰ ἕνεκά τινος τέλους τὰ πρὸς αὐτῶν γιγνόμενα ποιεῖ, ὁρῶμεν δὲ πάντα τά τινος ἕνεκεν γιγνόμενα ὑπὸ τούτων γιγνόμενά τινος· τούτων ἄρα τινὶ συμβέβηκεν ἡ τύχη. ἐπεὶ δὲ δοκεῖ ἐν τοῖς προαιρετικοῖς εἶναι τὰ κατὰ τύχην, (ταῦτα γὰρ ἀπὸ τύχης γίγνεσθαί φαμεν, ὧν χάριν κἂν προελοίμεθά τι πρᾶξαι πρὸς τὸ τυχεῖν αὐτῶν, ἐφ' ὧν τὴν εὐτυχίαν λέγομεν, ἢ πρὸς τὸ μὴ τυχεῖν, ὧν τὴν δυστυχίαν κατηγοροῦμεν), εἴη ἂν ἡ τύχη τοῖς κατὰ προαίρεσιν γιγνομένοις ἑπόμενον, καὶ ἐν τούτοις αἰτία κατὰ συμβεβηκός. ὅταν γὰρ πράττουσίν τι κατὰ προαίρεσιν ἡμῖν ἀπαντήσῃ μὴ τὸ προκείμενον τέλος κατὰ τὴν προαίρεσιν, ἄλλο δέ τι κατὰ συμβεβηκὸς γένηται, ἡ κατὰ προαίρεσιν γενομένη πρᾶξις αἰτία τοῦ ἀπαντήσαντός μέν, οὐ προκειμένου δέ. λέγομεν δὲ τοῦτ' ἀπὸ τύχης γεγονέναι· τῷ [τε] γὰρ

---

2 ταῦτα] ταὐ supra lin. V   5 οὖν ἐπεὶ V: οὖν ἐπὶ C: οὖν ἐπὶ (in mg. ἐπεὶ) H: ἦν ἐπὶ a   7 αὐτω καὶ κυρίῳ C   8—10 κατὰ συμβεβηκὸς—λευκὸς κατὰ συμβεβηκὸς om. C   8 τοῦτο H: τούτου Va   9 αἴτι^ο H: αἴτιος Orelli   10 ὑγείας a   τούτῳ C   11 ἔτι γὰρ Orelli   12 αἴτιον om. Orelli   15 τὴν om. C   18 ἅπαντα Orelli   19 ἀλλ' ἃ κατὰ C   21 φασὶ Orelli   24 ὡρισμένα H   26 πάντα τὰ HCa: πάντα V   28 τύχὴν V   φασιν Orelli   30 τυχεῖν VHa: τυχεῖν αὐτῶν ἐφ' C: πρᾶξαι Orelli   31 ἡ om. a   32 ἀπαντήσει C   35 προκεμένου (supra ει ĩ m¹) V   δὲλεγομεν V   λέγομεν τοῦτ Ca   γεγονέναι VHa: εἶναι C   τε om. C

σκάπτοντι κατὰ προαίρεσιν τοῦ φυτεῦσαι χάριν ἂν ἀπαντήσῃ ἐκ τοῦ σκάπτειν θησαυροῦ τινος εὕρεσις, ἀπὸ τύχης φαμὲν τὴν εὕρεσιν τοῦ θησαυροῦ γεγονέναι· οὐκ ἀπὸ τύχης δέ, εἰ τούτου χάριν ἔσκαπτεν. τότε μὲν γὰρ ἂν ἦν οὐ κατὰ συμβεβηκὸς τὸ σκάπτειν τῆς εὑρέσεως αἴτιον, ὥσπερ οὐδὲ τὸ φυτεῦσαι, νῦν δὲ κατὰ συμβεβηκός, οὐ γὰρ τούτου χάριν ἐγίνετο. ἡ γοῦν τύχη ἐστὶ τὸ κατὰ προαίρεσιν γινόμενον, ὅταν αἴτιόν τινος γένηται κατὰ συμβεβηκός, ἀόριστον δὲ ἀεὶ αἴτιον οὕτως τό τινος χάριν γιγνόμενον γίγνοιτο, καὶ εἴη ἂν ἡ τύχη αἰτία κατὰ συμβεβηκός· οὐχ ἁπλῶς δέ, ἀλλ' ἐν τοῖς ποιητικοῖς τοῖς ἕνεκά του γιγνομένοις, καὶ τούτων ἐν τοῖς κατὰ προαίρεσιν. οὐ γὰρ λέγομεν τὸ ἀπὸ τύχης ἐν τοῖς κατὰ φύσιν γιγνομένοις, ὅταν ἄλλο τι παρὰ τὸν τῆς φύσεως σκοπὸν γένηται, ὥσπερ τὰ τέρατα· καὶ γὰρ τούτων ἐστὶ μὲν τὸ φύσει γιγνόμενον κατὰ συμβεβηκὸς αἴτιον· οὐ μὴν τύχης τοῦτο. ἀλλ' οὐδ' ὧν τὰ κατὰ τέχνην γιγνόμενα κατὰ συμβεβηκὸς αἴτια γίνεται, ὡς ἐπὶ τῇ τῶν διαστρόφων, οὐδὲ ἐπὶ τούτων ἡ τύχη τὴν αἰτίαν ἔχει. ἐν τοῖς κατὰ προαίρεσιν ἄρα, ὡς ἔφαμεν. ὅταν μὲν οὖν τὸ γιγνόμενον κατὰ προαίρεσιν δεξιοῦ τινος κατὰ συμβεβηκὸς αἴτιον γένηται, ὡς τὸ σκάπτειν τῆς εὑρέσεως τοῦ θησαυροῦ, εὐτυχίαν τοῦτο λέγομεν, ὅταν δὲ φαύλου, δυστυχίαν· οἷον εἰ σκάπτων ὑπό τινος ἑρπετοῦ δηχθείη τις ἐν αὐτῷ τῷ σκάπτειν εὑρεθέντος, οὐκ ὄντος ἐπιτηδείου τὴν ἄλλως τοῦ τόπου πρὸς ἑρπετὰ τοιαῦτα· εἰ γὰρ πλήθους ὄντος ἑρπετῶν ὅδε ὤρυττεν ἀπερισκέπτως, οὐ τύχη τούτῳ τῆς πληγῆς αἰτία, ἀλλ' ἀβουλία τις οἰκεία καὶ ἀπρονοησία. καὶ τὸ μὲν τῆς τύχης τοιοῦτόν τε καὶ οὕτως αἴτιον, τὸ δὲ αὐτόματον εἴωθεν μὲν καὶ ἐπὶ τῶν ἀπὸ τύχης γιγνομένων κατηγορεῖσθαι, οὐ μὴν ἀλλὰ μᾶλλον ἐπὶ τῶν φύσει. ὅταν γὰρ τῷ γινομένῳ φύσει ἄλλο τι ἐπακολουθήσῃ, ἀλλὰ μὴ τὸ οὗ χάριν ἐγίνετο, αὐτομάτως τοῦτο λέγομεν γεγονέναι, ὥσπερ τὰ τέρατα. ὅταν γὰρ μὴ οὗ χάριν τέλους γίγνεται τὸ γιγνό|μενον φύσει γένηται, μάτην καὶ αὐτὸ λέγομεν γεγονέναι, καὶ 161r
τὸ ἐπακολουθῆσαν αὐτῷ, ὅτι κατὰ συμβεβηκὸς αἴτιον τὸ μάτην γεγονός ἐστιν, αὐτομάτως φαμὲν γεγονέναι. καὶ ἁπλῶς πᾶν τὸ τῷ κατὰ φύσιν ἐπακολουθῆσαν γιγνομένῳ, οὐκ ὂν οὗ χάριν ἐγίγνετο, αὐτομάτως λέγεται

3 εἰ VHa: ἡ C 4 ἂν om. Ca 7 ἀόριστον scripsi: ἀορίστω (ο supra ω) V: ἀορίστῳ HC: ἀορίστω a: ἀορίστως Bloch. cf. τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον Ar. ausc. phys. 2,5 196b28 9—10 καὶ τούτων—γιγνομένοις om. C 12 τὸ] fortasse τι 14 γένηται Orelli . διαστρόφων] ante φ paululum erasum V „ἡ (τέχνη) τῶν διαστρόφων scil. ἀνθρώπων significare videtur artes eorum, quorum membra distorta sunt, v. c. funambulorum, saltatorum et aliorum id genus praestigiatorum“ Orelli. sed neque διάστροφος saltatorem significat neque quid sibi velint in hac argumentatione funambuli assequor. ad ὧν suppleas τεράτων; aliud enim prodigiorum genus auctor tangere videtur, pumilos dico et distortos (διάστροφοι). notum enim erat illo tempore, non solum natura, sed etiam arte procreari haec monstra; testis est de subl. liber 44,5. cf. Jahn Arch. Beitr. p. 430 Casaub. ad Suet. Aug. 83. Marquardt VII, 1, 152,4. sed τῇ post ἐπὶ delendum videtur 18 δυστυχίαν] χι in lit. supra lin. V 19 τὴν ἄλλως V: τηνάλλως Ha 21 τούτων Ca 23 εἰώθαμεν καὶ τῶν (in mg. suppl. ἐπὶ) H 24 γενομένῳ Orelli 25 τὸ οὗ Ca: τοῦ οὗ VH: οὗ Orelli 26 γεγονέναι καὶ τὸ ἐπακολουθῆσαν ὥσπερ C γίγνεται Orelli: γίγνηται VHCa 29 ἔσται H 30 γιγνομένῳ ἐπακολουθῆσαν H

γεγονέναι. οὕτως ὁ κατενεχθεὶς λίθος καὶ οὕτως πως πεσών, ὡς ἐπ' αὐτοῦ καθέζεσθαι δύνασθαι, αὐτομάτως τήνδε τὴν θέσιν ἔσχεν ἐπακολουθήσασαν τῇ φυσικῇ τοῦ λίθου διὰ τὴν βαρύτητα καταφορᾷ. ὁμοίως καὶ ὁ μὲν διὰ τὴν τροφὴν ἐλθὼν ἐπὶ τόνδε τὸν τόπον ἵππος, σωθεὶς δὲ διὰ τοῦτο ἀπὸ τῶν πολεμίων· καὶ γὰρ τούτῳ ἡ φυσικὴ τῆς τροφῆς ὄρεξις τῆς σωτηρίας αἰτία, οὐκ ἐλθόντι τοῦ σωθῆναι χάριν. τὸ δὲ λέγειν τὴν τύχην αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ οὐκ ἔστι φύσιν τινὰ τύχης τιθεμένων, ἀλλ' ἐν τῇ τῶν ἀνθρώπων πρὸς τὰ αἴτια ποιᾷ σχέσει τὴν τύχην εἶναι λεγόντων, ἔσται τε οὕτως τὸ αὐτὸ τῷ μὲν ἀπὸ τύχης, τῷ δ' οὔ, ὅταν ὁ μὲν αὐτοῦ γινώσκῃ τὴν αἰτίαν, ὁ δὲ ἀγνοῇ. προσέτι τε ἐπεὶ πλείω τοῦ αὐτοῦ αἴτια, εἴ γε τετραχῶς, ὧν τὰ μὲν ἐνδέχεταί τινας εἰδέναι, τὰ δὲ μή, τὸ αὐτό τι ἅμα τῷ αὐτῷ καὶ ἀπὸ τύχης καὶ οὐχὶ ἀπὸ τύχης ἔσται, ἂν τὰ μέν τινα τῶν αἰτίων αὐτοῦ γνωρίζῃ, τὰ δὲ ἀγνοῇ· οὐ γὰρ διώρισται παρὰ τὴν ποτέρου τῶν αἰτίων ἄγνοιαν ἡ τύχη. εἰ γὰρ λέγοιεν μὴ τήν τισιν ἀνθρώποις αἰτίαν ἄδηλον εἶναι τὴν τύχην, ἀλλὰ τὴν καθόλου πᾶσιν ἀνθρώποις, οὐδ' ὅλως εἶναί τι συγχωροῖεν ἂν τὴν τύχην, διδόντες τε εἶναι μαντικὴν καὶ τῶν ἀδήλων δοκούντων εἶναι τοῖς ἄλλοις γνωστικὴν αὐτὴν τιθέμενοι. εἰ γὰρ τοῦτο διορίζειν βουλόμενοι λέγοιεν τὴν ἄδηλον τοῖς ἀνεπιστήμοσιν αἰτίαν τύχην, ἔσται κατὰ τοῦτον τὸν λόγον καὶ τὰ κατὰ τὰς ἐπιστήμας τε καὶ τέχνας γινόμενα τοῖς ἀνεπιστήμοσίν τε καὶ ἀτέχνοις ἀπὸ τύχης. οὔτε γὰρ ὁ μὴ τέκτων οἶδεν τῶν τεκτονικῶν τὴν αἰτίαν, οὐθ' ὁ μὴ μουσικὸς τῶν μουσικῶν, οὔτε ἄλλος τις ἄτεχνος τὰ τῆς τέχνης· ἐν γὰρ τῷ τὰς αἰτίας εἰδέναι τῶν γιγνομένων κατὰ τέχνην ἡ τέχνη.

Περὶ εἱμαρμένης.

Περὶ τῆς εἱμαρμένης ἄξιον ἐπισκέψασθαι, τί τέ ἐστι καὶ ἐν τίνι τῶν ὄντων. τὸ μὲν γὰρ εἶναί τι τὴν εἱμαρμένην, ἱκανῶς ἡ κοινὴ τῶν ἀνθρώπων συνίστησιν πρόληψις (ἡ γὰρ φύσις οὐ κενὸν οὐδὲ ἄστοχον· ὁ γὰρ Ἀναξαγόρας οὐκ ἀξιόπιστος ἀντιμαρτυρῶν τῇ κοινῇ δόξῃ· λέγει γὰρ οὗτός γε, μηδὲν εἶναι τὴν εἱμαρμένην ὅλως, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα), τί δέ πότ' ἐστιν καὶ ἐν τίσιν, οὐκέθ' ἡ τῶν ἀνθρώπων πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι. οὔτε γὰρ ἀλλήλοις οὔτε αὑτοῖς περὶ τοῦδε συμφωνεῖν δύνανται. πρὸς γὰρ τοὺς καιροὺς καὶ τὰς περιστάσεις καὶ τὴν περὶ τῆς εἱμαρμένης

1 ὁ HC: οὐ Va 2 κατέζεσθαι a τήνδε τὴν θέσιν Va: τὴν θέσιν C: τήνδε τὴν φύσεως θέσιν H: τήνδε τῆς φύσεως θέσιν Orelli 3 καὶ ὁ μὲν VHCa: δὲ καὶ ὁ Orelli 4 ὕππον C 5 τούτῳ om. Ca 8 τῶν ἀνθρώπων om. Orelli ποιὰ a 10 ἔπει πλείω VH: ἐπὶ πλείου C: ἐπὶ πλείω a 11 τινας om. Orelli 12 τῷ αὐτό τι ἅμα a ἔσται Orelli: εἶναι VHCa 16 συγχωροῦν ἂν τό τυχεν C 19 τὰς om. C 21 τεκτωνικῶν V 24 edidit Orelli ib. p. 134 sq.

25 τίσι Orelli 26 εἶναι τε Orelli 27 ἄστατον (οχ superscr.) m[1] V: ἄστοχον H: ἄστατον C: ἄστρατον a 29 γε H: τε VCa τὸ ὄνομα Ca 31 αὑτοῖς scripsi: αὐτοῖς VHCa

μεταβάλλουσι δόξαν. ποτὲ μὲν γὰρ ἀπαράβατόν τι καὶ ἀναπόδραστον τὴν εἱμαρμένην τίθενται, καὶ πάντα γε τά τε ὄντα καὶ τὰ γιγνόμενα ὑποτάσσουσιν αὐτῇ, ὁτὲ δὲ ἔστιν αὐτῶν καὶ τὸ παρὰ τὴν εἱμαρμένην ἀκοῦσαι πολλάκις λεγόντων, καὶ τὸ παρὰ μοῖραν. καὶ ὡς ἐπὶ τὸ πλεῖστον οἷς μὲν μήτε τὰ τῆς τύχης εὖ χωρεῖ, μήτε τι μᾶλλον τὰ τῆς γνώμης τε καὶ τῆς οἰκείας προαιρέσεως ἔρρωται, ἐπὶ τὴν εἱμαρμένην τε ὡς χρησφύγετόν τι καταφεύγουσιν, τὴν αἰτίαν τῶν μὴ δεόντως πεπραγμένων ἢ πραττομένων ἑαυτοῖς ἀφ' αὑτῶν ἐπ' ἐκείνην μεταφέροντες, καὶ πάντα γέ φασιν οὗτοι τότε γίνεσθαι καθ' εἱμαρμένην, μεταπεσούσης δὲ τῆς τύχης αὐτοῖς ἐπὶ τὸ βέλτιον, οὐκέτι ἐπὶ τῆς αὐτῆς δόξης μένουσιν· οἷς δὲ τὰ τῆς οἰκείας γνώμης δεξιὰ καὶ ταύτῃ συνῳδὰ τὰ παρὰ τῆς τύχης, εἰς ἑαυτοὺς μᾶλλον ἢ τὴν εἱμαρμένην τὴν αἰτίαν τῶν γινομένων ἀνάπτουσιν. ἄλλοι δ' αὖ τῶν μὲν δεξιῶν ἁπάντων ἢ ἑαυτοὺς ἢ τὸ θεῖον αἰτιῶνται, ἐπὶ δὲ τοῖς χείροσιν ἐπιβοῶνται τὴν εἱμαρμένην. εἰσὶ δέ τινες καὶ γόητες ἄνθρωποι, οἵτινες κατανοήσαντες τὴν τῶν πολλῶν ἀσθένειαν περὶ τὴν τῆς εἱμαρμένης καὶ τῶν κατ' αὐτὴν γιγνομένων κρίσιν, καὶ τὸ ῥᾴδιον αὐτῶν διὰ φιλαυτίαν καὶ τὸ μηδὲν αὑτοῖς συνειδέναι δεξιὸν πρὸς πίστιν τοῦ πάντων τῶν ἁμαρτανομένων τὴν εἱμαρμένην αἰτιᾶσθαι ἀποφαίνονται πᾶν τὸ γιγνόμενον γίγνεσθαι καθ' εἱμαρμένην, καὶ τέχνην ὑποκρίνονταί τινα τοιαύτην, καθ' ἥν φασιν οἷοί τε εἶναι πάντα προγιγνώσκειν τε καὶ προμηνύειν τὰ ὁπωσοῦν ἐσόμενα, τῷ μηδὲν αὐτῶν γίγνεσθαι χωρὶς ἀνάγκης τινός, ἥν εἱμαρμένην λέγουσιν· καὶ λαβόντες βοηθοὺς τοὺς καὶ τῆς τέχνης αὐτοῖς αἰτίους, ἀναπείθουσιν τοὺς πλείστους τῶν ἀνθρώπων, ἐν ταῖς περιστάσεσιν αὐτοῖς ἐπιτιθέμενοι καὶ ταῖς συμφοραῖς, μόνον οὐκ εὐχομένοις τοῦθ' οὕτως ἔχον φανῆναι, κατά τινα τριβήν τε καὶ περὶ τὰ τοιαῦτα σύνεσιν καὶ τῆς ἐν τοῖς τοιούτοις ἀκολουθίας θεωρίαν προλέγοντες εὐστόχως τινὰ τῶν τοῖς οὕτως ἔχουσιν ἀκολούθως ἐσομένων, ὡς δὴ τοῦτ' ἐκ τῆς τέχνης τῆς περὶ τὴν εἱμαρμένην ἔχειν λέγοντες μισθοὺς οὐκ ὀλίγους ὑπὲρ τῆς τοιαύτης κακοτεχνίας ἐκλέγοντες, ἀσμένως αὐτοῖς τῶν πειρωμένων διδόντων ὡς βοηθοῖς καὶ συνηγόροις τῶν οἰκείων ἁμαρτημάτων. οἳ καὶ τοὺς πλείστους τῶν ἀνθρώπων ἀναπεπείκασιν δι' ἀργίαν ἀφεμένους τοῦ σκοπεῖν, ὅπῃ ποτὲ ταῦτα ἔχει, καὶ τίς ἡ τάξις ἐν τοῖς οὖσιν τῆς εἱμαρμένης, πάντα τὰ γιγνόμενα καθ' εἱμαρμένην γίγνεσθαι λέγειν. ἀλλ' ἐπειδὴ μηδὲ οἱ πάνυ τὴν εἱμαρμένην ἐπιβοώμενοι ἐν ταῖς κατὰ τὸν βίον πράξεσιν ἐκείνῃ φαίνονται πάντα

---

3 ποτὲ Orelli 5 εὐχωρεῖ a 6 ἔρωται C τε om. Orelli: fortasse τε ⟨καὶ μοῖραν⟩ τι om. C 7 πεπραγμένων τε ἢ Orelli 8 ἑαυτῶν H ἐκείνοις C $\overset{\tau}{\gamma\epsilon}$ V: γε HC: καὶ a 9 αὐτοῖς VHa: αὐτῆς C: om. Orelli 12 αὖ τῶν VCa: αὐτῶν H 17 αὑτοῖς scripsi: αὐτοῖς VCHa συνειδέναι VCa: συνεῖναι H Orelli 20 οἷον Ca προμηνύσειν Orelli 22 αὐτοῖς VH: αὐτῆς Ca: αὐτῶν Orelli 25 φανῆναι καὶ κατὰ C τὰς τοιαύτας H σύνθεσιν a 26 τοῖς οὕτως ἔχουσιν] cf. ἐν ταῖς περιστάσεσιν αὐτοῖς ἐπιθέμενοι καὶ ταῖς συμφοραῖς v. 23 28 ἔχειν om. Orelli κατατεχνίας a 30 οἳ καὶ VHC: οἷς καὶ a 34 ἐκείνη a

πεπιστευκέναι, (ἱκανὸν γὰρ τἀληθὲς μαχομένους αὐτοῖς ἀποφῆναι τοὺς τὰ 161v ψευδῆ πεπιστευμένους λέγειν) ἄξιον ἡμᾶς ἄνωθεν ἀρξαμένους ἰδεῖν, τίς ποτέ ἐστιν ἡ φύσις τῆς εἱμαρμένης καὶ ἐν τίσιν καὶ μέχρι πόσου τὴν ἰσχὺν ἔχει. καὶ πρῶτόν γε περὶ τίνα τῶν ὄντων εὔλογον αὐτὴν λέγειν εἶναι, διασκεψώμεθα· τοῦτο γὰρ φανερὸν γενόμενον πρὸ ἔργου γενήσεται καὶ πρὸς τὰ ἄλλα τὰ ζητούμενα περὶ αὐτῆς. τὸ μὲν οὖν πᾶσιν τοῖς οὖσιν ἐπιτάσσειν αὐτὴν καὶ πάντα λέγειν εἶναι τὰ ὄντα καθ' εἱμαρμένην, ὁμοίως ἀΐδιά τε καὶ μή, οὔτε εὔλογον ἄλλως οὔθ' ὑπὸ τῶν ὑμνούντων μάλιστα τὴν εἱμαρμένην ὡς αἰτίαν τῶν γιγνομένων ἁπάντων ὁμολογούμενον. οὔτε γὰρ τὰ ἀΐδια καθ' εἱμαρμένην εἶναι τοιαύτην λέγειν εὔλογον· γελοῖον γὰρ τὸ τὴν διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ λέγειν εἶναι καθ' εἱμαρμένην, ἢ τὸ τρίγωνον διὰ τοῦτο δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς ἐντὸς γωνίας, καὶ καθόλου τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα οὐδαμῶς εὔλογον καθ' εἱμαρμένην οὕτως ἔχειν λέγειν. ἀλλ' οὐδὲ τὰ γιγνόμενα πάντα· ὅσα γὰρ καὶ τούτων εὔτακτόν τε καὶ ὡρισμένην ἔχει τὴν γένεσίν τε καὶ κίνησιν, ἔξω πίπτει καὶ ταῦτα τῆς εἱμαρμένης. οὐ γὰρ καθ' εἱμαρμένην ὁ ἥλιος ἐν χειμεριναῖς ἢ θεριναῖς τροπαῖς γίγνεται, οὐδὲ ἕκαστον τῶν ἄστρων εἱμαρμένην αἰτίαν ἔχει τῆς οἰκείας φορᾶς, ἀλλ' ἔστιν ὥσπερ κατὰ τὸ εἶναι καὶ τὴν οὐσίαν ἐλεύθερα τῆς τοιαύτης αἰτίας, οὕτως δὲ καὶ κατὰ τὰς οἰκείας ἐνεργείας. διὸ τῶν μὲν αἰδίων ἢ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ γιγνομένων οὐθενὸς αἴτιον ἡ εἱμαρμένη, δοκεῖ δὲ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ τῆς εἱμαρμένης ἔργον εἶναι. ἐν γὰρ τοῖς ἐπιτηδείοις ὅσον ἐπὶ τῇ φυσικῇ παρασκευῇ πρὸς τὰ ἀντικείμενα τῆς εἱμαρμένης ἰσχὺς εἶναι δοκεῖ, ἐν θατέρῳ τῶν ἀντικειμένων κατέχουσα αὐτὰ καὶ φυλάττουσα κατά τινα τάξεως ἀκολουθίαν. ἃ γὰρ οὐκ ἂν οὕτως ἔχοι ἄνευ τῆς εἱμαρμένης, ταῦτα παρὰ τῆς εἱμαρμένης ἐν τῇδε τῇ τάξει φυλάττεσθαι δοκεῖ· τοιαῦτα δέ ἐστιν οὐκ ἄλλα τινὰ τῶν ὄντων ἢ τὰ ἐν γενέσει καὶ φθορᾷ· ὥστε ἐνταῦθά που καὶ τὸ τῆς εἱμαρμένης. ἐπεὶ δὲ καὶ τούτων τὰ μὲν κατὰ τέχνην τε καὶ λόγον τεχνικόν τινα, τὰ δὲ κατὰ προαίρεσιν, τὰ δὲ κατὰ φύσιν γίγνεται, σκεπτέον ἐν τίσιν τούτων τὸ τῆς εἱμαρμένης, εἰ μὴ οἷόν τε ἐν πᾶσιν. τὰ μὲν οὖν κατὰ τέχνην γιγνόμενα καθ' εἱμαρμένην εἶναί τε καὶ γίγνεσθαι λέγειν οὐδαμῶς ταῖς περὶ τῆς εἱμαρμένης δόξαις συνῳδόν· γελοῖον γὰρ τὸ τὴν κλίνην ἢ τὸ βάθρον καθ' εἱμαρμένην γεγονέναι λέγειν, ἢ τὴν λύραν ἡρμόσθαι καθ' εἱμαρμένην· οὕτω γὰρ ἐροῦμεν πᾶσαν τέχνην εἱμαρμένην. ἀλλ' οὐδ' ὧν προαίρεσις αἰτία, ταῦτα καθ' εἱμαρμένην ἂν εἴη· τούτων γὰρ ἐν ἡμῖν ἡ ἀρχή, ἀλλ' οὐκ ἔξωθεν,

---

1 αὐτοῖς scripsi: αὐτοῖς VHC? a: αὐτοὺς Orelli 2 λέγω C 3 τῆς εἱμαρμένης om. Orelli 4 τίνα VCKa: ποῖα H 5 περὶ ἔργου a 6 τὰ ζητούμενα VH: ζητούμενα KCa 10 τ' ἀΐδια Ka τὴν τοιαύτην KCa 13 ὡς αὔτως V 16 ἡμαρμένην a 18 καὶ κατὰ C 19 αἰτίας VHCKa: οὐσίας Orelli 21 δὲ καὶ ἐν τοῖς C 22 τῆς VKa: οἱ? C: τὸ τῆς H 23 προκείμενα (ἀντι superscr.) C 25 ἔχοι scripsi: ἔχειν VHKCa: ἔχει Orelli 28 δὲ] μὲν Orelli 32 συνωδόν a: συνωδον V 34—35 οὕτω — εἱμαρμένην om. C 36 ἀλλ' VKa: καὶ C?: καὶ (in mg. ἀλλ') H

ἡ δὲ εἱμαρμένη οὐκ ἐν ἡμῖν· καὶ γὰρ εἰ καὶ περὶ ταὐτά ἐστιν ἡ εἱμαρμένη, περὶ ἃ καὶ τὸ ἐφ' ἡμῖν, ἀλλὰ ἄλλο γέ ἐστι τοῦ ἐφ' ἡμῖν. ἀφαιρετέον ἄρα τῆς εἱμαρμένης καὶ τῶν ἐν γενέσει τὰ γιγνόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν. τούτων δ' ἀφῃρημένων λοιπὸν καταλείπεται ταῦτα, οἷς ἡ φύσις τῆς γενέσεως αἰτία, ἐν οἷς δὴ καὶ δοκεῖ δυναστεύειν τὸ τῆς εἱμαρμένης. εἰ γάρ τις ἐπιστήσας ἐξετάζειν βούλοιτο τὰς δόξας τὰς περὶ τῆς εἱμαρμένης καταβεβλημένας, οὐ περὶ ἄλλα τινά, οὐδὲ ἐν ἄλλοις αὐτὰς εὑρήσει τὴν εἱμαρμένην τιθείσας, ἀλλ' ἐν τοῖς γινομένοις φύσει, καὶ τούτων μάλιστα ἐν τῇ τῶν ζῴων καὶ τῶν ἐκ συγκρίσεων τῶν ἐν γενέσει· οὐ γὰρ τὸ τὴν τῶν στοιχείων εἰς ἄλληλα μεταβολὴν καθ' εἱμαρμένην γίνεσθαι λέγειν πάνυ τι σύνηθες. ὄντος τοίνυν τοῦ καθ' εἱμαρμένην ἐν οἷς προειρήκαμεν, καὶ τούτου γνωρίμου γεγονότος, ἀκόλουθον ἂν εἴη μετὰ τοῦτο ζητῆσαι, πότερον τοιοῦτόν ἐστιν ὡς ἀναγκαῖόν τε καὶ ἀπαράβατον εἶναι κατὰ τὸν ποιητὴν τὸν λέγοντα·

μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

ἢ τοιοῦτον οἷον καὶ παραβαίνεσθαι, καὶ μὴ πάντῃ τὸ ἀναγκαῖον ἔχειν ἐν αὑτῇ. ἐκ μὲν οὖν τῆς κοινῆς τῶν ἀνθρώπων περὶ τοῦδε κρίσεως οὐδέτερον ἔχομεν βεβαίως τούτων τιθέμενον. ποτὲ μὲν γὰρ τὸ τῆς εἱμαρμένης ὑμνοῦσιν ὡς ἀναγκαῖον, ποτὲ δὲ οὐ πάντῃ τὴν συνέχειαν αὐτῆς πιστεύουσι σώζειν. καὶ γὰρ οἱ διὰ τῶν λόγων ὑπὲρ αὐτῆς ὡς οὔσης ἀναγκαίας διατεινόμενοι σφόδρα καὶ πάντα ἀνατιθέντες αὐτῇ ἐν ταῖς κατὰ τὸν βίον πράξεσιν οὐκ ἐοίκασιν αὐτῇ πεπιστευκέναι· τύχην γοῦν πολλάκις ἐπιβοῶνται, ἄλλην ὁμολογοῦντες εἶναι ταύτην αἰτίαν τῆς εἱμαρμένης· ἀλλὰ καὶ τοῖς θεοῖς οὐ διαλείπουσιν εὐχόμενοι, ὡς δυναμένου τινὸς ὑπ' αὐτῶν διὰ τὰς εὐχὰς γενέσθαι καὶ παρὰ τὴν εἱμαρμένην· ἀλλὰ καὶ βουλεύονται περὶ τῶν πρακτέων αὐτοῖς, καίτοι καὶ ταῦτα καθ' εἱμαρμένην εἶναι λέγοντες, καὶ συμβούλους παρακαλοῦσιν καὶ μαντείαις οὐκ ὀκνοῦσι χρῆσθαι, ὡς ἐνὸν αὐτοῖς, εἰ προμάθοιεν, φυλάξασθαί τι τῶν εἱμαρμένων. ἐπεὶ δὲ οὗτοι μὲν αὐτοῖς περιπίπτουσιν περὶ τὰ μέγιστα φανερῶς οὕτως διαφωνίαν ἔχοντες (ἀπιθανώταται γοῦν εἰσιν αὐτῶν αἱ πρὸς τὴν τούτων συμφωνίαν εὑρησιλογίαι), δοκεῖ δὲ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ καὶ τὸ ἐνδεχόμενον εἶναι, ὃ τοῦ μηδὲν ἀναγκαίως ἐν τούτοις ἐν οἷς ἂν ᾖ γίγνεσθαι αἴτιόν ἐστιν, ἄξιόν ἐστιν ἐπιστῆσαι περὶ τοῦδε, εἴτε ἔστιν εἴτε μή. αὕτη γὰρ ἡ φύσις ὁρισθεῖσα πρὸς τὸ τὴν τῆς εἱμαρμένης οὐσίαν εὑρεῖν ἡμῖν τὸ μέγιστον συμ-

1 ταὐτά Va: ταῦτα HK: τὰ αὐτὰ C 3 τέχνην τε om. C 4 τε om. Ka 5 δὴ VHKCa: δὲ Orelli 8 ἡμαρμένην a ἀλλ' ἐν VHKa: καὶ ἐν C 12 μετὰ τούτου Orelli 13 τε εἶναι καὶ ἀπαράβατον H 14 τὸν ποιητὴν] Hom. Il. 6,488 16 ἐπ' ἣν V 18 αὑτῇ Orelli: αὐτῇ VHKCa τάδε Orelli 20 αὐτῆς C: αὐτὴν VKHa 22 ἀνατιθέντες corr. ex. ἀναγκαίως K 26 καὶ ante παρὰ om. H Orelli 28 ἐνὸν HKCa: ἐμὸν V 29 εἰ VHKC: ἃ a: ἂν ex. Vict. 30 αὑτοῖς V: αὐτοῖς KHCa 31 εὑρησειλογίαι V: εὑρεσιλογίαι a 32 τοῖς γενέσει C 34 φύσιν a ὁραθεισα (ισ supra) m[1] V: ὁρισθεῖσα KHa: ὁραισθεῖσα C 35 τὰ μέγιστα Orelli

1 fortasse γίνεται, ⟨ἐξ ἀνάγκης γίνεται⟩, οὐδὲν   γινομενων V   1. 2 γίνεται V: δύναται BSGFLRa Sp.   2 τι ἔστιν B[2] Sp.: τε ἔστιν libri   3 οὐδὲν ἄρα a Sp.   ἡ V[1] (corr. m[2])   6 λέγειν a Sp.   7 γενέσθαι δυνατὸν, τὸ L   8 τὸ om. a Sp.   γενέσθαι] γε in lit. V   9 τὸ τὸ coni. Sp.   10 ὁ corr. ex οὐ V[2]   11 ἑαυτῶν a   12 ἐπ' VRB: ὑπ' FSLGa: fortasse περὶ   13 μὴ ἔστι VB[1]: μὴ ἔσται R: ἔστι B[2]GFSa Sp.: fortasse μέν ἐστι cf. l. c. p. 627 sq.   οὐ a   15 ⟨συμβήσεται⟩ τὸ scripsi: τὸ V[1]FSLa Sp.: τῷ V[2] Vict. BR   ἀδύνατον — εἶναι om. G   16 ἂν τῶν scripsi: αὐτῶν libri   17 ἀληθὲς τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθές S[2]a (τῆς — ἀληθες punctis notat Vict.   εἴη ἐνδεχομένως scripsi: εἰ ἐνδεχομένων V[1]: ἢ ἐνδεχόμενον V[2]B: ἐνδεχόμενον G Vict. Sp.: εἰς δεχόμενον F: εἰς δεχομένων LS[1]: ἢ δεχομένων S[2]a: ἐστιν — ἀληθές (18) om. R   20 οὖν S[2]GLa Sp.: ὃ VFBS[1]: om. R   20 οὔτε — ἐνδεχόμενον (21) om. R   τὸ ἔσται VB: τὸ ἔσται τὸ GF: ἔσται τὸ LSa: τὸ ἔσται ἔσται Sp.   21 fortasse ταῦτα   22 οὐκ delevi   ἔσται delevi cf. l. c. p. 628 sq.   23 ψεῦδος B[2]G Sp.: ψεύδους VFSB[1]RLa   ἓν scripsi: μὲν libri   ἢ τὸ γενέσθαι ἢ addidi   λέγοι τὸ BFR Sp.: λέγοιτο VLa   24 τούτων ἐν | των a   25 τούτῳ B[2]GF Vict. Sp.: τοῦτο VRB[1]LSa   ἐνδεχόμενον a   27 γε τῷ L   ἐνδέχεσθαι GF Sp.: ἐνδέχεται VRBSLa

ἐπὶ τούτου καὶ | τὸ μὴ γενέσθαι τοιοῦτον, καὶ ἐφ' οὗ τὸ μὴ γενέσθαι, ἐπὶ τούτου καὶ τὸ γενέσθαι ἐνδεχόμενον. ὁμοίως δὲ τοῦ αὐτοῦ ἐνδεχομένου γενέσθαι τε καὶ μὴ γενέσθαι, πῶς οὐκ ἄτοπον ἐπὶ τούτων τὸ ἕτερον μόριον τῆς προλεγομένης ἀντιφάσεως ἀφωρισμένως ἀληθὲς εἶναι [τε] λέγειν, θάτερον δὲ ψεῦδος, ὁμοίως τοῦ προκειμένου ἄμφω δυναμένου; ἀκολουθεῖ γὰρ τοῖς τὰ γινόμενα τοῦτον τὸν τρόπον γίνεσθαι λέγουσιν τὸ ὁμοίως ἀληθῆ τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν ἐπὶ τῶν οὕτω γινομένων γίνεσθαι λέγειν ἢ ὁμοίως αὐτῶν ἑκατέραν ψευδῆ.

V. Διὰ τί ἡ αὔξησις κατὰ τὸ εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ κατὰ τὴν ὕλην.

Εἰ αὔξεται τὸ ὑποκείμενον τῷ αὔξεσθαι λεγομένῳ (ὑπομένει δὲ καὶ ἡ ὕλη, οὐ μόνον τὸ εἶδος· οὐ γὰρ δὴ πᾶσα ἀλλάσσεται), διὰ τί κατὰ τὸ εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ κατὰ τὴν ὕλην ἡ αὔξησις; οὐ γὰρ πᾶσα ἡ ὕλη ἡ ἐν τοῖς αὐξομένοις ἀλλάσσεται, ἀλλὰ μένοντός τινος ἐξ αὐτῆς ἄλλη προσγίνεται· οὐδὲ γὰρ ἂν ἐσῴζετο τὴν ἀρχήν, οὐδ' ἂν τὸ εἶδος ἔμενεν τῆς προϋπαρχούσης ὕλης. οὐ γὰρ ἐν τῷ τοσῇδέ τινι εἶναι τῇ ὕλῃ τὸ εἶναι ὕλῃ, ὥσπερ οὐδὲ τῇ σαρκί. ἢ δύο ὄντων περὶ τὸ αὐξόμενον ποιοῦ τε καὶ ποσοῦ (τόδε γὰρ τὸ αὐξόμενον, τὸ δὲ τόδε συναμφότερος οὐσία), καὶ τοῦ μὲν ποσοῦ ὡς ὕλης ὑποκειμένου, τοῦ δὲ εἴδους τὴν τοῦ ποιοῦ χώραν ἔχοντος, τὸ μὲν πο|σὸν οὐ μένει ταὐτόν, τὸ δὲ ποιὸν τὸ ὡς εἶδος τοῦ αὐξομένου μένει. ἐπεὶ τοίνυν τὸ ποιόν, ὃ καὶ εἶδός ἐστι, μένει, τὸ δὲ ποσὸν οὐ μένει, καὶ αἴτιον τοῦ μὴ μένειν αὐτὸ ταὐτὸν ἡ τῆς ὕλης ῥύσις, διὰ τοῦτο κατὰ μὲν τὴν ὕλην οὐκ αὔξεται τὰ αὐξόμενα, κατὰ δὲ τὸ εἶδος. τοῦτο γὰρ ταὐτὸν μένον. τοῦ γὰρ καθ' αὑτὸ ὑφεστῶτος ἡ αὔξησις κατὰ τὸ μένον ἐν αὐτῷ γίνεται, καθ' αὑτὸ δὲ ὑφεστῶτος τὸ συναμφότερον, ὃ κατὰ τὸ εἶδος μένει. ἡ γὰρ ὕλη τὸ ῥέον, ἐπεί, εἰ καὶ ὑπομένει τις ὕλη ἐν τῷ αὐξομένῳ, ἀλλ' οὐκ ἔστι ταύτης κατηγορῆσαι τὸ ηὐξῆσθαι, τῷ κατ' αὐτὴν ἑκάστοτε, εἰ καὶ ὑπέμεινεν, ἀλλὰ μετὰ ταῦτα ῥεῖν τε καὶ ἀλλάσσεσθαι. οὐ γάρ ἐστιν ἐν τῷ ηὐξημένῳ λαβεῖν τινα ὕλην, ἥτις διὰ παντὸς ἡ αὐτὴ μένουσα ἐν αὐτῷ κατ' ἀριθμὸν προσθήκην ἔσχεν τινὰ κατὰ ποσόν. ἣν γὰρ ἂν λάβῃς, καὶ αὕτη ῥεῖ καὶ μεταβάλλεται, καὶ οὐδὲν αὐτῆς ταὐτὸ κατ' ἀριθμὸν μένει· τὸ δὲ εἶδος ταὐτὸ μένει, ἔστ' ἂν σώζηται τὸ πρᾶγμα.

---

3 τὸ ἕτερον GFS^{1}L: τὸ ἐφ' ὃν VRB^1: τὸ μὲν ἐν B^{2}S^{2}a Sp. 4 τε om. FSa Sp.: del. B: τὸ R 6 λέγουσι γίνεσθαι a Sp. 7 pr. τὴν] τή in lit. V alt. τὴν om. a 13 γὰρ] ρ in lit. V 16 τοσῆδε V 17 σαρκί VFB: σαρκὶ ἐν (ἐν om. FL) τῷ τοσῇδε εἶναι τὸ σαρκὶ εἶναι GS^1 (in mg.) La Sp. 18 τοδε V τὸ δὲ τόδε a Sp.: τὸ τοδε V: τὸ τόδε B^{1}GFL: τὸ τό δὲ S^1: τὸ δὲ δὲ S^2 συναμφότερος VS^{2}a Sp.: συναμφότερον S^{1}GFL 23 γὰρ τὸ ταὐτὸν a Sp. 24 κατὰ τὸ VB coni. Sp.: κατὰ ταὐτὸ GSLa: καταυτό F 25 ὑφεστῶτος VB^{1}S^{1}a: ὑφεστός Vict. Sp.: ὑφεστώς GFLB^{2}S^3 26 εἰ καὶ Vict. Sp.: καὶ VGFSLa 27 τὸ] τῶ B^1 τῷ κατ' αὐτὴν (καθ' αὑτὴν G, κατὰ τὴν Sa) ἑκάστοτε εἰ καὶ VGFBSLa: τῷ ἑκάστοτε καὶ ταύτην εἰ καὶ Vict. Sp. 29 ταὐτῷ coni. Sp. 30 ἣν VB: τινα ἣν GFSa Sp.: τινα ἤν L 31 αὐτὴ F

VI. Πῶς εἰ μᾶλλον τὸ ὕδωρ ὕδωρ κατὰ τὸ ψυχρὸν ἢ κατὰ τὸ ὑγρόν, ἡ μὲν εἰς τὸ θερμὸν αὐτοῦ ἐκ τοῦ ψυχροῦ μεταβολὴ οὐ φθείρει αὐτό, ἡ δὲ ἐκ τοῦ ὑγροῦ εἰς τὸ στερεὸν φθείρει.

Εἰ μᾶλλον τὸ ὕδωρ ὕδωρ ἐστὶν κατὰ τὸ ψυχρὸν ἢ τὸ ὑγρόν, ὡς πῦρ μὲν κατὰ τὸ θερμὸν | 31 μᾶλλον ἢ ξηρόν, ἀὴρ δὲ κατὰ τὸ ὑγρὸν μᾶλλον ἢ θερμόν, γῆ δὲ κατὰ τὸ ξηρὸν μᾶλλον ἢ ψυχρόν, τί δήποτε κατὰ μὲν τὸ ὑγρὸν μεταβάλλον οὐκ ἔστιν ὕδωρ (οὐ γὰρ ὕδωρ ὁ κρύσταλλος), κατὰ δὲ τὸ ψυχρὸν μεταβάλλον ὕδωρ ἔτι μένει; ὕδωρ γάρ ἐστι καὶ θερμὸν γενόμενον. καίτοι οὐ τὸ πῦρ μεταβάλλον κατὰ τὸ θερμὸν πῦρ ἔτι, οὐθ᾽ ὁ ἀὴρ εἰ κατὰ τὸ ὑγρὸν μεταβάλλοι, ἀλλ᾽ οὐδὲ γῆ μένει ἡ κατὰ τὸ ξηρὸν μεταβάλλουσα. ἐπιζητῆσαι δ᾽ ἄν τις καὶ τοῦτο ἐπ᾽ αὐτοῦ. τί δήποτε, εἰ κατὰ τὸ ψυχρὸν αὐτῷ τὸ εἶναι, ἡ κατὰ τὸ ψυχρὸν ἐπίτασις φθείρει αὐτό, εἴ γε πήγνυται μὲν διὰ τὴν ὑπερβάλλουσαν ψυχρότητα, παγὲν δὲ οὐκέτι ἐστὶν ὕδωρ ἐνεργείᾳ. οὐδὲ γὰρ ἡ κατὰ τὸ θερμὸν ἐπίτασις πυρὸς φθαρτική, οὔτε ἡ κατὰ τὸ ὑγρὸν ἀέρος, οὔτε γῆς ἡ κατὰ τὸ ξηρόν, οὐθ᾽ ὅλως ἄλλου τινὸς ἡ κατὰ τὸ οἰκεῖον εἶδος ἐπίτασις φθορᾶς αἰτία. ⟨ἢ⟩ ἐπεὶ ἡ κατὰ τὸ ψυχρὸν εἰς τὸ θερμὸν μεταβολὴ τοῦ ὕδατος ἀέρος ἐστὶ γεννητική (οὐδὲν γὰρ οἷόν τε ἄλλο σῶμα ἐξ ὕδατος κατὰ μόνην τὴν ἐκ τοῦ ψυχροῦ γενέσθαι μεταβολήν), οὐκ ἔστι δὲ ἀὴρ θερμὸς μόνον, ἀλλὰ καὶ ὑγρός, καὶ τό γε εἶναι αὐτῷ ἀέρι κατὰ τὴν ὑγρότητα μᾶλλον, ἔστι δ᾽ οὐχ ὅμοιον τὸ ὑγρὸν ἔν τε ὕδατι καὶ ἀέρι (τὸ μὲν γὰρ ὕδωρ παχύτερον, διὸ καὶ ἀναπληστικόν, ἡ δὲ τοῦ ἀέρος ὑγρότης λεπτή), οὐ μόνον δεῖ τῆς | 32 κατὰ τὸ ψυχρὸν τῷ ὕδατι μεταβολῆς, ἀλλὰ καὶ τῆς κατὰ τὸ ὑγρόν. καὶ μάλιστα ἐπεὶ ἡ τοιάδε ὑγρότης εἰδοποιὸς τοῦ ἀέρος, εἰς ὃν ἡ κατὰ τὸ ψυχρὸν τοῦ ὕδατος μεταβολή, ἡ δὲ κατὰ τὸ ὑγρὸν τῷ ὕδατι μεταβολὴ ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ἐν τούτῳ ξηροῦ γίνεται λεπτύνοντος αὐτὸ καὶ τὴν ἐν αὐτῷ παχύτητα μεταβάλλοντος, ἥτις μεταβολὴ δεῖται χρόνου, διὰ τοῦτο, μέχρις ἂν ἡ ἐν τῷ ὕδατι γενομένη θερμότης τὴν ὑγρότητα εἰς τοσοῦτον μεταβάλλῃ, ὡς εἶδος ἀέρος γενέσθαι, ὕδωρ ἔτι μένει ὄν, οὐ τοιοῦτο μὲν ὁποῖον τὸ εἰλικρινὲς ὕδωρ, ἀλλὰ λεπτότερον. λεπτότερον γὰρ τὸ αὐτὸ ὕδωρ θερμανθὲν ἢ πρὸ τοῦ, καὶ τὰ ἀποψυχθέντα δὲ πάλιν ὕδατα λεπτότερα τῶν τὴν ἀρχὴν μὴ τεθερμασμένων. ὁδὸς γὰρ τῷ ὕδατι τῆς εἰς ἀέρα μεταβολῆς ἡ θερμότης, καὶ οὐχ ὅμοιον τὸ ὕδωρ θερμανθέν τε καὶ πρὸ τοῦ. ὡς δ᾽ ἡ θερμότης τὴν ὑγρότητα λεπτύνει, οὕτως πάλιν ἡ ψυχρότης παχύνει τε καὶ συνίστησιν. καὶ ἐπεὶ ἡ τοιαύτη τοῦ ὑγροῦ σύστασις ὑπὸ τοῦ ψυχροῦ ἐν χρόνῳ καὶ αὐτὴ γίνεται, διὰ τοῦτο οὐδὲ ὁ ἀὴρ ψυχθεὶς ὕδωρ εὐθύς.

---

1 ὕδωρ semel a Sp. ἢ κατὰ Vict.: οὐ κατὰ VFSLa: οὐ Ga 7 οὐκ ἔστιν ὕδωρ om. a 10 μεταβάλλοι corr. ex μεταβάλλει F: μεταβάλλει L et coni. Sp. 11 ἐπιζητῆσαι V 16 ἢ add. B²S²a 17 γενητική a Sp. 19. 20 τό γε V² Vict. Sp.: τό τε V¹FSLa 21. 22 ἂν ἀπληστικόν a 22 δεῖ] δ᾽ εἰ V¹ (corr. V²) 33 ἢ a 36 καὶ αὐτὴ Vict. Sp.: καὶ αυτη V: καὶ αὕτη B: ἡ τοιαύτη GFSLa

ἀλλ' ἀὴρ μένει, ἔστ' ἂν τὸ ὑγρὸν ἔτι λεπτὸν ᾖ. ἡ δὲ κατὰ τὸ ὑγρὸν μεταβολή, οὐκ ὂν ὄντως εἰδοποιὸν τοῦ ὕδατος ὡς τὸ ψυχρόν, τὸ ὕδωρ φθείρειν δοκεῖ, ὅτι μὴ μόνον εἰς γῆν μεταβολὴ τῷ ὕδατι γίνεται κατὰ τὴν ὑγροῦ μεταβολήν, ἀλλὰ καὶ εἰς κρύσταλλον. οὐ μὴν ἀλλὰ καὶ οὗτος ὕδωρ πως | ἔτι. ἀνάλογον γὰρ τῷ ὕδατι τῷ θερμῷ ὁ κρύσταλλος. ἄμφω γὰρ 33 πεπονθός τι ὕδωρ καὶ ἐν μεθορίῳ τὸ μὲν ὕδατός τε καὶ ἀέρος, τὸ δ' ὕδατός τε καὶ γῆς. ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων σωμάτων τῶν ἁπλῶν τὴν εἰς τὰ παρακείμενα αὐτοῖς μεταβολὴν κατὰ τὴν θατέρου τῶν εἰδοποιούντων αὐτὰ μεταβολὴν ἰδεῖν δεομένην χρόνου. οὐ γὰρ ὡς δοκεῖ κατὰ θάτερον αὐτοῖς ἡ μεταβολὴ μόνον, ἀλλὰ καὶ κατ' ἄμφω. τῷ δὲ τὴν κατὰ θάτερον μεταβολὴν μὴ εἰς τὸ ἐναντίον γίνεσθαι, ἀλλ' ἢ εἰς ἄνεσιν ἢ ἐπίτασιν τῆς αὐτῆς ποιότητος, κατὰ τὴν εἰς τὸ ἐναντίον τῶν ἐν αὐτῷ μεταβολὴν μόνον μεταβάλλειν δοκεῖ. οὔτε γὰρ εὐθὺς γῆ τὸ πῦρ, ἐὰν ψυχθῇ (δεῖ γὰρ ποιὰν γενέσθαι τὴν ξηρότητα· διὸ οὔτε καπνὸς οὔτε αἴθαλος ἤδη γῆ), ἀλλ' οὐδ' ἂν εἰς ὑγρὸν μεταβάλῃ τὸ πῦρ μόνον, ἀὴρ ἤδη· δεῖ γὰρ οὕτω καὶ ποιᾶς θερμότητος. διὸ ἐν μεθορίῳ τινὶ πρῶτον γίνεται. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. τοῦ δὲ ὕδατος εἶδος οὐχ ἁπλῶς τὸ ψυχρόν, εἰ καὶ κατὰ τοῦτο μᾶλλον, ἀλλὰ τὸ ψυχρὸν μετὰ τοῦ ὑγροῦ. ἔστ' ἂν οὖν σώζεσθαι δύνηται τὸ ὑγρόν, ὄντος ἐν αὐτῷ τοῦ ψυχροῦ, εἶδος τὸ ψυχρὸν τοῦ ὕδατος· τὸ δὲ φθαρτικὸν τοῦ ὑγροῦ ψυχρὸν οὐκ ἔτι οἷόν τε ὕδατος εἶδος εἶναι. τὸ τοιοῦτο δὴ ψυχρὸν εἶδος αὐτοῦ, οὗ ἡ ἐπίδοσις οὐκ ἔστιν ὕδατος τουτέστιν ὑγρότητος φθαρτική. |

VII. Πῶς οὐκ ἐναντία τό τε μέγα καὶ τὸ μικρόν, εἴ γε εἰς ἐναντία μὲν ἡ μεταβολή, τὸ δ' αὐξόμενον καὶ μειούμενον εἰς ταῦτα μεταβάλλει. 34

Εἰ τοῖς κινουμένοις πᾶσιν ἐξ ἐναντίου εἰς ἐναντίον ἡ μεταβολή, τὰ δ' αὐξόμενα καὶ μειούμενα κινεῖται, εἴη ἂν καὶ τούτοις ἐξ ἐναντίων εἰς ἐναντία ἡ μεταβολή. γίγνεται δ' αὐτοῖς ἡ μεταβολὴ εἰς μέγεθος καὶ μικρότητα· τῷ μὲν γὰρ αὐξομένῳ εἰς μέγεθος ἡ ἐπίδοσις, τῷ δὲ μειουμένῳ εἰς μικρότητα ἡ συστολή. ἐναντίον ⟨ἄρα⟩ τὸ μέγα καὶ τὸ μικρόν. ἀλλ' οὐ δοκεῖ, ὡς διὰ πλειόνων Ἀριστοτέλης ἐν Κατηγορίαις ἔδειξεν. ἢ οὐχ ἁπλῶς εἰς μέγεθος καὶ μικρότητα ⟨ἡ⟩ μεταβολὴ τοῖς αὐξομένοις τε καὶ μειουμένοις,

1 fortasse ἡ δὲ ⟨τοῦ ὕδατος⟩ 2 ὄντως] fortasse οὕτως 4 ⟨τοῦ⟩ ὑγροῦ Diels 5 πῶσ V κρύσταλλος] κ in lit. V 6 πεπονθός τι] ός τι in lit. V 14 οὔτε αἴθαλος ἤδη Vict. Sp.: οὔτε θάλοσ ἤδη V[1]: οὔτε αἰθάλη ἤδη V[2]B: οὔτε δαλὸς ἤδη G: οὐ θαλὸς ἤδη F: οὔθαλος ἤδη SLa γῆ om. FSLa 15 μόνον V[1]GFSB[2]a: μένον B[1]? V[2] 17 τοῦ δὲ V[2]B Vict. Sp.: τοῦ V[1]GVSLa 19 εἶδος V[2]BG Vict. Sp.: εἴδους V[1]FSLa 20 ψυχρὸν om. a Sp. alt. τὸ] τὸ ψυχρόν a Sp. 22 ὑγρότητος V[2]B Vict. Sp.: ὑγρότης V[1]FSLa 28 μεταβολή] μετα|λή V[1] (corr. V[2]) 29 alt. τῷ] τοῦ a μειουμένῳ] μειουμένου a 30 ἄρα add. B[2]S[2]a 31 Ἀριστοτέλης ἐν Κατηγορίαις] Cat. 6. 4b 20 ἢ] ἡ V[1] (corr. V[2]) 32 ἡ V[2]B: om. V[1]GFSLa

ἀλλὰ τοῖς μὲν αὐξομένοις κατὰ φύσιν (ταῦτα δ' ἐστὶ τὰ τῆς θρεπτικῆς ψυχῆς κεκοινωνηκότα) εἰς τελειότητα καὶ τέλειον μέγεθος ἡ ἐπίδοσις, τὰ δὲ μειούμενα ἐξίσταται τῆς τελειότητος καὶ εἰς τὸ ἀτελὲς συστέλλεται. εἰς τὸ τέλειον οὖν μέγεθος καὶ τὸ ἀτελὲς αὐτοῖς ἡ μεταβολὴ γίνεται, ταῦτα δὲ ἐναντία, εἰ καὶ μὴ τὸ μέγα τῷ μικρῷ ἁπλῶς ἐναντίον ἔλεγεν. καὶ ἔτι τὴν κίνησιν εἰς τὰ ἐναντία μεταβολὴν λέγει τὰ ἐναντία κοινότερον λαμβάνων. ἐναντία γὰρ ἔθος αὐτῷ λέγειν καὶ τὴν στέρησιν καὶ ἕξιν καὶ τὰ πρός τι ἀντικείμενα. | τὴν γοῦν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν ἐν τοῖς Ἠθικοῖς ἐναντία λέγει κατὰ τὸ πρός τι ἀλλήλοις ἀντικείμενα. καὶ τὸ μέγα οὖν καὶ τὸ μικρὸν ὄντα πρός τι λέγοιτ' ἂν ἐναντία, οὐ τὰ κυρίως ἐναντία, ἀλλ' ὡς τὰ πρός τι. ἢ οὐδὲ γίνεται κατ' αὐτὸν κίνησις κατὰ τὸ πρός τι. οὐ γὰρ δεξιόν τι γίνεταί τινος πάντως κινηθὲν αὐτό, θερμὸν δέ τι γίνεσθαι ἢ ἄνω οὐχ οἷόν τε μὴ κινηθέν. ἢ εἰ καὶ μὴ αὐτὸς ὁ δεξιὸς γενόμενος διὰ μεταβολῆς τῆς κατὰ τὴν σχέσιν τοιοῦτος ἐγένετο (διὰ τοῦτο γὰρ οὐκ ἔστι κατὰ τὸ πρός τι κίνησις, ὅτι μὴ γίνεται κατὰ ταύτην τὴν σχέσιν μεταβολὴ κινήσεως τῷ μεταβάλλοντι κατὰ τὴν σχέσιν· οὐ γὰρ ὡς κατὰ τόπον γίνεται μεταβολὴ αὐτοῦ τοῦτον τὸν τρόπον ἀλλάσσοντος καὶ μεταβάλλοντος κατὰ τόπον, ὁμοίως καὶ ἡ κατὰ ποιότητα καὶ ἡ κατὰ ποσόν, οὕτως δὲ καὶ ἡ κατὰ τὸ πρός τι, ἡ κατὰ τὴν σχέσιν ὑπαλλαγὴ γίνεται καὶ κινουμένων τῶν ὑπαλλασσόντων τὴν σχέσιν κατὰ τὴν σχέσιν· καὶ γὰρ μὴ κινουμένων ἡ σχέσις ἀλλάσσεται) οὐκ ἐπεὶ μὴ οὕτως οὖν ἡ κατὰ σχέσιν ὑπαλλαγὴ γίνεται, διὰ τοῦθ' οἷόν τε ἀλλαγὴν σχέσεως γενέσθαι χωρὶς κινήσεως. δεξιὸς γὰρ οὐκ ἄν τις ἄλλου γένοιτο μὴ γενομένης κατὰ τόπον ἀμφοῖν κινήσεως ἢ θατέρου· ἀλλ' οὐδὲ διπλάσιον ἂν γένοιτο | ἄλλο ἄλλου μὴ κατὰ τὸ ποσὸν γενομένης κινήσεως. ὥστ' εἰ καὶ μὴ ἔστι κίνησις κατὰ τὸ πρός τι, ἀλλὰ διὰ κινήσεώς γέ τινος ἡ εἰς τὰς διαφόρους σχέσεις μεταβολή. ὥστε κατά γε τοῦτο οὐθὲν ἂν κωλύοι καὶ τὴν εἰς μέγα καὶ μικρὸν μεταβολὴν κατὰ σχέσιν ἀλλήλοις ἀντικείμενα διὰ κινήσεως γίνεσθαι, συγχωρουμένου τοῦ καὶ τὰ ὡς πρός τι ἀντικείμενα ἐναντία λέγεσθαι καὶ εἶναι καὶ τὰς εἰς ταῦτα μεταβολὰς ἐναντία. ἢ οὐ λέγεται ὑπ' αὐτοῦ τὰ πρός τι ἐναντία. οὐδὲ γὰρ ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις ἐναντία ὑπ' Ἀριστοτέλους λέγεται καθὸ πρός τι ἐστιν, ὡς δῆλον ἐκ τοῦ λέγεσθαι μὲν αὐτὰ πρὸς ἄλληλα (ἡ γὰρ ὑπερβολὴ ἐνδείας ὑπερβολή, καὶ ἡ ἔνδεια ὑπερβολῆς ἔνδεια), ἐναντία δ' εἶναι μὴ κατὰ τὴν σχέσιν ταύτην, ἀλλὰ καθόσον τὸ μὲν τοῦ συμμέτρου πλέον ἐστίν· τὸ ⟨μὲν⟩ γὰρ μᾶλλον τοιοῦτο, τὸ δὲ ἔλαττον τοῦ συμμέτρου· τοιοῦτον γὰρ τὸ ἐλλεῖπον. οὐ γὰρ τὰ ὁπωσοῦν ὑπερβάλλοντα καὶ ἐλλείποντα ἐναντία λέγει, ἀλλὰ τὰ πρὸς τὸ σύμμετρον οὕτως ἔχοντα, πρὸς ὃ οὐκέτι

---

5 εἰ] ἡ FG² Vict. μὴ τὸ VB Sp.: τὸ GF: τὸ μὴ SLa ἐναντίον VS²a Sp.: ἐναντία GFS¹L μὲν ἔλεγεν L ἔτι B²S²a Sp.: ὅτι VGFB¹S¹L 8 ἐν τοῖς Ἠθικοῖς] Eth. Nic. II, 8. 1108ᵇ13 9 λέγειν V 13 fortasse ἀλλ' εἰ καὶ 17 τούτου τὸν τόπον coni. Sp. καὶ add. V²BS²a Sp. 18 τόπον Vict. Sp.: τὸ ποῖον V¹: τὸ ποῖον F: τὸ ποιόν V²SGBLa 21 οὖν ante ἐπεὶ colloc. Sp.: om. a 24 ἄλλου δὲ a 27 οὐδὲν a Sp. 31 alt. ἡ om. a 35 τὸ μὲν GFSLa Sp.: τὸ VB

σώζει τὴν κατὰ τὸ πρός τι σχέσιν οὐδέτερον αὐτῶν. καὶ τὸ λευκὸν δὲ καὶ τὸ μέλαν, καθὸ μὲν ἐναντία ἀλλήλοις, λέγεται πρός τι καὶ οὐκ ἐναντία, καθὸ δὲ τὸ μὲν λευκὸν τοιόνδε χρῶμα, τὸ δὲ μέλαν τοιόνδε, ἐναντία, ἀλλ' οὐ πρός τι. τὰ γὰρ ἐναντία καθόσον μὲν δηλοῖ φύσεις τινὰς | [37] πλεῖστον ἀλλήλων διαφερούσας, οὐ πρός τι· καθόσον δὲ οὕτως ὀνομάζεται, πρός τι ἐστίν.

VIII. Πρὸς τὸ μὴ εἶναι τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ.

Πρὸς τὸ μὴ εἶναι τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ, μηδὲ τὴν ψυχὴν ἐν τῷ σώματι ἣν λεγόμενον, ὅτι πρὸς τὸ εἶναι τῇ ὕλῃ ἐνεργείᾳ τὸ εἶδος αἴτιον (οὐ γὰρ οἷόν τε εἶναι αὐτὴν ἐν ὑποστάσει χωρὶς τοῦ εἴδους), τὸ δ' ἐν ὑποκειμένῳ ὂν ἔν τινί ἐστιν ἐνεργείᾳ ὄντι ὃ δύναται εἶναι καὶ χωρὶς τοῦ ἐν ὑποκειμένῳ αὐτῷ ὄντος. πρὸς ὃ ἀντέπιπτεν τὸ καὶ τὰ σώματα βοηθεῖσθαι μὲν πρὸς τὸ εἶναι ἐν ὑποστάσει ὑπὸ τῶν συμβεβηκότων, εἴ γε πᾶν σῶμα ἀνάγκη μετὰ σχήματος εἶναί τινος καὶ χρώματος, ὁμολογεῖσθαι δὲ ταῦτα ἐν ὑποκειμένῳ εἶναι τῷ σώματι. οὐκ αὔταρκες οὖν πρὸς τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ τινὶ τὸ συντελεῖν τῷ ὑποκειμένῳ αὐτῷ εἰς τὸ εἶναι ἐν ὑποστάσει. ἢ εἰ μέν τι ἁπλῶς συντελεῖ τινι εἰς τὸ εἶναι ἐν ὑποστάσει, οὐ κεκώλυται τοῦτο ἐν ὑποκειμένῳ εἶναι αὐτῷ, ὡς ἐδείχθη ἐπὶ τοῦ σώματος καὶ τῆς ποιότητος, ἧς χωρὶς ἀδύνατον εἶναί τι ἐν ὑποστάσει σῶμα· εἰ δέ τι εἴη ὡς μέρος συντελοῦν τούτῳ ἐν ᾧ ἐστι, τοῦτο οὐχ οἷόν τε ἐν ὑποκειμένῳ εἶναι τούτῳ οὗ ἐστι μέρος. τὸ δὲ εἶδος τούτῳ ἐν ᾧ ἐστιν, ὡς | [38] μέρος συντελοῦν φαίνεται. δεῖ μὲν γὰρ τὴν ζήτησιν τοῦ πότερον ὡς ἐν ὑποκειμένῳ τινί ἐστι τὸ προκείμενον ἢ μὴ ποιεῖσθαι λαβόντας τι πρᾶγμα, ἐν ᾧ ἐστι μὲν τοῦτο περὶ οὗ ἡ ζήτησις, ζητεῖται δὲ τὸ πῶς ἐστιν ἐν αὐτῷ. ὁ γὰρ δεικνὺς ὅτι τὸ λευκὸν ἐν σώματι ὡς ἐν ὑποκειμένῳ, λαβών τι σῶμα, ἐν ᾧ τὸ λευκόν ἐστι, καὶ δείξας ὂν ἐν τῷ σώματι αὐτὸ μήτε ὡς μέρος μήθ' ὡς δυνάμενον χωρὶς αὐτοῦ εἶναι ἔδειξεν, ὅτι ἐστὶν ἐν ὑποκειμένῳ αὐτῷ. οὕτω δὲ δεῖ καὶ τὸν ζητοῦντα περὶ τοῦ εἴδους, πότερον ἐν ὑποκειμένῳ ἐστὶν ἢ μή, λαβεῖν τι τοιοῦτο, ἐν ᾧ ἐστι μὲν ἤδη τὸ εἶδος, ζητεῖται δὲ τὸ πῶς. ἐν μὲν οὖν τῇ ὕλῃ, εἰ καθ' αὑτὴν λαμβάνοιτο, οὔπω ἐστὶ τὸ εἶδος (διὸ οὐδ' ἂν ζητοῖτο, πῶς ἐστιν ἐν αὐτῇ τὸ μηδὲ τὴν ἀρχὴν ὂν ἐν αὐτῇ), ἐπεὶ δέ ἐστιν ἐν τῇ συναμφοτέρῳ οὐσίᾳ τὸ τοιοῦτον εἶδος, χρὴ τοιοῦτό τι προχειρισαμένους ἐπ' αὐτοῦ τὴν ζήτησιν ποιεῖσθαι. ἀλλὰ μὴν ἣν ἂν λάβωμεν συναμφότερον οὐσίαν, ἐν

---

3. 4 ἄλλου a 9 ἐνεργείᾳ V 10 οἷόν τε corr. ex οιονται V^1 11 υποκειμενω V 12 ὑποκειμένου V^1 (corr. V^2) 16 μὴ del. Sp. 18 οὐ γὰρ B^2 20 τούτῳ] τοῦτο a 22. 23 πότερον] ο in lit. V: corr. ex πρότερον B: πρότερον FLa 24 τι VS^2a Sp.: τὸ FS^1L 27 ἔδειξεν in lit. V 28 δὲ δεῖ καὶ V Vict. Sp.: δέδεικται FS (in mg. δεῖ) La 29 τι τοιοῦτο GFSa Sp.: τι τοῦτο VB 30 ζητεῖται VS^2a Sp.: ζητεῖ FS^1L 31 ζητοῖτο VB coni. Sp.: ζητοίη τὸ GFSa 32 τῷ G ὂν ἐν B^2S^2a Sp.: ἐν VB^1S^1GL τὸ—ἐστὶν om. F

αὐτῇ τὸ εἶδος τὸ ὂν ἐν αὐτῇ ὡς μέρος ἐστὶ τοῦ συναμφοτέρου. καὶ γὰρ ἡ ψυχὴ ἐν τῷ ὀργανικῷ σώματι, ἐν ᾧ ἐστιν, οὕτως ἐστὶν ὡς μέρος. εἰ δ' ὡς μέρος, οὐκ ἂν εἴη ὡς ἐν ὑποκειμένῳ ὂν τούτῳ, ἐν ᾧ ἐστιν οὕτως [ἔστιν], οὐθ' ἡ ψυχὴ οὔτε τι εἶδος ὅλως. ἢ ἐρεῖ τις καὶ τὸ λευκὸν τοῦ μὲν λευκοῦ σώματος εἶναι μέρος, ἐν ὑποκειμένῳ δ' εἶναι τῷ σώματι ᾧ συντελεῖ πρὸς τὸ εἶναι ἐν ὑποστάσει, διὸ καὶ τὸ εἶδος τῆς μὲν συναμφοτέρου οὐσίας μέρος ἔσεσθαι, ἐν δὲ τῇ ὕλῃ ᾗ συντελεῖ πρὸς ὕπαρξιν, εἶναι ἐν ὑποκειμένῳ. ἆρ' οὖν χρὴ λέγειν δεῖν μὲν τὸ ἐν ᾧ ζητεῖται, εἴ ἐστί τι ὡς ἐν ὑποκειμένῳ, πάντως εἶναι τόδε τι καὶ ἐνεργείᾳ ὑπάρχον (οὐ γὰρ δὴ ἐν τῷ μὴ ὄντι οἷόν τέ τι εἶναι ἐν ὑποκειμένῳ), τῶν δὲ τούτῳ συντελούντων πρὸς τὸ εἶναι ἐν ὑποστάσει τε καὶ κατ' ἐνέργειαν τῷ εἶναι ἐν αὐτῷ, ὅσα μὲν ἐν αὐτῷ μόνον εἰς τὸ ⟨ἐν⟩ ὑποστάσει εἶναι συντελεῖ, μηκέτι δὲ καὶ τὸ τῳδέ τινι εἶναι, ⟨ταῦτα ἐν ὑποκειμένῳ αὐτῷ εἶναι⟩ (καθ' ἃ γάρ τι σῶζον τὴν οἰκείαν φύσιν οἷόν τε μεταβάλλειν, ταῦτα ἐν ὑποκειμένῳ ἐστὶν αὐτῷ), ὅσα δὲ μὴ μόνον εἰς τὸ ὑφεστάναι, ἀλλὰ πολὺ πρότερον εἰς τὸ τῳδέ τινι εἶναι συντελεῖ τινι, καθ' ἃ μεταβάλλοντα οὐκέθ' οἷόν τε μένειν τοῦτο ὃ ἦν, ταῦτα δὲ μηκέτι ἐν αὐτῷ εἶναι ὡς ἐν ὑποκειμένῳ. πῶς γὰρ ἂν εἴη ἐν ὑποκειμένῳ ἀνθρώπῳ τοῦτο οὗ ἡ ἀπουσία φθείρει τὸν ἄνθρωπον; διὸ ἡ μὲν γραμματικὴ ἐν ὑποκειμένῳ τῷ ἀνθρώπῳ τῷ ἔχοντι αὐτήν, καίτοι συντελοῦσαν αὐτῷ πρὸς τὸ γραμματικῷ εἶναι (οὐ γὰρ ἐν τῇ τῆς γραμματικῆς ἀπουσίᾳ καὶ ἄνθρωπος εἶναι παύεται), ἡ δὲ ψυχὴ οὐκέτ' ἐν ὑποκειμένῳ αὐτῷ, ὅτι πρὸς τὸ εἶναι ἀνθρώπῳ ἡ συντέλεια αὐτῆς, ἀλλ' οὐ πρὸς τὸ ποιῷ ἢ ποσῷ εἶναι ἢ ποῦ ἤ τινι τῶν τοιούτων ὄντων τὸ εἶδος τὸ φυσικόν, εἴ γε κατὰ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστιν. ἐν μὲν οὖν τῷ συναμφοτέρῳ τε καὶ τῳδέ τινι ὄντι διὰ τοῦτο τὸ εἶδος οὐχ ἐν ὑποκειμένῳ. μέρος γὰρ τῆς οὐσίας τῆς ἑκάστου οὕτως ἐν αὐτοῖς ὄν, οὐδὲ ἐν τῇ ὕλῃ δὲ μόνον, ὅτι μηδὲ τὴν ἀρχὴν αὕτη οὕτως ὑποκείμενον ὡς τόδε τι, μὴ ἔχουσά πω ἐν αὑτῇ τὸ εἶδος, ἐν δὲ τοῖς οὕτως οὖσι τὸ ἐν ὑποκειμένῳ. τί γὰρ δεῖ εἶναι καὶ τόδε τι ἐν ᾧ τὸ ἐν ὑποκειμένῳ· τοιοῦτον γὰρ τὸ μέρη ἔχον. ἔτι εἰ τὸ μὲν ὑποκείμενον τοῦ ἐν ὑποκειμένῳ ὄντος αὐτῷ διαφέρει τῷ τὸ μὲν ὑποκείμενον δύνασθαι καὶ ἄνευ τῶν ἐν ὑποκειμένῳ ὄντων αὐτῷ εἶναι (καὶ γὰρ εἰ μὴ οἷόν τε κηρὸν εἶναι χωρὶς σχήματος, ἀλλὰ χωρίς γε τούτου τοῦ σχήματος, ὃ νῦν ἔχει, οἷόν τε αὐτὸν εἶναι), τὸ δὲ ἐν ὑποκειμένῳ ὂν μὴ δύνασθαι χωρισθέντος τοῦ ὑποκειμένου αὐτῷ εἶναι (τὴν δὲ ὕλην καὶ τὸ εἶδος ἀδύνατον χωρὶς ἀλλήλων εἶναι τῷ

---

1 ταύτῃ coni. Sp. ὡς VB: τὸ ὂν ὡς GFSa Sp.: τὸ ὂν ἐν L 4 ἔστιν del. Sp. οὔτε τι B^2 Vict. Sp.: οὐκέτι VFa: οὐκέστι L 7 ᾗ VF: ἡ S: ἢ La Sp. 10 οἴονται V^1 (corr. V^2) 12 ἐν add. Vict. Sp. 13 τῳδέ τινι V^2B: τῷ δέ τιν V^1: τόδε τι GSa Sp.: τὸ δ' ἔτι F ταῦτα ἐν ὑποκειμένῳ αὐτῷ εἶναι add. B^2S^2a Sp. καθ' ἃ $V^2B^1S^2$ Vict. Sp.: κατὰ V^1GFS^1La 15. 16 τῳδέ τινι V^2B: τῷ δέ τι V^1: τόδε τι GFSa Sp. 16 μεταβάλλον B^2S^2a Sp.: μεταβάλλοντα VFB^1S^1 20 συντελοῦσα FSB^2a Sp. τὸ scripsi: τῷ libri 23 ὄντων VB^1: om. GFS^1L: ὄντων τοιοῦτον γὰρ B^2S^2a: ὄν, τῶν τοιούτων γὰρ Sp. 28 πω VB: πως SGFLa Sp. αὐτῇ V alt. τὸ om. a 29 δεῖ] δ' a ᾧ V^2B Vict. Sp.: τῶι V^1GFSLa 35 αὐτῷ] αὐτὸ a Sp.

πρὸς ἄλληλα αὐτὰ λέγεσθαι, τὰ δὲ πρὸς ἄλληλα λεγόμενα ἅμα εἶναι τῇ φύσει, εἴ γε πρός τί ἐστιν, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν), οὐδ' οὕτως ἂν τὸ εἶδος εἴη ἐν ὑποκειμένῳ τῇ ὕλῃ. ἢ δύναται καὶ ἐπὶ τῆς ὕλης λέγεσθαι, ὅτι χωρὶς μὲν εἴδους οὐχ οἵα τε εἶναι, ὥσπερ οὐδὲ ὁ κηρὸς χωρὶς σχήματος, χωρὶς δὲ τοῦ εἴδους τοῦδε οἵόν τε αὐτὴν εἶναι, ὡς καὶ τὸν κηρὸν χωρὶς τοῦδε τοῦ σχήματος. ἢ εἰ ἡ ψυχὴ οὐκ ἐν ἄλλῳ τινὶ σώματι οἵα τε εἶναι ἢ γενέσθαι, ἢ ἐν τῷ ὀργανικῷ, τούτου δ' ἔστι μέρος, οὐκ | ἂν εἴη ἐν ὑποκειμένῳ, τῶν δὲ σχημάτων ἕκαστον οὐκ ἐν 41 ἀφωρισμένῳ γίνεται σώματι. ἔτι ὁ ἄνθρωπός ἐστι μὲν καὶ μετὰ ψυχῆς, ἔστι δὲ καὶ μετὰ χρώματός τε καὶ σχήματος, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ μετὰ μὲν ψυχῆς ὡς μέρους καὶ μάλιστα εἰς τὸ ἀνθρώπῳ εἶναι συντελούσης. ἐν ᾧ γὰρ ἂν ᾖ ἡ τοιαύτη ψυχή, τοῦτ' ἄνθρωπος. οὐκέθ' οὕτω τὸ χρῶμα καὶ τὸ σχῆμα ἐν τῷ ἀνθρώπῳ· οὐ γὰρ πᾶν τὸ ἔχον τοιοῦτον σχῆμα ἢ χρῶμα ἄνθρωπος. διὸ τὰ μὲν ἐν ὑποκειμένῳ αὐτῷ, οὐκέτι δὲ καὶ ἡ ψυχή. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων τῶν φυσικῶν εἰδῶν.

IX. Πῶς οὐχὶ τῇ εὐεξίᾳ ἡ νόσος ἀντίκειται μᾶλλον τῆς καχεξίας.

Ἐζητήθη, πῶς οὐχὶ τῇ εὐεξίᾳ οὔσῃ ἐπιτεταμένῃ ὑγείᾳ ἡ νόσος μᾶλλον τῆς καχεξίας ἀντίκειται, εἴ γε τὰ ἐναντία πλεῖστον ἀλλήλων διέστηκεν ἐν τῷ αὐτῷ γένει. εἰ γὰρ ἡ καχεξία ἐν ὑγιαίνοντι γίνεται, εἴη ἂν ἀνειμένη τις οὖσα ὑγεία, οὕτω δὲ ἔσται τῇ ἐπιτεταμένῃ ὑγείᾳ ἡ ἀνειμένη ὑγεία ἐναντία. ἄτοπον δὲ τῇ μὲν ὑγείᾳ τὴν νόσον λέγειν εἶναι ἐναντίον, μηκέτι δὲ τῇ ἐπιτεταμένῃ ὑγείᾳ τὴν νόσον ἢ τὴν κατὰ τὴν νόσον ἐπίτασιν. αὕτη γὰρ ἔσται πλεῖστον αὐτῆς διεστῶσα. ἢ εἰ μὲν περὶ ταὐτὸν ἐγίνετο ἥ τε ὑγεία καὶ ἡ εὐεξία, ἔτι δ' ἡ νόσος καὶ | ἡ καχεξία, ἦν ἂν ὑγιὲς τὸ λεγό- 42 μενον, ἐπειδὴ δεῖ περὶ ταὐτὸν τὰ ἐναντία γίνεσθαι. εἰ δ' ἐν ἄλλῳ μὲν ἡ ὑγεία, ἐν ἄλλῳ δὲ ἡ εὐεξία, καὶ ἐν ᾧ μὲν ἡ ὑγεία, ἐν τούτῳ καὶ ἡ νόσος, ἐν ᾧ δὲ ἡ καχεξία, ἐν τούτῳ καὶ ἡ εὐεξία, οὔτ' ⟨εὐεξία⟩ ὑγεία ⟨ἂν⟩ εἴη ἐπιτεταμένη, οὔτ' ἐναντίον αὐτῇ εἴη ἡ νόσος, τὴν ἀρχὴν μηδὲ γινομένη περὶ τὰ αὐτὰ αὐτῇ. γίνεται γὰρ ἡ μὲν ὑγεία καὶ νόσος περὶ τὰς δυνάμεις τῶν πρώτων σωμάτων ἐξ ὧν τὰ ζῷα, ἅπερ ἐστὶ τὰ στοιχεῖα, ὧν δυνάμεις θερμότης ψυχρότης ὑγρότης ξηρότης. ἐν μὲν γὰρ τῇ τῶν δυνάμεων τούτων πρὸς ἄλληλα συμμετρίᾳ ἡ ὑγεία, ἐν δ' ἀσυμμετρίᾳ τῶν αὐτῶν τού-

---

3 ᾖ a 5 οἴονται V^{1} (corr. V^{2}) 6 fortasse ἀλλ' εἰ 7 ἢ ἐν V^{2}BS^{2}a Sp.: ἐν V^{1}GFL ἔστι VB: οὐκ (in mrg. οὐ G^{2}) ἔστι G^{2}FSa Sp.: οὐκέτι G^{1} 8 ὑποκειμένω V σχημάτων V 12 ἂν ᾖ ἡ B^{2}S^{2}a Sp.: ἂν ἡ GFS^{1}L: ἂν ἡ VB οὐκέθ'] οὐκέτι δὲ Vict. οὕτω δὲ V^{2}B 18 διέστηκεν in lit. B^{2}S^{2}a Sp.: καθέστηκεν VGS^{1}FL 25 ταὐτὸν τὰ ἐναντία] τὸν τὰ ἐν in lit. V 27 εὐεξία, οὔτ' ⟨εὐεξία⟩ ὑγεία ⟨ἂν⟩ Sp.: εὐεξία ὑγεία V^{1}: εὐεξία ἡ δ' εὐεξία ὑγεία V^{2}B: εὐεξία· οὔτε (νόσος post οὔτε del. S) ὑγεία ἂν GFSLa: εὐεξία οὐδ' εὐεξία ὑγεία ἂν Vict. 28 αὐτῇ εἴη ἡ νόσος GL: αὕτη εἴη ἡ νόσος FSa: αὕτη εἰ ἡ νόσος V: αὐτῇ εἴη νόσος B: τοὐναντίον αὐτῇ εἴη νόσος Sp. 29 τὰ αὐτὰ αὕτη (αὐτῇ m^{2}) V: τὰ αὐτὰ αὕτη GFLa: τὰ αὐτὰ αὐτῇ (αὐτή m^{1}) B^{2}: αὐτὰ αὕτη Sa: ταὐτὰ [illegible] Sp. 30 δύναμις a

των ἡ νόσος. ἡ δὲ εὐεξία καὶ καχεξία περὶ ταῦτα γίνεται, περὶ ἃ καὶ ἡ ἰσχύς τε καὶ ἡ ἀσθένεια. ἔοικε γὰρ ἡ μὲν εὐεξία τῇ ἰσχύι, ἡ δὲ καχεξία τῇ ἀσθενείᾳ· ὅ τε γὰρ ἰσχύων πλέον τῆς κατὰ τὴν ἁπλῆν ὑγείαν ἰσχύος ἐξ ἐπιμελείας εὐέκτης καλεῖται καὶ ὁ εὐέκτης οὕτως ἰσχύει, καὶ ὁ ἀσθενέστερος ἢ κατὰ τὴν τῶν ἁπλῶς ὑγιαινόντων ἰσχὺν καχέκτης κατ' ἐκεῖνο. ἀλλὰ μὴν ἡ ἰσχὺς καὶ ἡ ἀσθένεια ἐν συμμετρίᾳ τῶν ὁμοιομερῶν ἐν τοῖς ζῴοις μερῶν καὶ ἀσυμμετρίᾳ τὸ εἶναι ἔχουσιν, ἡ μὲν ἰσχὺς ἐν τῇ τούτων συμμετρίᾳ, ἡ δ' ἀσθένεια ἐν τῇ τῶν αὐτῶν ἀσυμμετρίᾳ, ὥστε καὶ ἡ εὐεξία καὶ ἡ καχεξία ἐν τούτοις | ἂν γίνοιντο, καὶ εἴη ἂν ὡς ἀσθένεια ἰσχύι, 43 οὕτω καχεξία εὐεξίᾳ ἐναντίον. διὸ καὶ εἰ μὲν ἦν περὶ ἃ ἡ ὑγεία, περὶ ταῦτα καὶ ἡ εὐεξία, εἶχεν ἂν λόγον λέγειν τὴν εὐεξίαν ἐπιτεταμένην ὑγείαν, ἐπεὶ δὲ μὴ περὶ ταὐτά ἐστιν, οὐκ ἂν δεόντως οὕτως λέγοιτο, ἢ εἴπερ ἄρα τῷ γίνεσθαι τὴν εὐεξίαν ἐπὶ προϋποκειμένῃ πάντως ὑγείᾳ προσθήκης μέν τινος τῷ ὑγιαίνοντι γινομένης, ἀλλ' οὐ κατὰ ὑγείαν οὐδὲ τὴν κατὰ ταύτην συμμετρίαν.

X. Πῶς εἰ τέσσαρα τὰ αἴτια, οὐκ ἔσται καὶ ἐν τοῖς θείοις σώμασι τὸ ὑποκείμενον ὕλη.

Εἰ τῶν φυσικῶν ἀρχὴ καὶ στοιχεῖα ταῦτα περὶ ὧν εἴρηκεν ἐν τῇ Φυσικῇ ἀκροάσει Ἀριστοτέλης, ἔστι δὲ ταῦτα ἥ τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ ποιητικὸν καὶ τὸ οὗ ἕνεκα, τὸ κυκλοφορητικὸν σῶμα ἤτοι οὐκ ἔσται φυσικὸν σῶμα, ἢ ἔσται ὕλη καὶ τὸ ὑποκείμενον ἐν ἐκείνῳ, ἢ οὐκ ἔσται πάσας τὰς ἀρχὰς τῶν φυσικῶν λέγων. τί γὰρ τὸ ὑποκείμενον ἐκείνῳ; ἀλλὰ μὴν φυσικὸν σῶμα κἀκεῖνο. πᾶν γὰρ σῶμα ἢ φυσικὸν ἢ μαθηματικόν, οὐκ ἔστι δὲ μαθηματικὸν ἐκεῖνο, ἐπεὶ πᾶν τὸ ἐν κινήσει τῇ ἐξ αὐτοῦ σῶμα φυσικόν, ἐν κινήσει δὲ ἐκεῖνο. εἴ γε καὶ ἀεικίνητον καὶ τὴν | αἰτίαν τῆς κινήσεως ἔχον ἐν ἑαυτῷ. ⟨ἢ⟩ εἰ ἡ φύσις κατ' αὐτὸν ἀρχὴ κινήσεως 44 καὶ στάσεως, ἐν οἷς ἐστι πρώτως καὶ οὐ κατὰ συμβεβηκός, οὐκ ἔχει δὲ ἐκεῖνο ἀρχὴν στάσεως ἐν ἑαυτῷ, οὐδ' ἂν φύσιν ἔχοι. εἰ δὲ μὴ φύσιν ἔχοι, οὐδ' ἂν φυσικὸν σῶμα εἴη. ἀλλ' εἰ μὴ φυσικόν, ποῖόν τι; οὐ γὰρ δὴ μαθηματικόν, ἐπεὶ ἔμψυχόν ἐστι, πᾶν δὲ σῶμα ἔμψυχον φυσικόν. οὐ φυσικὸν δ' ὂν σῶμα οὐκ ἔχει τὸ ὑποκείμενον ὕλην, εἴ γε ἡ ὕλη τὸ παρὰ μέρος τῶν ἐναντίων δεκτικόν. ἢ εἰ μὲν τὴν ὕλην ἔλεγεν εἶναι μόνον τὸ ἔσχατον ὑποκείμενον τῶν ἐναντίων παρὰ μέρος δεκτικόν, οὐκ ἂν ἦν ἐν τῇ

---

1 fortasse ταὐτά, item 11 et 12   2 καὶ om. a   3 ἁπλῆν] ῆ in lit. V   12 ἄρα V^1 (corr. V^2)   ἢ—ἄρα superflua   13 πάντος V^1 (corr. V^2)   14 οὐ κατὰ V^2GFSB^2a: οὐδὲ κατὰ V^1B^1: fortasse οὔτε κατὰ ὑγείαν οὔτε   17 ἡ ὕλη BL Vict.   18 fortasse ἀρχαὶ ταῦτα] τὰ a Sp.   19 Φ. Ἀ.] phys. ausc. II, 3. 194b16   ἡ ὕλη τε καὶ a Sp.   22 τὰς] ἴσ (ἴσως?) ταύτας Vict.   λέγειν a   24 αὐτοῦ V^1 (corr. V^2)   25 γε ἐκεῖνο V^1 (corr. V^2)   ἀεικίνητον V^2B: ἀκίνητον V^1FSLa: ἀεὶ κινητὸν Vict. Sp.   26 εαυτῷι sic, ε infra v. V   ἢ εἰ ἡ V^2GBS^2L: εἰ ἡ V^1S^1F: ἢ ἡ a: ἢ εἰ Vict. Sp.   29 ποῖόν τι V^2B: ποιόν τι V^1G: τὸ ποιόν τι FL: ποῖον δὴ Sa Sp.   30 ἢ ἐπεὶ V^1 (et ἢ, margini adscriptum, et prius ἐ punctis notat V^2) B: //// ἐπεὶ G: ἐπεὶ SFa Sp.   οὐ in mg. V^1

ὕλῃ περιειλημμένον τὸ ὑποκείμενον τῷ πέμπτῳ σώματι, εἰ δ' ὁρίζεται τὴν ὕλην καὶ οὕτως, ἔσχατον ὑποκείμενον ἀρρύθμιστον καθ' αὑτό, εἴη ἂν ἐν τῇ οὕτως ὕλῃ λεγομένῃ περιειλημμένον καὶ τὸ ἐν τῷ θείῳ σώματι ὑποκείμενον. κοινότερος γὰρ οὗτος ὁ λόγος τῆς κατὰ τὸ ὑποκείμενον ἀρχῆς καὶ περιέχων ἐν ἑαυτῷ ἀμφότερα τὰ ὑποκείμενα. οὐκ εἰ ἕτεραι δὲ ἀλλήλων αἱ ὗλαι, ἥ τε ἐν τῷ θείῳ σώματι ὑποκειμένη καὶ ἡ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἤδη καὶ σύνθετοι. εἰ μὲν γὰρ ἦν τι αὐταῖς ἕν τι ὑποκείμενον, ἔδει αὐταῖς διαφορῶν, καθ' ἃς εἰδοποιηθεῖσαι ἔχουσαι ταὐτὸν ὑποκείμενον ἀλλήλων διαφέρουσι· εἰ δέ εἰσιν ἕτεραι, πάντῃ οὐκ ἀνάγκη αὐτὰς κατά τινας εἰδοποιοὺς διαφορὰς ἀλλήλων | διαφέρειν· οὐδὲ γὰρ τὸ εἶδος καὶ ἡ 45 ὕλη, ἐπεὶ ἕτερα ἀλλήλων, διὰ τοῦτο καὶ σύνθετα.

XIᵃ. Πῶς εἴρηται ἐν τῷ ᾱ Περὶ ψυχῆς· τὸ γὰρ ζῷον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον.

Ἐζητεῖτο πῶς εἴρηται ἐν τῷ πρώτῳ Περὶ ψυχῆς ὑπ' Ἀριστοτέλους, τὸ γὰρ ζῷον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. ὅτι μὲν οὖν δύναται παραδείγματι τῷ ζῴῳ κεχρῆσθαι τῶν ἐπὶ τῆς ψυχῆς καὶ τῶν οὕτω λεγομένων καθόλου ὡς τὸ πρῶτον ἔχειν καὶ δεύτερον, βουλόμενος ὅπως ἔχει δεῖξαι, εἴρηταί μοι ἐν τῷ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματι. ἔνεστι μέντοι τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ζῴου καὶ ἐπὶ τῶν κυρίως ὄντων γενῶν ἐφαρμόζον δεῖξαι. ἐπεὶ γὰρ τὸ γένη καθόλου, τὸ δὲ καθόλου τινῶν ὄν, ὄν τι καθόλου ἐστίν. οὐ γὰρ δὴ μηδέν τι ὂν καθόλου τέ ἐστι καὶ γένος καὶ συνωνύμως κατηγορεῖται, ἀλλὰ δεῖ τι εἶναι πρᾶγμα, ᾧ τὸ καθόλου συμβέβηκεν, καὶ ἔστιν ἐκεῖνο μὲν πρᾶγμά τι ᾧ τὸ καθόλου συμβέβηκεν, τὸ δὲ καθόλου οὐ πρᾶγμά τι κυρίως, ἀλλὰ συμβεβηκός τι ἄλλῳ. οἷον τὸ ζῷον πρᾶγμά τί ἐστι καὶ φύσεώς τινος δηλωτικόν, σημαίνει γὰρ οὐσίαν ἔμψυχον αἰσθητικήν, ὃ κατὰ μὲν τὴν αὑτοῦ φύσιν οὐκ ἔστι καθόλου. οὐδὲν γὰρ ἧττον ἔσται καὶ εἰ ἓν κατ' ἀριθμὸν ὑποτεθείη ζῷον εἶ|ναι. ὑπάρχει 46 δὲ αὐτῷ ὄντι τοιούτῳ ἐν πλείοσιν εἶναι καὶ κατ' εἶδος ἀλλήλων διαφέρουσιν. συμβέβηκεν οὖν αὐτῷ τοῦτο. ὃ γὰρ μὴ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ὑπάρχει αὐτῷ συμβεβηκός. ἐπεὶ τοίνυν τὸ γένος τὸ τοιοῦτο οὐ πρᾶγμά τι, ἀλλὰ συμβεβηκὸς πράγματι, εἶπεν αὐτὸ Ἀριστοτέλης "ἢ μηδὲν εἶναι", ἐπεὶ

2 ἀρρύθμιστον V²B Sp.: ἀρυθμιστον V¹F: ἀρυθμιστὸν GSLa   καθ' αὑτό V²B² Sp.: κατ' αὐτό (αυ in lit.) V¹GFSB¹La   3 ὕλῃ om. FS¹L   4 ὁ λόγος οὗτος a Sp.   9 διέφερον B²   12 περὶ ψυχῆς] de an. I, 1. 402ᵇ7   16 τῶν GFSLa Sp.: τὸ (ὁ in ras. m²) B: τῶι sic V   18 ἔχει GFBLSa Sp.: ἔχηι (η in lit.) V   20 τὸ scripsi: τὰ libri cf. 23,23   τινῶν ὄν, ὄν τι scripsi cf. ib.: τινῶν ὄντα G¹LS: τινῶν ὄντι VB¹: τινῶν ὄντων B²a: τινῶν ὂν τῶν S²: τι ὄντα G²: τὶ νων ὄντα F   alt. καθόλου om. L   23 πρᾶγμά τι V²GLa Sp.: πραγμα τι V¹: πράγματι F   26 αὐτοῦ V¹ (corr. m²)   27 ὑποτεθείη Sp.: ὑποτεθῇ VGB: ὑποτέθη FSLa   ὑπάρχει V²BS²a Sp.: ὑπάρχειν S¹V¹GFL   29 fortasse τὸ γὰρ   30 τὸ τοιοῦτο V²BS²a Sp.: τοιοῦτο V¹S¹GFL cf. 24,1   31 συμβεβηκοσ V¹   πρᾶγμά τι a Sp.: πράγματί τινι Trendelenburg de an.² p. 167

μὴ κυρίως (ὄν· τὸ γὰρ ὡς) γένος ζῷον βουλόμενος δηλῶσαι προσέθηκεν τῷ ζῴῳ τὸ καθόλου, εἰπὼν τὸ γὰρ ζῷον τὸ καθόλου. τοῦτ' οὖν τὸ ὡς γένος ζῷον ἤτοι οὐδέν ἐστιν, ἐπεὶ μὴ φύσιν τινὰ οἰκείαν σημαίνει, ἀλλ' ἔστιν σύμπτωμα ἐπί τινι γινόμενον πράγματι, ἢ εἰ καὶ τὸ οὕτως ὂν ὄν τις λέγοι, ὕστερον ἔσται ἐκείνου ᾧ ὑπάρχει. δεῖ γὰρ εἶναι πρῶτον τὸ πρᾶγμα τοῦ συμβεβηκότος αὐτῷ. ὅτι δὲ ὕστερον τοῦ πράγματος, δῆλον. ζῴου μὲν γὰρ ὄντος οὐκ ἀνάγκη τὸ ὡς γένος ζῷον εἶναι (δύναται γὰρ πρὸς ὑπόθεσιν καὶ ἕν τι ζῷον εἶναι, ἐπεὶ [τὸ] μὴ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ καθόλου), εἰ δὲ εἴη τὸ ὡς γένος ζῷον, ἀνάγκη καὶ τὸ ζῷον εἶναι. καὶ ἀναιρουμένης μὲν οὐσίας ἐμψύχου αἰσθητικῆς οὐδ' ἂν τὸ ὡς γένος ζῷον εἴη (οὐ γὰρ οἷόν τε τὸ μὴ ὂν ἐν πλείοσιν εἶναι), εἰ μέντοι ἀναιρεθείη τὸ ὡς γένος ζῷον, οὐκ ἀνάγκη καὶ τὴν οὐσίαν ἔμψυχον αἰσθητικὴν ἀνῃρῆσθαι· εἴη γὰρ ἂν ὡς εἶπον καὶ ἐν ἑνί, καὶ ἔστι διὰ ταῦτ' εἰρημένον | τὸ ἢ οὐδέν ἐστιν ἢ ὕστερον. ὕστερον δ' ὂν τοῦ πράγματος ᾧ συμβέβηκεν, πάλιν αὐτὸ πρῶτον ἑκάστου τῶν (ἐν μέρει καὶ) ὑπ' αὐτὸ γίνεται, διότι τὸ μὲν γένει εἶναί ἐστιν ἐν τῷ κατὰ πολλῶν καὶ διαφερόντων κατηγορεῖσθαι, τὸ δ' ἐν μέρει εἶναί ἐστι τὸ μετὰ πολλῶν εἶναι ὑφ' ἕν τι ἢ γένος ἢ εἶδος. διὸ ἀναιρουμένῳ μὲν ἑνὶ τῶν ὑπὸ τὸ κοινὸν οὐ συναναιρεῖται τὸ κοινόν, διότι ἐστὶν ἐν πλείοσιν· εἰ δ' ἀναιρεθείη τὸ κοινόν, οὐδ' ἂν τῶν ὑπὸ τὸ κοινὸν εἴη τι, οἷς τὸ εἶναι ἐν τῷ ἐκεῖνο ἔχειν ἐν αὐτοῖς.

XI[b]. [Ἄλλως τὸ αὐτὸ ἐπιμελέστερον τεταγμένον.]

Ἐζητεῖτο πῶς εἴρηκεν ἐν τῷ ᾱ Περὶ ψυχῆς Ἀριστοτέλης τὸ γὰρ ζῷον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. ὅτι μὲν δύναται παραδείγματι τῷ ζῴῳ κεχρῆσθαι τῶν ἐπὶ τῆς ψυχῆς καὶ τῶν οὕτω λεγομένων καθόλου ὡς τὸ πρῶτον ἔχειν καὶ δεύτερον, βουλόμενος πῶς ἔχει δεῖξαι, εἴρηταί μοι ἐν τῷ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματι. εἰπὼν γὰρ ὅτι χρὴ εὐλαβεῖσθαι ἄσκεπτον καταλιπεῖν τὸ πότερον τῷ εἴδει μόνον διαφέρουσιν ἀλλήλων αἱ ψυχαὶ ἢ καὶ τῷ γένει· εἰ γὰρ τοῦτο διορισθείη, οὐ λήσεθ' ἡμᾶς, πότερον εἷς τις λόγος ψυχῆς κοινός τε καὶ γενικός. εἰ δὲ

1 μὴ] μὲν a ὂν τὸ γὰρ ὡς add. V²BS²a Sp. et v. 24,3 προτέθηκεν a 2 τῷ καθόλου a 8 ἐπεὶ V²B et v. 24,5: ἐπεὶ τὸ V¹GFSLa 9 εἰ δὲ εἴη τὸ ὡς V²B Vict. (Vict. fort. εἴη ἢ) Sp. et v. 24,10: ἔδει ἢ τὸ (το V¹) ὡς V¹GFSLa 10 αἰσθητικοῦ FS¹L οἴονται V¹ (corr. V²) 13 διὰ τοῦτ' coni. Sp. cf. 24,10 15 ἐν μέρει καὶ add. Vict. et v. 24,17 αὐτὸ] αὐτοῦ GF¹ 18 οὐ συναναιρεῖται Vict. et v. 24,20: οὐκ ἀναιρεῖται libri 20 αὐτοῖς V: ἑαυτοῖς v. 24,22 21 Ἄλλως κτλ.] quae secuntur ad verbum congruunt cum antecedentibus, i. e. 21,14—22,20 = 22,22—26 et 23,21—24,21. accedunt 22,26—23,21, ubi accuratius exponitur ὅτι δύναται παραδείγματι τῷ ζῴῳ κεχρῆσθαι κτλ. qua de re in priore capite satis habuit ad commentarium de anima provocare 22 εἴρηται GFSLa vid. v. 21,14 ἀριστοτέλη SL: ἀριστοτέλει G Sp.: ἀριστοτέλῃ a γὰρ om. a 23 μὲν οὖν Vict. 24 παράδειγμά τι a τῶν G Sp. v. 41,16: τὸ VBS¹: τὸ τῶν F: τῷ S²La 26 εἰπὼν] 402b3. subintellegas οὕτως ἐζήτησε 27 καταλιπεῖν τῷ a 27. 28 διαφέρουσιν μόνον a

μὴ | ὁμογενεῖς εἶεν, ἑκάστου γένους ψυχῆς ἴδιος ἔσται. τὸ γὰρ κοινὸν 48 ψυχῆς ὄνομα μόνον ἐστίν, οὐκέτι δὲ καὶ πρᾶγμά τι. δεικνὺς δὲ πῶς ἴδιος ἑκάστης, παραδείγμασιν ἐχρήσατο ὑπὸ ἓν γένος οὖσιν, ὃ καὶ ἀσαφέστερον τὸ λεγόμενον ἐποίησεν. εἰ γὰρ εἴη ταῦτά φησι μὴ ὁμογενῆ, ὁ ἵππος καὶ ὁ κύων καὶ ὁ ἄνθρωπος καὶ ὁ θεός, ὡς γένος αὐτῶν τὸ ζῷον εἶναι, ἴδιος ἑκάστου αὐτῶν λόγος ἔσται, τὸ δὲ ζῷον τὸ κοινῶς κατ' αὐτῶν κατηγορούμενον ἤτοι οὐδεμίαν οἰκείαν σημαίνει φύσιν, ἀλλ' ἔσται ὁμώνυμον, ἢ εἰ καὶ σημαίνει, ⟨ἔχει⟩ ὡς δοκεῖ ἔχειν ἐπὶ τῶν πολλαχῶς λεγομένων τῶν ἐν οἷς ἐστι τὸ πρότερον καὶ ὕστερον. τὸ γὰρ κοινῶς ἐν τοῖς οὕτως ἔχουσι κατηγορούμενον σημαίνει μέν τινα φύσιν, οὐ μὴν ἐν πᾶσιν ὁμοίως ἔχουσαν τοῖς ὧν κατηγορεῖται· διὸ ὕστερον τοῦτο τῶν ὑπ' αὐτό. τὸ μὲν γὰρ ὡς γένος τινῶν κατηγορούμενον ἀναιρούμενον συναναιρεῖ αὐτῷ πάντα τὰ ὑφ' αὐτό, ὧν οὐδενὶ ἀναιρουμένων συναναιρεῖται, διὸ πρῶτον τῇ φύσει, τὸ δ' ἐν οἷς τὸ πρότερον καὶ ὕστερόν ἐστιν, ἀναιρουμένῳ τῷ πρώτῳ ἔχοντι τὸ ὑπ' αὐτοῦ σημαινόμενον συναναιρεῖται, διὸ οὐκέτι πρῶτον ἀλλ' ὕστερον γίνεται. τοιοῦτον δὲ δείξει καὶ τὴν ψυχὴν ὄν. διὸ εἰκότως προτίθεται τὴν περὶ αὐτοῦ ζήτησιν, ποιησάμενος δὲ τὸν λόγον ἐπὶ ζῴου, ἐπεὶ ὧν ἐμνημόνευσεν ὑπὸ τὸ ζῷον ἦν, προσέθηκεν τὸ ὁμοίως | δὲ κἂν εἴ τι κοινὸν 49 ἄλλο κατηγοροῖτο, δεικνὺς ὅτι πᾶν, εἴ τι οὕτως κοινῶς τινῶν κατηγορεῖται ὡς μὴ εἶναι γένος αὐτῶν, ἢ οὐδὲν ἔσται ἢ ὕστερον, ὡς προείρηται. τοῦτο μὲν οὖν ἐν ἐκείνῳ εἴρηται. ἔνεστι μέντοι τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ζῴου καὶ ἐπὶ τῶν κυρίως γενῶν ὄντων ἐφαρμόζον δεῖξαι. ἐπεὶ γὰρ τὰ γένη καθόλου, τὸ δὲ καθόλου τινῶν ὄν, ὄν τι καθόλου ἐστίν. οὐ γὰρ δὴ μηδέν τι ὂν καθόλου τέ ἐστι καὶ γένος καὶ συνωνύμως κατηγορεῖται [ὂν μέν τι τὸ γένος, ὂν μέντοι τόνδε τὸν τρόπον]. τὸ μὲν ὑποκείμενον ᾧ τὸ καθόλου συμβέβηκε πρᾶγμά τί ἐστι, τὸ δὲ καθόλου τὸ ἐκείνῳ συμβεβηκὸς οὐ πρᾶγμά τι καθ' αὑτό ἐστιν, ἀλλὰ συμβεβηκός τι ἐκείνῳ, οἷον ζῷον πρᾶγμά τί ἐστι καὶ φύσεώς τινος δηλωτικόν, σημαίνει γὰρ οὐσίαν ἔμψυχον αἰσθητικήν, ὃ κατὰ μὲν τὴν αὑτοῦ φύσιν οὐκ ἔστι καθόλου. οὐδὲν γὰρ ἧττον ἔσται, καὶ εἰ ἓν κατ' ἀριθμὸν ὑποτεθείη ζῷον εἶναι. ὑπάρχει δὲ αὐτῷ ὄντι τοιούτῳ ἐν πλείοσιν εἶναι καὶ κατ' εἶδος ἀλλήλων διαφέρουσιν. συμβέβηκεν οὖν αὐτῷ τοῦτο. ὃ γὰρ μὴ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ὑπάρχει

---

1 ἐστιν FS^1 2 ὀνόματι V^2 πρᾶγμά τι Sp.: πράγματι libri 3 fortasse σαφέστερον 5 κύνων a ὡς VFB: ὥστε GSa Sp.: φησὶ L 7 ἤτοι] ἤτοι οὐδέν ἐστιν GFSLa: ἤτοι οὐδέν ἐστιν καὶ Vict. Sp. 8 ⟨ἔχει⟩ ὡς scripsi: ⟨ἔσται⟩ ὡς B^{2}S^{2}a Sp. ἐν] καὶ a 12 post ἀναιρούμενον del. m^2 συναναιρούμενον V αὐτῷ V^2 13 ἀναιρουμένῳ a Sp. 14 καὶ τὸ a Sp. 15 σημαινόμενον οὐ συναναιρεῖται B^2 16 δ' ἔδειξε coni. Sp. 17 ἐπεὶ ὧν VB: ἐπιὼν GL: ἐπὶ ὧν FSa Sp. ὅτι ὑπὸ coni. Sp. 21 τοῦτο] τὸ a ἐν om. a ἐκείνῳ VB scil. ὑπομνήματι cf. 22,26: ἐκείνοις LGFSa Sp. 22 ὄντων γενῶν supra 23 ὄν, ὄν τι] ὄν. ὄντι VB: ὄντι SGFLa: ὄντων Vict. Sp. 24 ἔσται a Sp. 24. 25 ὂν μέν τι — τρόπον circumscripsi et desunt 22,21, ubi cf. quae adduntur 25 ὂν μέντοι VS^{1}GFL: οὐδέ τι S^{2}a: ὂν δέ τι (τι del. m^2) B Vict. Sp. τὸ μὲν — ἐκείνῳ] cf. 21,22 — 24 26 πρᾶγμά τι Sp.: πρᾶγμα a: πράγματι libri 27 πραγματι V^1 (corr. V^2) κατὰ συμβεβηκός a Sp. 30 κρεῖττον FS^{1}L

αὐτῷ συμβεβηκός. ἐπεὶ γοῦν τὸ γένος τοιοῦτον οὐ πρᾶγμά τι, ἀλλὰ συμβεβηκὸς πράγματί τινι, εἶπεν αὐτὸ Ἀριστοτέλης ἢ μηδὲν εἶναι, ἐπεὶ μὴ κυρίως ὄν· τὸ γὰρ ὡς γένος ζῷον βουλόμενος δηλῶσαι προσέθηκε τῷ ζῴῳ τὸ καθόλου, εἰπὼν τὸ γὰρ | ζῷον τὸ καθόλου. τοῦτο οὖν τὸ ὡς γένος 50 ζῷον ἤτοι οὐδέν ἐστιν, ἐπεὶ μὴ φύσιν τινὰ οἰκείαν ἔχει, ἀλλ' ἔστιν σύμπτωμα ἐπί τινι γινόμενον πράγματι, ἢ εἰ καὶ τὸ οὕτως ὂν ⟨ὄν⟩ τις λέγοι, ὕστερον ἔσται ἐκείνου ᾧ ὑπάρχει. δεῖ γὰρ εἶναι πρῶτον τὸ πρᾶγμα τοῦ συμβεβηκότος αὐτῷ. ὅτι δ' ὕστερον τοῦ πράγματος, δῆλον. ζῴου μὲν γὰρ ὄντος οὐκ ἀνάγκη τὸ ὡς γένος ζῷον ⟨εἶναι⟩ (δύναται γὰρ πρὸς ὑπόθεσιν καὶ ἕν τι ζῷον εἶναι, ἐπεὶ μὴ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ καθόλου), εἰ δὲ εἴη τὸ ὡς γένος ζῷον, ἀνάγκη καὶ τὸ ζῷον εἶναι. καὶ ἀναιρουμένης μὲν οὐσίας ἐμψύχου αἰσθητικῆς οὐδ' ἂν τὸ ὡς γένος ζῷον εἴη (οὐ γὰρ οἷόν τε τὸ μὴ ὂν ἐν πλείοσιν εἶναι), εἰ μέντοι ἀναιρεθείη τὸ ὡς γένος ζῷον, οὐκ ἀνάγκη καὶ τὴν οὐσίαν ἔμψυχον αἰσθητικὴν ἀνῃρῆσθαι, εἴη γὰρ ἂν ὡς εἶπον καὶ ἐν ἑνί, καὶ ἔστι διὰ ταῦτ' εἰρημένον τὸ ἢ οὐδέν ἐστιν ἢ ὕστερον. ὕστερον δὲ ὂν τοῦ πράγματος ᾧ συμβέβηκε, πάλιν αὐτὸ πρῶτον ἑκάστου τῶν ἐν μέρει καὶ ὑπ' αὐτὸ γίνεται, διότι τὸ μὲν γένει εἶναί ἐστιν ἐν τῷ κατὰ πολλῶν καὶ διαφερόντων κατηγορεῖσθαι, τὸ δ' ἐν μέρει εἶναί ἐστι τὸ μετὰ πολλῶν εἶναι ὑφ' ἕν τι ἢ γένος ἢ εἶδος. διὸ ἀναιρουμένῳ μὲν ἑνὶ τῶν ὑπὸ τὸ κοινὸν οὐ συναναιρεῖται τὸ κοινόν, ⟨διότι ἐστὶν ἐν πλείοσιν,⟩ εἰ δ' ἀναιρεθείη τὸ κοινόν, οὐδ' ἂν τῶν ὑπὸ τὸ κοινὸν εἴη τι, οἷς τὸ εἶναι ἐν τῷ ἐκεῖνο ἔχειν ἐν ἑαυτοῖς. |

XII. Πῶς οἷόν τε ἅμα τὸν αὐτὸν ἥδεσθαι καὶ λυπεῖσθαι, εἰ ἐναντία ταῦτα. 51

Εἰ ἀδύνατον ἅμα τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχειν, πῶς οἷόν τε ἅμα τὸν αὐτὸν ἥδεσθαι τε καὶ λυπεῖσθαι, ὃ συμβαίνει τοῖς διψῶσίν τε καὶ πίνουσιν, ὁμοίως δὲ καὶ τοῖς πεινῶσιν τε καὶ ἐσθίουσιν, ἔτι δὲ τοῖς ψωριῶσίν τε καὶ κνωμένοις; ἢ γὰρ οὐκ ἐναντίον ἡδονὴ λύπη, ἢ οὐκ ἀληθὲς τὸ μὴ οἷόν τε ἅμα τῷ αὐτῷ τὰ ἐναντία ὑπάρχειν. ⟨ἢ⟩ οὔτε τὸ ἀδύνατον ἅμα τῷ αὐτῷ τὰ ἐναντία ὑπάρχειν ἁπλῶς ἀληθές, ἀλλὰ κατὰ ταὐτό, οὔθ'

1 γοῦν] τοίνυν 21,30 πρᾶγμά τι Sp. et 21,30: πρᾶγμα VGFBSLa: πράγματι Vict. 3 ὂν — ὡς desunt 22,1 4 ὡς om. V[1] (add. V[2]) 5 ἐπεὶ μὴ Vict. et 22,3: ἢ εἰ μὴ V[1]: εἰ μὴ V[2]GFBSLa ἔχει] σημαίνει 22,3 6 ὂν add. B[2] Vict. et 22,4 8 ὅτι] τὸ a δῆλον del. SB[2]: om. a 9 ὡς in lit. V εἶναι add. Vict. Sp. 10 καὶ] καθ' a 17 αὐτὸ GFLSa Sp. et 22,15: αὐτοῦ VB 18. 19 ἐστιν ἐν— εἶναι om. V[1]GFS[1]L exh. V[2]S[2]a Sp. et 22,16 20. 21 διότι ἐστὶν ἐν πλείοσιν add. Vict. et 22,18 21 οὐδ'] εἴη δ' a 21. 22 τι οἷς V[2]Ba Sp.: τισ οἷσ V[1]: τιθ' οἷς F: τιθεὶς LS[1]: τιθεῖς S[2] 25 οἴονται V[1] 26 prius τε om. a Sp. συβαίνει V[1] 26. 27 πινῶσιν V[1] (corr. V[2]) τε om. a Sp. 27 δὲ] τε a Sp. κνωμένοις] κνηθομένοις GLFS 28 ἡδονὴ λύπη GFSa Sp.: ἡ κοινὴ λύπη V[1]: ἡ ἡδονὴ τῇ λύπῃ V[2]B: λύπῃ L 21 ἢ οὔτε B[2]

ἁπλῶς ἡδονὴ λύπῃ ἐναντία, οὐ γὰρ πᾶσα ἡδονὴ πάσῃ λύπῃ ἐναντία. οὐ γὰρ τῇ ἀπὸ τοῦ θεωρεῖν ἡδονῇ ἡ ἀπὸ τοῦ διψῆν λύπη ἐναντία, ἀλλ' ἡ ἀπὸ τοῦ αὐτοῦ ἡδονὴ τῇ ἀπὸ τοῦ αὐτοῦ λύπῃ ἐναντία, ἃς καὶ ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν. οὔτε γὰρ ἅμα ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπὶ τῷ θεωρεῖν, ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, οἷόν τε διὰ τὸ αὐτό, οὔτε τὸν πεινῶντα ἐπὶ τῷ πεινῆν ἅμα οἷόν τε καὶ ἥδεσθαι καὶ λυπεῖσθαι, λυπούμενον μέντοι ἐπὶ τῷ πεινῆν ἅμα ἥδεσθαι ἐπὶ τῷ ἐσθίειν οὐκ ἀδύνατον. οὐ γὰρ ἐναντία τῇ τοιαύτῃ ἡδονῇ ἡ τοιαύτη λύπη. ἡ μὲν γὰρ λύπη ἐπὶ τῇ ἐνδείᾳ, ἡ δὲ ἡδονὴ ἐπὶ τῇ τῆς ἐνδείας θεραπείᾳ, διὸ καὶ ἔστ' ἂν μὲν ᾖ δεόμενον θεραπείας, θεραπευόμενον ἥδεται, ἅμα δὲ δεῖται θεραπείας καὶ ἐστὶν ἐν λύπῃ. ὅτι γὰρ οὐκ ἀπὸ τοῦ | αὐτοῦ ἥ τε λύπη καὶ ἡ ἡδονή, 52 δῆλον ἐκ τοῦ τοὺς πεινῶντας μέν, μὴ τρεφομένους δέ, λυπεῖσθαι μόνον, καὶ ἐκ τοῦ τοὺς τρεφομένους μειοῦν τὴν λύπην. οὕτω τὸ μὲν εἶναι ἐνδεᾶ λύπης μόνης αἴτιον, τὸ δ' ἀναπληροῦσθαι ἡδονῆς, καὶ οἱ ψωριῶντες καὶ κνώμενοι οὐ διὰ τὸ κνῆσθαι λυποῦνται, ἀλλὰ διὰ τὸ ἔτι δεῖσθαι τοῦ κνῆσθαι, ὥσπερ καὶ οἱ τρεφόμενοι ἐπὶ τῷ ἔτι εἶναι ἐνδεεῖς λυποῦνται, οὐκ ἐπὶ τῷ τρέφεσθαι.

XIII. Ὅτι μὴ ὁμοίως κατά τε τὰς ἄλλας αἱρέσεις καὶ κατ' Ἐπίκουρον εἰσάγεται τὰ χρώματα, ὡς ἔλεγεν Κηνσωρῖνος ὁ Ἀκαδημαικός.

Ὅτι μὴ ὁμοίως κατ' Ἐπίκουρον εἰσάγεται τὰ χρώματα, ὡς ἔλεγέν τις παριστάμενος αὐτοῦ τῇ δόξῃ, καὶ κατὰ τὰς ἄλλας αἱρέσεις. ὁ μὲν γὰρ ἐν τοῖς στοιχείοις, ⟨ἃ⟩ ἀρχὰς ὑποτίθεται τῶν ἁπάντων, οὐδὲν τούτων φησὶν εἶναι, καθ' οὓς δὲ στοιχεῖα τὰ τέσσαρα, κατὰ τούτους ἐν τοῖς στοιχείοις ἐστὶν καὶ ταῦτα. διὸ κατὰ μὲν τούτους ἐκ προϋπαρχόντων χρωμάτων γίνεταί τινα χρώματα, καθ' ὃν δὲ μὴ ἔστιν ἐν τοῖς στοιχείοις ταῦτα, ἐκ μὴ προϋπαρχόντων ἡ γένεσις αὐτῶν. ὡς οὖν, εἰ ὑπέθετό τις ἄτομα εἶναι σώματα ἀρχὰς τῶν ὄντων, μὴ μόνον ἔχοντα σχήματα καὶ μέγεθος καὶ ἀντιτυπίαν, ἀλλὰ καὶ χρῶμα, οὐχ | ὁμοίως κατά τε τοῦτον ἡ τῶν χρωμάτων γένεσις (ἐκ προϋπάρχοντος γὰρ χρώματος καὶ ὄντος ἐν τοῖς στοιχείοις), 53 καὶ καθ' ὃν τὰ ἄτομα ταῦτα στοιχεῖα οὐκ ἔχει χρῶμα, οὕτως οὐδ' εἰ μὴ ἄτομά τις τὰ στοιχεῖα λέγοι, λέγοι δὲ τὰ τέσσαρα τῷ ἐν τούτοις εἶναι μετὰ

---

1 ἐναντία] ἐναντίον a Sp. 6 πεινῶντα corr. ex πινῶντα V 8 τοιαύτῃ B[2] coni. Sp.: αὐτῇ libri 12 πεινῶντας BV[2]: πινῶντας V[1]: πεινόντας F: πείνοντας Sa: πίνοντας L 13 οὕτω] οὐ τῶν V[1] (corr. V[2]) εἶναι ἐνδεᾶ Sp.: εἶναι ἐνδε//α V: εἰ ἐνδεία G: εἶναι ἔνδεια FSLa: ἐνδεία B: ἐν ἐνδεία B[2] 15 κνῆσθαι V[1]: κνᾶσθαι V[2]B: κνήθεσθαι GFSa (item v. 7) λυποῦνται] λυ in lit. V 16 ὥσπερ] οὕτω a Sp. 18 αἱρέσεις om. V, sed exhibet tabula 20 χρώματα] τα in lit. V 22 ἐν VBF: οὖν ἐν S[2]a Sp.: οὐκ ἐν GL στοιχείοις ⟨ἃ⟩ ἀρχὰς scripsi: στοιχείοις ἀρχὰς V[1]S[1]GFL: ⟨ἀτόμοις⟩ στοιχείοις ⟨ἅπερ⟩ ἀρχὰς V[2]S[2]Ba Sp. 25 ὃν V[2]BS[2]a Sp.: ὃ V[1]GFS[1]L ταῦτα in lit. V ἐκ μὴ VB: ἐκ FL: οὐκ ἐκ Sa Sp. 26 ὡς in lit. B Vict. Sp.: πῶς VFLa 27 σχήματα V[1]: σχῆμα V[2]GSLa Sp. 30 οὐδ' εἰ V[2]GFBSa Sp.: οὐ δεῖ L: οὐδὲ V[1] 31 λέγοι semel a τῷ] fortasse καὶ

τῶν ἄλλων καὶ τὰ χρώματα, οὐδ' οὗτος ἂν ὁμοίως Ἐπικούρῳ τὴν τῶν χρωμάτων εἰσάγοι φύσιν. ὡς γὰρ τὰ γινόμενα ἐκ τῶν στοιχείων οὐκ ἂν εἶχεν ἀντιτυπίαν μηδ' ὅλως ἐν τοῖς στοιχείοις οὔσης ἀντιτυπίας, οὕτως οὐδ' ἂν χρῶμά τι τῶν γινομένων ἔχοι μηδενὸς ὄντος στοιχείοις χρώματος. τὸ δὲ ζητεῖν πόθεν ἐν τοῖς στοιχείοις πυρί τε καὶ τοῖς ἄλλοις τὰ χρώματα, ἴσον ἂν εἴη τῷ ζητεῖν, πόθεν ἐν τοῖς ἀτόμοις τὰ σχήματα. τὸ δὲ ταῦτα μὲν ὑπό τινων εἶναι λέγεσθαι γενητὰ καὶ φθαρτά, ἀγενήτους δὲ τὰς ἀτόμους ὑπὸ τῶν [ἐν] ἐκείνοις στοιχείοις χρωμένων, οὐδὲν πλέον· καὶ γὰρ καθ' οὓς τὰ στοιχεῖα ταῦτα γενητὰ καὶ φθαρτά, κατὰ τούτους τῷ ἀριθμῷ τὸ γενητὸν ἔχει ταῦτα καὶ τὸ φθαρτόν, ἄφθαρτα δὲ καὶ ἀγένητα κατ' εἶδός ἐστιν. εἰς ἄλληλα γὰρ μεταβάλλει καὶ ἐξ ἀλλήλων γίνεται, ὥστε καὶ ἐν τῇ τούτων γενέσει ἐκ προϋπαρχόντων ἡ γένεσις. ὥσπερ οὖν τῶν ἄλλων, οὑτωσὶ δὲ καὶ τῶν χρωμάτων. |

XIV. Ὅτι καθ' οὓς μόνον τὸ καλὸν ἀγαθόν ἐστιν, οὐδὲν οἱ θεοὶ τοῖς ἀνθρώποις παρέχουσιν ἀγαθόν. 54

Εἰ οἱ θεοὶ προνοοῦσι τῶν ἀνθρώπων, ἀγαθόν τι αὐτοῖς παρέχουσιν. πᾶν γὰρ τὸ προνοοῦν τινος ἀγαθόν τι τῷ προνοουμένῳ περιποιεῖ, ὡς τὸ μὴ ἀγαθόν τι περιποιοῦν τινι τοῦτο οὐδ' ἂν προνοοῖ αὐτοῦ. ἀλλὰ μὴν καθ' οὓς μόνον τὸ καλὸν ἀγαθόν, οὐδὲν οἱ θεοὶ τοῖς ἀνθρώποις περιποιοῦσιν, ὡς δείξω. [καθ' οὓς [οὐ] μόνον τὸ καλὸν ἀγαθόν, οἱ θεοὶ οὐ προνοοῦσι τῶν ἀνθρώπων. ὅτι δὲ μηδὲν παρὰ θεῶν ἀγαθὸν τοῖς ἀνθρώποις κατὰ τοὺς προειρημένους γίνεται, δῆλον ἐντεῦθεν.] τὸ καλὸν ἐφ' ἡμῖν, ὃ ἐφ' ἡμῖν ἐστι, τοῦτο δι' ἑαυτῶν κτώμεθα, ὃ δι' ἑαυτῶν κτώμεθα, τοῦθ' ὑπ' οὐδενὸς ἄλλου περιγίνεται. τὸ καλὸν ὑπ' οὐδενὸς ἡμῖν ἄλλου περιγίνεται. εἰ ὑπὸ μηδενός, οὐδ' ὑπὸ τῶν θεῶν. ἀλλὰ μὴν ταὐτὸν ἀγαθόν τε καὶ καλόν. καθ' οὓς μόνον τὸ καλὸν ἀγαθόν, οὐδὲν ἀγαθὸν τοῖς ἀνθρώποις ὑπὸ τῶν θεῶν περιγίνεται.

XV. Ὅτι εἰ ἡ αὐτὴ ὕλη καὶ ἐν τοῖς θείοις ἔσται, κἀκεῖνα φθαρτά.

Ἡ ὕλη ἤτοι ἡ αὐτὴ ἔν τε τοῖς θείοις καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ ἢ ἑτέρα. ἀλλ' εἰ μὲν | 55 ἡ αὐτή, ἔσται κἀκεῖνα φθαρτά, εἴ γε οἷς τὸ δυνάμει ὑπόκειται, ταῦτα φθαρτά (ὡς δέδεικται ὑπ' Ἀριστοτέλους ἔν τε ἄλ-

1 ἂν ὁμοίως FSLa Sp.: ἀνομοίως VG 4 χρώματι a 5 ἐν τοῖς στοιχείοις V^2B: στοιχείοις V^1GFSa Sp. ante καὶ τοῖς add. καὶ ὕδατι B Vict. Sp. 6 τῷ GSa Sp.: τὸ VBFL 8 ἐν del. V^2 Sp.: om. B ἐκείνοις V^1GFSLa Sp.: ἐκείναις V^2B χρωμένων] χρωμ sic V^1 cui V^2 in lacuna, non litura, ca. X litterarum add. ενω sive ενων: χρωμένων B Vict. Sp.: χρῶμα μὲν οὖν GFSLa 10 ἐγένητα a: ἀγένητα Sp. 11 μεταβάλλοι a 18 προνοοῖ VB: προνοοῖτο FSa: προνοεῖ τὸ L Sp. 20 οὐ delevi: οὐ V^1GFSL: γὰρ B: γὰρ οὐ V^2S^2a: οὖν Vict. Sp., ceterum καθ' οὓς — ἐντεῦθεν (22) insiticium 24 ἄρα ὑπ' B^2S^2a Sp. 26 ἄρα μόνον BS^2a Sp. 28 καὶ om. a Sp. θείοις καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ coni. Sp. 29 ἡ ante αὐτὴ om. V^1 (add. V^2) 31 τε τοῖς a

λοις καὶ δὴ καὶ ἐν τῷ πρώτῳ Περὶ οὐρανοῦ), εἰ δ' ἄλλη, δῆλον ὡς διοίσει ἡ ὑποκειμένη ὕλη τοῖς ἐν γενέσει καὶ φθορᾷ τῆς τοῖς θείοις ὑποκειμένης. εἰ δὲ τοῦτο, ἕξει τινὰ διαφορὰν πρὸς αὐτήν. οὕτω δὲ οὐδ' ἂν ἄποιος ἔτι εἴη οὐδ' ἁπλῆ. ἢ οὔτε πᾶν τὸ διαφέρον τινὸς διαφορᾷ διαφέρει, εἴ γέ ἐστι ἡ κυρίως διαφορά, καθ' ἣν τὸ γένος εἰς τὰ οἰκεῖα εἴδη διαιρεῖται (τὸ γοῦν μὴ ὂν τοῦ ὄντος διαφέρει μέν, ἀλλ' οὐ τῷ διαφορὰν ἔχειν, ἀλλ' οὐδ' ἐπεὶ διαφέρει τινός, ἤδη καὶ σύνθετον διὰ τοῦτο γίνεται), ἀλλ' οὐδὲ τὰ ὄντα ἀλλήλων, ἐπεὶ κατὰ τὰς κατηγορίας διαφέρει, ἤδη καὶ διαφοραῖς διοίσει, ὅτι μηδ' ὑπὸ γένος τι κοινόν ἐστι τὰ δέκα γένη. δέδεικται γὰρ ὅτι μὴ γένος τὸ ὄν. ἔτι πολλὰ ὄντα τῷ μὴ ἔχειν τι διαφέρει τῶν ἐχόντων αὐτά, ὡς τὸ μὴ ἔχειν φέρ' εἰπεῖν τρίχας ἢ χεῖρας ἤ τι τοιοῦτο. τὸ δὲ μὴ ἔχειν τι καὶ τὸ ἐστερῆσθαι οὐ ποιότης. ἔτι δὲ οὐ πᾶσα διαφορὰ ποιότης· εἰ γὰρ ἡ διαφορά ἐστι καθ' ἣν ἀντιδιαιρεῖται ἀλλήλοις ⟨τὰ⟩ ἐκ τοῦ αὐτοῦ γένους εἴδη, εἴη ἂν τοῦ εἴδους ἑκάστου ἡ διαφορὰ οὐ ἔστι διαφορά, καθ' ὃ τὸ εἶναί ἐστιν αὐτῷ τούτῳ ὅ ἐστι δηλωτική. ἀλλὰ μὴν πάντων τῶν συνεστώτων φύσει, ⟨οἷς⟩ οὐχ ἡ ὕλη μόνον οὐσία, ἀλλὰ καὶ τὸ εἶδος, ἐν τούτοις ἡ διαφορὰ δηλωτικὴ εἴη | ἂν οὐσίας τινὸς ἀλλ' 56 οὐ ποιότητος, καὶ ⟨τὰ⟩ κατὰ τὰς τοιαύτας διαφορὰς ἀλλήλων διαφέροντα οὐσίᾳ, ἀλλ' οὐ ποιότητι διαφέροι, ὥστε, καὶ τῆς ὕλης οὔσης οὐσίας ἐν τῇ οὐσίᾳ τῷ εἶναι αὐτὴν τῶν ἐναντίων δεκτικήν, ὁ λέγων κατὰ τοῦτο διαφέρειν τήνδε τὴν ὕλην ἐκείνης οὐ ποιότητι ἂν διαφέρειν λέγοι. ἐπεὶ οἱ τιθέμενοι τὴν ὕλην τῶν ἐναντίων εἶναι δεκτικὴν ἄποιον αὐτὴν εἶναι λέγουσι, δῆλον ὡς οὔ φασιν εἶναι ποιότητα αὐτῆς τὸ τῶν ἐναντίων εἶναι δεκτικήν. εἰ δὲ μὴ ποιότητος τοῦτο τῆς ὕλης, οὐδ' οἱ λέγοντες τῷ τοῦτ' ἔχειν τὴν ὕλην τὴν ὑποκειμένην τοῖς ἐν γενέσει διαφέρειν τοῦ τοῖς θείοις ὑποκειμένου κατὰ ποιότητα αὐτὴν ἐροῦσιν διαφέρειν. εἰ γὰρ τὸ τῶν ἐναντίων δεκτικὸν ποιότητα ἔχει, καθό ἐστι τοιοῦτον, οὐ διότι διαφέρει ἡ τοῦτο ἔχουσα τῆς μὴ ἐχούσης, ἐν ποιότητι ἔσται, ἀλλ' ὅτι ἐν τῇ οἰκείᾳ φύσει ἔχει αὐτήν, ἣν ἀνάγκη φυλάττειν αὐτήν, ἐάν τε διαφέρῃ τινός, ἐάν τε μή.

---

1 περὶ οὐρανοῦ] de caelo I, 10. 279b4 sqq. 3 οὕτω] τω in lit. V αὐτήν] ἑαυτὴν a Sp. 4 ᾗ a 5 εἴ] fortasse ἢ ἡ om. a Sp. 9 κοινά V^1 (corr. V^2) 9. 10 δέδεικται] cf. e. c. Metaph. B, 3. 998b22 10 τῷ V^2FBSLa Sp.: τῶν V^1 τὸ L 12 pr. δὲ] δ in lit. V 13 εἰ γὰρ ἡ B^2S^2a Sp.: οὐ γὰρ εἰ VFB^1S^1L: οὐ γὰρ ἡ G 13 post ἀλλήλοις interpungit Sp. 14 τὰ ἐκ V^2BS^2a Sp. εἴδη V^2 Vict. S^2 Sp.: ἤδη B: εἰ δὲ V^1GFS^1L: εἰ δὴ a εἴδους] δ in lit. V 14. 15 οὐ ἔστι V^2B Vict. Sp.: οὐκ ἔστι V^1GFSLa 15 το V τούτῳ V^2B: τοῦτο V^1GFSa Sp.: fortasse τούτου ὅ ἐστι V^1FS^1G^1L: οὗ ἐστι V^2BS^2a Sp.: ὅτι ᾿στι G^2 16 μὴν V^2GFSLB^2a Sp.: μὴ V^1B^1 οἷς add. V^2BS^2a οὐσία om. FLS^1 17 εἶδος ἐν BS^2a Sp.: εἶδοσ οὖσα ἐν V^1 (οὖσα corr. in οὐσία, deinde del. V^2) GFS^1L καὶ om. S^1 οὐσίας τινὸς V^2BS^2a Sp.: οὐσία τίσ V^1GFS^1L 18 ποιότητος V^2S^2a Sp.: ποιότης V^1GFS^1L τὰ add. V^2B 20 τῷ V^2B Vict. Sp.: τὸ V^1GFSLa 22 εἶναι αὐτὴν a Sp. 23 τὸ GFSLa Sp.: τῷ VB 24 ποιότητος VFB: ποιότης GL: ποιότητα Sa 27 ἔχει VBFS^1L: οὐκ ἔχει G: οὖν ἔχει S^2a Sp. 28 ἔχει αὐτήν, ἣν (acc. et spir. supra ην in lit.) B: ἔχειν αὐτὴν ἣν V: ἔχει αὐτὴν GFL: αὐτὴν Sa: αὐτὴν ἔχει Vict. Sp.

XVI. Λέξεως ἐξήγησις εἰρημένης ἐν τῷ ᾱ τῆς Φυσικῆς ἀκροάσεως Ἀριστοτέλους περὶ τοῦ τἀναντία πως τὰς ἀρχὰς ποιεῖν πάντας.

Ὅτι μὲν οὖν τἀναντία πως πάντες ποιοῦσι τὰς ἀρχάς, δῆλον. καὶ τοῦτ' εὐλό|γως· δεῖ γὰρ τὰς ἀρχὰς μήτε ἐξ ἀλλήλων 57 εἶναι μήτε ἐξ ἄλλων, καὶ ἐκ τούτων πάντα. τοῖς δ' ἐναντίοις τοῖς πρώτοις ὑπάρχει ταῦτα, διὰ μὲν τὸ πρῶτα εἶναι μὴ ἐξ ἄλλων, διὰ δὲ τὸ ἐναντία μὴ ἐξ ἀλλήλων. ἠπόρησε τί πότ' ἐστι τὸ εἰρημένον διὰ ταύτης τῆς λέξεως, καὶ διὰ τί ἢ οὐκ ἐξ ἀλλήλων τὰ ἐναντία, ἢ οὐκ ἐξ ἄλλων ⟨καὶ⟩ τὰ πρότερα. τό τε γὰρ ἐξ ἀλλήλων τὰ ἐναντία γίνεσθαι αὐτὸς ὀλίγον προελθὼν λέγει (δείξας γάρ τινα ἐπήνεγκεν· εἰ τοίνυν τοῦτ' ἔστιν ἀληθές, ἅπαν ἂν γίνοιτο τὸ γινόμενον καὶ φθείροιτο τὸ φθειρόμενον ἢ ἐξ ἐναντίων ⟨ἢ⟩ εἰς ἐναντία καὶ τὰ τούτων μεταξύ. τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστίν, οἷον χρώματα ἐκ λευκοῦ καὶ μέλανος, ὥστε πάντα ἂν εἴη τὰ φύσει γινόμενα ἢ ἐναντία ἢ ἐξ ἐναντίων), τό τε λέγειν τὰ πρῶτα ἐναντία μὴ ἐξ ἄλλων γίνεσθαι ἀπορήσαι τις ἄν, πῶς λέγεται. καθόσον μὲν γὰρ πρῶτα ὑπόκειται ἐναντία, οὐκ ἂν εἴη γινόμενα ἔκ τινων προϋπαρχόντων ἐναντίων (οὐκέτι γὰρ ἂν αὐτὰ πρῶτα εἴη), πῶς δ' εἰ μὴ τοῦτο γίνοιτο, ἀΐδια ἔσται τὰ πρῶτα ἐναντία; ἢ γὰρ δεήσει αὐτὰ εἰς ἄλληλα μεταβάλλειν, ὅπως γίνοιτό τι ἐξ αὐτῶν (οὕτως δὲ οὐκέτ' ἂν σώζοιτο οὐδὲ ἀεὶ | μένοι, οὐδ' ἂν 58 ἄφθαρτα εἴη οὐδ' ἀμετάβλητα εἰς ἄλληλα), ἢ εἰ ἀεὶ μένοι τὰ αὐτά, οὐ κατὰ μεταβολὴν ἂν οὐδὲ κατ' ἀλλοίωσίν τινα τὰ γινόμενα γίνοιτο, ἀλλὰ συνθέσει τε καὶ συγκρίσει καὶ διακρίσει τῶν πρώτων πρὸς ἄλληλα καὶ ποιᾷ θέσει καὶ τάξει. οὐχ οὕτω δ' ἔχειν αὐτῷ δοκεῖ. ἢ ἐξ ἀλλήλων μὲν οὔ φησι γίνεσθαι τὰ ἐναντία, ὅτι μὴ οὕτως γίνεσθαι ἐξ ἀλλήλων δύναται ὡς ὑπομενόντων (οὐ γὰρ ὑπομένει τὸ ἕτερον τῶν ἐναντίων θάτερον), δοκεῖ δὲ πᾶν γινόμενον ἔκ τινος ὡς ὑπομένοντος αὐτοῦ γίνεσθαι, ὡς προϊὼν αὐτὸς δείκνυσί τε καὶ διορίζει. εἰ δ' οὕτω μὲν ἐξ ἀλλήλων μὴ γίνεται, κατὰ δὲ τὴν τοῦ ὑποκειμένου παρὰ μέρος εἰς ἑκάτερον αὐτῶν μεταβολὴν γί-

1 ἐν τῷ α τῆς Φυσικῆς ἀκροάσεως] Phys. ausc. I, 5. 188a26 (v. 9 cf. ib. 188b21) 4 τἀναντία Sp.: ἐναντία VBa: ἐναντίας GFSL 5 τοῦτ'] τὸ a 7 ὑπάρχειν a 8 μὴ V^1 in mg. ἠπόρησε (supra ε paullulum rasum) VB: ἠπόρηται GFSLa Sp. ποτ'] infra ο paullulum rasum V 9 ἢ om. a Sp. 10 καὶ add. Vict. Sp. 11 προσελθὼν V^1 (corr. V^2) ἐπήγαγεν a Sp. 13 ἢ add. Sp. 16 ἐναντίων] αν supra versum V τὸ δὲ Vict. 19 δ' εἰ] δεῖ a 21 οὐδὲ ἀεὶ μένοι G Vict.: οὐδὲ εἰ μένοι VSBa: οὐδεείμενοι FL 22 μένοι (μένει B) τὰ αὐτά BGFSLa Sp.: μέν, τὰ (τὸ supra τὰ V^1) αὐτα sic V quod quomodo correxerit V^2 incertum 23 ἂν V^2B Vict.: ὃν V^1: om. GFSLa 25 οὕτω δ'] οὕτως V^1 (corr. V^2) fortasse δοκεῖ, εἰ ἐξ 27 ὑπομένει] ει in lit. V fortasse θάτερον ⟨γινόμενον⟩ 29 διορίζει] Phys. Ausc. I, 7. 189b30 sqq. μὴ γίνεται V: οὐ γίνεται BS^2: μὴ γίνοιτο GFS^1La 30 ὑποκειμένον V^1 (corr. V^2) μεταβολὴν B^2: μεταβολὴ libri

νεται, οὐδὲν κωλύσει καὶ τὰ πρῶτα ἐναντία μεταβάλλοντα εἰς ἄλληλα κατὰ τοῦτον τὸν τρόπον αἴτια γενέσεως γίνεσθαι τοῖς μετὰ ταῦτα. ἀλλ' εἰ οὕτως μεταβάλλει, πῶς ἂν ἔτι αἴδια μένοι ἢ τίνι ἂν διαφέροι τῶν μὴ πρώτων ἐναντίων; καὶ γὰρ ἡ τούτων εἰς ἄλληλα μεταβολὴ τοῦτον γίνεται τὸν τρόπον. ἢ διαφέροι ἂν τὰ πρῶτα τῶν ἐναντίων τῶν μὴ πρώτων πρῶτον μὲν τῷ ἐξ ἐκείνων μὲν τὰ γινόμενα πάντα γίνεσθαι. ἐκ γὰρ εἴδους τινὸς καὶ στερήσεώς τινος παρὰ μέρος ἐν τῇ ὕλῃ γινομένων αἱ πάντων γενέσεις καὶ φθοραί, οὐκέτι δ' ἐκ λευκοῦ καὶ μέλανος ἢ γλυκέος καὶ πικροῦ ἢ τινων ὁμοίων τούτοις ἐναντίων. ἔτι αὐτὰ μὲν ταῦτα ὕστερα ἐναντία, εἰ καὶ | 59 εἰς ἄλληλα μεταβάλλει, τῷ γίνεσθαι παρὰ μέρος ἐν τῇ ὕλῃ, ὃ ἔχει καὶ τὰ πρῶτα ἐναντία, ἀλλὰ καὶ ἡ γένεσις τὴν ἀρχὴν αὐτοῖς ἐξ ἐκείνων. διὰ γὰρ ποιᾶς ἕξεώς τε καὶ στερήσεως ἥ τε τῶν χυμῶν γένεσις καὶ ἡ τῶν χρωμάτων καὶ τῶν ἀνάλογον τούτοις ἐναντίων, ἐξ οὐδενὸς δὲ μεταβάλλοντος τὰ πρῶτα ἐναντία γίνεται. διὸ καὶ αἴδια κατὰ τοῦτο τῷ μηδὲν αὐτῶν προεπινοεῖσθαι πρῶτον ἐξ ὧν ἡ τῶνδε γένεσις. δεικνύοιτο δ' ἂν καὶ αἴδια. οὐ γὰρ εἰ τὰ καθ' ἕκαστα εἴδη καὶ αἱ στερήσεις δείκνυνται παρὰ μέρος εἰς ἄλληλα μεταβάλλοντα, διὰ τοῦτο οὐκ αἴδια, ἀλλ' ἐὰν ἀεὶ φαίνωνται ἀναγκαίως περὶ τῇ ὕλῃ ἑκάτερον αὐτῶν ὄν, εἴη ἂν αἴδια ἥ τε ἕξις καὶ ἡ στέρησις, εἰ καὶ μὴ ἥδε ἡ ἕξις μηδὲ ἥδε ἡ στέρησις αἰδία. ὅτι δὲ ἀναγκαῖον ἀεὶ ταῦτα εἶναι, δῆλον πρῶτον μὲν ἐκ τοῦ τὴν ὕλην αἴδιον οὖσαν μὴ δύνασθαί ποτε χωρὶς εἴδους εἶναι, ἢ ἐπινοίᾳ μόνον, δεύτερον ἐκ τοῦ δυνάμει τὰ ἀντικείμενά τε καὶ τὰ ἐναντία οὖσαν αὐτήν, τῷ μὴ δύνασθαι ἅμα ἐν τοῖς ἐναντίοις εἶναι ἐνεργείᾳ, ἀνάγκην ἔχειν, ὅταν θάτερον αὐτῇ τῶν ἐναντίων παρῇ, δυνάμει θάτερον εἶναι. τὸ δὲ δυνάμενον ⟨εἰ⟩ ἐν στερήσει τότε ἐστὶν ἐκείνου οὗ δύναται, ἀνάγκη τὴν ὕλην ἀεὶ μετὰ εἴδους τινὸς εἶναι καὶ στερήσεως. εἰ δ' ἀεὶ μετ' ἀμφοτέρων καὶ οὐδέποτε ἔστιν, ὅτε ἡ ληφθεῖσα ὕλη ἢ πάντα, ἃ δυνάμει, ἅμα ἐνεργείᾳ | 60 ἔσται, ἢ πάντα ἃ δύναται δυνάμει, οὐδὲν δὲ ὧν δύναται ἐνεργείᾳ (οὐδὲν γὰρ ἂν αὐτὴ εἴη), ἀναγκαῖον τὰ πρῶτα ἐναντία αἴδια εἶναι.

XVII. Ὅτι μὴ τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ.

Εἴ τι εἶδός τινος ἐν ὑποκειμένῳ ἐστίν, ἤτοι ἐν τῇ ὕλῃ ἐν ὑποκει-

---

1 ἄλληλα] λλ in lit. V 3 πῶς ἂν ἔτι αἴδια μένοι (μένει B) VB: πῶς ἂν αἰτία ἀεὶ διαμένει [οι] F: πῶς ἂν αἴτια ἀεὶ διαμένοι GSLa Sp. 5 πρῶτον Sp.: πρώτωι V: πρώτω LBSa: πρῶτα F 6 primum τό, deinde τοῦ denique τῷ B 9 ταῦτα V[1]B[1]: ταῦτα τὰ V[2]B[2]: τὰ GFL: om. Sa Sp. 11 ἐξ ἐκείνων αὐτοῖς a 13 καὶ τῶν om. a 16 εἴδη] δ in lit. V 17 ἀεὶ] fortasse καὶ 18 ὂν εἴη V Vict. Sp.: ἓν εἴη FSa: ἐν εἴη L 19 μὴ ἥδε B[2]S[2]a Sp.: μὴ ἧδε V: μὴ ἡ δὲ B[1]: μηδὲ GFS[1]L alt. ἥδε] ἥδε B[2] Vict. Sp.: ἢ δὲ V: ἡ δέ B[1]: om. GFS[1]La μηδὲ—στέρησις om. S[2] 21 ἐκ τοῦ VB: ἐκ τοῦ μὴ GFSLa: ἐκ τοῦ εἰ μὴ Vict. Sp. 22 τῷ μὴ Vict.: τὸ μὴ libri 23 ἐνεργεία ἀνάγκην ἔχειν VB[1]: ἀνάγκην ἔχειν GFS[1]L: ἐνεργεία ἀνάγκη B[2]S[2]a Sp. 24 εἰ addidi οὗ] fortasse ὃ 27 δυνάμει V[1]: δύναται V[2]FGLBSa Sp. 28 ὧν FGSLa Sp.: ὂν VB αὐτὴ B: αυτη sic V: αὕτη FLa Sp.: αὐτῇ G

μένῳ ἐστὶ τῇ πρώτῃ, ἢ ἐν τῷ σώματι οὗ εἶδός ἐστιν, ἢ ἐν τῷ εἰς τοῦτο μεταβάλλοντι σώματι. οὔτε δὲ ἐν τῇ πρώτῃ ὕλῃ οἷόν τέ τι ἐν ὑποκειμένῳ εἶναι, ὅτι μηδὲ τὴν ἀρχὴν ὑπόκειται ἡ τοιαύτη ὕλη ἐνεργείᾳ. ἀλλὰ δεῖται πρὸς τὸ εἶναι ἐν ὑπάρξει τοῦ εἴδους (οὔτε γὰρ τὴν ὕλην χωρὶς εἴδους οἷόν τε ἐν ὑποστάσει εἶναι οὔτε τὸ εἶδος ἄνευ τῆς ὕλης· ἑκάτερον γὰρ αὐτῶν τοῦ ἑτέρου δεῖται πρὸς τὸ εἶναι ἐνεργείᾳ τε καὶ ἐν ὑπάρξει· δεῖ δὲ τὸ ἐν ᾧ τί ἐστιν ὡς ἐν ὑποκειμένῳ, αὐτὸ εἶναι πρῶτον ἐνεργείᾳ, μηδὲν πρὸς τὸ εἶναι ὃ ὑπόκειται βοηθούμενον ὑπὸ τοῦ ἐν ὑποκειμένῳ ὄντος αὐτῷ), ἀλλ' οὐδὲ ἐν ᾧ ἐστι σώματι καὶ οὗ εἶδός ἐστιν, οἷόν τε αὐτὸ ἐν ἐκείνῳ ὡς ἐν ὑποκειμένῳ εἶναι. μέρος γάρ ἐστι τούτου, εἴ γε κατὰ τοῦτ' ἐστιν ἐκείνῳ τὸ εἶναι. ἀλλ' οὐδ' ἐν τῷ εἰς τοῦτο μεταβάλλοντι σώματι εἴη ἄν, ὅτι μηδέ ἐστιν ἐκεῖνο τὴν ἀρχήν, ἀλλ' ἐφθάρη. ἡ γὰρ κατὰ τὰ εἴδη τῶν σωμάτων μεταβολὴ φθορά. οὐδὲν εἶδος ἔνυλόν | τι 61 καί τινος ὂν οἷόν τε εἶναι ἐν ὑποκειμένῳ. εἰ δὲ τοῦτο, εἶδος δὲ καὶ ἡ ψυχὴ τοῦ ἐμψύχου σώματος, οὐδὲ αὐτὴ ἂν εἴη ἐν ὑποκειμένῳ (οὔτε γὰρ ἐν τῷ ζῴῳ· μέρος γὰρ ἡ ψυχὴ τοῦ ζῴου κυριώτατον), οὔτε ἐν τῷ εἰς τὸ ἔμψυχον σῶμα μεταβάλλοντι σώματι. πῶς γὰρ ἂν ἐν τῷ ἐφθαρμένῳ; φθορὰ γὰρ ἐκείνῳ ἐγένετο ἡ εἰς τὸ ἔμψυχον μεταβολή. ὅλως τε ἀδύνατον εἶναι τὴν ψυχὴν ἔν τινι ὃ μὴ ψυχὴν ἔχει. ὃ δὲ τὴν ἀρχὴν μή ἐστιν ἔν τινι, οὐδ' ἂν ἐν ὑποκειμένῳ αὐτῷ εἴη. εἰ δὲ ἐν μὲν ᾧ ἐστι σώματι, εἶδός ἐστιν ἐκείνου καὶ μέρος, ἐν ᾧ δὲ μή ἐστι τὴν ἀρχήν, οὐδ' ἂν ἐν ὑποκειμένῳ αὐτῷ εἴη, οὐκ ἂν ἡ ψυχὴ ἐν ὑποκειμένῳ τινὶ εἴη.

XVIII. Ὅτι μὴ οἷόν τε τὸν κόσμον ἄφθαρτον εἶναι διὰ τὴν βούλησιν τοῦ θεοῦ, εἰ εἴη φθαρτὸς τῇ αὑτοῦ φύσει.

Τὸ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι ἐπὶ τούτων κατηγορεῖται κυρίως, ἐπὶ τῶν ἐνδεχομένων καὶ μὴ εἶναι καὶ μὴ γενέσθαι ταῦτα ἃ λέγεται δυνατὰ εἶναι ἢ γενέσθαι. λέγομεν γοῦν δυνατὸν εἶναι οἷόν τε εἶναι ἢ γενέσθαι ἀκώλυτον ὄν. οὐ γὰρ τῷ πάντως γενέσθαι ἡ τοῦ δυνατοῦ κρίσις, ἀλλὰ τῷ μὴ κεκωλῦσθαι γενέσθαι αὐτό. δυνατὸν γὰρ οὐδὲν ἧττον τὸ μὴ κωλυόμενον ὑπό τινος περιστάσεως γενέσθαι πρὸς ὃ τὴν ἐπιτηδειότητα ἔχει, κἂν 62 μὴ γένηται. δυνατὸς γὰρ Δίων γραμματικὸς γενέσθαι, ἔστ' ἂν ᾖ, κἂν μὴ γένηται, εἰ μὴ εἴη τὸ δύνασθαι γενέσθαι γραμματικὸν αὐτὸν κεκωλυμένον.

---

1 pr. ἢ] ἤτοι a 7 αὐτὸ V[1]GFSLa Sp.: αὐτῷ V[2]B 8 μηδὲν B[2]S[2]a Sp.: μηδενὶ VB[1]S[1]L ὂν V[1] (corr. V[2]) 9 ἀλλ' οὐδὲ ἐν ᾧ ἐστι σώματι καὶ οὗ εἶδός ἐστιν B[2] (post verba γρ. οὕτως) S[2]a Sp.: ἀλλ' ὑφ' ἕν ἐστι καὶ οὗ εἶδός ἐστιν VB[1]FGS[1]L καὶ del. Sp. 11 οὐδὲν V[1] (corr. V[2]) 13 οὐδὲν V[1]GFS[1]L: οὐδὲν δὲ V[2]B[2]: οὐδὲν ἄρα S[2]a Sp. τι] τε B[2] 14 οἴονται V[1] (corr. V[2]) τε GFSLa Sp.: δὲ VB Vict. 15 αὐτὴ La Sp.: αυτη V: αὕτη S: αὐτῇ F γὰρ om. a: fortasse οὐδὲ γὰρ 24 εἰ εἴη] ἢ εἰ a αὑτοῦ VB: ἑαυτοῦ FSa Sp. et tabula 25 δυνατον sic V (sub ο litura) 27 οἷόν VB: τὸ οἷον FGSLa Sp.: ὃ οἷόν Vict. οἷόν τε εἶναι del. B[2] 28 τὸ ἀκώλυτον V[2]BS[2]a Sp. 30 ὑπό in lit. V 32 εἴη] η s. v. V

εἰ δὲ τοιοῦτον δῆλον ὄν, ἀληθεύοιτ' ἂν τὸ δυνατὸν γενέσθαι τόδε τι ἐπὶ τούτων, ἢ δυνατὸν τὸ αὐτὸ τοῦτο καὶ μὴ γενέσθαι. ὃ δὲ ἐξ ἀνάγκης τι ἢ ἔστιν ἢ γίνεται, τοῦτο οὐκ ἀληθὲς λέγειν δύνασθαι γενέσθαι, εἰ μή τις τῷ δυνατῷ ἀντὶ τοῦ ἀναγκαίου χρῷτο. καὶ τὸ ἀδύνατον τὸ γινόμενον τοιοῦτον διὰ τὸ κεκωλῦσθαι, καὶ μεταπῖπτον τοῦ δυνατοῦ διὰ τὴν κωλύουσαν αὐτῷ γενέσθαι περίστασιν τοῦτο, ὃ ἦν δυνατὸν κατὰ τὴν ἑαυτοῦ φύσιν, εἴη ἂν ἐπὶ τούτων γινόμενόν τε καὶ λεγόμενον, ἃ καὶ πρὸς τὸ γενέσθαι καὶ πρὸς τὸ μὴ γενέσθαι τὴν ἐκ τῆς οἰκείας φύσεως παρασκευήν τε καὶ ἐπιτηδειότητα ἔχει. διὸ τὸ μὲν ἄχυρον, δυνατὸν ⟨ὂν⟩ καυθῆναι καὶ μὴ καυθῆναι, ἀδύνατον γίνεται καυθῆναι, ἂν ἐν τῇ ἀτόμῳ γένηται, καὶ ἡ ψηφὶς δυνατὴ οὖσα ὁραθῆναί τε καὶ μὴ ὁραθῆναι ἀδύνατος ὁραθῆναι γίνεται, ὅταν ἐν τῷ βυθῷ γένηται, τῷ κεκωλῦσθαι εἰς ἐνέργειαν ἐλθεῖν τὴν πρὸς τὸ ἕτερον ὧν ἐδύνατο ἐπιτηδειότητα. οὐκέτι δὲ ἡ διάμετρος ἀδύνατος σύμμετρος εἶναι τῇ πλευρᾷ διὰ τὸ κεκωλῦσθαι (τὴν γὰρ ἀρχὴν ἀνεπίδεκτός ἐστι τοῦ σύμμετρος εἶναι τῇ ¦ πλευρᾷ δύνασθαι) εἶναι λέγεται, ἀλλ' ἀσύμμετρον αὐτὴν ἐξ 63 ἀνάγκης εἶναι λέγοντες τὸ σύμμετρον αὐτῆς ἀδύνατον κατηγοροῦμεν, καὶ τὸ θεῖον ἐξ ἀνάγκης ἄφθαρτον εἶναι λέγοντες ἀδύνατον αὐτό φαμεν εἶναι τῇ αὑτοῦ φύσει φθαρῆναι. διττῶν τοίνυν τῶν ἀδυνάτων ὄντων, τῶν μὲν φύσει, τῶν δὲ διὰ τὸ κεκωλῦσθαι, καὶ φύσει μὲν ὄντων ἀδυνάτων τούτων, ⟨οἷς⟩ τισιν ὑπάρξειν τὰ ἀντικείμενα αὐτοῖς ἐξ ἀνάγκης ὑπάρχει, διὰ δὲ τὸ κεκωλῦσθαι τούτων, ἃ ἔχοντα πρὸς τὸ γενέσθαι φυσικὴν ἐπιτηδειότητα ὑπό τινος περιστάσεως ἐν αὐτοῖς γενέσθαι κεκώλυται, καὶ μόνων ἀδυνάτων γίνεσθαι δυναμένων διὰ τὸ κεκωλῦσθαι τῶν ἐνδεχομένων τι ἢ δυναμένων, [ὅτι δυναμένων] ἀλλ' οὐκ ἐξ ἀνάγκης, εἰ μὲν ὁ κόσμος γενητὸς ὢν ἔχει ἐν ἑαυτῷ δύναμιν καὶ τοῦ φθαρῆναι καὶ τοῦ μὴ φθαρῆναι, δύναιτ' ἂν ὑπό τινος κωλυθεὶς φθαρῆναι ἀδύνατος φθαρῆναι γενέσθαι, εἰ δέ ἐστιν ἐξ ἀνάγκης καὶ ἐν τῇ φύσει παντὸς τοῦ γενομένου τὸ φθαρῆναι, ἐξ ἀνάγκης ἂν ὑπάρχοι παντὶ τῷ γινομένῳ τὸ δεῖν αὐτὸ φθαρῆναι. ᾧ δὲ ἐξ ἀνάγκης τὸ φθαρῆναι, τοῦτ' ἀδύνατον μὴ φθαρῆναι διὰ τὸ τὴν φύσιν αὐτοῦ ἀνέφικτον ἀιδιότητος εἶναι, ὥστε καὶ ὁ κόσμος φθαρτὸς ὢν ἐξ ἀνάγκης, εἴ γε καὶ

---

1 ὂν V^1: ὢν GFL: ὅτι V^2BS^2a: om. S^1 2 ἢ (prius) VLa: ἡ S: ἢ B (acc. et spir. in lit.) F: εἰ Sp.: fortasse ἃ 5 το sic V^1 μεταπῖπτον V^2B coni. Sp. (vel μεταπίπτειν): μεταπίπτοντα V^1FSa: μεταπίπτοντος G (corr. ex μεταπιπτωντος) L αὐτὸ V^2B 6 ὃ ἦν] οὖν Vict.: οὖν δυνατὸν ὂν Sp. sed omnia sana 7 πρὸς τὸ ante μὴ om. a Sp. 9 ὂν add. V^2BS^2a Sp. 10 ἂν V^2B: ἀν V^1: ἐὰν GFSa Sp. ἡ s. v. V ψηφὶς GF Sp.: ψῆφος V (inter ο et σ paullulum rasum) B: ψῆφις Sa δυνατή] α s. v. V 15 εἶναι om. a Sp.: εἶναι λέγεται om. B ἀλλ' ἀσύμμετρον V^2B Sp.: ἀλλὰ σύμμετρον V^1GFSLa 17 αὐτὸν a Sp. 18 διττῶν] διτ in lit. V 20 οἷς τισιν V^2B Vict. Sp.: τισιν V^1GFSLa ὑπάρξειν scripsi: ὑπάρξεων V^1FSG^1La Sp.: ὑπάρξεως G: ὑπάρξεσι Vict.: ὑπάρξαι V^2B: τὸ ἐν ὑπάρξει εἶναι coni. Sp. ὑπάρχει VGFSa Sp.: ὑπάρχοι L: οὐχ ὑπάρχει V^2B Vict. 21 τὰ ἔχοντα a 22 μόνων V^1GFSa Sp.: μόνον V^2B 22. 23 γίνεσθαι VB: γενέσθαι GFSLa Sp. 23 δυναμένων] fortasse γινομένων 24 ὅτι δυναμένων (ω in lit.) V^1: ὅτι δυνάμει ἦν GFSLa Sp.: del. V^2: om. B recte ut videtur 28 ᾧδε V^1 //ανάγκης sic V

γεννητός, κατὰ τὴν αὐτοῦ φύσιν ἀνεπίδεκτός ἐστιν ἀιδιότητος. τὸ δ' οὕτως | ἀνεπίδεκτον ἀιδιότητος κατὰ τὴν αὐτοῦ φύσιν ἀδύνατον ἀιδιότητα 64 δέξασθαι. τὸ δ' οὕτως ἀδύνατον, πᾶσιν ὂν ἀδύνατον, καὶ τοῖς θεοῖς ἂν εἴη τοιοῦτον. οὔτε γὰρ τὸ ἐξ ἀνάγκης ὑπάρχον τινὶ οἷόν τε ὑπάρχειν αὐτῷ κωλυθῆναί ποτε οὐκ ἦν οὕτως ὑπάρχον, οὔτε τὸ ἀδύνατον ὑπάρχειν δυνατὸν ὑπάρχον γενέσθαι. μόνα γὰρ ἐκεῖνα κωλυθῆναι ὑπάρχειν τισὶν οἷά τε, πρὸς ἃ καὶ τοῦ ἔχειν αὐτὰ καὶ τοῦ μὴ ἔχειν φυσικὴν παρασκευὴν ἔχει, καὶ ἃ χωρὶς τοῦ κωλύεσθαι δύναται ἐν αὐτῷ μὴ γενέσθαι. ἃ ἐστιν ἐξ ἀνάγκης τισὶ παρακολουθοῦντα, οὐχ οἷόν τε ταῦτα κωλυθῆναι γενέσθαι. ἔσται γὰρ οὕτω ταὐτὸν ἅμα γινόμενόν τε καὶ μὴ γινόμενον, γινόμενον μὲν διότι ἀναγκαῖον ἦν γενέσθαι, οὐ γινόμενον δὲ διότι ἦν κεκωλυμένον, τοῦτο δὲ ἀδύνατον. ἀδύνατον καὶ τὸ φθαρτὸν κωλυθῆναι φθαρῆναι, ἐπειδὴ ἀναγκαῖον τῷ φθαρτῷ τὸ φθαρῆναι καὶ ἀδύνατον τὸ μὴ φθαρῆναι. ἔσται γὰρ οὕτως ἅμα φθειρόμενός τε καὶ μὴ φθειρόμενος. ὅτι δὲ τὰ ἀδύνατα τῇ αὐτῶν φύσει καὶ τοῖς θεοῖς ἐστι τοιαῦτα, καὶ Πλάτων αὐτὸς μαρτυρεῖ, δι' ὧν λέγει· "ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν, ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη, οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τόν τόπον περιπολεῖ ἐξ ἀνάγκης". |

XIX. Πῶς ἡ αὐτὴ δύναμις ἅμα τῶν ἐναντίων εἶναι λέγεται. 65

Ἡ αὐτὴ δύναμις εἶναι τῶν ἐναντίων λέγεται, οὐχ ὡς ἅμα δυναμένων καὶ τῶν ἐναντίων περὶ τὸ τὰς δυνάμεις ἔχον αὐτῶν γενέσθαι (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ὅτι μὴ οὕτως ἔχειν τὸ τῶν ἐναντίων ἔχον τὰς δυνάμεις, ὡς πρῶτον μὲν ὀφείλειν τόδε τῶν ἐναντίων δέξασθαι, μετὰ δὲ τοῦτο τόδε. ἐν παντὶ γὰρ χρόνῳ ἐνδέχεται τὸ ἐν μηδετέρῳ ὂν τῶν ἐναντίων ἐν ὁποτερῳοῦν αὐτῶν γενέσθαι, οὐκ ἀφωρισμένως ἐν τῷδε. διὸ καὶ λέγεται ἅμα ἔχειν τὰς τῶν ἐναντίων δυνάμεις. τὸ γὰρ ἐνδέχεσθαι, ὅσον ἐπὶ τῇ φύσει τοῦ ἐναντία δεχομένου, ὅτε τὸ ἕτερον ⟨ἐν⟩ αὐτῷ γίνεται, μηδὲν ἧττον ἀντὶ τούτου τὸ ἕτερον ἐν αὐτῷ γενέσθαι, δεικτικὸν τοῦ ἅμα αὐτῶν τὰς δυνάμεις ἔχειν. παρὰ γὰρ τὰ ποιητικὰ αὐτῶν τόδε τι πρῶτον τῶν ἐναντίων ἐν τῷ

---

1 γενητός a Sp. 2 αὐτοῦ V^1 (corr. V^2) ἀιδιότητα] alterum ι in lit. V 4. 5 αὐτὸ V^{2}B 5 οὐκ ἦν V^{1}G^{1}FS^{1}L: καὶ οὐκ εἶναι V^{2}S^{2}Ba Sp.: οὐ εἶναι G^2: fortasse οἷς ἦν 8 ἃ δέ ἐστιν V^{2}B^{2}S^{2}a Sp. 12 ἄρα καὶ S^{2}V^{2}a Sp. 13 καὶ—φθαρῆναι in mg. V^1: in textu GSBL: om. F 15 αὐτῶν V^1 (corr. V^2) Πλάτων] Theaetetus 176^a 16 ἀπωλέσθαι V^1 (corr. V^2) 17 ἀεὶ VS^{2}Ba Sp.: λέγειν FS^{1}L ἀνάγκη εἶναι a Sp. 18 ἵδρυσθαι V^1 (corr. V^2) τόπον] τρόπον a περιπολεῖ V^1 Vict. Sp.: περιπολεῖν V^{2}BGFSLa 20 λέγεται εἶναι a Sp. 21 δύναμις ⟨ἅμα⟩ coni. Sp. τῶν ἐναντίων εἶναι a Sp. ἅμα om. GFS^{1}L 22 καὶ VGFL: del. S^{2}B^2: om. a 23 μὴ οὕτως ἔχειν] fortasse δὴ οὕτως ἔχει: οὕτως ἔχει coni. Sp. ἔχον] ἔχειν FS^{1}L 26 καὶ οὐκ V^{2}BS^{2}a Sp. 28 τοῦ τὰ a Sp. ἐν add. B^{2}S^{2}La Sp. αὐτῷ] αὐ in lit. V 29 δεικτικὸν scripsi: δεκτικὸν VFB^{1}S^{1}GL: αἴτιον B^{2}S^{2}a Sp.

ἀμφοτέρων δεκτικῷ γίνεται τῷ παρεῖναι τοῦτο, τὸ δὲ μὴ τοιαύτην σχέσιν ἐσχηκέναι πρὸς αὐτό, ἢ μετὰ ἰσχυροτέρας δυνάμεως αὐτὸ κινεῖν. εἰ γὰρ μὴ ἅμα τὰς δυνάμεις εἶχεν αὐτῶν, ἀλλ' ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, ἀδύνατον ἂν ἦν ποτε τόδε τι τῶν ἐναντίων δέξασθαι αὐτό, οὐ τῷ ἕτερον αὐτῶν ἐν αὐτῷ προλαβὸν εἶναι, ἀλλὰ καὶ μηδετέρου παρόντος καὶ παρόντος αὐτῷ τοῦ ποιητικοῦ τῷ μὴ ἔχειν τὴν δύναμιν τοῦ τότε δέξασθαι αὐτό. εἰ 66
δὲ μηδεὶς χρόνος ἐστίν, ἐν ᾧ τὸ δεκτικὸν τῶν ἐναντίων ὁμοίως κεκώλυταί τι αὐτῶν ἔχειν * * * μόνον γὰρ τότε τὸ ἕτερον αὐτῶν κωλύεται ἐν τῷ δεκτικῷ γενέσθαι, ὅταν ὑπὸ θατέρου τὸ δεκτικὸν αὐτῶν προληφθῇ τῷ ἀδύνατον εἶναι τὰ ἐναντία συνυπάρχειν ἀλλήλοις. οὐδὲν μέντοι κεκώλυται, καθόσον ἐπὶ τῇ τοῦ δεκτικοῦ φύσει, φθεῖραν τὸ προϋπάρχον τῷ δεκτικῷ δύναμιν ἔχειν τὸ τοῦτο ποιητικὸν αὐτὸ ἐν αὐτῷ γενέσθαι. καὶ γὰρ εἴ τί ἐστι ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων, τότε δύναμιν ἔχει τοῦ μεταβάλλειν εἰς θάτερον (εἰ γὰρ μὴ ἔχοι τὸ ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων ὂν δύναμιν τοῦ μεταβάλλειν εἰς θάτερον, μένοι ἂν ἐν τῷ ἑτέρῳ ἀδύνατον ὂν εἰς τοῦτο μεταβάλλειν ἔτι), εἰ δὲ μεταβάλλει, δῆλον ὡς τῷ δύναμιν ἔχειν τοῦ δέξασθαι καὶ ⟨τὸ ἐναντίον⟩ μεταβάλλοι ἂν πᾶν εἰς αὐτό. ἀλλὰ μὴν καὶ τοῦ ὄντος ἐν αὐτῷ ἐναντίου δύναμιν ἔχει. οὐ γὰρ δὴ μὴ δυνάμενον εἶναι ἐν αὐτῷ ἐστι ἐν αὐτῷ. ὅτε τοῦ ἑτέρου τῶν ἐναντίων τὴν δύναμιν ἔχει, τότε καὶ θατέρου, ὥστε ἅμα μὲν ἀμφοτέρων· καὶ ὅτε τοῦ ἑτέρου καὶ τοῦ ἑτέρου, τότε θάτερον προειληφέναι, οὐδὲν ἧττον, ὅσον ἐπὶ τῇ τοῦ δεκτικοῦ φύσει, δεδυνημένου ἂν καὶ τούτου προειληφέναι, γίνεται τούτων ὧν δύναται, τὸ μὲν ἔχον τὸ δὲ ἔξον. |

XX. Διὰ τί τοῦ θέρους ὑπνωτικώτεροί ἐσμεν, εἰ ὁ ὕπνος διὰ τὴν τοῦ συμφύτου ἡμῖν θερμοῦ εἰς τὸ ἐντὸς ἀντιπερίστασιν. 67

Εἰ ὁ ὕπνος διὰ τὴν τοῦ συμφύτου ἡμῖν θερμοῦ εἰς τὸ ἐντὸς ἀντιπερίστασιν, τοῦ δὲ θέρους ἀντιπεριέστηκε μᾶλλον τὸ θερμὸν εἰς τὸ ἐκτός, διὰ τί τοῦ θέρους ἐσμὲν ὑπνωτικώτεροι; εἴ γε ὁ ὕπνος γίνεται τῷ κατέ-

1 τὸ δὲ μὴ V[1]GFL: τῶ δὲ μὴ S[1]: οὐ τῶ μὴ V[2]B[1]: οὐ τῷ B[2]S[2]a Sp. 4 αὐτὸ] οὐ τῷ Vict. (sic) 4 οὐ τῷ] οὕτω a 5 αὐτῶν V[2]B[2] Sp.: αὐτῷ V[1]GFSB[1]La αὐτῷ V 7 νῦν δὲ οὐδεὶς χρόνος ἐστίν coni. B[2] 8 excidit tale quid οὐδὲ τὰ ἐναντία ὁμοίως κεκώλυται ἐν τῷ δεκτικῷ γενέσθαι δεκτικῷ] ῷ in lit. V 11 δεκτικῷ V[2]B[2]S[2]a Sp.: ζωτικῷ V[1]B[1]: ζώῳ μικρῷ GFS[1]L fortasse ⟨τῷ⟩ δύναμιν 12 τὸ τοῦτο V[1]GSa: τὸ τούτου V[2]B: fortasse ⟨τούτου⟩ τὸ τούτου ἔχ. τοῦ ποι. coni. Sp. εἴ τί ἐστι ἐν scripsi: εἴ τέ ἐστι ἐν VFS[1]B[1]GL (sed εἴτε FS ἔν τε B[1]): ὅτε δὲ ἐν S[2]a Sp.: ὅτέ ἐστιν ἐν B[2] 16 ἔχειν] ἔ in lit. V 16. 17 καὶ τὸ ⟨ἐναντίον⟩ scripsi: καὶ τοῦ V: καὶ τοῦ μὴ GFS[1]L: καὶ τοῦ μεταβάλλειν V[2]BS[2]a Sp. 17 μὴν] η in lit. V ὄντως V[1] 18. 19 αὐτῷ ἐστι ἐν αὐτῷ VGFB coni. Sp.: ἐν ἂν τῷ ἐν αὐτῷ Sa: ἐν τίω ἐστὶν ἐν αὐτῷ L 19 ὅτε γὰρ V[2]BS[2]a Sp. 21 τό τε ⟨τῷ⟩ coni. Sp. προειληφέναι] infra alterum ε paullulum erasum V 22 τούτου] fortasse τοῦτο 25 ἀντιπερίστασιν (post medium ι paullulum rasum) VS[2]Ba Sp.: ἀντιπεριίσταται FS[1]L 26. 27 ἀντιπερίστασιν VS[2]a Sp.: ἀντιπεριιστησι FS[1]L 27 δε V[1] 28 εἴγε VGFS[1]L: ἢ B[2] (in lit.) S[2]a Sp.: fortasse ⟨ἢ⟩ εἴγε

χεσθαι ὑπὸ τῆς κατενεχθείσης ἀναθυμιάσεως ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν θώρακα τὸ σύμφυτον ἡμῖν θερμόν (ἡ γὰρ τούτου αὐτόθι συστολὴ αἰτία τῆς ἀργίας ταῖς αἰσθήσεσιν), ἥτις γίνεται κατοχὴ τοῦ θερμοῦ περὶ τὸν θώρακα, ἕως ἂν ἡ κατενεχθεῖσα ἀναθυμίασις οὖσα παχεῖα ὑπὸ τῆς κατεχομένης ὑπ' αὐτῆς θερμότητος ἀθρόας αὐτόθι συνεσταλμένης πεφθῇ τε καὶ λεπτυνθεῖσα διακριθῇ. † κατ' αὐτὴν κατὰ φύσιν αἰτία τοῦ ὕπνου καὶ τοῦ ἐν τῷ χειμῶνι καὶ τοῦ ἐν τῷ θέρει γινομένου. τοῦ μὲν χειμῶνος τῷ ὑπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὄντος ψυχροῦ ἐπιψύχεσθαι τὴν ἐπιφάνειαν οὐχ ὁμοίως τὸ σύμφυτον ἡμῖν θερμὸν ἐπ' αὐτὴν ἐπιρρεῖ τε καὶ χεῖται ἐπ' αὐτῇ, ἀλλ' ἔστιν ἔνδον περὶ τὸν θώρακα καὶ τὴν καρδίαν πλεῖον συνηθροισμένον (διὸ ὑπὸ τῆς καταφερομένης ἀναθυμιάσεως οὔτε ὁμοίως κρατεῖται, κρατηθέν τε τῷ πλήθει ταχέως πέσσει τε καὶ λεπτύνει τὴν κατέχουσαν ἀναθυμίασιν αὐτό· διὸ οὔτε ῥᾴδιοι οἱ τοῦ χειμῶνος ὕπνοι οὔτε πολυχρόνιοι) τοῦ δὲ θέρους | διὰ τὴν τῆς ἐπιφανείας μανότητα τὴν γινομένην ὑπὸ τῆς 68 ἐν τῷ περιέχοντι ἀέρι θερμότητος τὸ σύμφυτον ἡμῖν θερμὸν πλεῖον ἐπ' αὐτὴν φερόμενον καὶ διαπνεόμενον ἔλαττόν ἐστι περί τε τὸν θώρακα καὶ τὴν καρδίαν· διὸ ὑπὸ τῆς καταφερομένης ἀναθυμιάσεως κρατούμενόν τε καὶ κατεχόμενον ῥᾳδίως, ἔτι τε μὴ δυνάμενον ὁμοίως αὐτὸ διακρίνειν τε καὶ λεπτύνειν δι' ὀλιγότητα, ἐπὶ πλείονα χρόνον κρατούμενον ὑπ' αὐτοῦ, αἴτιον γίνεται πλειόνων ἡμῖν ὕπνων τοῦ θέρους. ἴσως δὲ καὶ ἡ τῶν νυκτῶν βραχύτης φαντασίαν ἡμῖν [πλείω] παρέχει τοῦ δοκεῖν τοῦ θέρους κοιμᾶσθαι πλείω διὰ τὸ καὶ τῆς ἡμέρας ἐπιλαμβάνειν τι. εἴη δ' ἂν καὶ δι' ἀσθένειαν τῶν αἰσθητηρίων τὴν γινομένην ὑπὸ τῆς περιεχούσης ἡμᾶς τοῦ θέρους θερμότητος πλείων ὁ ὕπνος γινόμενος τοῦ θέρους. ξηροτέρων γινομένων ὑπὸ τῆς ἔξωθεν θερμότητος αὐτῶν, καὶ διὰ τοῦτο μὴ δυναμένων ἐνεργεῖν, ἡ εἰς ὕπνον γίνεται καταφορὰ τοῦ ἐν αὐταῖς ὄντος οἰκείου τε καὶ ἐμφύτου θερμοῦ ἐξασθενοῦντος πρὸς τὴν ἐνέργειαν τῷ ὑπὸ τοῦ ἔξωθεν θερμοῦ πλείονος ὄντος κρατεῖσθαι, ὃ καὶ τὸ τῶν λύχνων φῶς ὁρῶμεν πάσχον ὑπὸ τοῦ φωτὸς τοῦ τῆς ἡμέρας.

XXI. Ἐν τίνι κατηγορίᾳ ἡ κίνησις.

Τὴν κίνησιν εἴ τις μὴ παραδέχοιτο ἐν τοῖς ποσοῖς τῷ ἐν ⟨ταῖς⟩ Κατηγορίαις αὐτὴν ἐν τοῖς | ποσοῖς μὴ κεῖσθαι, λέγοιτ' ἂν εἶναι πρός τι. ᾧ 69 δέ τινι οὔσῃ τῇ κινήσει ὑπάρχει τὸ πρός τι εἶναι, εἴη ἂν πάθος. εἰ γὰρ τὸ κινεῖσθαι πάσχειν τί ἐστι, πάθους δὲ παρουσίᾳ τὸ πάσχον πάσχει, καὶ

3 ἥτις] ι in lit. V κατοχὴ VL: κατοχῇ in lit. S^2a Sp. 6 κατ' αὐτὴν V^1FS^1L: καὶ αὐτὴ V^2B: καὶ αὕτη B^2S^2a Sp.: fortasse καὶ ⟨ἡ⟩ αὐτὴ ἡ 7 ἀλλὰ τοῦ B^2S^2a Sp. τῷ ὑπὸ V^2BS^2a: τοῦ ὑπὸ V^1GFS^1: τοῦ πο L 12 πέσσει τε V^2B: πεσεῖται V^1GFS^1L: ἐκπεσεῖται S^2a: ἐκπέσσεται Sp. λεπτύνει V^2Ba Sp.: λεπτυνεῖ V^1 13 διὸ οὔτε] ὁ οὔ in lit. V 21 πλείω circumscripsi 23 ἢ ὑπὸ V^1 (corr. V^2) 24 γὰρ γινομένων B^2S^2a Sp. 26 αυταισ sic V 27 τῷ V^2BS^2a Sp.: τὸ V^1GFS^1L 31 ταῖς add. V^2BS^2a Sp. 34 πάθους δὲ παρουσίᾳ] ους δὲ π in lit. V

ἔστι τὸ κινούμενον κινήσεως παρουσίᾳ κινούμενον, ἡ κίνησις ἂν πάθος εἴη. τὸ δὲ πάθος ποιότης· τρίτον γὰρ εἶδος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη. ἡ μὲν οὖν ἀτελὴς ἐνέργεια πάθος οὖσα εἴη ἂν ποιότης, ἡ δὲ τέλειος ἐνέργεια τί ἂν εἴη καὶ ὑπὸ κατηγορίαν τίνα; ἢ εἰ ἡ τοιαύτη ἐνέργειά τε καὶ ἐντελέχεια εἶδος, τῶν δὲ εἰδῶν τὰ μὲν φυσικά, τὰ δὲ τεχνικά, καὶ ἔστι τὰ μὲν φυσικὰ εἴδη οὐσίαι, τὰ δὲ τεχνικὰ ποιότητες, εἴη ἂν καὶ τῶν ἐνεργειῶν αὕτη διαφορά. ἔστι δὲ καὶ τῶν φυσικῶν εἰδῶν ποιότητες, ἃ μὴ εἰς τὴν οὐσίαν τῶν ὑποκειμένων συντελεῖ, ἀλλ' εἰς τὸ τοιῷδε εἶναι. τί οὖν χρὴ λέγειν τὸ φῶς εἶναι, ἐπεὶ καὶ αὐτὸ ἐντελέχεια τοῦ διαφανοῦς ᾗ διαφανές; ἢ εἰ μὴ φύσει τοῦ διαφανοῦς εἶδος τὸ φῶς, μηδὲ οὐσία τις γίνεται αὐτοῦ (οὐ γὰρ σύνεστι τῷ διαφανεῖ οὐδ' ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ, ἀλλὰ παρουσίᾳ τινὸς ἐν αὐτῷ γίνεται καὶ κατὰ σχέσιν ἄλλου πρὸς ἄλλο), εἴη ἂν πάθος τι καὶ αὐτὸ γινόμενον κατὰ σχέσιν καὶ παρουσίαν τινὸς ἐν τῷ διαφανεῖ, ἀνάλογον ὂν χρώματι, ὡς καὶ Ἀριστοτέλης εἶπεν· οἷον γὰρ τὸ χρῶμα τὸ φῶς εἶπεν τοῦ διαφανοῦς. |

XXII. Εἰ τὸ κινούμενον ἐπί τινος κατὰ πρότερον μόριον αὐτοῦ πρότερον κινεῖται. 70

Εἰ τὸ κινούμενον ἐπί τινος μεγέθους κατὰ πρότερον μόριον αὐτοῦ πρότερον κινεῖται (διὰ τοῦτο γὰρ ἐν χρόνῳ πᾶσα κίνησις, ὅτι μὴ οἷόν τε ἅμα τὸ κινούμενον ἐπὶ παντὸς τοῦ ὑποκειμένου ἀθρόως κινηθῆναι, ἀλλὰ δεῖ τὸ μέν τι αὐτοῦ πρῶτον διελθεῖν τὸ δὲ ὕστερον), εἰ δὴ τοῦτο, καὶ κατὰ τὸ πρότερον μόριον τοῦ μεγέθους πρῶτον κινεῖται τὸ κινούμενον, εἰ ἐπ' ἄπειρον ἐν τῷ μεγέθει τὸ πρότερον, πᾶν τὸ κινούμενον ἄπειρα ἔσται κινούμενον, καὶ πᾶν τὸ κεκινημένον ὅσον δὴ διάστημα ἄπειρα πρότερα [καὶ ἄπειρα] μόρια κεκινημένον· ἀλλὰ ἀδιεξίτητα τὰ ἄπειρα. ἤτοι οὖν οὐκ ἐπ' ἄπειρον ἡ τομὴ τῶν συνεχῶν, ἢ οὐ κατὰ τὸ πρότερον πρότερον ἡ κίνησις. ἢ γίνεται μὲν κατὰ τὸ πρότερον μόριον τοῦ μεγέθους πρότερον ἡ κίνησις, οὕτω μέντοι κατὰ τὸ πρότερον μόριον, ὡς ἐστιν ἐν τῷ συνεχεῖ τὸ μὲν πρότερον μόριον, τὸ δὲ ὕστερον. οὐ γὰρ ἄλλως μέν ἐστιν ἐν ἐκείνῳ, ἄλλως δὲ αὐτὸ τὸ κινούμενον δίεισιν λαμβάνον. πῶς οὖν ἐστιν ἐν τῷ συν-

---

2 παθητικαὶ VSLa: καὶ post lacunam, non lituram ca. X litterarum B[1], quam explet B[2] 3. 4 τέλειος VB: τελεία GFSa Sp. 4 τί Sp.: ἔτι V[1]: ἔτι libri εἰ ἡ] εἴη a 7 αὐτη sic V[1]: αὕτη GFBSLa: αὕτη ἡ coni. Sp.: an ἡ αὐτή? ἔστι VFG[1]S[1]L: εἰσὶ G[2]BS[2]a Sp. 8 τοιῷδε VB[1]: τοιῶσδε GFS[1]: τοιοῖσδε B[2]S[2]La Sp. 9 φως V ᾗ V[1] (corr. V[2]) 10 ἢ εἰ] εἴη a εἶδος] εἴδους a 13 ἄλλο B[2]SLa Sp.: ἄλλου (supra o paullulum rasum) VSB[1] ἂν om. a παρουσίᾳ coni. Sp. 14 τὸ post γὰρ del. B[2] 14 Ἀριστοτέλης] de anima II, 7, 418b11 16 κατὰ ⟨τὸ⟩ coni. Sp. 24 καὶ ἄπειρα circumscripsi 25 κ. ἔσται. ἀλλὰ V[2]BS[2]a Sp. ἀδιεξίτητα V[2]BS[2]a Sp.: ἀδιε|ξιδιότητα V[1]: ἀδιεξίτατα LFG (sed η F, in lit. ι G) S[1] 26 ἄπειρον VGFS[1]L: ἄπειρα BS[2]a Sp. ἢ τὸ μὴ a κατὰ τὰ FSL πρότερον semel L 27 ἡ κίνησις πρότερον a Sp. 29 ἐστι μὲν a Sp. 30 λαμβάνον τι. πῶς a Sp. οὖν] ν in lit. V

εχει τὸ πρότερον καὶ ὕστερον μόριον; ἆρά γε ἐνεργείᾳ; ἢ οὐκέτ' ἂν ἦν συνεχὲς οὐδέν, εἰ ἦν αὐτοῦ τὰ μέρη διῃρημένα καὶ ἐνεργείᾳ ἐν τῷ ὅλῳ. τῷ γὰρ ἀδιαίρετον εἶναι τὸ μέγεθος τούτῳ ἕν· εἰ γὰρ ἦν διῃρημένον, | οὔτ' ἂν αὐτὸ ἕν τι μέγεθος ἦν οὔθ' ἡ κίνησις μία. εἰ δὲ μὴ ἐνεργείᾳ 71 τὰ μόρια τὰ ἐν τῷ ὅλῳ ἐστί, λείπεται δυνάμει αὐτὰ εἶναι ἐν τῷ ὅλῳ τε καὶ συνεχεῖ, καὶ τὸ πρότερον δὴ καὶ τὸ ὕστερον ἔσται ἐν τῷ συνεχεῖ δυνάμει οὐκ ἐνεργείᾳ. καὶ τὸ κινούμενον δὴ ἐπ' αὐτοῦ οὕτως κατὰ τὸ πρότερον πρότερον κινήσεται, ὥς ἐστιν καὶ ἐν τῷ μεγέθει· δυνάμει δέ ἐστιν, οὕτως ὂν καὶ αὐτὸ ἐπ' αὐτοῦ κινήσεται. τοῦτο δὲ ποιήσει, εἰ μὴ ὡς διαιροῦν αὐτὸ κινοῖτο καὶ ἐνεργείᾳ ποιοῦν πρότερόν τι ἐν αὐτῷ καὶ δεύτερον, κινούμενον δὲ οὕτως, ὅταν κινηθῇ ἐπὶ τοῦ μεγέθους, ὡς εἶχεν τὸ μέγεθος τὰ πρότερα ἐπ' ἄπειρον, οὕτως ἔσται καὶ αὐτὸ κεκινημένον αὐτά. δυνάμει δὲ εἶχεν ἐκεῖνο ἐπ' ἄπειρον τὰ πρότερα, καὶ τοῦτ' ἔσται τὰ δυνάμει ἐπ' ἄπειρον πρότερα διεληλυθός, ὃ οὐκ ἦν ἀδύνατον. οὐ γὰρ ἔκειτο τὰ δυνάμει ἄπειρα ἀδιεξίτητα εἶναι, ἀλλὰ τὰ ἐνεργείᾳ. διαιρεῖ δὲ καὶ ὁ ἀξιῶν ἀριθμεῖν τὰ πρότερα ἃ διέξεισιν τὸ κινούμενον.

XXIII. Πῶς εἰ φθαρτὴ ἡ γῆ, οὐκ ἐνδέχεται αὐτὴν καὶ ἅμα ποτὲ φθαρῆναι.

Εἰ ἐνδέχεται τήνδε τὴν βῶλον φθαρῆναι κατὰ τόνδε τὸν κολωνόν, καὶ οὕτω διεξιοῦσιν ἐπὶ παντὸς μέρους τῆς γῆς ἀληθὲς τὸ ἐνδέχεσθαι αὐτὸ 72 φθαρῆναι, ἐνδέχοιτο ἂν καὶ πᾶσαν τὴν γῆν φθαρῆναι. εἰ δὲ τοῦτο, ἐνδέχοιτο ἂν μὴ εἶναι γῆν, ὅπερ ἀδύνατον. οὐδὲ γὰρ ὁ κόσμος εἴη ⟨ἂν⟩ ἀναιρουμένου τοῦ περὶ ὃ ἡ φορὰ αὐτῷ. ἢ οὐχ ἕπεται τῷ πᾶσαν ἐνδέχεσθαι φθαρῆναι τὴν γῆν τὸ καὶ ἅμα. τοῦτο γὰρ ἀδύνατον, εἰ ἀπὸ τῆς τῶν οὐρανίων κινήσεως, ⟨ὡς⟩ ἐκ γῆς εἰς ἄλλο τι γίνεται μεταβολή, οὕτως καὶ ἐξ ἄλλου τινὸς εἰς γῆν. καὶ ἐπ' ἀνθρώπων δὲ ὁ αὐτὸς λόγος. οὐ γάρ, εἰ πάντες

---

1 ἢ V^{2}BSa Sp.: ἡ V^1: ἡ L ἦν V^{2}B: ᾖ V^{1}GFSa Sp.: ἢ L ἔστ' ἂν ᾖ sive ἔτ' ἂν εἴη 2 εἰ ἦν V^{2}B: εἴη ἂν V^{1}FGSLa: εἰ εἴη coni. Sp. 3 μέγεθος τούτῳ ἕν· εἰ γὰρ ἦν διῃρημένον Schwartz: μέγεθος τούτῳ· ἑνὶ γὰρ ἦν διῃρημένον V^{1}S^{1}GFL: μέγεθος ἐπινοίᾳ γὰρ ἦν διῃρημένον B^1: μέγεθος ἐπινοίᾳ γὰρ ἦν διῃρημένον τούτῳ ἔστι συνεχές. εἰ (ἐν a, corr. Vict.) γὰρ ἦν ἐνεργείᾳ διῃρημένον B^{2}S^{2}a Sp. 7. 8 πρότερον πρότερον (alterum in lit.) VB: alterum om. FSGLa Sp. 8 καὶ—μεγέθει om. F δέ ἐστιν V^{2}B Vict. Sp.: τέ ἐστιν V^{1}GS (sed τε in lit. S^1) L: τέ ἐστιν ἔστιν a 8 post ἐστιν add. ἐν τῷ μεγέθει S^{2}B^{2}a ὂν V^{1}FSLa: οὖν V^2 Vict. Sp. 11 ἐπὶ VS^{2}a Sp.: ὑπὸ FSL 12 αὐτὸ s. v. V αὐτά B^{2}S^{2}a Sp.: αὐτό VB^1: om. S^{1}LF 13 ἐκεῖνα coni. Sp. πρότερα ἐπ' ἄπειρον a Sp. 14 ἐκεῖ τὸ V^1 (corr. V^2) L 17. 18 πῶς—φθαρῆναι repetitum ante εἰ (19) B 19 τὴν om. GFSLa Sp. 20 οὕτω διεξιοῦσιν B: οὕτω δι' ἐξιοῦσιν V^2: οὕτωσ εἰ ἕξουσιν V^1: οὑτωσὶ ἕξουσιν GFSLa Sp. 22 ἂν add. Sp. 23 φορὰ BS^2 Sp.: φθορὰ (θ erasum) VGFS^{1}La 24 τὸ καὶ V: τε καὶ GFS^{1}La: τὸ S^{2}B Sp.: τε τὸ a Sp. ἀδύνατον, εἰ ἀπὸ scripsi: ἀδύνατον διὰ τὸ V^{1}GFS^{1}L: ἀδύνατον εἰ γὰρ πάντα διὰ τὸ (τὸ del. V^2 Sp. om. B) V^{2}BS^{2}a Sp. 25 ὡς addidi γῆς εἰς GF: τῆσ εἰσ VS^{1}B^{1}L: τῆς τινος εἰς S^{2}B^{2}a Sp. μεταβολή S^{1}FL: μεταβολῆς VBS^{2}a Sp.

φθαρτοί, καὶ ἅμα πάντες. ὁ δὲ τῇ ἐπαγωγῇ δεικνὺς διὰ τοῦ ἕνα ἕκαστον τῶν δεικνυμένων ἐνδέχεσθαι αὔριον φθαρῆναι, καὶ πάντας ἅμα ἐνδέχεσθαι αὔριον φθαρῆναι, ⟨οὐχ⟩ ὑγιῶς λαμβάνει. καὶ γὰρ εἰ λάβοι πάντας, οὓς ἐπεξῆλθεν, αὔριον ἀθρόους φθαρήσεσθαι, οὐκ ἤδη καὶ πάντας εἴληφεν τῷ μὴ ἐπεξεληλυθέναι πάντας. ἔτι τε οὐδὲ οὓς ἐπεξῆλθεν, οὕτως ἔλαβεν ὡς ἀθρόως ἐνδεχομένους αὔριον φθαρῆναι, ἀλλ' ὡς ἕνα ἕκαστον. διὸ οὐ συνάξει τὸ πάντας ἀθρόους, ἀλλὰ τὸ πάντας ὡς ὀντιναοῦν αὐτῶν, ὡς καὶ ἐπὶ τῆς ἐπ' ἄπειρόν τε καὶ πάντῃ τομῆς. πάντῃ γὰρ τμητὸν τὸ συνεχές, οὐχ ὅτι ἅμα πάντῃ, ἀλλ' ὅτι καθ' ὁτιοῦν. ἴσως δὲ οὐδὲ ὁμοίως γῆν τε ἀναγκαῖον εἶναι καὶ ἄνθρωπον, ἀλλὰ τὴν μὲν γῆν ἁπλῶς ἀνάγκη εἶναι, τὸν δὲ ἄνθρωπον ἐξ ὑποθέσεως. διὰ τοῦτο γὰρ οὐχ ἁπλῶς ἀναγκαία ἡ λέγουσα πρότασις τὸν ἄνθρω|πον ἐξ ἀνάγκης ζῷον εἶναι, ἀλλὰ μετὰ διορισμοῦ τοῦ 73 ἔστ' ἂν ἄνθρωπος ᾖ.

XXIV. Ἐξήγησις λέξεως ἐκ τοῦ πρώτου τῆς Φυσικῆς ἀκροάσεως Ἀριστοτέλους ἐπὶ τέλει εἰρημένης, δι' ἧς λέγει εὑρεθεῖσαν τὴν ὕλην λῦσαι καὶ τὰς τῶν ἀρχαίων ἀπορίας.

Διαφέροιεν ⟨ἂν⟩ αἱ δείξεις αἱ δύο εἰρημέναι ἐν τῷ πρώτῳ Φυσικῆς ἀκροάσεως ἐπὶ τέλει τοῦ βιβλίου, δι' ὧν εἰπὼν περί τε τῆς ὕλης καὶ τῆς στερήσεώς φησιν εὑρεθεῖσαν ταύτην τὴν φύσιν λύειν καὶ τὴν τῶν ἀρχαίων ἀπορίαν, δι' ἣν ἀνῄρουν γένεσιν καὶ φθορὰν τῷ δεῖν μὲν τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίγνεσθαι, μήτε ⟨δὲ⟩ ἐξ ὄντος δύνασθαι (προϋπάρχοι γὰρ ἂν ὃ γίνεται, εἰ γίνεται μὲν τὸ μηδέπω ὄν, τὸ δὲ ἐξ ὄντος γινόμενον ἐκ φθάνοντος εἶναι λέγοιτ' ἄν), μήτε ἐκ μὴ ὄντος τῷ μηδὲν ἐκ μὴ ὄντος γίνεσθαι. ἃς δὴ τῆς ἀπορίας ταύτης λύσεις εἴρηκεν, εἰσὶν ἡ μὲν διὰ τοῦ καθ' αὑτό τε καὶ κατὰ συμβεβηκὸς ἢ ὄντος ἢ μὴ ὄντος, ἡ δὲ διὰ τοῦ δυνάμει τε καὶ ἐνεργείᾳ. εἰσὶ δὲ αὗται, εἴ τις τὴν ὕλην λαβὼν λέγοι ἐκ ταύτης καθ' αὑτὸ μὲν οὔσης κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης τὰ γινόμενα γίνεσθαι, καὶ ὁμοίως ἐκ ταύτης πάλιν γίνεσθαι τὰ γινόμενα δυνάμει μὲν οὔσης ἐντελε|χείᾳ δὲ μὴ οὔσης. καθ' αὑτὸ μὲν οὔσης, ἐπεὶ τῇ ἑαυ- 74 τῆς φύσει ὄν τι ἡ ὕλη, κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης, διότι ἡ στέρησις καθ' αὑτὸ μὴ ὂν οὖσα συμβέβηκεν αὐτῇ· οὐ γὰρ ἄλλως ἐκ τῆς ὕλης οἷόν τε γενέσθαι τι, εἰ μὴ εἴη αὐτῇ συμβεβηκυῖα ἡ στέρησις τοῦ γίνεσθαι μέλ-

---

1 ἕνα V^2BS^2a Sp.: ἓν V^1GFS^1L 2 αὔριον ἐνδέχεσθαι a 3 ⟨οὐχ⟩ ὑγιῶς B^2GF Vict. Sp.: ὑγιῶσ $V^2S^1B^2L$: ὑγειῶσ V^1B^1: οὐχ ὅτι ὡς S^2a 4 φθαρήσεσθαι] αι in lit. V 5 ἐξεπεληλυθέναι V^1 (corr. V^2) 7 καὶ om. a Sp. 9. 10 ἀναγ|//αῖον sic V 11 λέγοσα V^1 (corr. V^2) 13 ᾖ VB Sp.: εἴη SFGLa 14. 15 ἐκ τοῦ — Ἀριστοτέλους] Phys. ausc. I, 8. 191 a 23 17 ἂν add. B^2S^2a Sp. αἱ δύο αἱ a Sp. πρώτῳ τῆς φ. a Sp. 18 ἐπὶ τῷ τ. a Sp. 19 φύσιν V^1GFS^1L: ὕλην BS^2a Sp. 21 δὲ V^2BS^2a Sp.: om. $VGFS^1L$ 23 εἶναι τῷ μ. a Sp. 24 εἴρηκεν λύσεις a Sp. 29 ἐπεὶ scripsi: ἐπὶ libri 30 ὄν τι ἡ ὕλη Diels: ὂν τῇ ὕλῃ V^1FS^1L: ὂν γάρ τι ἡ ὕλη V^2BS^2a Sp. διότι δὲ ἡ GFS^1L 31 οὔσῃ V^2B 32 αὐτῇ V^2B: αυτη sic V^1: αὕτη GSLa Sp. γίνεσθαι om. FS^1L

λοντος. καὶ δυνάμει μὲν οὔσης, ἐπειδὴ δυνάμει ἐστὶν ὕλη τοῦτο ὃ γίνεται· ἐνεργείᾳ δὲ μὴ οὔσης, ὅτι οὐδέπω ἐστὶν ὃ γίνεται· οὐ γὰρ ἂν ἐγίνετο. αὗται δὴ διαφέροιεν ἂν ἀλλήλων τῷ τὴν μὲν πρώτην ἀπὸ τοῦ ὑποκειμένου τῇ γενέσει καὶ προϋπάρχοντος τῇ φύσει γεγονέναι (τοιαύτη γὰρ ἡ ὕλη τῇ αὑτῆς φύσει, ἐξ ἧς γίνεται ὄν μέν τι κατὰ τὴν αὑτῆς φύσιν, μὴ ὂν δὲ κατὰ τὴν συμβεβηκυῖαν αὐτῇ στέρησιν), τὴν δὲ δευτέραν ἀπὸ τῆς σχέσεως αὐτῆς τῆς πρὸς ὃ γίνεται. τῷ γὰρ δύνασθαι μὲν γενέσθαι, εἰς ὃ μεταβάλλει, μηδέπω δὲ εἶναι ἐν τούτῳ τὸ γινόμενον ἐξ αὐτῆς γίνεται. εἴτε γὰρ ἦν ἤδη ἐν αὐτῷ, οὐκ ἂν ἐγίνετο, εἴτε μὴ ἦν μέν, ἦν δὲ ἀδύνατον, ἀδύνατον εἰς αὐτὰ μεταβάλλειν· οὐδὲν γὰρ τῶν ἀδυνάτων γίνεται. τῷ δύνασθαι μὲν εἰς ὃ γίνεται μεταβάλλειν, μηδέπω δὲ εἰς αὐτὸ ἐνεργείᾳ μεταβεβληκέναι τούτῳ τὸ γινόμενον ἐξ αὐτῆς γίνεται. ὑπάρχει δὲ αὐτῇ τὸ μὲν δύνασθαι παρὰ τῆς οἰκείας φύσεως (ἐν τούτῳ γὰρ αὐτῇ τὸ ὕλῃ εἶναι), τὸ δὲ μηδέπω ἐνεργείᾳ εἶναι παρὰ τῆς στερήσεως. δύναταί τις ἐπὶ τῆς πρώτης λύσεως τὰ εἰρημένα διαιρεῖν, ὡς τὸ μὲν αὐτῆς | ἐπὶ 75 τῆς στερήσεως εἰρῆσθαι λέγειν, τὸ δὲ ἐπὶ τῆς ὕλης, οὔσης γὰρ τῆς μὲν στερήσεως καθ' αὑτὸ μὲν μὴ ὄντος, κατὰ συμβεβηκὸς δὲ ὄντος, διότι ὄντι οὔσῃ τῇ ὕλῃ συμβέβηκε, τῆς δ' ὕλης καθ' αὑτὴν μὲν οὔσης, κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης, διότι ἡ στέρησις αὐτῇ μὴ ὂν οὖσα συμβέβηκεν. τὸν γὰρ λύοντα τὴν τῶν ἀρχαίων ἀπορίαν ἐρεῖν καὶ ἐκ τοῦ μὴ ὄντος ἁπλῶς γίνεσθαι τὰ γινόμενα καὶ ἐκ τοῦ ὄντος ἁπλῶς, καὶ ἰδίᾳ μὲν μηδέτερον αὐτῶν ἱκανὸν πρὸς γένεσίν τινα εἶναι (μήτε γὰρ τὸ μηδ' ὂν ἁπλῶς, ὅτι μηδὲ ὂν ἐκ τοῦ οὕτω μὴ ὄντος γίνεται, μήτε τὸ ὂν καθ' αὑτό· ἤδη γὰρ ἂν εἶναι), ἀμφότερα δὲ γίνεσθαι τῆς γενέσεως αἴτια, ἀλλὰ τὸ μὲν μὴ ὂν καὶ τὴν στέρησιν μὴ καθ' αὑτό. ⟨καθ' αὑτὸ⟩ γὰρ ἂν ἐκ ταύτης ἐγίνετο, εἰ ὑπομένουσα μετέβαλλεν εἰς τοὐναντίον αὐτῇ. τοῦτο δ' ἀδύνατον· οὐ γὰρ οἷόν τε ὑπομένειν καὶ ὑποκεῖσθαί τινι τὸ τῇ αὑτοῦ φύσει μὴ ὄν, οὐδὲ τὸ ἐναντίον τινὶ οἷόν τε σωζόμενον δέξασθαι τὸ ἐναντίον αὐτῷ. κατὰ συμβεβηκὸς δὲ τὸ γινόμενον ἐκ ταύτης γίνεται τῷ ἐξ οὗ γίνεται (γίνεται δὲ ἐκ τῆς ὕλης) ἐκείνῳ τὴν στέρησιν ἐξ ἀνάγκης δεῖν συμβεβηκέναι (καὶ οὕτως μὲν ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος καθ' αὑτό· καθὸ γὰρ ὄν πως· τοιοῦτο δὲ τῷ τῷ ὄντι συμβεβηκέναι), ἐκ δὲ τῆς ὕλης γίνεσθαι μὲν καθ' αὑτὴν τὰ γινόμενα (ὂν γὰρ οὖσα κατὰ τὸν ἑαυτῆς λόγον ὑπομένει τε καὶ σῴζουσα τὴν

---

1 μέν γε B^2 ἡ ὕλη a Sp. 3 αυται V^1 ἂν om. a Sp. 7 αὑτῆς] αὐ s. v. V μὲν γίνεσθαι a Sp. 9 ἀδύνατον ⟨ἀδύνατον⟩ GFSa Sp.: ἀδύνατον (ον in lit.) VB 10 αὐτὸ coni. Sp. 11 οὖν δύνασθαι a Sp. γίνεται VB: δύναται GFSLa Sp. μεταβάλλειν μηδέπω] λειν μ in lit. V 13 alt. αὐτῇ] αὐτῇ VS^2: αὕτη FL: αὐτῆς a Sp. alt. τὸ om. FL 15 δέ τις V^2BS^2a Sp. 16 γὰρ VS^2a Sp.: δὲ FSL 18 ὄντι om. a Sp. αὐτὴν BGFSLa Sp.: αὐτῆς V 19 αὐτῇ VBS^2a Sp.: αὕτη S^1GF: αὐτὴ L οὖσα V^1SGFLa: οὔσῃ V^2B 20 γὰρ om. B^2S^2a Sp. ⟨δύνασθαι⟩ ἐρεῖν a Sp. ἁπλῶς ὄντος a Sp. 22 τινος a Sp. μὴ ὂν FSB^2a Sp. 23 μηδὲ ὂν $VGFS^1B^1L$: μηδὲν B^2S^2a Sp. 25 στέρησιν κατὰ συμβεβηκὸς μὴ FS^1G (κ. σ. in mg.) καθ' αὑτὸ addidi ἢ ante γὰρ add. V^2BS^2a Sp. 26 μετέβαλεν a Sp. αυτη V^1 27 οὐδὲ Schwartz: οὔτε libri 30 δεῖν om. a Sp. 31 ὄντος ὂν καθ' a ὄν πως VS^2 Vict. Sp.: ἄν πως FSL: πως a τῷ] τὸ a

ἑαυτῆς φύσιν δέχεται | τοῦ γινομένου τὸ εἶδος) * * * πρὸς ἣν μεταβολὴν ἡ 76
στέρησις αὐτὴ τοῦ γινομένου συντελεῖ προϋπάρχουσα καὶ συμβεβηκυῖα αὐτῇ· πᾶσι γὰρ τοῖς ἐξ ὕλης γινομένοις ἡ γένεσις κατὰ τὴν ἐκ τῆς στερήσεως, εἰς ἃ γίνεται, μεταβολήν. διὸ οὔτε ἐκ τῆς στερήσεως καὶ τοῦ μὴ ὄντος καθ' αὑτὸ ἡ γένεσις (καθὸ γὰρ ὄν πως· ὂν γάρ πως τῷ τῇ ὕλῃ ὄντι οὔσῃ συμβεβηκέναι), οὔτε ἐκ τῆς ὕλης καὶ τοῦ ὄντος καθ' αὑτό, εἴ γε καθ' ὅ ἐστι [μὲν] στέρησις, ἡ εἰς τὸ εἶδος αὐτῆς μεταβολή.

XXV. Εἰς τὰ περὶ προνοίας τινὰ συντελοῦντα.

Τῶν οὐσιῶν κατὰ Ἀριστοτέλη ἡ μέν ἐστιν ἀσώματός τε καὶ ἄνευ σώματος εἶδός τι ἄυλον καὶ χωριστόν, ἐνέργειά τις οὖσα πάσης δυνάμεως κεχωρισμένη, ἣν οὐσίαν καὶ νοῦν καλεῖ, νοῦν δὲ τὸν κατ' ἐνέργειαν, ἀεὶ γὰρ νοοῦντα καὶ νοοῦντα τὸ τῶν ὄντων ἄριστον, τοῦτο δ' ἐστὶν αὐτός. αὑτὸν δὴ ἀεὶ νοεῖ ὁ νοῦς οὗτος· τὸ γὰρ μάλιστα νοητὸν ὁ μάλιστα νοῦς νοεῖ, μάλιστα δὲ νοητὸν τὸ χωρὶς ὕλης εἶδος. τῇ γὰρ αὑτῆς φύσει ἡ τοιάδε οὐσία νοητή (τὰ μὲν γὰρ ἔνυλα εἴδη νοητὰ μέν ἐστιν, ἀλλ' οὐ τῇ αὑτῶν φύσει, [ἀλλ'] οὐδὲ καθ' αὑτά, ἀλλ' ὁ νοῶν αὐτὰ νοῦς νοητὰ αὐτὰ ποιεῖ χωρίζων αὐτὰ τῆς ὕλης τῇ ἐπινοίᾳ καὶ ὡς | ὄντα καθ' αὑτὰ λαμβάνων), 77
τὸ γὰρ πάσης ὕλης καὶ πάσης δυνάμεως εἶδος κεχωρισμένον τῇ αὑτοῦ φύσει νοητόν ἐστι κυρίως. ἀλλὰ μὴν ἡ τοιαύτη οὐσία ὁ προειρημένος νοῦς ἐστιν, διὸ ἑαυτὸν νοεῖ. καὶ γὰρ εἰ ἡ τοιαύτη οὐσία μηδὲν ἔχουσα δυνάμει ἀεὶ ἐνεργείᾳ ἐστὶ νοητή, ἐνεργείᾳ δέ ἐστι νοητὸν τὸ ἀεὶ κατ' ἐνέργειαν νοούμενον, εἴη ἂν νοούμενον ὑπὸ τοῦ νοῦ τοῦ ἀιδίου τε καὶ ἐνεργείᾳ, τοιοῦτον δὲ ἡ προειρημένη οὐσία ἦν, πρώτη οὐσία νοῦς τε ὁ πρῶτος καὶ νοητὸν τὸ πρῶτον καὶ νοῦς ἀεὶ νοῶν καὶ ἐν τούτῳ τὴν οὐσίαν ἔχων. πᾶς μὲν γὰρ νοῦς ὅταν ἐνεργῇ, αὑτὸν νοεῖ τῷ γίνεσθαί πως ἐνεργῶν ⟨ὁ⟩ αὐτὸς τῷ νοουμένῳ, εἴ γε τῇ τοῦ νοουμένου λήψει τὸ νοεῖν γίνεται, τὸ δὲ τὸ εἶδος νοουμένου λαβὸν γίνεταί πως τὸ νοούμενον. τὸ δὲ 'πῶς' εἶπον ὅτι ἐφ' ὧν μὲν τὸ νοούμενον ἔνυλον, ἐπὶ τούτων οὐχ ἁπλῶς ὁ νοῶν νοῦς τὸ νοούμενον γίνεται τῷ μὴ μετὰ τῆς ὕλης τὸ εἶδος λαμβάνειν, ἐφ' ὧν δὲ τὸ νοούμενον εἶδός ἐστιν ὕλης κεχωρισμένον, ἐπὶ τούτων ἁπλῶς γίνεται ὁ νοῶν νοῦς ὁ αὐτὸς τῷ νοουμένῳ. ὅταν δὲ προσῇ καὶ αὐτῷ τῷ νοοῦντι

---

1 lacunam ind. Schwartz 2 αὐτὴ] αυτη V[1] 5 ὄν πως V[2]BS[2]a Sp.: ὄντως V[1]S[1]: ὄντος FGL 7 ἐστι V[2]Ba Sp.: ἐστὶ μὲν V[1]GFSL 8 cf. quae disputavi de hoc capite in Mus. Rhen. XLV p. 223 sqq. 9 Ἀριστοτέλην a Sp. 10 ἐνέργειά VF: ἐνεργείᾳ La Sp.: ἐνεργεια S 13 αὐτὸν V[1] (corr. V[2]) δὴ ἀεὶ GFSL: δὴ δεῖ VB[1]: δὴ B[2]S[2]a Sp. 16 ἀλλ' om. Sp. 17 ὄντα V[2]S[2]Ba Sp.: ὄντως VGFS[1]L 18 γάρ] δὲ a Sp. αὐτοῦ V[1] 23 ἦν πρώτη V[2]B: ἦν πρώτην V[1]L: ἦν πρώτην GFS[1]: ἦν ἦν πρώτη S[2]a: ἡ πρώτη coni. Sp. 24 πᾶς VSa Sp.: πᾶν GF ὁ νοῦς a Sp. 25 αὐτὸν V[1] ὁ add. B[2]S[2]a Sp. αὐτὸς VS[2]a Sp.: αὐτὸν GFS[1]L 26 γίνεται] ν s. v. V 27 ὅτι] τῷ S[2]B[2]a Sp.: τὸ B[1] 28 νοῶν νοῦς V[2]GFSBa Sp.: νοῦσ νοῦσ V[1] τὸ om. a Sp. 29 λαμβάνειν] λαμβάν in lit. V

νῷ αὐτῷ τε εἶναι ⟨καὶ⟩ καθ' αὑτόν, τότε πάντῃ γίνεται νοῶν ἑαυτόν, μάλιστα ἂν προσῇ τὸ μηδ' ἄλλο τι εἶναι τὸ χωριστόν τε τῆς ὕλης καὶ νοητὸν καθ' αὑτὸ παρὰ τὸν νοῦν. ἐπὶ μὲν γὰρ τῶν ἐνύλων τῷ εἴδει τὰ αὐτά, οὐ τῷ ἀριθμῷ, γίνεται τὰ τοῦ αὐτοῦ εἴδους κεκοινωνη|κότα, παρὰ τῆς ὕλης τὴν κατὰ τὸν ἀριθμὸν διαφορὰν ἔχοντα, ὅσα δὲ τὰ αὐτὰ ὄντα εἴδη ἄυλά ἐστιν, ταῦτα οὐ κατὰ τὸ εἶδος μόνον, ἀλλὰ καὶ κατὰ τὸν ἀριθμόν ἐστι τὰ αὐτά. ἓν γὰρ τῷ ἀριθμῷ τὰ πάντα, ὡς αἱ συντιθέμεναι στιγμαί τε καὶ γραμμαὶ καὶ ἐπίπεδα. καὶ τοιαύτη μέν, ὡς διὰ βραχέων ἐπιδεῖξασθαι, ἡ πρώτη τε καὶ ἀσώματος καὶ ἀκίνητος καὶ ἀίδιος οὐσία, καὶ μετ' ἐκείνην τὸ θεῖον σῶμα τὸ κυκλοφορητικὸν ἔμψυχον καὶ κατὰ ψυχὴν κινούμενον. καὶ ἐπεὶ πᾶν τὸ κατὰ ψυχὴν κινούμενον ἐφέσει τινὸς ἢ ἀποστροφῇ κινεῖται, καὶ τὸ κυκλοφορητικὸν δὲ σῶμα κατὰ ψυχὴν κινεῖται τὴν κίνησιν τὴν κύκλῳ, ἣ μόνη κινήσεων πασῶν ἀίδιός τέ ἐστι καὶ συνεχὴς καὶ ὁμαλή τις, δῆλον ὡς καὶ τοῦτ' εἴη ἂν ἐφέσει τινὸς αὐτῷ κινούμενον. ἀλλὰ μὴν ⟨εἰ⟩ πᾶσα σωματικὴ οὐσία ὑστέρα τοῦ σώματος ἐκείνου, οὐδενὸς τούτων ἐφέσει κινεῖσθαι οἷόν τε αὐτό. τῆς ἄρα πρώτης οὐσίας ἀιδίου τε καὶ ἀκινήτου λείπεται ἐφιέμενον αὐτὸ κινεῖσθαι τὴν ἀίδιον περιφοράν. ἡ δ' ἔφεσις αὐτῷ οὐ τοῦ λαβεῖν αὐτό, ἀλλὰ τοῦ ὁμοιωθῆναι κατὰ δύναμιν αὐτῷ, ὁμοιοῦται δ' αὐτῷ κατὰ τὴν κίνησιν (τῷ τε αἰδίῳ καὶ τῇ ὁμοιότητι καὶ ὁμαλότητι τῆς κινήσεως· στάσει γὰρ ἔοικέ πως ἡ περιφορὰ ἡ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα)· ἔτι τε ὁμοίωσίς ἐστι τῷ τελείῳ καὶ ἡ καθόλου ἣν δύναται ἕκαστον τῶν ὁμοιοῦ⟨σθαι ἐφιε⟩μένων αὐτῷ ⟨τελειοῦσθαι⟩ τελειότης, τελειότης δὲ τοῦ | κυκλοφορητικοῦ σώματος ἡ τοιαύτη περιφορά. πλειόνων δὲ σφαιρῶν οὐσῶν τῶν τοῦ θείου σώματος ἡ μὲν πρώτη τε καὶ ἐξωτάτω ἁπλῆν τε καὶ μίαν κινεῖται κίνησιν ἐκείνης ἐφέσει τῆς οὐσίας, αἱ δὲ μετὰ ταῦτα ἑπτὰ κινοῦνται μὲν καὶ τούτων ἑκάστη ἐφέσει τε καὶ ὀρέξει τῆς οὐσίας, ὁποίας καὶ ἡ πρὸ αὐτῶν, οὐ μὴν μόνην τήνδε κινοῦνται, ἀλλ' ἐξ ἑαυτῶν κινεῖται ἑκάστη. ἣν κινεῖται καὶ περιφέρεται ἀνάπαλιν ἐκείνῃ τῷ τὴν θέσιν τε καὶ τάξιν τοιαύτην ἔχειν, κινεῖται δὲ καὶ δευτέραν κίνησιν ὑπὸ τῆς πρώτης περιφερομένη τὴν αὐτὴν ἐκείνῃ. τῆς δὲ διπλῆς τούτοις αἰτία κινήσεως τὸ δεῖν μὲν εἶναί τι καὶ ἄλλο σῶμα παρὰ τὸ ἀίδιόν τε

---

1 αὐτῷ τε GFBSL: αὐτῷ τε sic V^1: αὐτῷ V^2: αὐτόν τε Vict. καὶ add. Sp. καθ' αὑτόν V: κατ' αὐτόν Fa 2 ἂν V^2FBS^1L: δ' ἂν B^2S^2a: ἀν V^1 τῆς] καὶ a Sp. 3 γὰρ s. v. V 5 εἴδη] ἤδη a 7 ἓν GB Vict.: ἐν V^1FSLa Sp.: ἒν V^2 9 καὶ μετ' ἐκείνην $VGFB^1S^1L$: μετ' ἐκείνην δὲ B^2S^2a Sp. cf. l. c. p. 231 11 ἐπιστροφῇ B^2 καὶ om. FS^1L 13 ὁμαλή τις BV^2S^2a Sp.: ὁμαλότησ V^1: ὁμαλῆς GFS^1L 14 αὐτῷ VB^1: αὐτὸ G: αὐτο- FS^1L: om. B^2S^2a Sp. εἰ BV^2 Vict. Sp.: ἡ S^2a: om. V^1GFS^1L 17 περιφοράν] φορά in lit. V 19 τε] fortasse γὰρ cf. l. c. 224 τε καὶ ὁμαλ. GFSa 20 πως] π in lit. V 21 ὁμοίωσίς ἐστι scripsi: ὁμοιωσίστε V^1: ὁμοίωσις V^2GFSBa Sp. καθόλου ἣν $VGFB^1S^1L$: καθόσον B^2S^2a Sp. 22 ὁμοιοῦ⟨σθαι ἐφιε⟩μένων scripsi: ὁμοιουμένων libri τελειοῦσθαι addidi 24 δὲ] τε a 25 κίνησιν ἐκείνης] ν ἐκ in lit. V 26 ἑκάστη GFSBLa Sp.: ἑκάστηι V 27 τῆς scripsi: τινος libri τήνδε] νδ in lit. V 28. 29 ἐκείνῃ τῷ τὴν GFSLa Sp.: ἐκείνη τῇ τῶν V^1: ἐκείνῃ τῇ τῶ V^2: ἐκείνῃ τῷ B 30 ἐκείνη V^1 (corr. V^2)

καὶ θεῖον, ὃν ἐν γενέσει τε καὶ φθορᾷ, ἐπεὶ πρὸς τὴν ἀίδιον αὐτοῖς περιφορὰν συντελεῖ καὶ τὸ τοιόνδε σῶμα, οὐχ οἷόν τε δὲ εἶναι τὸ τοιοῦτο σῶμα κατ' εἶδος ἀίδιον μένειν μὴ ταῖς ἐκείνων ποικίλαις κινήσεσι κυβερνώμενον. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον, εἰ μέν τις βούλοιτο λέγειν προνοεῖσθαι πᾶν τὸ διά τι καὶ παρά τινος ὁπωσοῦν τὸ μεταβάλλειν ἔχον καὶ τὸ κινεῖσθαι, εἴη ἂν πᾶσα σωματικὴ οὐσία ἥ τ' ἀίδιος καὶ ἡ ἐν γενέσει καὶ φθορᾷ ὑπὸ τῆς πρώτης οὐσίας τῆς ἀιδίου τε καὶ ἀκινήτου καὶ ἀσωμάτου προνοουμένη. εἰ δέ τις ταῦτα μόνα προνοεῖσθαι λέγοι, ὧν χάριν τὸ προνοεῖν αὐτῶν λεγόμενον ἐνεργείᾳ τινὰς ἐνεργείας κινούμενον, μό|νον 80 ἂν εἴη [κατ' Ἀριστοτέλη] τὸ ὑπὸ σελήνην σῶμα προνοούμενον, τοῦτο δ' ἐστὶ τὸ ἔνυλόν τε καὶ ἐν γενέσει καὶ ἐν φθορᾷ, ἐπειδὴ τῆς τούτου χάριν τεταγμένης μεταβολῆς καὶ ἀιδίου κατ' εἶδος διαμονῆς κεῖνται κινεῖσθαι τοῦ κυκλοφορητικοῦ σώματος αἱ μετὰ τὴν πρώτην τε καὶ ἀπλανῆ καλουμένην ἑπτὰ σφαῖραι τὴν κίνησιν τὴν δευτέραν, διότι γὰρ ἔδει τοῖς γινομένοις καὶ φθειρομένοις ποικίλης κινήσεως. οὐ γὰρ οἷόν τ' ἦν ὡσαύτως ἔχοντα πάντα τὰ θεῖα ὁμοῦ μὲν γενέσεως ὁμοῦ δὲ φθορᾶς τεταγμένης αἴτια τοῖς τῇδε γίνεσθαι, δι' ἃς γενέσεις καὶ φθορὰς τοῦτον γινομένας τὸν τρόπον ἀίδια καὶ ταῦτα κατ' εἶδος μένει, μὴ οὔσης τινὸς καὶ ἐν ἐκείνοις ποικίλης κινήσεως.

XXVI. Πῶς τὸ εἶδος ἐν τῇ ὕλῃ, πότερον καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός.

Εἰ μὲν λέγοι τις ἐν τῇ ὕλῃ γίνεσθαι τὸ εἶδος καθ' αὑτό, ἔσται ἐν τῇ οὐσίᾳ τῆς ὕλης τὸ εἶδος καθ' αὑτό, εἰ τὸ καθ' αὑτὸ ὑπάρχον τινὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ. ἀλλ' εἰ τοῦτο, συμφθείροιτ' ἂν ἡ ὕλη τῷ εἴδει φθειρομένῳ. ἢ καὶ ἐν τῇ οὐσίᾳ ἐστὶ τῆς ὕλης τὸ εἶδος. οὐ γὰρ οἷόν τε | ὕλην εἶναι 81 ἄνευ τοῦ οἰκείου εἴδους. ἀλλὰ φθαρέντος τοῦ εἴδους ἢ χωρισθέντος οὐκέθ' οἷόν τε ἐκείνην τὴν ὕλην εἶναι, ἧς ἦν εἶδος ἐκεῖνο, ἀλλὰ ἅμα ἐστίν, ὥστ' εἰς τὸ εἶναι ὕλῃ συμβάλλεται αὐτῇ ἡ παρουσία τοῦ εἴδους. καθ' αὑτὸ

---

2 δὲ εἶναι scripsi: δὲ τὴν V^1: δὲ V^2BS^2a Sp.: δὲ ἣν GFS^1L 3 τῶν ἐκείναις V^1 (corr. V^2) 5 τὸ V^1GSFB^2a Sp.: τόδε B^1V^2 διά τι V^2FBa Sp.: διατι V^1: δια τί GS 7 γενέσει] νεσ in lit. V τε om. FSa Sp. 8 χάριν] ρ in lit. V 9 προνοοῦν l. c. p. 229 otiose corrigebam λέγομεν coni. Sp. κινούμενον (scil. ἐστίν) libri: κινουμένων coni. Sp. 10 ἂν εἴη V^2B Sp.: ἂν εἰ S^2a: ἀεὶ V^1GFS^1L ἀριστοτέλην a Sp. κατὰ Ἀριστοτέλη delevi cf. l. c. p. 229 sq. 12 διαμονησ sic V^1 κεῖνται] κινεῖται a 15 οὐ γὰρ οἷόν τ' ἦν GFSa Sp.: οὐ γὰρ οἷον τὴν V^1: οὐχ' οἷόν τ' ἦν V^2B 16 αἴτια τοῖσ VG: αἰτία τοῖς FL: αἰτιατοῖς Sa Sp.: αἰτιατὰ τοῖς coni. Sp. τῆδε V 17 γενέσθαι a Sp. ⟨τι⟩ καὶ a Sp. 18 μὴ οὔσης V^1GFS^1L: μενούσης V^2BS^2 Sp.: μενούσας Vict.: om. a 20. 21 πῶς — συμβεβηκὸς repetit ante εἰ (22) B 25 ἢ $GFSB^2$ in lit. a Sp.: ἡ sic V^1: ἢ V^2 ἐστὶ] ἔτι a: ἐπὶ L 26 τοῦ om. a Sp. 27 ἅμα] ἄλλη coni. Kroll *De Q. Aurelii Symmachi studiis* (Vratisl. 1891) p. 43, 11 27. 28 ὥστ' εἰς] ὥς τις a 28 ὕλῃ V: τῇ ὕλῃ B^2S^2a Sp.: ὕλη B^1S^1: ὕλην GFL αὐτῇ V^2B Sp.: αυτη V^1: αὐτὴ SLa Kroll: αὕτη F ἡ ante καθ' del. V^1: ἢ καθ' a: εἰ καθ' coni. Sp.

οὖν ὑπάρχει τὸ εἶδος τῇ ὕλῃ ὡς ἐν τῇ οὐσίᾳ αὐτῆς ὄν, ὥσπερ καὶ τῷ ζῴῳ ὁ ἄνθρωπος καὶ παντὶ τῷ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὄντι καθ' αὑτὸ ὑπάρχοντι αὐτῷ. ἔτι τε οὐκ ἔσται ἐν τῇ αὑτῆς φύσει ἔχουσα τὸ τῶν εἰδῶν δεκτικόν, ἀλλ' αὐτὰ τὰ εἴδη. ἔτι ἤτοι ἑκάστη ὕλη ἅμα τὰ εἴδη πάντα ἕξει, ὃ ἀδύνατον (ἔστι γὰρ καὶ ἐναντίωσις ἐν τοῖς ἐνύλοις εἴδεσιν, ὡς ἐπὶ τῶν στοιχείων ὁρῶμεν, ἐξ οὗ δῆλον ὅτι μὴ πάντα ἐν τῇ αὐτῇ· ἔτι ⟨εἰ⟩ εἶχε πάντα ἡ αὐτή, οὐκ ἂν ἦν ἡ κατὰ γένεσιν μεταβολή), εἰ δ' ἄλλῃ ἄλλο, ἄφθαρτον ἂν ἕκαστον ἦν τῶν ἐνύλων. εἰ δ' ἦν φθαρτόν, καὶ ἡ ὕλη ἂν συνεφθείρετο, ἐδείχθη δ' ἀΐδιος οὖσα. ἀλλ' οὐδ' ὡς τὰ συμβεβηκότα τῇ ὕλῃ τὰ εἴδη ἐστὶν ἐν αὐτῇ. ἔσται γὰρ ἐν ὑποκειμένῳ αὐτῇ, καὶ ἤτοι οὐσία ὄντα συμβεβηκότα ἔσται, ὃ ἄτοπον, ἢ εἰ συμβεβηκότα εἴη καὶ τῆς φύσεως τῶν συμβεβηκότων, ἔσται ἡ οὐσία συναμφότερος ἐξ ὕλης καὶ συμβεβηκότος, οὕτω δ' οὐκ ἔσται ἁπλῶς ἡ συναμφότερος οὐσία οὐσία, ἀλλ' ὥσπερ τῶν κατὰ τέχνην γινομένων ἕκαστον. ἔτι εἰ μὲν ἦν ἡ ὕλη χωρὶς εἴδους εἶναι δυναμένη, ἐδύνατ' ἂν ἐν ὑποκειμένῳ εἶναι αὐτῇ τὸ εἶδος, εἰ δὲ | σὺν εἴδει ἡ ὑπόστασις αὐτῇ, καὶ ἔστιν οὕτως ἐν ὑποκειμένῳ αὐτῇ 82 γινόμενον τὸ εἶδος, ὡς οὔσῃ μετ' εἴδους καὶ ἐν ὑποστάσει καὶ ἤδη σώματι, ἤτοι ἐν ἐκείνῳ ἔσται τῷ σώματι τῷ ἔχοντι τὸ εἶδος, ἐξ οὗ τῇ ὕλῃ ⟨ἡ⟩ εἰς τοῦτο μεταβολή (ὃ ἀδύνατον· πῶς γὰρ οἷόν τε ἐν τῷ φθειρομένῳ τῇ εἰς τοῦτο μεταβολῇ λέγειν εἶναι τοῦτο, ⟨ὃ⟩ οὐχ οἷόν τε ἐκείνου σωζομένου γίνεσθαι ἐν αὐτῇ;) ἢ ἐν τῇ τοῦτο ἐχούσῃ τὸ εἶδος εἰς ὃ μεταβέβληκεν. ἀλλ' οὐδ' ἐν τούτῳ οἷόν τε, εἴ γε τοῦτο μὲν τὸ σῶμα ἐκ τῆς ὕλης καὶ τούτου τοῦ εἴδους τὸ εἶναι ἔχει, οὐδὲν δὲ αὐτὸ αὐτῷ συμβέβηκεν. καὶ ἦν ἐν ὑποκειμένῳ τὸ μὴ ὡς μέρος ὂν ἐν ᾧ ἐστιν, τὸ δ' εἶδος τοῦτο μέρος ἐστὶ τοῦ ὑποκειμένου. μήποτ' οὖν οὕτως συμβεβηκὸς ἐν τῇ ὕλῃ τὸ εἶδος, καὶ ἐν ὑποκειμένῳ καθ' αὑτὸ οὕτως, ὡς λέγεται καθ' αὑτὰ ὑπάρχειν τινὶ τὰ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὄντα, ἀλλ' ἐπεὶ ἦν καὶ ἄλλος τρόπος τοῦ καθ' αὑτό, οὗ καὶ Ἀριστοτέλης καὶ Θεόφραστος ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς μνημονεύουσιν, οὗτος δ' ἐστὶν καθ' ὃν ἐλέγετο καθ' αὑτὸ ὑπάρχειν τινί, οὗ ἐν τῷ ὁρισμῷ τὸ ᾧ ὑπάρχει παραλαμβάνεται, καθ' ὃν τρόπον τοῦ καθ' αὑτὸ ὁ περιττὸς ἀριθμὸς καὶ ἄρτιος ὑπάρχουσιν τῷ ἀριθμῷ (ἑκάτερον γὰρ αὐτῶν ὁριζόμενοι τῷ ἀριθμῷ ἐν τῷ ὁρισμῷ χρώμεθα αὐτῶν

---

2 exspectas πᾶν τὸ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὄν τι et ὑπάρχον [τι] αὐτῷ (ὑπάρχον τι αὐ. Kroll) 3 αὐτῆσ V 4 ἤτοι] fortasse οὐκέτι 6 εἰ om. V^{1} (add. V^{2}) 8 ἄφθαρτον] φθαρτὸν coni. Sp. εἰ δ' ἦν $V^{2}BS^{2}a$ Sp.: ἡ εἰ L: ἢ εἰ GFS^{1}: εἴη V^{1} 10 αὐτῇ V^{2} Sp.: αὕτη Fa: αὐτη V^{1}: αυτη L 15 αὐτῇ a Sp.: αυτη sic V: αὐτὴ L 16 αὐτῇ (prius) V^{2} Sp.: αυτη V: αὕτη SLa: αὐτὴ F αὐτῇ (alterum) V^{2}a: αὐτὴ FL: αυτη V^{1} 19 ἡ εἰς $V^{2}B$ Sp.: εἰς $V^{1}GFSLa$ 20 ὃ add. $V^{2}B$ Sp. 22 οὐδ' ἐν τούτῳ $V^{2}GFS^{2}L$: οὐδὲν τούτωι $V^{1}B^{1}S$: οὐδὲν τούτων B^{2}: οὐδὲ τούτω $S^{2}a$: οὐδὲ τοῦτο Sp. 23 τοῦ τούτου a Sp.: τοῦ ταύτην coni. Sp. αὐτῷ V^{1} (corr. V^{2}) 24 ἦν $V^{1}GFS^{1}L$: ἐστιν $V^{2}BS^{2}a$ τούτου a Sp. 25 μήποθ' V^{1} (corr. V^{2}) οὕτως] οὔτε B^{2}: οὐ Schwartz, quod placet 26 καθ' αὑτὸ οὕτως scripsi: οὕτως καθ' αὑτὸ $V^{2}GFSBLa$ Sp.: κατ' αὐτὸ οὕτωσ V^{1} οὕτως] οὔτε B 28. 29 Ὑστέροις ἀναλυτικοῖς] Anal. post. I, 4 $73^{a}34$ sqq. 31 αὐτὸ $V^{2}BS^{2}a$ Sp.: αὐτὸν $V^{1}FS^{1}L$ 32 ἐν τῷ s. v. V αὐτῶν V: om. a Sp.

λέγοντες τὸν | μὲν περιττὸν ἀριθμὸν εἰς ἄνισα διαιρούμενον, τὸν δ' ἄρτιον 83 ἀριθμὸν εἰς ἴσα διαιρούμενον)· δοκεῖ γὰρ καὶ ἐν τῷ τοῦ ἐνύλου εἴδους λόγῳ ⟨ἡ⟩ ὕλη παραλαμβάνεσθαι, ἐν ᾗ ἐστι. παντὶ μὲν γὰρ ἐνύλῳ κατὰ τὸ εἶδος ὁ λόγος (κατὰ γὰρ τοῦτ' αὐτῷ τὸ τί ἦν εἶναι), οὐ μὴν ἀλλὰ καὶ τῆς ὕλης ἀναγκαῖον μνημονεύειν αὐτόν· καὶ γὰρ σαρκὸς καὶ ὀστοῦ, ἀλλὰ καὶ χειρὸς καὶ προσώπου οἱ λόγοι τοιοῦτοι. καὶ τὴν ψυχὴν δὲ ὁριζόμενοι εἶδος οὖσαν ἔνυλον ἐν τῷ ὁρισμῷ αὐτῆς καὶ τὸ οὗ ἐστι παραλαμβάνομεν. τοῦτο γὰρ σημαίνεται ὑπὸ σώματος φυσικοῦ ὀργανικοῦ. καὶ ὡς ἐπὶ τῶν ἀριθμῶν οὐ πᾶς μὲν ἀριθμὸς περιττός, οὐδὲ πᾶς ἀριθμὸς ἄρτιος, πᾶς μέντοι ἄρτιος ἀριθμός, καὶ πᾶς περιττὸς ὁμοίως ἀριθμὸς καὶ οὗτος, οὕτως καὶ ἐπὶ τοῦ εἴδους καὶ τῆς ὕλης οὐ πᾶσα μὲν ὕλη μετὰ τοῦδέ τινος τοῦ εἴδους, πᾶν δὲ ἔνυλον εἶδος ἐν ὕλῃ, καὶ ὡς ἐπ' ἐκείνων ὁ μὲν ἀριθμὸς οὐκ ἀπόλλυται ἐν τῇ εἰς τὸ ἄρτιον ἢ περιττὸν μεταβολῇ, τὸ δ' ἄρτιον καὶ περιττὸν ἐν αὐτῷ παρὰ μέρος φθείρεται τῇ εἰς τὰ εἴδη μεταβολῇ, [τὰ μέντοι εἴδη παρὰ μέρος φθείρεται.] οὕτω καὶ ἡ ὕλη οὐκ ἀπόλλυται ἐν τῇ εἰς τὰ εἴδη μεταβολῇ, τὰ μέντοι εἴδη παρὰ μέρος φθείρεται ἐν τῇ τῆς ὕλης εἰς αὐτὰ μεταβολῇ. |

3 ἡ V^2BS^2a Sp.: om. V^1GFL   5 αὐτόν, scil. τὸν λόγον scripsi: αὐτῶν V^1GFS^1L: αὐτῆς V^2BS^2a Sp.   6 οἱ λόγοι τοιοῦτοι V^1GFSLa Sp.: del. V^2: om. B   δὲ ὁριζόμενοι V^2GFSBLa Sp.: διοριζόμενοι V^1 10 ἀριθμοσ V   καὶ οὗτος οὕτως V^1GS^1L: καὶ οὗτος οὗτος F: καὶ οὕτως $V^2$$S^2$a: οὕτως B coni. Sp.   11 πᾶσα μὲν] α μ in lit. V 12 ἀπόλλυται V^2B (prius λ in lit. 2 litt.) G^2Sa Sp.: ἀπολέλυται $V^1$$G^1$FL   14. 15 τὰ— φθείρεται circumscripsit Schwartz; cf. v. 16   16 εἴδη] ἤδη a

α. Ὅτι ἕπεται τοῖς καὶ τὸ μέγεθος καὶ τὸν χρόνον ἐξ ἀδιαιρέτων συντιθεῖσι τὸ πάντα τὰ κινούμενα κατὰ τοῦ ἀμεροῦς ἰσοταχῶς κινεῖσθαι.

β. Ἐξήγησις λέξεως ἐν τῷ ά περὶ ψυχῆς | τέλους εἰρημένης εἰς ἀναίρεσιν τοῦ τὴν ψυχὴν αὐτοκίνητον εἶναι. 4

γ. Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος ἐγγινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι.

δ. Ὅτι εἰ τοῦ ἐφ' ἡμῖν τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, οὐδὲ [τὸ] αὐτὸ ἐφ' ἡμῖν, οὐδὲ τὸ ἐφ' ἡμῖν ἐφ' ἡμῖν ἐστι.

ε. Περὶ τοῦ ὅτι καὶ τὸ ἐφ' ἡμῖν καθ' εἱμαρμένην.

ϛ. Πῶς καὶ ἀκίνητον εἴη ἂν τὸ πρῶτον κινοῦν, εἴ γε ὥς φησιν ἕκαστόν ἐστιν ὧν ἐστιν ἔργον ἕνεκα τοῦ ἔργου, θεοῦ δ' ἐνέργεια ἀθανασία, τοῦτο δ' ἔστι, ζωὴ ἀίδιος, ὥστ' ἀνάγκη τῷ θεῷ κίνησιν ἀίδιον ὑπάρχειν.

ζ. Τίς ἔσται ἡ ὕλη, εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι.

η. Πῶς οὐκ αὐτὸ δι' αὑτοῦ ὡρίσατο τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος.

θ. Πῶς οὐ πρός τι ἡ ψυχή, εἰ ἐντελέχεια σώματος τοιούτου.

ι. Ὅτι μὴ αὐτοκίνητος ἡ ψυχή.

ια. Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως ὡς μεταβάλλον ἅμα καὶ ἐκ τοῦ ἐναντίου αὐτῷ | μεταβάλλει, εἴγε μὴ ταὐτὸν ᾗ τε στέρησις 5 καὶ τὸ ἐναντίον.

---

2 ante τὸ litt. erasa V 5 ψυχῆς Ἀριστοτέλους tit. Sp. 9 τοῦ] τοῦτο tit. Sp. pr. τὸ] οὗ τὸ tit.: ὂν τὸ Vict. 9 alt. τὸ om. tit.: del. Sp. οὐδὲ τὸ ἐφ' ἡμῖν del. Vict. 12 καὶ om. tit. ἂν κατὰ Ἀριστοτέλη tit. αὐτὸς φησιν tit.: φησιν αὐτὸς Vict. Sp. 16 τί ἐστι tit. εἰ] ἢ tit. 19 ὁ τὴν tit. 20 ὀργάνικοῦ V 23 ὡς om. tit. καὶ om. tit. 24 αὐτοῦ tit.

ιβ. Ὅτι οὐ δείκνυται διὰ τοῦ συστέλλεσθαι τὰ σώματα εἰς ἑαυτὰ τὸ σῶμα χωρεῖν διὰ σώματος.

ιγ. Πρὸς τοὺς ἐκ τῶν τριγώνων τὰ σχήματα καὶ τὰ εἴδη τῶν σωμάτων συγκεῖσθαι λέγοντας, οὐ τὰ σώματα.

ιδ. Εἰ τὰ κοινὰ νοήματα οὐ σῶμα, οὐδ' ἂν τὸ κοινὸν σῶμα, σῶμα εἴη· ὥστ' οὐδ' ὁρισμὸς αὐτοῦ σώματος ὁρισμὸς ἔσται.

ιε. Πῶς λέγομεν τὴν αὐτὴν δύναμιν ἅμα τῶν ἐναντίων εἶναι.

ιϛ. Πῶς οὐχ ὁμοίως ταῖς στοχαστικαῖς τέχναις καὶ ἄλλαι τέχναι τέλος ἕξουσι τὸ πάντα τὸ παρ' αὐτὰς ποιεῖν πρὸς τὸ τοῦ προκειμένου τυγχάνειν.

ιζ. Ὅτι οὐκ, εἰ ἔστιν τοῦ ὡς ὑπεκκαύματος πυρὸς ὃ καὶ στοιχεῖόν ἐστιν [ὃ καὶ] θερμότερόν τι ἄλλο πῦρ, διὰ ταύτην τὴν αἰτίαν μίξει τοῦ ἐναντίου τοιοῦτον ἐκεῖνο εἶναι.

ιη. Περὶ τοῦ τὴν φύσιν ἀρχὴν κινήσεως εἶναι.

ιθ. Ὅτι εἰ ὁ κόσμος ἀίδιος, τὸ δὲ κόσμῳ εἶναι αὐτῷ ἡ τάξις ἐστίν, εἴη ἂν ἐν τῇ οἰκείᾳ οὐσίᾳ αὐτοῦ καὶ τοῦτο.

κ. Πῶς τὸ μεταβάλλον εἴς τι καθ' ἣν ἔχει δύνα|μιν τηρεῖ τὴν δύναμιν 6 καὶ μετὰ τὸ μεταβάλλειν εἰς ὃ μετέβαλλεν.

κα. Ὅτι μὴ κατὰ συμβεβηκὸς ἡ πρόνοια κατὰ Ἀριστοτέλη.

κβ. Ἐξήγησις λέξεως ἐκ τοῦ δευτέρου Περὶ γενέσεως καὶ φθορᾶς ἄλλως ἔχουσα παρὰ τὴν ἐν τῷ εἰς αὐτὸ ὑπομνήματι.

κγ. Περὶ τῆς ἡρακλείας λίθου.

κδ. Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου Περὶ ψυχῆς μετ' ὀλίγον τῆς ἀρχῆς.

κε. Ἄλλης λέξεως ἐκ τοῦ αὐτοῦ ἐξήγησις.

κϛ. ⟨Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις.

κζ. Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις.⟩

κη. Ὅτι μὴ ἡ ὕλη γένος.

I. Ὅτι ἕπεται τοῖς καὶ τὸ μέγεθος καὶ τὸν χρόνον ἐξ ἀδιαιρέτων συντιθεῖσι τὸ πάντα τὰ κινούμενα κατὰ τοῦ ἀμεροῦς ἰσοταχῶς κινεῖσθαι. 84

Ἕπεται τῷ καὶ τὸ μέγεθος καὶ τὸν χρόνον ἐξ ἀδιαιρέτων συγκεῖσθαι λέγειν τὸ πάντα τὰ κινούμενα κατὰ τοῦ ἀμεροῦς ἰσοταχῶς κινεῖσθαι· εἰ

1 δι' αὐτοῦ a 2 διὰ σώματος χωρεῖν tit. 3 τοὺς Πλατωνικοὺς τοὺς ἐκ tit. 5. 6 οὐ — ἔσται] τὰ δὴ νοήματα οὐ σώματα οὐδ' ἂν τὸ κοινὸν εἴη σῶμα, νόημά τε ὂν τοῦ κοινοῦ | σώματος οὐδ' ὁρισμὸς οὐκ ἔστι σώματος ὁρισμός tit. a Sp. 8 καὶ αἱ ἄλλαι tit. 9 τὰ παρ' tit. 11 οὐκ, εἰ a Sp.: οὐκ V: εἰ tit. 12 ὃ καὶ om. tit. Sp. 13 εἶναι om. tit. ὑπάρχειν ἀρχὴν κινήσεως tit. 15 εἰ om. tit. ἀίδιος ἐστι τὸ tit. 19 Ἀριστοτέλην a Sp. 20 φθορᾶς Ἀριστοτέλους ἄλλως tit. 21 αὐτὸ tit. a Sp.: αὐτῷ V 22 λίθου διὰ τί ἕλκει τὸν σίδηρον tit. Sp. 23 ψυχῆς Ἀριστοτέλους μετ' tit.: ψυχῆς εἰρημένης μετ' Vict. ἀρχῆς εἰρημένης tit. 24 ἐκ τοῦ αὐτοῦ λέξεως corr. in λέξεως ἐκ τοῦ αὐτοῦ V ἄλλης λέξεως ἐκ τοῦ δευτέρου τῶν περὶ ψυχῆς Ἀριστοτέλους ἐξήγησις tit. 26 add. Vict. 27 [illegible] καὶ τὸ] κατὰ a 32 κατὰ τοῦ ἀμεροῦς B²HS²a Sp.: τὸ ἀμερὲς VG²

γὰρ εἴη τὸ μὲν θᾶττον τὸ δὲ βραδύτερον κατὰ τοῦ ἀμεροῦς κινούμενα, εἶτα τὸ κινούμενον ἐν τῷ ἀδιαιρέτῳ χρόνῳ κεκίνηται κατ' αὐ|τοῦ, τὸ βραδύ- 85 τερον ἐν πλείονι κινεῖσθαι κατ' αὐτοῦ καὶ διαιρετῷ· εἰ δ' ἐν διαιρετῷ χρόνῳ, διαιρετὸν ἔσται καὶ τὸ μέγεθος, ἐφ' οὗ ἡ κίνησις. εἰ γάρ τις λέγοι τὸ βραδέως κινούμενον μὴ κινεῖσθαι κατὰ τοῦ ἀμεροῦς μηδὲ ἐν τῷ ἀμερεῖ χρόνῳ, οὗτος οὐδ' ὅλως ⟨ἂν⟩ λέγοι κινεῖσθαι τὸ βραδύ, εἴ γε τὸ μὲν πᾶν μέγεθος ἐξ ἀμερῶν σύγκειται καὶ ὁ πᾶς χρόνος, οὐχ οἷόν τε δὲ κινηθῆναι τὸ βραδὺ κατ' οὐδενὸς ἀμεροῦς. διὸ ἰσοταχῶς ἂν κινοῖτο πάντα τὰ κατὰ τοῦ ἀμεροῦς κινούμενα. εἰ δ' ἐπὶ τοῦ ἀμεροῦς ἰσοταχῶς, καὶ ἐπὶ τοῦ παντὸς ἂν μεγέθους ἰσοταχῶς ἂν κινοῖτο, εἴ γε πᾶσι τοῖς μεγέθεσιν ἐξ ἀμερῶν ἡ σύνθεσις. τὸ γὰρ † λεπτὸν ἡμῶν ἀμερὲς πᾶν ὁμοίως καὶ ἰσοταχῶς κινεῖσθαι, βραδύτερον δὲ ἄλλο ἄλλου δοκεῖ κινεῖσθαι διὰ τὰς ἀντικοπὰς τῶν ἐν αὐτῷ ἀτόμων ἐφισταμένων. πλάσμα τε αὐτό, προσέτι τε πῶς οὐ φαίνεται τὰ οὕτως κινούμενα * * * ἡ κίνησις αὐτοῖς γίνεται βραδεῖα αὐτή, ἀλλ' ἔνστασις αὐτὰ κωλύει συνεχῶς κινεῖσθαι, ἄλλως τε καὶ εἰ πολυπλασίως τὸ θᾶττον θᾶττον. ἔσται γὰρ οὕτως καὶ βραδέως κινούμενον πλείω χρόνον ἑστὸς ἢ κινούμενον. εἰ γὰρ εἴη ὥρᾳ μὲν ⟨μιᾷ⟩ τὸ θᾶττον κινούμενον τὸ διάστημα διεληλυθός, αὐτὸ δὲ τοῦτο ὥραις ε̅ τὸ βραδέως, δεήσει αὐτὸ μιᾷ μὲν κινεῖσθαι, ταῖς δὲ τέσσαρσιν | ἑστάναι. ἄτοπον δὲ ποσῷ 86 τῷ πλείονι χρόνῳ ἑστὸς [ἢ] ἑστὸς μὲν μὴ φαίνεσθαι, κινούμενον δὲ ταῖς ε̅ ὥραις, καὶ τοῦτο ὁμαλῶς.

II. Ἐξήγησις λέξεως ἐν τῷ ⟨α̅⟩ Περὶ ψυχῆς Ἀριστοτέλους εἰρημένης εἰς ἀναίρεσιν τοῦ τὴν ψυχὴν εἶναι αὐτοκίνητον. ἔστι δὲ ἡ λέξις ἥδε· ''Ἀλλὰ μὴν καὶ εἰ κινεῖται αὐτὴ αὑτῇ, καὶ αὐτὴ κινοῖτ' ἄν, ὥστ' ἐπεὶ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου εἰ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτο ἂν ἐκ τῆς οὐσίας, εἰ μὴ κατὰ συμ-

1. 2 κινούμενα εἶτα τὸ κινούμενον VGB^1FSH: κινούμενα εἰ τὸ τάχιον (θᾶττον Vict. τάχειν a) κινούμενον B^2S^2a: κινούμενον εἰ τὸ θᾶττον κινούμενον Sp. 2 αὐτοῦ ⟨θᾶττον⟩ coni. Schwartz 3 πλείονι ἀνάγκη B^2 Vict. Sp.: fortasse πλείονι ⟨δοκεῖ κε⟩κινῆσθαι διαιρετῷ B^2S^2a: διαιρετοῦ VHB^1: ἀδιαιρέτου H (γρ.) FS^1G: ἐν διαιρετῷ coni. Sp. 6 ἂν om. libri λέγει B coni. Sp. 7 πᾶν Diels: τι ἡ del. v. c. VB^2 Sp.: τοι ἡ F 10 τοῦ del. B^2S^2: om. a Sp. ἂν post παντὸς del. S^2: om. Ba Sp. 11 ἡμῶν ἀμερὲς VHGB^1FS^1: κατὰ μὲν τοῦ ἀμεροῦς S^2a Sp.: γρ. ὡς δοκῶ: τὸ γὰρ λέγειν (bene addidisset τὸ κινούμενον) κατὰ μὲν τοῦ ἀμεροῦς B^2 in mg. 12 δοκεῖν Sp. recte 13 ἐφισταμένων GF: ἐνισταμένων coni. Schwartz πλασμα τε V: πλᾶσμα τε G: πλάσματε SBFH: πλασματῶδες ἐστι S^2a Sp. 14 πῶς B in lit. S^2a Sp.: φῶσ VFS^1H fortasse κινούμενα ⟨οὐχ ὁμαλῶς κινεῖσθαι· οὐ γὰρ⟩ ἡ κίνησις. lacunam Schwartz indicavit ἡ] εἰ Vict. Sp. βραδεια V 15 αὐτή] αὕτη a Sp. ἔνστασις Schwartz: ἔκστασις libri εἰ B^2 Sp.: ἡ libri 17 ἑστὸς Sp.: ἑστὼς libri μιᾷ add. S^2B^2a Sp. 19 ποσῷ τῷ GFSa Sp.: πόσῳ τῷ VB: τὸ πόσῳ τῷ H: τὸ πολλῷ Schwartz: πως τὸ τῷ Diels 20 ἢ del. Sp. 22 ἐν τῷ ⟨α⟩ Περὶ ψυχῆς] de an. I, 3. 406 b 11 α add. Vict. 24 εἰ B: ἡ Vict.: ἢ libri κινεῖται VHGFSB^1: κινεῖ B^2: εἰ κινεῖ γε Vict. αὐτὴ αὑτῇ H: αὐτὴ αὐτή V: αὕτη αὕτην Sa: αὕτη αὐτὴν GBF: αὐτὴ αὑτὴν Vict. Sp. καὶ (alt.) B (post lit. 1. litt.) a: ἡ καὶ VH: ἢ καὶ GFS 25 εἰ] ἢ Sp.

βεβηκὸς αὐτὴν κινεῖ, ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ' αὑτήν.'

Ἡ ψυχή, φησίν, εἰ κινεῖ αὑτήν, ἤτοι κατ' ἄλλο μέν τι κινεῖ, κατ' ἄλλο δέ τι κινεῖται, καὶ οὕτως ἔσται αὐτοκίνητος, ὥστε καὶ τὸ ζῷον αὐτοκίνητόν φαμεν. τῷ γὰρ τὸ μὲν αὐτοῦ κινεῖν τὸ δὲ κινεῖσθαι τὸ ὅλον αὐτοκίνητον. κινεῖ μὲν γὰρ τὸ ἐν αὐτῷ ἡ ψυχή, κινεῖται δὲ τὸ σῶμα, καὶ οὔτε ἡ ψυχὴ διότι κινεῖ κινεῖται, οὔτε τὸ σῶμα· κινεῖται γάρ. καὶ τῶν τῆς ψυχῆς δυνάμεων, εἰ οὕτως εἴη κινουμένη, ἡ μέν ⟨ἐστι⟩ κινοῦσα ἡ δὲ κινουμένη, οὔτε τῆς | κινούσης καθὸ κινεῖ κινουμένης, οὔτε τῆς κινουμένης 87 καθὸ κινεῖται κινούσης. ἔσται οὖν οὕτως τὸ πρῶτον κινοῦν ἀκίνητον καὶ ἐπὶ τῆς ψυχῆς. εἰ γὰρ πάλιν ἡ κινοῦσα δύναμις κινεῖσθαι λέγοιτο, ἤτοι ὑφ' αὑτῆς ἢ ὑπ' ἄλλης ἔσται κινουμένη. εἰ μὲν οὖν ὑπ' ἄλλης, ἐπ' ἄπειρον προελεύσεται ἢ ἔσται τι πρῶτον κινοῦν μὲν ἀκίνητον δέ, εἰ δ' ὑφ' αὑτῆς, εἴη ἂν οὕτως αὐτοκίνητος, ὡς καθὸ κινεῖ. ἄμεινον τοίνυν αὐτὴν τὴν ψυχὴν οὕτω λέγειν αὐτοκίνητον. ἀλλ' εἰ ἡ ψυχὴ οὕτως αὐτοκίνητος λέγοιτο, ὡς καθὸ κινεῖ κατὰ τοῦτο κινεῖσθαι, εἰ καθὸ ψυχὴ κινεῖ, καθ' ὃ ψυχὴ καὶ κινηθήσεται. εἰ γὰρ εἴη κατ' ἄλλο τι κινουμένη, οἷον φέρε εἰπεῖν κατὰ τόπον, οὐ κατὰ τὸ αὐτὸ κινήσει τε καὶ κινηθήσεται. καθ' ὃ γὰρ ψυχὴ κινοῦσα, οὐ καθὸ ψυχὴ ἔσται κινουμένη, εἴ γε κατὰ τόπον· οὐ γὰρ κατὰ τόπον ἡ ψυχή. οὕτω δ' ἔσται κατ' ἄλλο μὲν κινοῦσα, κατ' ἄλλο δὲ κινουμένη, οὐχ οὕτως ⟨δὲ⟩ ἐλέγετο κινεῖσθαι ὑφ' αὑτῆς. καθὸ ψυχὴ κινηθήσεται. ἀλλ' εἰ πᾶν τὸ κατά τι κινούμενόν τε καὶ μεταβάλλον ἐξίσταται τοῦ καθὸ κινεῖται, τὸ μὲν κατὰ τόπον τοῦ τόπου, τὸ δὲ κατὰ πάθος τοῦ πάθους, τὸ δὲ κατὰ μέγεθος τοῦ μεγέθους, καὶ τὸ κατὰ ψυχὴν κινούμενον ἐξίσταται τοῦ ἐν τούτῳ, ὥστε καὶ ἡ ψυχὴ εἰ καθὸ ψυχή ἐστιν ἀεὶ κινεῖται, ὑφ' αὑτῆς καὶ μὴ κατὰ συμβεβηκὸς | ἐξίσταιτο ἂν τῆς οὐσίας 88 τῆς ἐν ᾗ ἐστι καὶ τῆς ψυχῆς καθ' ἣν τὸ εἶναι αὐτῇ.

III. Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος ἐγγινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι.

1. Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος γινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι; ἆρά γε ἄλλη τίς ἐστιν αὕτη φύσις παρὰ τὴν οἰκείαν ἑκάστου τῶν φυσικῶν σωμάτων, ἣν ἀρχὴν κινήσεώς τε καὶ ἠρεμίας φαμέν, ᾧ ὑπάρχει πρώτῳ καθ' αὑτὸ καὶ μὴ

1 αὑτὴν] αὐτὴν V 3 αὑτήν] ἑαυτὴν Vict. Sp.: αὐτὴν a 4 ὥστε] ὥσπερ a Sp. bene 5 αὐτοῦ κινεῖν VBG: αὐτοκινεῖν S: αὐτὸ κινεῖν a Sp. ὅλον φαμὲν a Sp. pr. τὸ del. B[2] 7 σῶμα διότι κινεῖται κινεῖ· κινεῖται a Sp. 8 ψυχῆς οὖν a Sp. εἰ B[2] Vict. Sp.: η V: ἡ SHFa ἐστι add. a Sp. 14 κινεῖ κινουμένη a Sp. 16 εἰ B[2] Vict. Sp.: ἡ VBF: ἢ Sa 17 εἴη om. a Sp. 21 οὕτως δὲ a Sp. καθὸ ἄρα a Sp. 25 τοῦ B Vict. Sp.: τῷ H: τὸ VFSa 27 αὐτῆι corr. in αὐτῆσ ut videtur V 28 cf. ea quae disputavi de hoc capite in Mus. Rhen. XLIV p. 139 sq. 29 τε om. a 30 ἐγγινομένη a Sp. 33 ἠρεμίας V ut solet ἐν ᾧ Vict. Sp. πρώτῳ] πρώτως a Sp.

κατὰ συμβεβηκός; καὶ γὰρ εἰ τῷ γειτνιῶντι αὐτῷ γίνεται σώματι, ἤδη ἂν εἴη τοῦτο ἔχον οἰκείαν φύσιν ὄν τε ἐνεργείᾳ σῶμα· πᾶν γὰρ σῶμα ἐνεργείᾳ θνητὸν ἁπλῶν τί ἐστιν ἢ ἐκ τούτων σύνθετόν τε καὶ μικτόν, τούτων δὲ ἕκαστον οἰκείαν ἔχει τινὰ φύσιν [ἢ καὶ δι' ἐκείνην ἐστὶν ἐνεργείᾳ τοιοῦτον], εἴη τε ἂν οὕτω πρῶτον ἀπολαῦον τὸ πῦρ τῆς τοιαύτης ἐκ τοῦ θείου δυνάμεως, ἔπειτα τοῖς μετ' αὐτὸ διαδιδὸν αὐτήν, ὡς πάντα τὰ σώματα τῇ τοιαύτῃ διαδόσει μεταλαμβάνειν αὐτῆς, τὰ μὲν πλεῖον τὰ δὲ ἔλαττον. ἀλλ' εἰ τοῦτο, ἐπιζητήσαι τις ἂν τί συντελεῖ τῶν σωμάτων ἑκάστῳ ἡ τοιαύτη δύ|ναμίς τε καὶ φύσις. 89 κατὰ γὰρ τὴν πρώτην φύσιν τὴν ἐγγινομένην αὐτὴν ἑκάστῳ, καθ' ἣν τὸ μέν ἐστι πῦρ, τὸ δὲ ἀήρ, τὸ δὲ ὕδωρ, τὸ δὲ γῆ, ἡ ἐπὶ τοὺς οἰκείους αὐτοῖς τόπους κίνησις γίνεται, καθ' ἣν ἕκαστον αὐτῶν τῆς ἰδίας τυγχάνει τελειότητος. ὁμοίως δὲ εἰ καὶ ἐν τοῖς συνθέτοις γίνοιτο σώμασιν, καὶ ἐν ἐκείνοις οὐ πρὸς τὸ εἶναι ἄνθρωπον ἢ ζῷον ἢ φυτὸν ἕκαστον αὐτῶν συντελοῖ ἄν τι· ἤδη γὰρ οὖσιν αὐτοῖς ἐγγίνοιτ' ἂν ὡς τῷ πυρὶ καὶ τῶν ἁπλῶν ἑκάστῳ· οὕτω δ' ἂν οὐκέθ' ἡ δύναμις ἐκείνη αἰτία γίνοιτο τοῦ τὰ μὲν ἔμψυχα εἶναι, τὰ δὲ ἄψυχα τῶν σωμάτων, καὶ τῶν ἐμψύχων τὰ μὲν τὴν θρεπτικὴν ψυχὴν μόνην ἔχοντα, τὰ δὲ καὶ τὴν αἰσθητικήν, τὰ δὲ πρὸς τούτοις καὶ τὴν λογικήν· αὕτη δ' ἔκειτο τῆς κατ' αὐτὰς διαφορᾶς ἔχειν τὴν αἰτίαν· διὰ γὰρ ταύτης τῆς δυνάμεως πρόνοια ἔκειτο λογικὸν ζῷον τὸν ἄνθρωπον ποιοῦσα, καὶ διὰ τοῦτο ἐλέγετο πάντα, ὅσα διὰ τὸν λόγον τε καὶ τὸν νοῦν οἷά τε ὑπάρχειν τῷ ἀνθρώπῳ, ταὐτὸν ἔχει παρὰ τῆς θείας προνοίας. μήποτ' οὖν χρὴ λέγειν τοῖς μὲν ἁπλῶς σώμασι προϋπάρχουσι τήνδε τὴν δύναμιν ἐγγίνεσθαί τε καὶ προσγίνεσθαι, δι' ἣν αἰτίαν αὐτὰ μὲν οὐδέν τι θεῖον αὐτοὺς ἔχει πως· τοιοῦτο γὰρ ἡ ψυχή ἐστιν, ἄμοιρα παντάπασιν, ὅτι μὴ | ἔστιν αὐτῶν ἐν τῇ οὐσίᾳ ἡ τοιάδε δύναμις ἔξωθεν αὐτοῖς καὶ προϋπάρχουσι προσγινομένη, 90 ἀλλ' ἔστιν ἁπλῶς σώματα· ὅσα δ' ἐκ τῆς τούτων φυσικῆς μίξεώς τε καὶ κράσεως γίνεται, τούτων δ' ἐν τῇ γενέσει κατασπειρομένην καὶ τὴν θείαν δύναμιν καὶ φύσιν ἀμείνω καὶ τελειότερα ταῦτα ποιεῖν τὰ σώματα, συνεισφερόντων καὶ τῶν ἁπλῶς σωμάτων εἰς τὴν γένεσιν τῶν ἐξ αὐτῶν γινομένων σωμά-

1 εἰ BS²HF¹a Sp.: εἰη sic V: εἴη FS 3 ἁπλῶν scripsi: ἁπλῶς VFHB¹S¹: ἁπλοῦν B²: ἁπλῶς ὂν S²a: ἁπλοῦν ὂν Vict. 4. 5 ἢ καὶ—τοιοῦτον emblema esse docui l. c. 139 sq. 5 ἀπολαβόν a Sp. 6 αὐτὸ H: αὐτον sic V: αὐτὸν FSBa Sp. διαδιδὸν V αὐτήν Vict. Sp.: αυτη V: αὐτῇ F: αὕτη Sa 7 πλεῖον Sp.: πλέον H: πλείω VFSBa 12 fortasse τῆς τελειότητος. ⟨οὐκ ἄρα ἡ δύναμις ἐκείνη τελείοις ἤδη προσγινομένη σώμασιν αἰτία ἂν εἴη αὐτῶν τῆς τελειότητος⟩· ὁμοίως δὲ scripsi: τὸ libri: τῷ coni. Sp. 14 συντελοῖ ἄν τι Vict. post litteras V(aria) L(ectio): τελοιαντη V: τελοῖαν τῇ F: τέλοιαν τῇ S: τέλοιαν τῇ a: τελοῖ ἂν τη sic H: om. in spatio 9 litt. vacuo rel. B 17 ἐμψύχων G mg. Vict.: ἀψύχων libri ἔχειν coni. Sp. 21. 22 ταὐτὸν ἔχει] ταῦτα ἔχειν Vict. Sp.: fortasse ταῦτ' αὐτὸν ἔχειν 22 μήποτ' Vict.: μήτ' libri 23 προσγίνεσθαι Vict. Sp.: προγίνεσθαι libri 24 αὐτοὺς] ἐν αὐτοῖς Sp. recte coni. 25 ἄμοιρα GFSHa: αμοιρα V: ἧς ἄμοιρα Vict. Sp.: ἐστιν colloc. post ἄμοιρα H: fortasse ⟨καὶ⟩ πῶς; τοιοῦτο γὰρ ἡ ψυχή, ⟨ἧς⟩ ἐστιν ἄμοιρα 26 προσγινομένη Sp.: προσγινομένης libri 27 τῆς s. v. V 29 ποιεῖν S²Ba Sp.: ποιεῖ VHGFS¹ 30 καὶ Vict.: ἢ libri

των καὶ τὴν θείαν δύναμιν, ἧς μεταλαμβάνουσιν κατὰ τὴν γειτνίασιν. δι' ἣν δύναμιν οὐκέτι ταῦτα μόνης τῆς κατὰ τὴν ῥοπὴν κινήσεως ἀρχὴν ἐν αὐτοῖς ἔχει, ἀλλά τινα καὶ ψυχικὴν προσείληφε τὴν ἀρχὴν καὶ τὴν γένεσιν ἔχουσαν ἀπὸ τῆς θείας δυνάμεως. ἥτις φύσις τε καὶ ψυχὴ κατὰ τὴν ποσότητα τῶν ἁπλῶν σωμάτων, ἐξ ὧν ἐστι τὸ ἔχον αὐτὴν σῶμα (ὧν τὸ μὲν ἐπὶ πλέον [ὂν] κοινωνεῖ τῆς θείας δυνάμεως τῷ ἐγγυτέρω τε εἶναι τῷ θείῳ σώματι καὶ εἶναι λεπτομερές τε καὶ καθαρώτερον, τὸ δ' ἐπ' ἔλαττον διά τε τὸ ἀπόστημα τὸ πλεῖον καὶ διὰ τὴν τῆς συστάσεως παχύτητα), διάφορον καὶ αὐτὴ γίνεται. ὅσα μὲν γὰρ τῶν συνθέτων σωμάτων τὸ πλεῖστον γῆς ἔχει, † ταὐτὸν γῆς τινος κοινωνεῖ ψυχικῆς δυνάμεως τῷ καὶ τὸ τὴν πλείστην μοῖραν τῆς οὐσίας αὐτῶν σῶμα | ἔλαττον τῆς θείας μεταλαμβάνει δυνάμεως· ὅσα δὲ πλεῖον ἐν αὐτοῖς ἔχει τῆς πυρώδους τε καὶ 91
θερμῆς οὐσίας, ταῦτ' ἔσται ψυχῆς τελειοτέρας μεταλαμβάνοντα τῷ τὸ πλεονάζον σῶμα ἐν αὐτοῖς ἐπὶ πλέον τῆς θείας μεταλαμβάνειν δυνάμεως. οὕτω δ' ἂν εἴη δευτέρα φύσις, ἣν εἰρήκαμεν θείαν δύναμιν εἶναι ἐγγινομένην τοῖς ὑπὸ σελήνην σώμασι διὰ τὴν πρὸς ἐκείνην γειτνίασιν, ὡς ὕλῃ χρωμένη τοῖς ἁπλῶς φυσικοῖς σώμασι πρὸς τὴν τῶν τελειοτέρων τε καὶ ἐμψύχων γένεσιν σωμάτων. τὰ μὲν οὖν κατὰ κρᾶσιν τῶν ἁπλῶν σωμάτων καὶ κατ' ἀλλοίωσιν γινόμενα σύνθετα σώματα τῷ ἔχειν καὶ τὴν τοιαύτην δύναμιν ἐν τῇ τῶν ἐχόντων αὐτὴν σωμάτων μίξει συγκρινομένην πως καὶ μιγνυμένην κατ' αὐτὴν τελειότερα γίνεται σώματα καὶ θειοτέρας φύσεως καὶ ἀρχῆς κεκοινωνηκότα, ὅσα δὲ συνθέσει τε καὶ παραθέσει τῶν ἁπλῶν σωμάτων γίνεσθαι δοκεῖ σώματα σύνθετα, ταῦτα οὐκέτι τῆς τοιαύτης κοινωνεῖν δυνάμεώς τε καὶ φύσεως οἷά τε, ὧν ἕκαστον τῶν ἁπλῶν σωμάτων ἐνεργείᾳ σώζει τὴν αὑτοῦ φύσιν ἐν τῇ τοιαύτῃ μίξει καὶ συνθέσει. οὐ γὰρ εἰς τὴν τῶν οὕτως συνθέτων σωμάτων οὐσίαν ἡ θεία δύναμις συντελεῖ μένουσα ἐν ἑκάστῳ αὐτῶν, ὁποία καὶ πρὸ τῆς συνθέσεως αὐτῶν. |

2. Ἢ τῆς πρὸς ἄλληλα δύναταί τις λέγειν [καὶ τῆς] τῶν ἁπλῶν σωμάτων 92
γενέσεως τὴν ἀπὸ τῶν θείων δύναμιν αἰτίαν εἶναι αὐτὴν γινομένην αὐτῶν εἶδός τε καὶ φύσιν. ἡ γὰρ ὕλη ⟨ἣ⟩ κατὰ τὸν ἑαυτῆς λόγον ἄποιός τε οὖσα καὶ ἀσχημάτιστος ὑπὸ τῆς ἀπὸ ⟨τῆς⟩ τῶν θείων σωμάτων δυνάμεως γινομένης ἄνευ τῆς ἐνεργείας σῶμά ἐστι τε καὶ γίνεται, εἰδοποιεῖταί τε καὶ σχηματίζεται, ὡς τὸ μὲν πρὸς τῷ θείῳ σώματι αὐτῆς καὶ γειτνιῶν [τι]

3 αὐτοισ V 6 ὂν del. Sp. ἐγγυτέρω] ἐγγύτερον Vict. Sp. τε scripsi: τὸ libri: αὐτὸ vel del. Sp. 9 αὐτὴ scripsi: αὐτῆς libri 10 γῆς HBF: τὸ ἡ (sic) γῆσ V: τὸ ἣ γῆς S: τὸ γῆς a Sp. ταὐτὸν—τινος] fortasse ταῦτ' εἰ καί τινος τῷ καὶ τὸ] fortasse τῷ ⟨εἶναι⟩ κατὰ 11 αὐτῶν scripsi: αὐτῷ VHFSBa: αὐτῶν ⟨εἶναι⟩ Vict. Sp. 11. 12 μεταλαμβάνων Vict.: μεταλαμβάνειν H 12 πλεῖον coni. Sp.: πλείονος libri 13 ταῦτ' ἔσται scripsi: ταύτησ τῆσ libri: ταῦτα τῆς Sp. μεταλαμβάνοντα scripsi: μεταλαμβάνειν libri: μεταλαμβάνει Sp. τῷ τὸ Vict. Sp.: τοῦτο VFHSa: τοῦ B 14 αὐτοῖς] αὐτῷ coni. Sp. 15 fortasse εἴη ⟨ἡ⟩ 21 κατ' Vict.: καὶ libri 24 ὧν] διότι Vict. Sp. 25 αὐτοῦ V 28 ἢ GF: ἦσ sic V: ἧς SBHa: ἣν Vict. Sp. 28 καὶ τῆς delevi 30 ἣ addidi 31 ἀπὸ ⟨τῆς⟩ scripsi δυνάμ[illegible]ειων a 32 ἄνευ τῆς] fortasse ἄνωθεν 33 γειτνειῶν V τι [illegible]

ἐκείνῳ πλείονος τῆς θείας μεταλαμβάνον δυνάμεως εἰδοποιεῖσθαι θερμότητι καὶ ξηρότητι (ταῦτα γὰρ τὰ πρῶτα τῶν ἀπ' ἐκείνων ἐν τοῖς θνητοῖς πάθη), τὸ δὲ πλεῖον ἀφεστὸς τῶν ταύτης τῆς μεταβολῆς τε καὶ γενέσεως αἰτίων αὐτῇ θείων σωμάτων ἢ πάντῃ τοῖς ⟨εἴδεσι⟩ τούτων ἐναντίως εἰδοποιεῖσθαι, ἢ τὸ μέν τι τούτων, τὸ δέ τι τῶν τούτοις ἐναντίων εἶδός τε καὶ πάθος λαμβάνειν κατὰ τὴν ἐκείνων ἄλλοτε ἀλλοίαν πρὸς τὰ τῇδε σχέσιν διὰ τὴν ἐπὶ τοῦ τοιούτου κίνησιν κύκλου διαφόρως εἰδοποιούμενον. τοιαύτη γὰρ ἡ τοῦ ζῳδιακοῦ διάθεσις, ἐφ' οὗ κινούμενα ἥλιός τε καὶ σελήνη καὶ τὰ ἄλλα τὰ πλανᾶσθαι τῶν ἀστέρων λεγόμενα τῷ μέν τινι τῆς ὕλης μέρει, ᾧ μᾶλλον ἢ καὶ ἐγγυτέρω πρόσεισιν, ἑκάστῳ θερμότητός τε καὶ ξηρότητος αἴτια γίνεται, ἐν οἷς τὸ εἶναι τῷ πυρί, | 93 τῷ δὲ θερμότητός τε καὶ ὑγρότητος, ἥτις φύσις ἀέρος, τῷ δ' ὑγρότητός τε καὶ ψυχρότητος, ἣ ἐστιν ὕδατος φύσις, τῷ δὲ τῆς ἔτι καταλειπομένης ἐκ τῶν ἁπλῶν τῶν πρώτων δύο ἐναντιώσεων, ἥπερ ἐστὶ ψυχρότης τε καὶ ξηρότης. ἃ τὴν τῆς γῆς συνίστησι φύσιν. καὶ τοιαῦτα μὲν τὰ ἀπὸ τῆς θείας δυνάμεως εἴδη ἐν τῇ ὕλῃ ἁπλᾶ τε καὶ πρῶτα εἴδη γενόμενα τῆς τῶν ἁπλῶν σωμάτων οὐσίας τε καὶ φύσεως αἴτια, τὰ δ' ἐκ τῆς τούτων γινόμενα μίξεώς τε καὶ κράσεως ἅτε πλειόνων κοινωνοῦντα δυνάμεών τε καὶ διαφόρων σωμάτων σύνθετά τε ἤδη γίγνεται καὶ τελειότερα, καὶ ἡ τελειότης δὲ καὶ τὸ εἶδος αὐτοῖς διαφέρον γίγνεται κατά τε τὴν ἐν τοῖς πρώτοις εἰρημένην τῶν ἐν τῇ μίξει τῶν σωμάτων διαφοράν. ἔστι γὰρ αὐτῶν τὰ μὲν λεπτότερα καὶ ποιητικώτερα (τοιαῦτα γάρ, ὅσα ἐγγυτέρω κεῖται τῆς τῶν θείων κινήσεως), τὰ δὲ παχυμερέστερα καὶ παθητικώτερα, ὅσα πλέον ἀφέστηκε τῆς ἐκείνων φορᾶς. ὅσα μὲν γὰρ τῶν ἐν τῇ μίξει τε καὶ κράσει πλεῖον ἔχει τῶν λεπτομερῶν τε καὶ καθαρωτέρων σωμάτων, τούτων τελειότερον τὸ εἶδος, ὅσα δὲ τοῦ μὲν τοιούτου σώματος ἔλαττον ἐν αὐτοῖς ἔχει, πλεῖον δὲ τοῦ παθητικοῦ τε καὶ παχυμερεστέρου, τούτων καὶ τὸ εἶδος ἀτελέστερον. |

IV. Ὅτι, εἰ τοῦ ἐφ' ἡμῖν τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, οὐδ' αὐτὸ [ἐφ' ἡμῖν, οὐδὲ] τὸ ἐφ' ἡμῖν ἐφ' ἡμῖν ἔσται. 94

Εἰ ἐφ' ἡμῖν ἐστι τοῦτο, οὗ τὸ ἀντικείμενον [μὴ] ἐφ' ἡμῖν, τὸ οὗ τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, ἐκεῖνο οὐκ ἐφ' ἡμῖν. τοῦ δ' ἐφ' ἡμῖν τὸ ἀν-

2 ἐν τοῖς G^2: ἄυτοῖσ sic V: αὐτοῖς G^1BFSa: τοῖς coni. Sp. 4 αὐτῇ HB: αὐτη V: αὕτη GSa θείων scripsi: οἷον libri τοῖς ⟨εἴδεσι⟩ scripsi: post τοῖς rasura 4—5 litt. V ἐναντίως scripsi: ἐναντίων libri: ἐναντίοις Sp. 4. 5 εἰδοποιεῖται Vict. 5 τούτοις scripsi: τούτων libri ἐναντίων F^1H Sp.: ἐναντίον VSGF^2a 17 τοιούτου] οὐρανίου Schwartz 8 διάθεσις] θέσις Vict. 9 ἄστρων Sp. 10 pr. καὶ om. a Sp. 11 αιτια V 13 τῆς Vict.: τοῖς libri καταλειπομένης Sp.: καταλειπομένοις libri 14 ἥπερ Vict.: ἅπερ libri 19 δὲ scripsi: τε (sic) VH: τε SBa Sp.: om. F 19. 20 αὐτοῖς καὶ τὸ εἶδος m^1 signis adpositis ita colloc.: καὶ τὸ εἶδος αὐτοῖς V: αὐτοῖς καὶ τὸ εἶδος B: καὶ τὸ εἶδος αὐτοῖς FSGa Sp. 21 διαφοράν FGa Sp.: διαφοραὶ (sic) V: διαφορᾷ BH: διαφορά S 26 αὐτοῖσ V 28 εἰ τοῦ ἐφ' ἡμῖν τὸ tabula: εἰ τοῦτο (εἰ H) ἐφ' ἡμῖν οὗ τὸ libri οὐδὲ τὸ αὐτὸ tabula 29 ἐφ' ἡμῖν, οὐδὲ circumscripsi 30 μὴ del. V^2S^2: om. a Sp. οὗ το V 31 τοῦ V^2S^2B: τοῦτο V^1S^1GHa Sp.: τὸ VH: οὗ τὸ SHa Sp.

τικείμενον οὐκ ἐφ' ἡμῖν. τῷ γὰρ ἐφ' ἡμῖν τὸ οὐκ ἐφ' ἡμῖν ἀντικείμενον. οὐδὲ τὸ ἐφ' ἡμῖν. εἰ δὲ τὸ ἐφ' ἡμῖν μὴ ἐφ' ἡμῖν, οὐδέν ἐστιν ἐφ' ἡμῖν. καθ' ὃ ἐφ' ἡμῖν ἐστιν, οὗ καὶ τὸ ἀντικείμενον ἐφ' ἡμῖν, κατὰ τούτους οὐδέν ἐστιν ἐφ' ἡμῖν. ⟨ἢ⟩ ψεῦδος τὸ εἰ μὴ [τὸ] ἐφ' ἡμῖν τὸ εἶναι ἐφ' ἡμῖν, οὐδέν ἐστιν ἐφ' ἡμῖν. τὸ μὲν γὰρ ἐφ' ἡμῖν τι εἶναι ἐν τῇ φύσει ἡμῶν καὶ τῇ οὐσίᾳ ὂν οὐκ ἐφ' ἡμῖν ἐστι, ὥσπερ οὐδὲ τὸ λογικοῖς εἶναι, τὰ μέντοι πράγματα οἷς χρώμεθα κατὰ τὸ ἐφ' ἡμῖν, ταῦτα ἐφ' ἡμῖν. τούτων γὰρ καὶ τὰ ἀντικείμενα ἐφ' ἡμῖν. τὸ μὲν γὰρ ἐφ' ἡμῖν τι εἶναι οὐκ ἐφ' ἡμῖν, τὸ δὲ περιπατῆσαι ἐφ' ἡμῖν, ὅτι καὶ τὸ μὴ περιπατῆσαι. καὶ γὰρ ἴδιον τὸ ἀντικείμενον τοῦ ἐφ' ἡμῖν οὐκ ἐφ' ἡμῖν διὰ τούτου, τὸ δὲ ἐφ' ἡμῖν † δῆλον. ὡς οὖν τὰ ἀντικείμενα ἐφ' ἡμῖν, ταῦτα καὶ αὐτὰ ἐφ' ἡμῖν, ὅτι μὴ ἐφ' ἡμῖν ἐν τοῖς πρακτοῖς. οὐ πρακτὸν | δὲ τὸ εἶναί τι [τὸ] ἐφ' ἡμῖν ἐν τοῖς βουλευτοῖς καὶ τοῖς ἐνδε- 95
χομένοις καὶ ἄλλως ἔχειν. οὐκ ὄντος δὲ ἐν τούτοις τοῦ εἶναί τι ἐφ' ἡμῖν εἰκότως ἡ μὲν δύναμις, καθ' ἣν ἐστιν ἐφ' ἡμῖν, οὐκ ἐφ' ἡμῖν, πρὸς ⟨ἃ⟩ δὲ χρώμεθα τῇ τοῦ ἐφ' ἡμῖν τι εἶναι δυνάμει, ἐφ' ἡμῖν ταῦτα, ὥσπερ καὶ ἡ μὲν χρῆσις τοῦ λόγου ἐφ' ἡμῖν, οὐκ ἐφ' ἡμῖν δὲ ἡ δύναμις τῆς χρήσεως.

V. Περὶ τοῦ ὅτι καὶ τὸ ἐφ' ἡμῖν καθ' εἱμαρμένην.

Τῷ ἐφ' ἡμῖν τι εἶναι ἀντίκειται τὸ μηδὲν εἶναι ἐφ' ἡμῖν. † ἀδύνατον τὸ οὖν τῷ ἐφ' ἡμῖν τι εἶναι [τὸ] ἀντικείμενον ἀδύνατον. ἀλλὰ μὴν ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο καθ' εἱμαρμένην, εἴ γε ταῦτα καθ' εἱμαρμένην γίνεται, οἷς τὰ ἀντικείμενα ἀδύνατόν ἐστιν ἢ εἶναι ἢ γενέσθαι. τὸ οὖν ἐφ' ἡμῖν τι εἶναι καθ' εἱμαρμένην. τῷ δὲ ἐφ' ἡμῖν τι εἶναι καθ' εἱμαρμένην σῴζοιτο ἂν τὸ ἐφ' ἡμῖν τι εἶναι κατὰ τοὺς ἅπαντα γίνεσθαι καθ' εἱμαρμένην λέγοντας. ἢ οὐκ ἀληθὲς τὸ ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο εἶναι καθ' εἱμαρμένην. εἰ μὲν γὰρ ταὐτὸν ἦν τὸ ἐξ ἀνάγκης τῷ καθ' εἱμαρμένην, ⟨ἦν⟩ ἂν ὥσπερ τοῦ ἐξ ἀνάγκης ὁρισμὸς τὸ ᾧ τὸ ἀντικείμενον ἀδύνατον, | οὕτως καὶ τοῦ καθ' εἱμαρμένην. ἐπὶ πλέον δὲ τὸ ἐξ 96
ἀνάγκης τοῦ καθ' εἱμαρμένην· οὐ γὰρ πᾶν τὸ ἐξ ἀνάγκης καθ' εἱμαρ-

2 οὐδὲ αὐτὸ τὸ G: οὐδὲ τὸ αὐτὸ (αὐτὸ s. v.) F   ἡμῖν V^{1}FS: ἡμῖν ἄρα ἐφ' ἡμῖν B^{2}S^{2}a Sp.: ἡμῖν ἄρα V^{2}B^1 Vict. H   3 ὃ V^1: οὓς ἄρα V^{2}B^{2}S^{2}Ha Sp.: ὃ ἄρα G: οὓς οὖν ἄρα F   4 pr. ἐφ'] μὴ ἐφ' Vict.   τοῦτο Diels   ἢ add. V^{2}S^{2}BHa Sp.   5 τὸ ἐφ' VB^{1}S^{1}H Vict.: ἐφ' B^{2}S^{2}a: μὴ τὸ ἐφ' ἡμῖν τι coni. Sp.   10 καὶ τὸ μὴ B^{2}S^{2}a Sp.: μὴ καὶ τὸ VHB^{1}FS^1 11 ἐφ' ἡμῖν (μ in lit.) δῆλον ὡς οὖν τὰ VHB: ἐφ' ἡμῖν ἐφ' ἡμῖν δῆλον ὡς οὖν τὰ H (γρ.) GFSa: ἐφ' ἡμῖν ἐφ' ἡμῖν δῆλον οὖν ὧν τὰ Vict. Sp.: apodoseos initium videtur δῆλον ὡς ὧν τά, protasis fortasse καὶ γὰρ εἰ δι' οὗ τ. ἀ. τ. ἐφ' ἡμῖν [οὐκ] ἐφ' ἡμῖν δ. τ. τόδε ἐφ' ἡμῖν   12 μὴ] exspectas τὰ   13 alt. τὸ del. Sp.   fortasse ⟨οὐδ'⟩ ἐν   14 τοῦ Sp.: τὸ libri   15 ἃ add. Vict.   20. 21 ἀδύνατὸν (sic) τὸ οὖν V: ἀδύνατον τὸ οὖν HFS^{1}B^1: τὸ οὖν B^{2}S^{2}a Sp.: fortasse καὶ δυνατόν. τὸ οὖν   21 τὸ post εἶναι del. Sp.   24 τῷ scripsi: τὸ libri   25 σῴζοιτο] σώζοι τὸ V: σώζοι ἂν τοὺς Sp.   κατὰ τοὺς ἅπαντα scripsi: κατ ὑσίαν (sic, supra τ m^1 α) πάντα V: κατὰ οὐσίαν πάντα ceteri   27 τὸ] τῷ H   27. 28 τῷ καθ' VB Vict. Sp.: τὸ καθ' HSa: τὸ οὐ καθ F   28 ἦν add. Sp. τοῦ om. a   τὸ ᾧ τὸ H Vict. B Sp.: ·τὸ ᾧ τὸ· sic V: τῶ τὸ FSa

μένην. τέσσαρα γοῦν τὰ δὶς δύο ἐξ ἀνάγκης, οὐ μὴν καθ' εἱμαρμένην, εἴ γε ἐν τοῖς γινομένοις τὸ καθ' εἱμαρμένην, ὥστ' οὐκέτ' ἂν ὁρισμὸς εἴη τοῦ καθ' εἱμαρμένην ὁ λόγος ὁ λέγων, οὗ τὸ ἀντικείμενον ἀδύνατον, ἀλλ' ὑπάρχοι μὲν ἂν καὶ τοῦτο τοῖς καθ' εἱμαρμένην, ἐπεὶ καὶ αὐτὰ ἀναγκαῖα, οὐ μὴν ὡς ἐπ' ἴσης αὐτοῖς εἶναι. εἰ δὲ μὴ ἐπ' ἴσης, οὐκ ἐπιστρέψει. οὐ δεῖται πάντως ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο καθ' εἱμαρμένην, ἀλλὰ ἀναγκαῖον τοῦτο, οὗ γὰρ ὁρισμὸς ὁ προειρημένος λόγος. τὸ ἐφ' ἡμῖν δή ἐστιν ἀναγκαῖον μέν, ὅτι πᾶν τὸ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ἀναγκαίως αὐτῷ ὑπάρχει, οὐ μὴν καθ' εἱμαρμένην. οἷς γὰρ καθ' εἱρμὸν αἰτίων γινομένοις τὸ ἀντικείμενον ἀδύνατον, ταῦτα εἴη ἂν καθ' εἱμαρμένην.

VI. Πῶς ἀκίνητον εἴη ἂν κατὰ Ἀριστοτέλην τὸ πρῶτον κινοῦν, εἴ γε, ὡς αὐτός φησιν, [ἢ] ἕκαστόν ἐστιν ὧν ἐστιν ἔργον ἕνεκα τοῦ ἔργου, θεοῦ δὲ ἐνέργεια ἀθανασία, τοῦτο δέ ἐστι ζωὴ ἀίδιος, ὥστε ἀνάγκη τῷ θεῷ κίνησιν ἀίδιον ὑπάρχειν.

Ἢ οὐκ ἔστιν ἐκεῖνο, ὧν ἐστιν ἔργον τι, εἴ γε | ἔργον μὲν τὴν ἐνέργειαν λέγει τὴν ὡς τέλος, τῷ δὲ οὐδὲν τέλος ἐστίν. ἡ γὰρ οὐσία 97 αὐτοῦ ἐνέργειά ἐστιν, ἀλλ' οὐκ ὄν τι ἄλλο, ἔπειτα ἐνέργεια. δῆλον δὲ τοῦτο δι' ὃ ἐπήνεγκεν ὅ ἐστιν, 'ἐπεὶ δὲ ὁ οὐρανὸς τοιοῦτος, σῶμα ἄρα θεῖον', ἐκεῖνο γὰρ οὐ τοιοῦτον.

VII. Τί ἔσται ἡ ὕλη εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι.

Ὕλη εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι, τῷ αὐτῆς λόγῳ τί ἔσται; ἢ τούτων τῶν ἀποφάσεων ἐν τῇ τῆς ὕλης φύσει· κατὰ γὰρ τὸν αὐτῆς λόγον οὔτε ἄποιος οὔτε ποιά, ὡς ὁ ἄνθρωπος κατὰ τὸν αὐτοῦ λόγον οὔτε ἄμουσος οὔτε μουσικός. ὁπότερον γάρ, εἰ εἶχεν ἐν τῷ ἰδίῳ λόγῳ, οὐκ ἂν ἦν ἐν τῷ ἑτέρῳ γενόμενον. οὕτως οὖν καὶ τῇ ὕλῃ εἴη ἂν τὸ ὕλῃ εἶναι οὐκ ἐν τῷ ποιῷ εἶναι, ἀλλ' ἐν τῷ ἐπιτηδειότητα ἔχειν καὶ δύναμιν, καθ' ἥν ἐστι δεκτικὴ ποιοτήτων. τὸ δ' ἄποιον αὐτῇ συμβέβηκεν

5 ἀντιστρέψει B² coni. Sp. recte 6 δεῖται γοῦν Vict.: δ' εἴ τι B²: δεῖ γοῦν εἶναι Sp.: fortasse οὐδ' ἀεὶ καὶ 7 οὗ Vict.: οὐ libri 9 ὑπάρχει] ει in lit. V εἱρμὸν Vict.: εἱμαρμένην libri αἰτιῶν a Sp. 12 ὡς αὐτός φησιν] de caelo II, 3. 286a8 sqq. ἕκαστον B² Sp.: ἢ ἕκαστον VFSH (in mg.) B¹a 13 ἐνεργείᾳ a 20 ἔσται Vict. tab.: ἐστι libri εἰ Vict. tab.: ἢ libri 23 εἰ Vict.: ἢ libri 25 ἔστιν B ἢ S¹GF: η V¹: οὐ γὰρ ἐκ BV²S²a Sp.: οὐ γὰρ ὡς Vict.: ἢ ⟨οὐδετέρα⟩ Schwartz recte ἐν τῇ V¹GSFa: ἡ V²B Vict. Sp. φύσει V¹GFSa: φύσις V²B Vict. Sp. 27 εἰ] ἂν εἰ V²S²Ba: ἂν Sp. 28 γενόμενον Sp.: γενόμενος libri 29 ποιῷ V¹Sa Sp.: ποιᾷ V²B: ἀποίῳ GF 30 αὐτῇ V²B Sp.: αὐτῆς V¹GFSa

οὐκ ὂν αὐτῆς συμπληρωτικὸν τῆς οὐσίας, ὡς καὶ παντὶ τῷ δεκτικῷ τινὸς τὸ μὴ εἶναι τοῦτο | οὗ ἐστι δεκτικόν. οὖσα δ' ἐν τῷ μεθορίῳ τούτῳ εἴη 98 ἂν καὶ ἄφθαρτος. ᾧ γὰρ ἐν τῷ δύνασθαί τινα δέχεσθαι παρὰ μέρος τὸ εἶναι, τοῦτο [ἐν τῷ μὴ εἶναι ἔν τινι αὐτῶν] οὔτ' ἐν τῷ μὴ εἶναι ἔν τινι αὐτῶν οὔτ' ἐν τῷ εἶναι ἐξίσταται τῆς οἰκείας οὐσίας. οὐ γὰρ ἀπόλλυσι τὸ δύνασθαι ἐν ᾧ ἂν ᾖ που τῶν ὧν ἐδύνατο· οὐ γὰρ ὁποῖον τοῦτο ἐδύνατο. ἢ εἰ ἀπόφασίς τις ἐστιν ἐπὶ τῆς ὕλης, ὅτι ἡ ὕλη οὐκ ἔστι ποιὰ τῇ αὐτῆς φύσει, τὸ δ' οὐ ποιὸν ἄποιόν ἐστι [ἐπὶ τῆς ὕλης δεκτικῆς οὔσης ποιότητος], εἴη ἂν ἡ ὕλη τῇ αὑτῆς φύσει ἄποιος. ἢ οὐκ ἔστι ταὐτὸν εἰπεῖν ἐπ' αὐτῆς 'οὐκ ἔστι ποιὰ τῇ αὑτῆς φύσει' καὶ 'ἔστιν οὐ ποιὰ τῇ αὑτῆς φύσει' τὸ μὲν γὰρ 'ἔστιν οὐ ποιὰ τῇ αὑτῆς φύσει' κατάφασις οὖσα ἡ ἐκ μεταθέσεως λεγομένη, ἢ ἴσον δύναται τῇ στερήσει, τὸ δ' 'οὐκ ἔστι τῇ αὑτῆς φύσει ποιά' ἀπόφασις, ἥτις οὐκέτι ἴσον τῇ στερήσει δύναται, ὅ ἐστιν ἐπὶ τῆς ὕλης ἀληθές. ἡ γὰρ ἐπιτηδειότης ἡ πρός τι μεταξὺ ἐκείνου τε καὶ τῆς στερήσεως αὐτοῦ, εἰ καὶ ὅτι μάλιστα τῷ ἐν ᾧ ἐστιν ἡ ἐπιτηδειότης ἀδύνατον εἶναι χωρὶς θατέρου. οὐ γὰρ ταὐτὸν εἴη ἐπιτηδειότης τῇ στερήσει· ἡ μὲν γὰρ ὑπομένει, ὡς προείρηται, ἡ δὲ στέρησις φθείρεται. διὸ τὸ μὲν μὴ εἶναι ποιὰν ἐν τῇ φύσει αὐτῆς, οὐκέτι δὲ καὶ τὸ ἄποιον. Ἀριστοτέλης ἐν πρώτῳ τῶν Προτέρων ἀναλυτικῶν | περὶ τῶν προειρημένων οὕτω λέγει· "διαφέρει δέ τι [ὅτι] ἐν τῷ κατα- 99 σκευάζειν ⟨ἢ ἀνασκευάζειν⟩ τὸ ὑπολαμβάνειν ἢ ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ μὴ εἶναι [καὶ] τόδε καὶ εἶναι μὴ τοῦτο, οἷον τὸ μὴ εἶναι λευκὸν τῷ εἶναι μὴ λευκόν. οὐ γὰρ ταὐτὸν σημαίνει, οὐδ' ἔστιν ἀπόφασις τοῦ εἶναι λευκὸν ⟨τὸ εἶναι μὴ λευκόν, ἀλλὰ τὸ μὴ εἶναι λευκόν⟩". ἔστι δὲ λέγειν, ὅτι εἰ καὶ ὅτι μάλιστα ἀληθὲς ἐπὶ τῆς ὕλης τὸ τῇ αὑτῆς φύσει ἄποιον αὐτὴν εἶναι, ἀλλ' οὐκ ἐν τῇ αὐτῇ οὐσίᾳ αὐτῆς τοῦτο, ἀλλὰ συμβέβηκεν αὐτῇ, ὥσπερ ποτὲ καὶ τὸ ποιότητα ἔχειν, ὡς καὶ τῷ ἀνθρώπῳ καὶ τὸ ἄμουσον καὶ μουσικόν, καὶ ὁ κηρὸς δὲ ἀσχημάτιστος ὢν τῇ αὑτοῦ φύσει σχηματιζόμενος οὐ φθείρεται, ὅτι μένει τούτῳ τὸ κηρῷ εἶναι.

---

4 ἐν τῷ — αὐτῶν del. V²: exh. GFS: om. Ba Sp.: ἐν τινι αὐτῶν notat lineola subducta S² 5 ἀπόλλυσι V²GBS²Ha Sp.: πολλοὺς ὁ V¹FS¹ 6 fortasse δύνασθαι ⟨τὸ γενέσθαι⟩ που τῶν] τούτων Sp. ὁποῖον] οὐ ποιὸν Sp.: οὐ ποῖον Vict.: οὐ γάρ, ὅτι ποιόν, Diels 7 ἢ εἰ Sp.: ειη sic V: εἴη FSHB: εἰ G: εἰ εἴη a 8 οὐ ποιὸν Sp.: ὁποῖον libri ἐπὶ — ποιότητος circumscripsit Schwartz 12 ἢ] ἦ a: ἡ Vict. 15 τῷ] τὸ Vict. Sp. 16 ⟨ἂν⟩ εἴη coni. Sp.: ἡ Schwartz 19 ἐν πρώτῳ τῶν Πρ. ἀ.] Anal. pr. I, 46. 51b5 20 ὅτι del. Vict. Sp. 21 ἢ ἀνασκευάζειν add. Vict. cum Aristotele 22 σημαίνειν Sp. ex Arist.: σημαίνει ἢ libri pr. καὶ del. Sp.: om. Arist. τοδὶ Arist. εἶναι μὴ τοῦτο Arist.: μὴ εἶναι τοῦτο VFGBH: τοῦτο μὴ εἶναι Sa: εἶναι μὴ τόδε Vict. Sp. 23 οὐδ' Vict. cum Arist. Sp.: οὐ γὰρ VFSBa 24. 25 τὸ εἶναι — λευκὸν Vict. add. cum Arist. 26 αὐτῇ del. Vict. 28 τὸ] τῷ a: om. Vict. Sp.

VIII. Πῶς οὐκ αὐτὸ δι' αὑτοῦ ὡρίσατο ὁ τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος.

Εἰ τὸ δυνάμει ζωὴν ἔχον σημαίνει τὸ δυνάμενον ζῆν, τὸ δὲ δυνάμενον ζῆν ἐστι τὸ δυνάμενον ψυχὴν ἔχειν, πῶς οὐκ αὐτὸ δι' αὑτοῦ | ὡρίσατο ὁ τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος; ἢ οὐ κέχρηται ἐν τῷ τῆς ψυχῆς ὁρισμῷ τῷ δυνάμει ζωὴν ἔχοντι, ἀλλὰ πρότερον λαβὼν τὸ "δυνάμει ζωὴν ἔχοντος", ὕστερον ὅτε λοιπὸν τὸν ὅλον λόγον ἀποδίδωσι, μετέλαβε τὸ ὀργανικὸν εἰς τὴν εὕρεσιν καὶ λῆψιν τοῦ ὀργανικοῦ χρησάμενος τῷ δυνάμει ζωὴν ἔχοντι· τὸ δ' ὀργανικόν ἐστιν ὃ ἔχει μόρια διαφερούσαις ἐνεργείαις ὑπηρετεῖσθαι δυνάμενα, ᾧ ἴσον ἔλαβεν καὶ τὸ δυνάμει ζωὴν ἔχον. ἔτι εἰπὼν ἐντελέχειαν τὴν ψυχὴν τοῦ σώματος δυναμένου ζωὴν ἔχειν οὐ δι' αὑτοῦ τὴν ἀπόδοσιν πεποίηται. τὴν γὰρ τοῦ σώματος φύσιν, ἐν ᾧ ἡ ψυχή, ὁποία ἐστίν, ἐδήλωσεν. οὐκ ἄρα τὴν ψυχὴν ἐδήλωσεν, οὐδὲ τὴν ψυχὴν ὡρίσατο δι' αὑτῆς. ἔτι οὐκ ἔστι ταὐτὸν ψυχὴ καὶ ζωή, ἀλλὰ τὸ μὲν ἐνεργὲς ἡ ζωή, ὅτι 'ἡ δι' αὑτοῦ τροφή τε καὶ αὔξησις', τὸ δὲ δυνάμει ζωὴν ἔχον λέγοιτ' ἂν τὸ ὀργανικὸν ἔχον δι' αὑτοῦ [πρὸς] τὸ δύνασθαι τρέφεσθαί τε καὶ αὔξεσθαι, ὃ οὐκ ἔστιν ἴσον τῷ τὴν ψυχὴν ἔχειν.

IX. Πῶς οὐ πρός τι ἡ ψυχή, εἰ ἐντελέχεια σώματος τοιούτου.

Ἡ τὸ μὲν ἐντελέχεια ἴσον ἐστὶ τῷ εἶδος, τὸ δὲ εἶδος οὐ πρός τι, εἰ καὶ ὅτι μάλιστά τινός | ἐστιν. οὐ γὰρ εἴ τί τινός ἐστιν, εὐθύς ἐστι τοῦτο καὶ πρός τι. καὶ γὰρ ἡ ἐπιφάνειά τινος οὖσα οὐ πρός τί ἐστιν. ἀλλὰ καὶ τὰ μέρη τῶν δευτέρων οὐσιῶν τινὸς μέν ἐστιν, οὐ μήν ἐστι καὶ πρός τι. πρός τι γάρ ἐστιν οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἡ δὲ ψυχὴ σώματος μέν ἐστι τοιοῦδε ἐντελέχεια, οὐ μὴν τὸ εἶναι αὐτῇ ἐν τῷ πρός τί πως ἔχειν ἐστίν. οὖσα γάρ τι τοῦ σώματός ἐστιν, ὡς καὶ ἡ κεφαλὴ οὖσά τί ἐστιν κεφαλωτοῦ κεφαλή. τὸ μὲν γὰρ ὅμοιον καθὸ ὅμοιον, καὶ τὸ ἴσον καθὸ ἴσον ἐν τῇ πρὸς ἃ λέγεται σχέσει τὸ εἶναι ἔχει, καὶ οὐδὲν ἄλλο παρὰ τὴν πρὸς ὃ λέγεται σχέσιν δηλοῖ. ἡ δὲ ψυχὴ καὶ ἡ κεφαλὴ οἰκείαν τινὰ φύσιν καὶ οὐσίαν σημαίνουσιν. ᾗ συμβέβηκεν ἄλλου εἶναι, οὐκ εἴ τι δὲ ἄλλου ἐστίν, ἤδη καὶ πρός τί ἐστιν.

---

1 ὁρισάμενος] de an. II, 1. 412b5 6 τῆς s. v. V 7 λαβὼν] cf. l. c. 412a27 8 ὅλον λόγον V (i. mg.: ὅρον λόγον) BSFG: ὅρον B²S²a Sp. εἰς G²B²S²a Sp.: ὡς VG¹FB¹S¹H 10 ἔχει Sp.: ἔχειν libri 12 ζωὴν] ω s. v. V αὐτοῦ V (et 16) 13 ὁποία HS²B²a Sp.: ὁποῖος VFS¹B¹G 14 οὐκ ἄρα scripsi: οὐ γὰρ libri οὐδὲ FB² Vict. Sp.: οὐ VHSB¹a 15 ἔτι Vict.: ἔστιν libri ἡ δι' αὑτοῦ κτλ. cf. l. c. 412a14 16 λέγοιτ' F Sp.: λέγοι libri 17 πρὸς del. B²S²: om. a Sp. τρέφεσθαι om. a τε om. a Sp. 20 τῷ Vict.: τὸ libri 25 αὐτῇ coni. Sp.: αὐτὴν libri 28 ὃ Diels

X. Ὅτι μὴ αὐτοκίνητος ἡ ψυχή.

Ψυχή ἐστι καθ' ὃ τὸ ζῷον ζῷόν ἐστι. καθ' ὃ γὰρ διαφέρει ἐνυπάρχον αὐτῷ τὸ ζῷον τοῦ μὴ ζῴου, κατὰ τοῦτο ζῷον· κατὰ δὲ τὴν ψυχὴν ἐνυπάρχουσαν αὐτῷ διαφέρει τὸ ζῷον τοῦ μὴ ζῴου, κατὰ τὴν ψυχὴν τὸ ζῷον ζῷόν ἐστι. καθ' ὃ δὲ τὸ ζῷον ⟨ζῷόν⟩ ἐστιν, εἶδος τοῦτο αὐτοῦ. πᾶν γὰρ καθ' ὃ λέγεταί τε καί ἐστιν τόδε τι, εἶδος τοῦτο· καὶ γὰρ τῶν κατὰ τέχνην γινομένων ἕκαστον ⟨καὶ⟩ τῶν κατὰ φύσιν κατὰ τὸ | 102 εἶδός ἐστιν τοῦτο ⟨ὅ⟩ ἐστι. καὶ τὸ ζῷον δὴ ζῷόν ἐστι κατὰ τὸ εἶδος, ἣν δὲ κατὰ τὴν ψυχὴν ζῷον, εἶδος οὖν ἡ ψυχή. ἀλλὰ μὴν τό τινος εἶδος ἔνυλον εἶδός ἐστιν, ἡ ψυχὴ δέ τινος εἶδός ἐστιν, τοῦ γὰρ ζῴου. ἡ ψυχὴ οὖν ἔνυλον ⟨ὂν⟩ εἶδος ἀδύνατον αὐτὸ καθ' αὑτὸ εἶναι. ὃ γὰρ ὕλης δεῖται πρὸς τὸ εἶναι ταύτης τι ὄν, ἀδύνατον τοῦτο χωρισθὲν αὐτῆς αὐτὸ καθ' αὑτὸ εἶναι. ἡ δὲ ψυχὴ ἔνυλον εἶδός ἐστιν· ψυχὴν οὖν ἀδύνατον αὐτὴν καθ' αὑτὴν εἶναί ποτε. ὃ δ' ἀδύνατόν ἐστι τὸ καθ' αὑτὸ κινεῖσθαι τὴν ψυχὴν † ἀδύνατόν ἐστι καθ' αὑτὴν εἶναι· τὴν ψυχὴν ἄρα ἀδύνατόν ἐστι καθ' αὑτὴν κινεῖσθαι. ὃ δὲ μὴ καθ' αὑτὸ κινητόν, ⟨οὐχ⟩ οἷόν τε εἶναι ⟨αὐτοκίνητον.⟩ ἡ δὲ ψυχὴ καθ' αὑτὴν οὐ κινεῖται, ἡ ψυχὴ ἄρα οὐκ ἔστιν αὐτοκίνητος.

XI. Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως μεταβάλλον ἅμα ἐκ τοῦ ἐναντίου αὐτοῦ μεταβάλλει, εἴ γε μὴ ταὐτὸν ἥ τε στέρησις καὶ τὸ ἐναντίον.

Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως μεταβάλλον ἅμα καὶ ἐκ τοῦ ἐναντίου αὐτοῦ μεταβάλλει, εἴ γε μὴ ταὐτόν ἐστιν ἡ στέρησις καὶ τὸ ἐναντίον; τὸ μὲν γὰρ ἐναντίον εἶδός τι, ἡ δὲ στέρησις ἀπουσία τούτου οὗ κατὰ τὴν ἑαυτοῦ | 103 φύσιν τὸ ὑποκείμενόν ἐστι ἐπιδεκτικόν. ἆρ' οὖν τὸ τούτου αἴτιον ἡ ὕλη, ἣ τῶν οὐσιῶν τῶν ἐν γενέσει τε καὶ φθορᾷ κοινὴ πασῶν αὐτῶν οὖσα καὶ ὑποκειμένη αὐτοῖς, δυνάμει πάντα ἐστὶ τῷ εἰς ἕκαστον αὐτῶν μεταβάλλειν δύνασθαι (διὰ τοῦτο γὰρ λέγεται δυνάμει πάντα ⟨εἶναι⟩),

---

4 τὴν ψυχὴν V^{1}GFS: δὲ τὴν ψυχὴν V^{2}B: τὴν ψυχὴν ἄρα S^{2}B^{2}a 5 ζῷον add. B^{2}S^{2}a Sp. 7 καὶ add. V^{2}BS^{2}a Sp. 8 ἐστι] ⟨ὅ⟩ ἐστι scripsi: ὅπερ ἐστι BS^{2}a Sp. δὲ] δὴ V^1 (corr. V^2) 9 οὖν V^{1}SGa Sp.: ἄρα V^{2}BH 11 ὂν add. Diels: post εἶδος V^{2}BS^{2}a Sp. 13 εἶδος] εἰ in lit. V 14 τοῦτο τὸ F ψυχὴν δὲ GFS ἐστι τὸ κα[punctis,]θ' αὑτὸ κινεῖσθαι τὴν ψυχὴν lineola subducta delevisse videtur V^2: ἐστι — ψυχὴν om. Ba del. S^2 post ψυχὴν add. αὐτὸ καθ' αὑτὸ εἶναι, ἀδύνατον καὶ καθ' αὑτὸ κινεῖσθαι V^{2}S^2: post ψυχὴν add. αὐτὸ καθ' αὑτὸ εἶναι ἀδύνατον καὶ καθ' αὑτὸ κινεῖσθαι. ἀδύνατον δὲ καθ' αὑτὴν εἶναι τὴν ψυχήν, τὴν ψυχὴν ἄρα Ba Sp. 15 pr. ἐστι] δὲ V^2 εἶναι — καθ' αὑτὴν om. Ba (qui corrupti loci sensum certe restituisse videntur) Sp. 16 οὐχ add. S^{2}Ba Sp. post εἶναι add. αὐτοκίνητον S^{2}Ba Sp. 19 ἥ τε] ἐστιν ἡ, a Sp. 22 αὐτοῦ V^{2}S^{2}a Sp.: αὐτῇ FS^1: αὐτῇ sic V^1 23 οὗ] οὐ V^1 (corr. V^2) 24 δεκτικόν coni. Sp. τὸ coni. Sp.: τόδε libri (τόδε τούτου αἴτιον: ἡ ὕλη [ἣ] Schwartz) 25 ἣ V^{2}a Sp.: ἡ V^1: ἡ HGS κοινῇ a 27 λέγεται μὲν V^{2}S^{2}Ba Sp. εἶναι addidi: erasum videtur V

οὐδὲν μέντοι τούτων τῶν ἐξ αὐτῆς γινομένων ⟨καὶ⟩ εἰς ἃ μεταβάλλει ἐν τῷ οἰκείῳ λόγῳ καὶ ἐν τῇ οἰκείᾳ οὐσίᾳ ἔχει, ἀλλ᾽ ἔστιν ἁπάντων αὐτῶν χωριστὴ τῷ λόγῳ, τῇ μέντοι ὑποστάσει τε καὶ ὑπάρξει ἀχώριστός ἐστιν αὐτῶν τῷ ἀεί τι αὐτῶν ἔχειν ἐνεργείᾳ, καὶ μετὰ τοῦ σὺν τούτων τινὶ εἶναι ἐνεργείᾳ τε καὶ ⟨ἐν ὑποστάσει⟩ εἶναι καὶ ἐν ὑπάρξει; οὔτε γὰρ τῶν εἰδῶν τι ὧν ὕλη δεκτικὴ ἄνευ τῆς ὕλης οἷόν τε εἶναι ἐν ὑπάρξει, οὔτε τὴν ὕλην ἄνευ τινὸς εἴδους, ἀλλ᾽ ἔστιν ἀχώριστα ἀλλήλων πρὸς ὕπαρξιν. οὖσα οὖν ἀεὶ μετά τινος εἴδους, ὧν ἐστι δεκτικὴ τῶν εἰδῶν, ἐν οἷς οὐκ ἔστι, τότε ἐστερῆσθαι λέγεται τῷ δύναμιν ἔχουσα τῆς εἰς αὐτὰ μεταβολῆς μὴ εἶναι ἐν ⟨αὐτοῖς.⟩ διὸ καὶ ὅταν εἴς τι μεταβάλλῃ, ἐκ τῆς οἰκείας ἐκείνου εἰς ὃ μεταβάλλει στερήσεως μεταβάλλειν λέγεται τῷ κατὰ μὲν τὴν πρὸς τοῦτο δύναμιν γενέσθαι τὴν εἰς τοῦτο μεταβολὴν αὐτῇ. ἦν δὲ ἡ πρὸς τοῦτο δύναμις αὐτῇ κατὰ τὴν τούτου στέρησιν. οὔτε γὰρ εἰ παρῆν αὐτῇ, ἐστέρητο ἂν αὐ|τοῦ, οὔτε εἰ μή, ἦν ἐπιτηδειότητα ἔχουσα τὴν πρὸς 104 αὐτό. τῷ οὖν μὴ κατ᾽ ἄλλην τινὰ δύναμιν ἢ τὴν κατὰ τοῦτο τὴν εἰς τοῦτο αὐτῇ γίνεσθαι μεταβολήν, τούτῳ ἕκαστον τῶν γινομένων ἐκ τῆς οἰκείας στερήσεως λέγεται γίνεσθαι κατὰ τὴν μεταβολὴν τοῦ ὑποκειμένου τῆς τούτου στερήσεως. διὸ καὶ κατὰ συμβεβηκὸς ἡ στέρησις ἑκάστου τῶν γινομένων ὡς στοιχεῖον ἀρχὴ τῷ τὴν μεταβάλλουσαν εἰς αὐτὸ ὕλην καὶ στοιχεῖον αὐτοῦ γινομένην κυρίως διὰ τὸ προϋπάρχειν ἐν αὐτῇ τὴν στέρησιν αὐτοῦ, τούτῳ κατὰ τοῦτο εἰς αὐτὸ μεταβάλλειν. διὰ τοῦτο † ἐξ οὗ γίνεται τὸ θερμὸν θερμοῦ ἀλλ᾽ ὅτι οὐκ ἐκ γλυκέως, ὅτι τὸ 'οὐκ ἐκ θερμοῦ' δηλωτικόν ἐστι τοῦ 'ἐκ τοῦ ἐν στερήσει θερμοῦ ὄντος' καὶ κατὰ τὴν στέρησιν ταύτην μεταβάλλοντος. οὐ γὰρ κατὰ τὴν πρὸς γλυκύτητα δύναμιν ἡ εἰς τὸ θερμὸν μεταβολή, οὐδὲ κατὰ τὴν ταύτης στέρησιν. καὶ διὰ τοῦτο μὲν ἐκ στερήσεως, τῷ δὲ τὴν ὕλην εἰδοποιεῖσθαι τοῖς ἐναντίοις καὶ τούτων εἶναι παρὰ μέρος δεκτικήν. τῶν γοῦν πρώτων ἐξ αὐτῆς γινομένων σωμάτων εἴδη δύο, αἱ πρῶται τῶν αἰτίων ἐναντιώσεων, θερμότητος καὶ ψυχρότητος, καὶ ξηρότητος καὶ ὑγρότητος. καὶ τούτοις ὁρίζεται τὰ ἁπλᾶ σώματα. ἐπεὶ τοίνυν τούτων δεκτικὴ καὶ εἴ ἐστι μετά τινος τούτων ἤ τινων, ἀναγκαῖόν ἐστιν αὐ|τήν, 105 ὅταν μὴ ἔχῃ τι τούτων ἀλλ᾽ ἐν στερήσει ᾖ αὐτῶν, † ἐν τοῖς ἐναν-

---

1 οὐδὲν B Vict. Sp.: ἢ οὐδὲν ἡ GFSa: et ante οὐδὲν videtur εἶναι erasum esse et post οὐδὲν lit. 2 litt. V ⟨καὶ⟩ add. V^2BS^2a 2 οὐσία V 4 μετὰ τοῦ del. Sp. τινὶ V^2S^2HBa Sp.: τι V^1GFS^1 5 ἐνεργεια V καὶ ⟨ἐν ὑποστάσει⟩ εἶναι scripsi: καὶ εἶναι V^1GFS^1: ἐστι V^2HS^2 a Sp. 9 ἐστερῆσθαι Sp.: ἐστερεῖσθαι Vict.: στερεῖσθαι VFSBHa: στερῆσθαι G 10 ἐν αὐτοῖς V^2S^2BHa Sp.: ἐν τούτοις G: ἓν τούτοις F: ἓν V^1S^1 μεταβάλλει Vict. 13 αὐτῇ] αὕτη GSa Sp. 14 αὐτῇ V^2 Sp.: αὕτη V^1GSa Sp.: αὐτῷ H 14 ⟨παρῆν⟩, ἦν ⟨ἂν⟩ coni. Sp. 16 αὐτῇ Sp.: αὕτη libri 21. 22 ἐξ οὗ—γλυκέως] ἐξ οὗ (οὐ B^1S^2) θερμοῦ γίνεται τὸ θερμὸν οὐκ ἐκ γλυκέως (γλυκέος S^2B^2a Sp.) V^2S^2Ba Sp. 23 ἐκ τοῦ del. V^2S^2: om. Ba 27 post δεκτικήν: ἐξ ἐναντίου λέγεται γίνεσθαι add. V^2S^2 (sed γενέσθαι S^2a) Ba Sp. 28 αἰτίων V^1H: αἰτιῶν S^1F: del. S^2V^2: om. Ba Sp. 30 τούτων ἐστι δεκτικὴ V^2HB 31 καὶ εἴ V^1FS: καὶ ἢ Vict.: καὶ V^2Ba: ἡ coni. Sp. (καὶ ἢ in textu) 32 αὐτῶν] αὐτοῦ B: αὐτῶν σὺν θατέρῳ εἶναι τῶν ἐναντίων Vict. Sp.

τίοις αὐτῶν γένεσιν οὖσιν ἔσται ἐξ ἀνάγκης ἐν τῇ τούτων στερήσει. καθὸ γάρ ἐστιν ἐν τῷ ἐναντίῳ τοῦ θερμοῦ, ἔστιν ἐν στερήσει αὐτοῦ, καὶ ἕως ἂν ἐν ἐκείνῳ ᾖ, [ᾗ] μένει καὶ ἐν στερήσει. τῷ οὖν τῇ τοῦ ἐναντίου παρουσίᾳ τὴν τοῦ ἐναντίου στέρησιν συνεζεῦχθαι καὶ ἀναγκαίως καὶ ὅταν ἐκ τῆς στερήσεως αὐτοῦ εἰς τὴν ἕξιν μεταβάλλῃ, κατ' ἐκεῖνο ὃ παρὸν αἴτιον ἦν τῷ ὑποκειμένῳ τοῦ εἶναι, ἐν τῇ τούτου γίνεται στερήσει.

XII. Ὅτι οὐ δείκνυται διὰ τοῦ συστέλλεσθαι τὰ σώματα εἰς ἑαυτὰ τὸ σῶμα διὰ σώματος χωρεῖν.

Οὐ γὰρ τὰ συστελλόμενα ⟨καὶ⟩ εἰς ἑαυτὰ ἀναχωροῦντα συστέλλεται σώματος χωροῦντος διὰ σώματος. συστέλλεται γὰρ τοῦτο ὃ ἐνεργείᾳ ἔτι ὂν μένον ἐπὶ τῆς αὐτῆς οὐσίας ⟨εἰς⟩ ἐλάττονα ὄγκον συνάγεται ἢ ὑπό τινος ἢ ὑφ' ἑαυτοῦ. πάντα δὲ τὰ τοῦτο πάσχοντα ἀποκρίσει τινὸς τοῦτο ποιεῖ (ἢ γὰρ τοῦ πνεύματος χωριζομένου τὸ λοιπὸν σῶμα εἰς τὴν τέως ὑπ' ἐκείνου χώραν κατεχομένην συνέρχεται, ἢ τοῦ ὑγροῦ τοῦ ἐν αὐτοῖς παρεσπαρμένου), ἡ δὲ ὕλη οὐδὲ τὴν ἀρχὴν συστέλλεται τῷ μηδ' ἐνεργείᾳ ὑφε- 106 στάναι. γίνεται δὲ τὰ ὑπ' αὐτῆς σώματα ποτὲ μὲν ἐπὶ μείζονος ὄγκου, ποτὲ δ' ἐπ' ἐλάττονος τῷ τῶν σωμάτων τὰ μὲν εἶναι παχύτερά τε καὶ στερεώτερα, τὰ δὲ λεπτότερά τε καὶ ὑγρότερα, ὧν τὰ μὲν παχύτερά τε καὶ στερεώτερα εἰς τὸν ἴσον ὄγκον πλείονος ὄγκου δεῖται, τὰ δὲ ὑγρότερά τε καὶ λεπτότερα ἐλάττονος. διὸ ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ὕλης ἐστὶν σῶμα πλείονα κατέχον τόπον, ποτὲ δὲ ἐλάττονα τῷ τὴν αὐτὴν ὕλην τῶν ἑκατέρου τῶν σωμάτων ποιητικῶν ποιοτήτων εἶναι δεκτικήν. εἰ μὲν οὖν ἐν τῇ τῶν σωμάτων χωρήσει δι' ἀλλήλων ἐγίνετο φθορά τις [καὶ] ἢ μεταβολὴ εἰς παχυμερέστερα σώματα, ἴσως ἂν ἐδύνατο ὃν τέως τὸ ἕτερον κατεῖχεν τόπον, τοῦτον ὕστερον κατέχειν τὸ ἐκ τῆς ἀμφοτέρων μίξεως γινόμενον, εἰ δὲ τὰ αὐτὰ μένει (ἑκάτερον [ὃ] γὰρ αὐτῶν δοκεῖ σώζειν [ἢ] τὴν ἑαυτοῦ φύσιν), πῶς ἂν † ἔτι γίγνοιτο τοῦτο γίνεσθαι; ἔτι ἔνια μιγνύμενα, οὐ μόνον οὐ παχύτερον ἀλλὰ καὶ λεπτότερον † αὐτὸ ἢ πρόσθεν ἦν ποιεῖ, ὥστε ἔδει αὐτὸ ἐπὶ μείζονος γιγνόμενον ὄγκου καὶ τόπον κατέχειν πλείονα. |

---

1 οὖσιν V[1]GFS[1]: οὖσα V[2]BS[2]a Sp.: οὖσαν H 3 ᾖ V[2]B Sp.: ᾖ ἢ V[1]: ἢ εἰ G: ἢ ἡ F: ἢ ἡ Sa 9 καὶ add. Schwartz 10 ἔτι ὂν VB: αἴτιον GSFa: τι ὂν H Vict. Sp. 11 εἰς add. B[2]S[2] a Sp. ὑπό Sp.: ἀπό libri 13 πνεύματος] ματος s. v. V 16 ὑπ' αὐτῆς Vict.: ὑφ' αὐτῆς libri: intellegerem ἐπὶ τῆς αὐτῆς ⟨ὕλης⟩, ut v. 20 17 τε καὶ scripsi: τὰ δὲ libri 19 ὄγκου] τόπου coni. Sp.: immo τόπον πλείονος ὄγκου 22 ποιητικῶν Vict.: ποιητικὴν libri 23 ἢ scripsi: καὶ ἡ libri 24 ἕτερον κατεῖχεν Vict. Sp.: ἕτερον κατέχει B[2]S[2]: ὕστερον κατέχειν (κατέχει B[1]S[1]) VHGFB[1]S[1]: ἕτερον κατέχειν a 25 τὸ] τότ' a Sp. 26 ὃ a: del. Sp. αὐτῶν Sp.: αὐτοῖς libri ἢ del. Sp. 27 γίνεσθαι] ὃ γίνεται Vict.: ᾧ γίνεται Sp.: ἂν ἐνδέχοιτο τ. γ., ἐπεὶ Diels recte 28 ἀλλὰ s. v. V[illegible] post λεπτότερον excidisse coni. Sp. παχύτερον γὰρ οὐ λεπτότερον 29 δεῖ [illegible]

XIII. Πρὸς Πλατωνικοὺς τοὺς ἐκ τῶν τριγώνων τὰ σχήματα 107 καὶ τὰ εἴδη τῶν σωμάτων συγκεῖσθαι λέγοντας, οὐ τὰ σώματα.

Ἐν πάσῃ μεταβολῇ ἐστι τὸ ὑποκείμενον, οὗ τὸ μεταβάλλειν κατηγορεῖται (ἔν τε γὰρ τῇ φορᾷ τὸ φερόμενον ὑπόκειται καὶ ἐκεῖνο τὸ μεταβάλλον, ἔν τε τῇ αὐξήσει τε καὶ μειώσει τὸ αὐξόμενόν τε καὶ μειούμενον, καὶ ἐν τῇ κατ' ἀλλοίωσιν τὸ ἀλλοιούμενον), ἀλλὰ καὶ ἐν τῇ κατὰ γένεσιν καὶ φθορὰν μεταβολῇ ἐξ ὑποκειμένου τινὸς ἡ μεταβολή (οὐ γὰρ [μὴ] ἐκ τοῦ μὴ ὄντος ἡ γένεσις καὶ εἰς τὸ μὴ ὂν ἡ φθορά), καὶ ἔστιν ἐν ταύτῃ τῇ μεταβολῇ τὸ ὑποκείμενον ἡ ὑποκείμενον. καὶ ἐπὶ τῆς τῶν ἁπλῶν δὴ σωμάτων γενέσεώς τε καὶ φθορᾶς ὑποκεῖσθαί τι δεῖ καὶ τοῦτο εἶναι ὕλην αὐτῶν. ἐξ οὗ γὰρ πρώτου ἐνυπάρχοντός τινα γίνεται καὶ εἰς ὃ ἔσχατον διαλύεται, τοῦτο ὕλη αὐτῶν ἐκείνων. καὶ τὰ ἁπλᾶ δὴ σώματα ἐξ οὗ πρώτου ὑποκειμένου γίνεται, καὶ εἰς ὃ ἔσχατον διαλύεται, τοῦτο ὕλη αὐτῶν. ἀλλὰ μὴν εἰ τοῖς ἁπλοῖς σώμασιν ὑποκείμενον τὰ τρίγωνα (ἐκ τούτων γὰρ πρώτων ἡ γένεσις αὐτῶν κατ' αὐτούς, καὶ εἰς ταῦτα ἔσχατα ἡ ἀνάλυσις), τὰ τρίγωνα ὕλη τῶν ἁπλῶν σωμάτων, | εἶδος δὲ ἡ ποιὰ καὶ ποσὴ τούτων σύνθεσις. εἰ δὲ τοῦτο, τὰ σώματά ἐστιν, ἀλλ' οὐ τὰ εἴδη 108 τῶν σωμάτων τὰ γινόμενα ἐκ τῶν τριγώνων κατ' αὐτούς. εἰ γὰρ εἴη τις αὐτοῖς καὶ ἄλλη ὕλη ὑποκειμένη, εἴη δὲ καὶ τὰ τρίγωνα, δύο ἂν ὕλας ἔχοι, οὐδετέρας εἰς οὐδετέραν ἀναφέρεσθαι δυναμένης. εἰ δὲ λέγοιεν τὴν ὕλην κατὰ ταῦτα * καὶ γίνεσθαι κατὰ μὲν τάδε τὰ τρίγωνα καὶ ὧδε σχηματισθεῖσαν πῦρ, κατὰ δὲ τάδε γῆν, τί δήποτε ἡ γῆ ἀμετάβλητος αὐτοῖς εἰς τὰ ἄλλα γενήσεται, ὁμοίως τῆς ὑποκειμένης ὕλης τῇ γῇ δυναμένης καὶ κατὰ τὸ τοῦ πυρὸς καὶ κατὰ τὰ τῶν ἄλλων σωμάτων εἰδοποιὰ σχηματίζεσθαι τρίγωνα; οὐδὲ γὰρ οὐδ' ἐπὶ τῶν τριγώνων αὐτὰ ἦν τὰ τρίγωνα μεταβάλλοντα, ἀλλ' ἡ ὑποκειμένη ὕλη ἐσχηματίζετο κατὰ ταῦτα * * * εἰς ἄλληλα, μενούσης τῆς ὑποκειμένης ὕλης. ὁμοίως ἂν εἰς ἄλληλα πάντα μεταβάλλῃ, † οὐ φησὶ δ' αὐτὰ ὁμοίως εἰς ἄλληλα μεταβάλλειν δῆλός ἐστιν ὕλην αὐτοῖς ὑποτιθεὶς τὰ τρίγωνα, ἐπεὶ μὴ ὁμοίως οἷά τ' ἐστὶ συντίθεσθαί τε καὶ σχηματίζεσθαι, οὐδ' εἰς ἄλληλα ἔτι μεταβάλλειν αὐτά φησιν. εἴ τι παρὰ τῆς ὕλης ἔχουσιν· εἰ γὰρ καὶ τὴν βαρύτητα παρὰ τῶν τριγώνων· τὸ γὰρ ἐκ πλειόνων τῶν αὐτῶν συγκείμενον βαρύτερον λέγειν οὐκέτ' ἄν. εἰ γίγνοιτο ἐκ τῆς ἐκείνων συνθέσεως τὸ μαθηματικὸν | σῶμα· εἰ δὲ μή, 109 [ἐκεῖνο τὸ φυσικὸν] παρὰ τῶν τριγώνων αὐτοῖς τὸ φυσικοῖς εἶναι σώμασιν.

---

1 τοὺς Πλ. a Sp. Πλ. om. tab. 4 καὶ scripsi: κατ' libri 7 μὴ del. V²B Sp.: ἡ Vict. 9 τῇ μεταβολῇ G Sp.: ἡ μεταβολὴ VHFBSa: ἡ ὕλη Diels ἡ] ἢ sic V: ἔχουσα ἡ B 11 πρὸ τοῦ a εἰς ὃ Vict.: εἰς τὸ libri 13 ὃ] τὸ a 14 εἰ Sp.: ἐν libri 15 πρώτων Sp.: πρῶτον libri 19 ἔχοιεν coni. Sp. 20 ἂν φέρεσθαι a 21 fortasse supplendum σχηματίζεσθαι 22 γῆν scripsi: τήνδε libri: τὴν γῆν Vict. 24 τὰ Schwartz: τὸ libri 25 αὐτὸ a 26 supplet εἰ δ' οἷά τ' ἦν μεταβάλλειν Schwartz: εἰ δὲ μεταβάλλοι ταῦτα Diels 27 μεταβάλλοι Schwartz 28 φήσας Schwartz 30 εἴ τι] fortasse ἔτι τι 31 εἰ] fortasse οὐ 33 ἂν ⟨εἴη⟩ Sp. bene 34 ἐκεῖνο τὸ φυσικὸν del. Schwartz

XIV. Εἰ τὰ κοινὰ νοήματα, τὰ δὲ νοήματα οὐ σώματα, οὐδ᾽ ἂν τὸ κοινὸν εἴη σῶμα, νόημά τε ὂν τοῦ κοινοῦ σώματος οὐδ᾽ ὁρισμὸς οὐκ ἔστι σώματος ὁρισμός.

Ἢ τὰ κοινὰ οὐχ ἁπλῶς νοήματα, ἀλλὰ ἀπό τινων καὶ περί τινων, ταῦτα δ᾽ ἐστὶ τὰ καθέκαστα. γίνεται δὲ ἀπὸ τούτων τῶν οὐκ ὄντων κοινῶν τῷ ἀφαιρεῖσθαι αὐτῶν τῇ ἐπινοίᾳ, ταῦτα δὲ καθ᾽ αὑτὰ διαφέροντα ἀλλήλων καθέκαστά ἐστιν, ὧν ἀφαιρεθέντων τὸ καταλειπόμενον νόημα. ἢ ἐν ἅπασι τὸ κοινόν ἐστιν, ὃ τῷ μὴ οὕτως ὑφεστάναι, ὡς νοεῖται, δοκεῖ τὴν ὑπόστασιν ἔχειν ἐφ᾽ ὧν λέγεται, καὶ ἔστιν ὁρισμὸς τοῦ τοιούτου καὶ τοῦτον τὸν τρόπον νοουμένου καὶ διὰ τοῦ νοήματος εἶναι δοκοῦντος, οὐ τοῦ νοήματος, ἀλλὰ τοῦ οὕτω νοουμένου. μηνυτικὸς γὰρ ὁ ὁρισμὸς τοῦ ἀπὸ τοῦ πράγματος τοῦ ὁριζομένου νοήματος γεγονότος. σημεῖα γὰρ τὰ μὲν νοήματα τῶν πραγμάτων, οἱ δὲ λόγοι τῶν ἀπ᾽ ἐκείνων νοημάτων, ὥστε καὶ ὁ τοῦ σώματος ὁρισμὸς εἴη ἂν τοῦ νοήματος μηνυτικός, | ὃ λέγομεν 110 ἀπὸ τοῦ σώματος κατὰ ἀφαίρεσιν τῶν ὑπαρχόντων τοῖς καθέκαστα σώμασιν, ὧν ἀφαιρεθέντων τὸ καταλειπόμενον κοινὸν καὶ ταὐτόν ἐστιν ἐν ἅπασι τοῖς σώμασιν. ὧν δὲ τῆς τοῦ σώματος φύσεώς τε καὶ οὐσίας μηνυτικὸς οὐκ ἂν εἴη ἀσωμάτου, οὐδ᾽ ἐπεὶ ἀσώματος οὗτος, καὶ τὸ νόημα τὸ ἀπὸ τοῦ σώματος διὰ τοῦτο ἄτοπόν τι λέγεται. ὁ μὲν γὰρ ὁρισμὸς λόγος, οὐ λόγος δὲ τὸ σῶμα. καὶ ἐν πᾶσι δὴ οὐ τοῦ σημαινομένου τὸ σημαινόμενον, ἐπεὶ αὐτὸ τοῦτο τίς ἀξιώσει καὶ τὸν τοῦ λευκοῦ λόγον λευκὸν εἶναι καὶ τὸν τοῦ βαρέος βαρύν; ὅτι μὲν γὰρ οὐ τοῦ νοήματος ὁ ὁρισμός, ὁ μὲν λέγει 'τὸ τριχῇ διεστὸς ἀπτόν', οὐ τοιοῦτο δὲ τὸ νόημα· καὶ ὁ μὲν 'ζῷον λογικὸν θνητόν', οὐδὲν δὲ τούτων ἐν τῷ νοήματι.

XV. Πῶς λέγομεν τὴν αὐτὴν δύναμιν ἅμα τῶν ἐναντίων εἶναι.

Ὅταν λέγωμεν τὴν αὐτὴν δύναμιν εἶναι τῶν ἐναντίων, οὐ τοῦτο λέγομεν, ὅτι τῇ αὐτῇ δυνάμει καὶ περιπατεῖ τις καὶ ἠρεμεῖ, καὶ λέγει καὶ σιγᾷ. οὐ γὰρ καθ᾽ ἣν δύναμιν κινεῖται, κατὰ ταύτην καὶ ἠρεμεῖ (οὕτω γὰρ ἂν γίνοιτο καὶ τὸ κινεῖσθαι ταὐτὸν τῷ ἠρεμεῖν. εἴ γε ὧν ἡ δύναμις ἡ αὐτή, τούτων καὶ ἡ ἐνέργεια ἡ αὐτή). ἀλλ᾽ ἔστι | τὸ λεγόμενον ἴσον τῷ ὃ τὸ ἐναντίον τινὶ δύναται, τοῦτο καὶ τὸ ἐναντίον ἐκείνῳ δύναται. ὃ γὰρ 111

1 titulum tabula sic exhibet εἰ τὰ κοινὰ νοήματα οὐ σῶμα, οὐδ᾽ ἂν τὸ κοινὸν σῶμα σῶμα εἴη, ὥστ᾽ οὐδ᾽ ὁρισμὸς αὐτοῦ σώματος ὁρισμὸς ἔσται 2 ⟨σῶμα⟩ εἴη et [τε] ὂν Schwartz ὂν — οὐδ᾽] ὧν τοῦ κοινοῦ ὁ coni. Sp. οὐκ ἔστι] αὐτοῦ Schwartz 6 κοινῶν τῷ Sp.: κοινὸν τὸ (νὸν in ras.) VSFH: κοινὸν τῶ G 8 νοεῖται] εῖ in lit. V 9 ἐφ᾽ ὧν coni. Sp.: ἐνιων VS: ἐνιῶν Fa: ἐνίων δὲ B 10 νουμένου V 15 σωματοσ V 17 ὧν] ὢν a τῆς BHGSa Sp.: τοῖς VF 18 ἀσώματος] σώματος Diels 19 ἄτοπόν] ἀπτόν Diels 20 σημαινομένου] νοουμένου B²S²a Sp. 21. 22 λευκὸν om. a 24 καὶ ὁ μὲν] ὁ δὲ coni. Sp. 26 λέγομεν a 29 εἴ γε G Vict. Sp.: εἰ δὲ VHSFBa

πρὸς θάτερον τῶν ἐναντίων ἐπιτηδειότητα ἔχει, ἐξ ἀνάγκης καὶ πρὸς θάτερον· συνεισάγει γὰρ ἡ θατέρου δύναμις τὴν θατέρου. ἡ αὐτὴ οὖν ἀντὶ τοῦ ἴση. τῷ γὰρ τὸ δύναμίν τινος ἔχον μηδέπω μὲν εἶναι ἐν ἐκείνῳ, δύνασθαι δὲ μεταβάλλειν εἰς αὐτὸ τὸ [δὲ] μεταβάλλον εἴς τι ἐξ ἐναντίου τινὸς αὐτῷ μεταβάλλει. καὶ γὰρ τὸ μεταξὺ ἐναντίον ἀεὶ τῷ τὸ εἰς τὸ ἐναντίον τινὶ μεταβάλλειν μέλλον ἐν τῷ ἐναντίῳ αὐτοῦ εἶναι· ἐκ τούτου γὰρ ἡ μεταβολή. τὸ δ' ὂν ἔν τινι καὶ ἀποβάλλον αὐτό, ὡς δέχεσθαι αὐτοῦ τὸ ἐναντίον, [ἢ] ἀμφοτέρων δύναμιν ἔχει τῷ ἑκάτερον αὐτῶν παρὰ μέρος κατέχειν καὶ ἀποβάλλειν δύνασθαι. τῷ οὖν συνεισάγειν τὴν τοῦ ἑτέρου δύναμιν καὶ τὴν θατέρου, τούτῳ ἡ αὐτὴ δύναμις τῶν ἐναντίων λέγεται. τὸ δὲ πῦρ οὐκέτι τοῦ ψυχροῦ δύναμιν ἔχει θερμὸν ὄν, ὅτι μηδὲ θερμὸν οἷόν τε δυνάμει εἶναί τότε πῦρ [τε] ὂν † ἀλλὰ ἡ ἐνεργείᾳ τοιοῦτον. καὶ καθόλου ἀληθὲς τὸ οὗ τις δύναμιν ἔχει, τούτου δύνασθαι καὶ τὸ ἀντικείμενον. ἢ γὰρ ἐξ ἀνάγκης ἐν αὐτῷ ἔσται καὶ οὐ δυνήσεται ἔτι αὐτό, εἰ δύναται τοῦτο, δυνήσεται αὐτὸ τότε | 112 μὴ ἔχειν αὐτὸ δύναμιν ἕξει. εἰ δὲ τὸ μὴ ἔχειν ἀντίκειται τῷ ἔχειν, τὸ δύναμιν ἔχον τινὸς καὶ τοῦ ἀντικειμένου αὐτῷ δύναμιν ἔχει. οὐκ ἀνάγκη δὲ τῶν ἐναντίων καὶ τὰς δυνάμεις ἐναντίας λέγειν. τὰ μὲν γὰρ ἐναντία ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν, αἱ δὲ τῶν ἐναντίων δυνάμεις ἅμα εἰσὶν ἐν τῷ δυναμένῳ αὐτά, ὅταν ἐν μηδετέρῳ πως αὐτῶν ᾖ ἐνεργείᾳ. ὅτε γὰρ κηρὸς δύναται καὶ τρίγωνος γενέσθαι, τότε δύναται καὶ περιφερής. πρὸ τοῦ γοῦν ἐν μηδετέρῳ τούτων εἶναι τῶν σχημάτων οὐδὲν μᾶλλον εἰς τὸ ἕτερον αὐτῶν μεταβάλλειν ⟨δύναται·⟩ ἔχον μέντοι ἀμφοτέρων ἅμα τὰς δυνάμεις οὐχ οὕτως ἔχει ὡς καὶ ἀμφότερα ἅμα δέξασθαι δυνάμενον. οὐδὲν γὰρ ἅμα τῶν ἐναντίων ἐστὶ δεκτικόν, καίτοι ἅμα αὐτῶν τὰς δυνάμεις ἔχον. εἰ γὰρ μὴ ἔχοι ἡ ὕλη ἅμα πρὸς τὰ ἐναντία ἐπιτηδειότητα, ἀλλὰ νῦν μὲν αὐτῶν τόδε δύναιτο, νῦν δὲ τόδε, οὐκ ἂν εἴη ἔτι κατὰ τὸν αὑτῆς λόγον ἄποιος * * * παρουσίᾳ τινος καὶ διαφορᾷ νῦν δὲ τὸ μὲν τῶν ἐναντίων, νῦν δὲ τὸ ἕτερον δυνήσεται. διὸ τὰς μὲν τῶν ἐναντίων δυνάμεις οὐ ῥητέον ἐναντίας, εἴ γε αὗται μὲν συνυπάρχουσιν, οὐχ οἷόν τε δὲ συνυπάρχειν τὰ ἐναντία, τὰς δ' ἐπ' αὐτῶν εἰς τὴν ἐνέργειαν προόδους ἐναντίας ἐροῦμεν δὴ καὶ αὐτάς. |

---

1 ἔχει, ⟨ἔχει⟩ coni. Sp. 3 ἔχον Sp.: ἔχειν libri 4 δὲ del. Sp. 5 τῷ τὸ Sp.: τὸ libri: τῷ Vict. 6 αὐτοῦ δεῖν εἶναι Vict. Sp. 8 ἢ del. B[2] Sp.
10 τὴν Sp.: τοῦ libri τούτῳ ἡ αὐτὴ Sp.: τούτων αὐτὴ VHB: τούτων αὕτη SFa
11 μηδὲ Sp.: μήτε libri 12 alt. τε] γε vel del. Sp.: fortasse πῦρ γε ὄν, ⟨μὴ δυνάμει⟩, ἀλλὰ [ἡ] ἐ ν ε ρ γ ε ί ᾳ τοιοῦτον ἀλλὰ ἡ VHSBa: ἀλλὰ ἢ G: ἀλλ' ἀεὶ Vict. Sp.
13 δύνασθαι Schwartz: δύναται libri ἡ V 14 αὐτὸ] αὐτῷ a εἰ] καὶ εἰ Vict.: ἢ εἰ coni. Sp. bene 15 αὐτὸ τότε] καὶ αὐτὸ τῷ τε Vict. Sp. fortasse ⟨ἢ⟩ εἰ δύναται, τοῦτο δυνήσεται [αὐτὸ] τότε ⟨, ὅτε⟩ 17 τῶν ἐναντίων FG Vict. Sp.: τῷ ἐναντίῳ VHBSa 18 ἀδύνατον GB[2]Sa Sp.: δυνατὸν VHB[1] 19 ἐναντίων] τι in lit. V μηδετέρᾳ coni. Sp. 20 ᾖ ἐνεργείᾳ Sp.: ἡ ἐνέργεια libri 22 δύναται add. Vict. 23 ἔχει ὡς Sp.: ἐκείνως libri 25 ἔχοι Sp.: ἔχον libri
27 lacunam ind. Schwartz 28 pr. δὲ Vict. transposuit ante τινος (27) 30 ἐναντία S[1]B[1]a Sp.: αἴτια VB[1]GS[1]

XVI. Πῶς οὐχ ὁμοίως ταῖς στοχαστικαῖς τέχναις καὶ αἱ ἄλλαι 113
τέχναι τέλος ἕξουσιν τὸ πάντα τὰ παρ' αὐτὰς ποιεῖν πρὸς τὸ τοῦ προκειμένου τυγχάνειν.

Εἰ τῶν στοχαστικῶν τεχνῶν τέλος εἶναί τις λέγοι τὸ πάντα τὰ παρ' αὐτὰς ποιεῖν πρὸς τὸ τοῦ προκειμένου τυγχάνειν, πῶς οὐχ ὁμοίως καὶ αὗται τοῦ οἰκείου τεύξονται τέλους ταῖς οὐ στοχαστικαῖς τῶν τεχνῶν; δοκοῦσι δὲ κατὰ τοῦτο μάλιστα διαφέρειν τῶν ἄλλων αἱ στοχαστικαὶ [καὶ] τῷ μὴ ὁμοίως τοῦ τέλους τυγχάνειν. καθ' οὓς μὲν τέλος ἐστὶν αὐταῖς τὸ τυχεῖν τοῦ προκειμένου, διαφέροιεν ἂν ταύτῃ· καθ' οὓς δὲ τὸ προκείμενόν ἐστιν αὐταῖς τέλος, εἰ καὶ τὰ τοῦ τέλους μὴ ὁμοίως τυγχάνει, οὐ διαφέροιεν ⟨ἂν⟩ αὐτῶν κατὰ τὸ μὴ ὅμοιον αὐταῖς τὸ τέλος ἔχειν. ἐκεῖναι μὲν γὰρ τῷ τοῖς κατὰ τὴν τέχνην γινομένοις ἕπεσθαι τὸ οὗ χάριν γίνονται, καὶ τὴν ἀποτυχίαν αὐταῖς τοῦ προκειμένου κατὰ τὴν διαμαρτίαν τῶν γινομένων, οὐ τεχνικῶς γινομένων, ἕπεσθαι, τέλος ἔχουσι τὸ τυχεῖν τοῦ προκειμένου· ἴσον γὰρ ἐν ἐκείναις τῷ πάντα τὰ παρ' αὐτὰς ποιῆσαι πρὸς τὸ τυχεῖν τοῦ προκειμένου τὸ καὶ τυχεῖν αὐτοῦ· ταῦτα γὰρ ποιούντων τὰ παρ' αὐτὰς γίγνεται. ἐπὶ δὲ τῶν στοχαστικῶν τῷ μὴ πάντως τοῖς γινομένοις κατὰ τὴν τέχνην ἕπεσθαι τὸ | οὗ χάριν, διὰ τὸ δεῖσθαι πρὸς τὸ τυχεῖν 114
ἐκείνου πολλῶν, ἃ μὴ ἔστιν ἐπὶ μόνῃ τῇ τέχνῃ, ἔτι δὲ καὶ αὐτὰ τὰ κατὰ τὴν τέχνην γινόμενα μὴ ὡρίσθαι, μηδὲ τῶν αὐτῶν εἶναι ποιητικὰ τῷ μὴ πάντῃ ὁμοίως ἔχουσιν προσφέρεσθαι, ἀλλὰ πάντα ἤ γέ τινα καὶ ἄλλως ἐν αὐταῖς οὐχ ὡς προσεδοκᾶτο ἔσεσθαι, οὐ τὸ τυχεῖν τοῦ προκειμένου τέλος ἐστίν, ἀλλὰ τὸ ἀποπληρῶσαι τὰ τῆς τέχνης. ἢ τέλος μὲν καὶ ταύταις τὸ τυχεῖν τούτου οὗ χάριν πάντα τὰ παρ' αὐτὰς ποιοῦσι, διὰ τοῦ πάντα τὰ παρ' αὐτὰς ποιῆσαι, ἔργον δὲ ἴδιον αὐτῶν τὸ πάντα τὰ παρ' αὐτὰς πρὸς τὸ τυχεῖν τοῦ προκειμένου ποιῆσαι τῷ μὴ μόνον τοῦτο ἀρκεῖν πρὸς τὸ τοῦ προκειμένου τυχεῖν, ἀλλὰ δεῖν καὶ ἄλλων τινῶν, ἃ οὐκ ἔστιν ἐπὶ τῇ τέχνῃ.

XVII. Ὅτι ⟨οὐκ,⟩ εἰ ἔστιν τοῦ ὡς ὑπεκκαύματος πυρός, ὃ καὶ στοιχεῖόν ἐστι, θερμότερόν τι ἄλλο πῦρ, διὰ ταύτην τὴν αἰτίαν μίξει τοῦ ἐναντίου τοιοῦτον ἐκεῖνο.

Οὐκ ἐπεὶ μᾶλλον θερμὸν τοῦ ὡς στοιχείου πυρός, ὃ καὶ ὑπέκκαυμα λέγεται, ἡ ζέσις τοῦ πυρός, ὁποῖόν ἐστι καὶ τὸ παρ' ἡμῖν πῦρ, ἤδη ἐν

7 καὶ del. Vict. 10 εἰ καὶ τὰ τοῦ Vict.: οὐ καὶ τὰ τοῦ VHBSFa: οὐκ ἀπὸ τοῦ G: εἰ καὶ τοῦ Sp. ἂν add. Sp. 11 ἐκεῖναι] ἐκείναις Vict. (?) τῷ τοῖς Vict. Sp.: τούτοις libri 15 αὐτὰς Sp.: αὐτῶν libri 17 αὐτὰς Sp.: ἑαυτοῖς libri 19 μονῇ a 21 ἀλλὰ πάντα scripsi: διὰ πάντα libri (διαπαντα sic V) ἤ γέ scripsi: ἤδε libri (ἤδε V): ἢ διά Vict. 24 αὐτὰς Vict.: αὐτοῦ (οῦ in lit. V) libri 25 αὐτὰς Sp.: αὐτοὺς libri 29 οὐκ add. a Sp. et tab.

ἐκείνῳ τὸ ἔλαττον θερμὸν μίξει τοῦ ἐναντίου. ἡ γοῦν φλὸξ ἔλαττον μὲν θερμὸν τοῦ πεπυρωμένου σιδήρου, ἀλλ' οὐ ψυχρότητος μίξει, ἀλλ' ἔστιν ἡ | ἐπίτασις ἐν τῷ σιδήρῳ παρὰ τὴν τῆς ὕλης στερεότητά τε καὶ ἀντιτυπίαν. 115 τῷ γὰρ ἀντιβατικὴ εἶναι καὶ μὴ εἰκτὴ καὶ τὸ ἐν αὐτῇ θερμὸν τοιοῦτον παρέχεται. καὶ τὸ ὡς στοιχεῖον δὴ πῦρ, τὴν φύσιν ὂν μανόν τε καὶ ξηρὸν καὶ ἄμικτον ὕλης χορηγίαν παρέχειν δυναμένης τοιούτῳ πυρί, οὕτω θερμόν ἐστιν. ἀμέλει ταῦτα αὐτοῦ ἐξάπτεται, ὅσα ἐν αὐτῷ πίλησίν τινα ἔχει καὶ πυκνότητα καὶ τῷ τοιούτῳ πυρὶ τροφήν. διὸ καὶ εὐλογώτερον ἄν τις λέγοι τὸ τοιοῦτο πῦρ μεμῖχθαι τῷ ἐναντίῳ. τροφῆς γὰρ τοῦτο δεῖται καὶ σῴζεται, ἕως ταύτην ἔχῃ, τροφὴ δὲ τὸ ἐναντίον τῷ ἐναντίῳ. ἔτι οὖν ἐπεὶ ὕλη τὸ τοιοῦτο πῦρ, ἔχοι ἄν τι καὶ τοῦ ἐναντίου αὐτῷ ὃ φέρον εἰς αὐτὸ μεταβάλλει. τὸ δὲ οὐκ ἐπὶ τροφῇ πῦρ, ἀλλ' εἰλικρινές τε καὶ καθαρὸν ἄμικτον τοῦ ἐναντίου, τὸ καθ' αὑτὸ ὑφεστός, ὡς καὶ τῶν ἄλλων στοιχείων ἕκαστον.

XVIII. Περὶ τοῦ τὴν φύσιν ὑπάρχειν ἀρχὴν κινήσεως.

Ὅτι μὲν ἡ φύσις ἀρχὴ κινήσεως, δῆλον ἐκ τοῦ τῇς κινήσεως ἀρχῇ διαφέρειν τὰ φυσικὰ τῶν μὴ φυσικῶν σωμάτων, ᾧ δὲ διαφέροντα τὰ φυσικὰ τῶν μὴ φυσικῶν φυσικά ἐστι, τοῦτο εἶναι τὴν φύσιν. ὅσα μὲν οὖν σώματα γενητά ἐστιν ὄντα φυσικά, τούτοις ἡ γένεσις ἐν ἀλλοτρίοις γίνεται τόποις, καὶ ἔστιν ἡ κίνησις αὐτοῖς συνεργοῦσα | πρὸς τὸ ἐν τῷ οἰκείῳ 116 γενέσθαι τόπῳ, ἐν ᾧ γενόμενα ἠρεμεῖ τε κατὰ τόπον καὶ ἔστι καθό ἐστι γινόμενα τελειότητι (εἶχε γὰρ ἐν αὐτοῖς καὶ τὴν ἀρχὴν τῆς ἐπὶ τοῦτο κινήσεως), τοῖς δ' ἀγενήτοις τε καὶ τῇ ἑαυτῶν φύσει τελείοις σώμασιν καὶ οὖσιν ἐν τῷ κατὰ φύσιν αὐτοῖς τόπῳ ἡ φύσις, τοῦτ' ἔστιν ἡ ἐν αὐτοῖς ἀρχὴ τῆς κινήσεως, οὐκ εἰς τὴν ἐξ ἀτελείας εἰς τελειότητα μεταβολὴν συντελεῖ, οὐδὲ εἰς τὸ ἐπὶ τὸν κατὰ φύσιν αὐτοῖς τόπον ἐνεχθῆναι (τέλειά τε γάρ ἐστι καὶ οὐδέποτε ἐξίσταται τοῦ κατὰ φύσιν ἑαυτοῖς τόπου), ἀλλ' εἰς τὸ διὰ τῆς κατ' αὐτὸν ἐνεργείας ὁμοιοῦσθαι τῷ τῶν ὄντων ἀρίστῳ, τῇ ἀιδίῳ τε καὶ συνεχεῖ καὶ ὁμαλῇ κινήσει, μιμούμενα τό τε ἐνεργείᾳ δεῖν εἶναι αὐτοῦ καὶ τὸ ἀκίνητον καὶ τὴν στάσιν. διὰ μὲν τοῦ κινεῖσθαι τὸ ἐνεργείᾳ εἶναι αὐτοῦ (ἐνέργειά τις ἡ κίνησις· ἔδει γὰρ τὰ μιμούμενα τὸ ἁπλῶς ἐνεργείᾳ ὂν καὶ μηδαμῶς κοινωνοῦν δυνάμεως δι' ἐνεργείας τῆς κατὰ φύσιν αὐτοῖς τοῦτο ποιεῖν), διὰ δὲ τοῦ συνεχῶς [ἢ] καὶ τεταγμένως καὶ ὁμοίως ἀεὶ κινεῖσθαι τὴν ἀίδιον αὐτοῦ μεμίμηται φύσιν. οὔτε γὰρ μὴ κινούμενον ἦν ἂν σῶμα φυσικόν, ὃ κυριώτατον τῶν σωμάτων, οὔτε κινούμενον τοῦ στῆναί ποτε καὶ μὴ συνεχῶς κινεῖσθαι εὔλογον αἰτίαν ἔχει· οὔτε γὰρ παρὰ τοῦ τόπου, οὔτε παρὰ τοῦ κινεῖσθαι παρὰ | φύσιν, οὔτε 117

6 fortasse ⟨οὐχ⟩ οὕτω   10 ἔχει a Sp.   11 αὐτό V   12 ἐπὶ τροφῇ scripsi: ἐπὶ τροφὴ V: ἐπιτροφὴ a: ἔστι τροφῇ Sp.   13 τὸ] expectas καὶ   22 γενόμενα coni. Sp.   ἐν τελειότητι Vict.   αὐτοῖς V   26 τελεία a Sp.   27 ἑαυτοῖς] αὐτοῖς coni. Sp.   30 δεῖν del. vel ἀεὶ Sp. bene   31 γάρ τις B² Vict. Sp.   fortasse αὐτοῖς   33 ἢ del. Sp.   34 οὔτε scripsi: οὐδὲ libri

παρὰ τῆς διὰ τὸ θνητὸν ἀσθενείας. διὸ κινούμενα συνεχῶς κατὰ τὴν ἐν αὐτοῖς φύσιν διὰ τῆς ἐν τῇ κινήσει μονῆς τὴν ἐκείνου μιμεῖται στάσιν. ὅτι δ' οὐ τὸ κινεῖσθαι μόνον, ἀλλὰ καὶ τὸ συνεχῆ τε καὶ ἀίδιον κινεῖσθαι κίνησιν κατὰ φύσιν αὐτοῖς, δείκνυσι καὶ τὸ σχῆμα ἔχειν αὐτὰ σφαιρικόν, ἐπεὶ τὸ μὲν ἄριστόν τε καὶ τελειότατον τῶν σχημάτων τῷ ἀρίστῳ τῶν σωμάτων κατὰ φύσιν, τῷ δὲ τοιούτῳ σχήματι παρὰ φύσιν ἡ στάσις· διὸ οὐδὲ βάσιν ἔχει τινὰ καθ' ἣν στήσεται.

XIX. Ὅτι ⟨εἰ⟩ ὁ κόσμος αἰδιός ἐστι, τὸ δὲ κόσμῳ εἶναι αὐτῷ ἡ τάξις ἐστίν, εἴη ἂν ἐν τῇ οἰκείᾳ οὐσίᾳ αὐτοῦ καὶ τοῦτο.

Εἰ ὁ κόσμος ἀίδιος τῇ ἑαυτοῦ φύσει, τὸ δὲ κόσμῳ εἶναί ἐστι τὸ ἐν τοιᾷδε τάξει εἶναί τινι, εἴη ἂν καὶ τὴν τάξιν παρὰ τῆς ἑαυτοῦ φύσεως ἔχων. εἰ δὲ τοῦτο, οὔτε πρὸς τὸ εἶναι, οὔτε πρὸς τὴν τάξιν ἣν ἔχει δέοιτ' ἂν τοῦ προνοήσαντος. ἀλλὰ μὴν πᾶν τὸ προνοοῦν ἢ τοῦ εἶναι ⟨τὸ⟩ προνοούμενον προνοεῖ ἢ τοῦ εὖ εἶναι, ὧν πρὸς μηδέτερον δεόμενος τοῦ προνοήσοντος ὁ κόσμος οὐδ' ἂν προνοοῖτο ὅλως. ἢ πᾶς μὲν ὁ κόσμος οὐ δεῖταί τινος προνοήσαντος, οὔτε πρὸς τὸ εἶναι, οὔτε πρὸς τὸ εὖ εἶναι, ἡ δὲ γινομένη πρόνοια ἐν τῷ κόσμῳ γίνεται μέρους μέν τινος ἐν τῷ | κόσμῳ προνοοῦντος, μέρους δέ τινος προνοουμένου. ὅσον μὲν γὰρ αὐτοῦ σῶμα 118 ἀγένητόν τε καὶ ἄφθαρτόν ἐστι, καὶ ἀεὶ κατὰ τὴν αὑτοῦ φύσιν τε καὶ ψυχὴν τεταγμένον, καὶ τὴν αὑτοῦ κίνησιν κινούμενον ἐφέσει μιμήσεως τοῦ πρώτου θεοῦ, τοῦτ' οὐδὲν δεῖται τοῦ προνοήσοντος. ἐν τῇ οἰκείᾳ φύσει τήν τε κατὰ τὸ εἶναι καὶ τὴν κατὰ τὸ εὖ εἶναι τελειότητα ἔχον, ὅσον δὲ αὐτοῦ γενητόν τε καὶ φθαρτὸν καὶ τῆς παρ' ἄλλου βοηθείας δεόμενον πρός τε τὸ εἶναι καὶ πρὸς τὴν διὰ τῆς εὐτάκτου μεταβολῆς κατ' εἶδος αἰδιότητα, τοῦτ' ἐστὶ τὸ προνοούμενον ὑπὸ τῆς τοῦ θείου μέρους τοῦ κόσμου κινήσεως εὐτάκτου καὶ ποιᾶς σχέσεως πρὸς αὐτὸ κυβερνώμενον· [ὑφ'] ἧς, ἐφ' ὅσον ἐνδέχεται θνητόν τι ὄν, μετέχον τάξεως, παρ' ἐκείνων αὐτῆς τυγχάνον [δι' αὐτῆς] φυλάσσει δι' αὐτῆς τὴν κατ' εἶδος ἀφθαρσίαν.

XX. Πῶς τὸ μεταβάλλον εἴς τι καθ' ἣν ἔχει δύναμιν, τηρεῖ τὴν δύναμιν καὶ μετὰ τὸ μεταβάλλειν, εἰς ὃ μετέβαλλεν.

Πῶς τὸ μεταβάλλον εἴς τι τῷ δύναμιν ἔχειν πρὸ τοῦ μεταβάλλειν εἰς αὐτὸ τῆς εἰς αὐτὸ μεταβολῆς [κινεῖται] τηρεῖ [τε] τὴν δύναμιν τὴν τοῦ γίνεσθαι ἐκεῖνο πάλιν ἐξ οὗ μετέβαλλεν; καὶ γίνεται πάλιν ἐκεῖνο, | ὡς 119

2 μόνης a   8 εἰ add. B² tab. Sp.   11 τινι ante τάξει colloc. a Sp.   13 προνοήσαντος v. c. VSGFa Sp.: προνοήσοντος V¹B   13 τὸ add. Sp.   14 προνοεῖ Sp.: προνοεῖται libri   16 προνοήσοντος a Sp.   19 et 20 αὑτοῦ V   21 θείου coni. Sp.   26 ποιᾷ σχέσει Sp.   αὐτὸ Sp.: αὐτοῦ libri   ὑφ' delevi   27 καὶ παρ' Vict.   27. 28 δι' αὐτῆς del. S² B² om. a Sp.   30 (et 33) μετέβαλεν a Sp.   32 κινεῖται et τε del. Sp.   33 γίνεσθαι scripsi: δύνασθαι libri   πάλιν scripsi: πᾶν libri   καὶ γίνεσθαι Vict. Sp.   signum interr. posui post μετέβαλλεν, post ἐκεῖνο libri

λέγει Ἀριστοτέλης ἐπὶ τοῦ κόσμου, εἰ γενητὸς εἴη· διὰ τοῦτο γάρ φησιν αὐτὸν καὶ φθαρήσεσθαι. οὐ γὰρ οὕτως ἔχοντα ὁρᾶται τὰ γινόμενα· οὔτε γὰρ τὸ βάθρον τὸ ἐκ τοῦ τοιοῦδε ξύλου γεγονὸς φυλάσσει τὴν δύναμιν ἔτι τοῦ τοιοῦτο γενέσθαι ξύλον, οὐδ' εἰς ταὐτὸ ἡ μεταβολή τε καὶ φθορά, οὔθ' ὁ ἔκ τινων κατὰ μεταβολὴν γινόμενος ἄνθρωπος πάλιν εἰς ἐκεῖνα φθείρεται, ἐξ ὧν ἡ γένεσις αὐτῷ, τόδε τὸ ἔμμηνον καὶ τόδε τὸ σπέρμα. ἢ τὰ μὲν κατὰ τὰς τέχνας γινόμενα οὐκ ἀνακάμπτει πάλιν ἐπὶ τὰς ὕλας, ὅτι μηδὲ ἦν τῆς τέχνης ἔργον ἡ ὕλη, ἐξ ἧς ἐποίει τὸ ἔργον, ἀλλὰ μηδ' ἦν ἀντικειμένη τῷ ἔργῳ γινομένῳ, εἰς ὃ ἡ μεταβολὴ τῷ γινομένῳ. ἔχον δὲ τὸ ὑποκείμενον φυσικόν τε ὂν δύναμιν τοῦ δέξασθαί τε τοῦτο τὸ εἶδος καὶ μή, κἂν δέξηται, φυλάσσον τὴν δύναμιν τὴν τοῦ χωρίζεσθαι τοῦ εἴδους ὃ ἐδέξατο, χωρίζεταί τε αὐτοῦ καὶ φθείρεται, καὶ γίνεται αὐτῷ ἡ φθορὰ ὥσπερ οὖν καὶ ἡ γένεσις ὑπὸ ἔξωθέν τινος ἢ τινος τοιούτου, εἰ ὡς τεχνικὸν φθείροιτο, ἢ ὑπὸ φύσεως, εἰ τῇ τοῦ ὑποκειμένου σώματος φυσικῇ φθορᾷ συμφθείροιτο καὶ τὸ τῆς τέχνης ἔργον. ἐπὶ δὲ [τῆς] τῶν φύσει γινομένων, ὥσπερ οὖν τὸ γινόμενον, οὕτω καὶ τὸ ὑποκείμενον φύσει, καὶ ἔστι πρῶτον μὲν ὑποκείμενον ἡ ὕλη, ἥτις οὐδέποτέ | 120 ἐστιν ἐνεργείᾳ καθ' αὑτήν, ἐνεργείᾳ δὲ ὑποκείμενα τὰ στοιχεῖα, ἃ ἤδη μετά τινος ποιότητός τε ὄντα καὶ ἐναντιώσεως εἰς ἄλληλα μεταβάλλει κατὰ τὰς ἐναντιώσεις, ἃς ἔχει πρὸς ἄλληλα, τῆς ὑποκειμένης αὐτοῖς ὕλης κοινῆς τε οὔσης ἁπάσης καὶ ἀλλοιούσης τὸ εἶδος κατὰ τὴν ἐπικρατοῦσαν τῆς ποιότητος ἐναντίωσιν. τῷ γὰρ τόδε τι γεγονέναι, ἔχειν δὲ δύναμιν καὶ τοῦ ἐν τῷ ἐναντίῳ τοῦδε εἶναι φυλάσσουσα τὴν δύναμιν μεταβάλλει ποτὲ καὶ εἰς ἐκεῖνο· διὸ οὐδὲν ἄφθαρτον τῶν ἁπλῶν τε καὶ γενητῶν σωμάτων. γίνεται δὲ ἐκ τῶν ἁπλῶν τούτων σωμάτων καὶ τὰ σύνθετα κατὰ μῖξίν τινα καὶ κρᾶσιν καὶ συμμετρίαν τῶν δυνάμεων, καθ' ἣν οὐκ εἰς ἕν τι τῶν ἁπλῶν μεταβολὴ γίνεται, ἀλλ' εἴς τι μεταξὺ μετέχον ἁπασῶν τῶν ποιοτήτων τε καὶ δυνάμεων τῶν ἐν τοῖς ἁπλοῖς σώμασιν ὑποκειμένων, ἔχοντα δὲ δύναμιν καὶ τοῦ χωρίζεσθαι πάλιν ἀπ' ἀλλήλων τὰ σώματα ἁπλᾶ ἐκ τῆς τοιαύτης μίξεως ἀναλύεταί τε καὶ χωρίζεται. διὸ οὐχ οἷόν τέ τι τῶν ἐξ αὐτῶν συγκειμένων ἄφθαρτον εἶναι. γίνεται δὲ καὶ ἡ τῶν ζῴων γένεσις κατὰ συμμετρίαν τινῶν σωμάτων ἤδη μεμιγμένων αὐτῶν (οὐ γὰρ ἁπλοῦν σῶμα τὸ ἔμμηνον), καθ' ἣν συμμετρίαν ἔμψυχά τε γίνεται καὶ ἡνωμένα καὶ τάσδε τινὰς τὰς δυνάμεις ἔχοντα. ἧς [ἡ] συμμετρίας λυομένης τῷ τὰ ἐξ ὧν ἐγένετο μεταβάλλοντα μὴ | 121 τηρεῖν τὰς δυνάμεις, καθ' ἃς ἡ συμμετρία, ἀνάλυσίς τε καὶ διάλυσις αὐτῶν γίνεται οὐκ εἰς τὰ μηκέτ' ἂν αὐτοῖς σωζόμενα, οἷον καὶ τὸ ἔμμηνον. τοῦτο μὲν γὰρ ἦν καὶ αὐτὸ σύνθετον, ἥτις σύνθεσις μετὰ τὴν πρώτην μῖξίν τε καὶ ἁρμονίαν τῶν ἐξ ὧν ἡ σύνθεσις τῷ ζῴῳ σωμά-

1 λέγει] cf. de Caelo I, 10. 279b4 fortasse γενητὸν et αὐτὸ 4 οὐδ' scripsi: οὔτ' libri οὔθ'] οὐ γὰρ coni. Sp. 10 pr. τε del. Sp. recte τε τοῦτο Sp.: γε τοῦτο libri 11 δέξηται B²S²a Sp.: δέηται VB¹S¹F 13 εἰ B² Sp.: ἢ libri 14 εἰ B² Sp.: ἢ libri 15 τῆς del. Sp. 16 γιν. et ὑποκ. mutat Schwartz 22 τοῦ Vict.: τῷ libri 29 μίξεως] ω in lit. V 30. 31 ἄφθαρτον] alt. α in lit. V 32 ἐμμένον a 34 ἧς Sp.: ἡ VS¹B¹: ἧς ἡ B²S²a 36 αὐτοῖς] fortasse αὐτὰ

των. μεταβάλλοντα δ' ἐξ ὧν ταῦτα τὰ σώματα (ταῦτα δ' ἦν τὰ στοιχεῖα σωζόμενα) λύεταί τε ἀπ' ἀλλήλων ἀσυμμετρίας τινὸς ἐν αὐτοῖς γινομένης τῷ πλεονεκτήσαντι ἐξ αὐτῶν (οὐ γὰρ δύναμιν ἔχοντα, ὥστ' ἐπ' ἄπειρον τὴν τοιαύτην συμμετρίαν φυλάσσειν), καὶ ἔστιν ἥ τε τῶν ζῴων καὶ τῶν ἄλλων τῶν συνθέτων σωμάτων φθορὰ γινομένη εἰς τὴν τῶν στοιχείων ἀνάλυσιν, ἐξ ὧν κατὰ συμμετρίαν τινὰ τὴν πρὸς ἄλληλα τῶν στοιχείων ἡ γένεσίς τε αὐτῶν καὶ ἡ σύστασις. καὶ ὁ κόσμος δὲ τῶν ἔκ τινων σωμάτων ἐνεργείᾳ ὄντων κατὰ μεταβολήν τινα γέγονεν † δῆλον ὅτι τὰ σώματα ἐκεῖνα σώζεται ἐν αὐτῷ, ὧν κατὰ μεταβολὴν ἡ γένεσις αὐτῶν. σωζόμενα δὲ καὶ δυνάμενα κἀκείνως ἔχειν, ὡς ἔχοντα μεταβάλλειν εἰς τὸ κόσμος εἶναι, πάλιν ἂν μεταβάλλοι, εἰς ὃν μεταβάλλοντα οὐκέτ' ἂν ὁ κόσμος εἴη, ὥσπερ ὁρῶμεν μεταβάλλοντα τά τε ἁπλᾶ σώματα εἰς ἄλληλα πρῶτα † ἣν ὑποκειμένην αὐτοῖς ὕλην εἶναι δεκτικὴν τῶν εἰδοποιούντων τὰ πρῶτα σώματα, καὶ τὰ σύνθετα, | ὅταν ἢ διὰ τὴν φύσιν ἢ διά τινα ἔξωθεν περίστασιν 122
ἐπικρατήσῃ τι ἐν αὐτοῖς, ὃ λύει τὴν συμμετρίαν αὐτῶν πρὸς ἄλληλα, καθ' ἣν τὸ εἶναι τῷ συνθέτῳ σώματι.

XXI. Ὅτι μὴ κατὰ συμβεβηκὸς ἡ πρόνοια κατὰ Ἀριστοτέλη.

Πρῴην ἡμῖν γινομένων πρὸς τοὺς ἑταίρους περὶ προνοίας λόγων, καὶ πειρωμένου μου δεικνύναι, ὅτι τέ ἐστι κατὰ Ἀριστοτέλη ἀπὸ τῶν θείων τῶν θνητῶν ἐπιμέλειά τις καὶ πρόνοια, καὶ τίς, καὶ τίνα γινομένη τὸν τρόπον ὄντος ἑτοίμου λέγειν, εἰπέ τις τῶν παρόντων πρῶτον ἄξιον εἶναι μαθεῖν, πῶς ἀποκρίνασθαι δεῖ πρὸς τοὺς ἐρωτῶντας, πότερα χρὴ προηγουμένως λέγειν τὰ θεῖα τῶνδε προνοεῖσθαι καθ' ἡμᾶς, ἢ κατὰ συμβεβηκός. οἱ γὰρ οὐ φάσκοντες εἶναι κατὰ Ἀριστοτέλη πρόνοιαν τὴν ὑφ' ἡμῶν λεγομένην γίνεσθαι, πρόνοιαν κατὰ συμβεβηκός φασι γίνεσθαι λέγεσθαι. εἰ δὲ ἐν πᾶσιν, οἷς προστίθεται, τὸ κατὰ συμβεβηκὸς τοῦ μὴ κυρίως εἶναι τούτοις ἃ λέγεται σημεῖόν ἐστι, τὸ δὲ μὴ κυρίως ὂν οὐδ' ὄν πως, οὐδ' ἂν ἡ κατὰ συμβεβηκὸς λεγομένη πρόνοια εἴη πρόνοια μετὰ τοιαύτης προσθήκης λεγομένη. κατὰ συμβεβηκός τε γὰρ κεκινῆσθαι λέγεται τὰ μὴ κι- 123
νούμενα κυρίως τε καὶ καθ' αὑτά, καὶ κατὰ συμβεβηκὸς αἴτια μὲν ταῦτα, ἀφ' ὧν μηδεμία συντέλεια προηγουμένως πρὸς τὰ ὧν αἴτια εἶναι λέγεται. εἰ δὴ καὶ τὴν πρόνοιαν μετὰ ταύτης γίνεσθαι τῆς προσθήκης λέγομεν, ἴσως ἐξ ὧν λέγομεν αὐτοὶ περὶ προνοίας ἀναιροῖμεν ἂν τὸ εἶναι τὴν πρόνοιαν. ὡς γὰρ τὴν κίβδηλον δραχμὴν οὐχ οἷόν τε δραχμὴν εἶναι λέγειν τῷ ἀναιρετικὸν αὐτῆς εἶναι τὸ προσκείμενον, οὕτως οὐδὲ τὴν κατὰ συμβεβηκὸς

1 μεταβάλλον τὰ V ταῦτα] fortasse τοῦτο 3 ἔχοντα VFB^{1}S^1: ἔχει B^{2}S^2 Sp.: ἔχειν a 4 φυλάσσειν B^{2}S^{2}Fa Sp.: φυλάσσει VB^{1}S^1 7 τῶν ἐκ VB^{1}S^1: τῶν εἰ B^{2}S^{2}a: ἐκ Vict.: εἰ ἐκ Sp. 8 γέγονεν] γίνεσθαι ἢ γεγονέναι Vict. 9 ὧν] ᾧ a Sp. αὐτῶν] αὐτοῦ Schwartz 10 ὡς] εἰς τὰ B^2 μεταβάλλειν] μεταβάλλει Sp.: fortasse μετέβαλλεν 11 ὃν] τὰ a: fortasse ὃ ὁ del. Diels 12 πρῶτα· ην sic V: πρῶτα ἣν B^{1}S^1: πρῶτα τῷ τὴν B^{2}S^{2}a Sp. 14 alt. ἢ SB^{2}a Sp.: καὶ B^{1}V 23 προνοεῖσθαι] προνοεῖν τῶν coni. Sp.: προνοεῖν Schwartz, melius 24 οἱ B^{2}S^{2}a Sp.: εἰ VB^{1}S^{1}F 29 κεκινῆσθαι] pr. κ in lit. V 35 προκείμενον a [illegible] τὴν Sp.: τὸ libri

πρόνοιαν οἷόν τε λέγειν πρόνοιαν τῷ τὸ κατὰ συμβεβηκὸς ἐν πᾶσιν ἐπὶ ἀναιρέσει τοῦ ᾧ συντίθεται προστίθεσθαι.

Καὶ ἐγὼ πρὸς αὐτόν· τί δέ; ἀναγκαῖον εἶναί σοι δοκεῖ τὴν πρόνοιαν θατέρῳ τούτων προσγενέσθαι, καὶ δεῖν τὸν ἀποκρινόμενον πρὸς τὸν οὕτως ἐρωτῶντα ἢ προηγουμένως καὶ καθ' αὑτὸ γίνεσθαι λέγειν αὐτὴν ἢ κατὰ συμβεβηκός;

Καὶ ὅς· τί γὰρ ἄν τις λέγων ἄλλο παρὰ ταῦτα δόξειεν κατὰ λόγον ποιεῖσθαι τὴν ἀπόκρισιν;

Δῆλον, εἶπον, ὡς εἰ μὲν μηδὲν φαίνοιτο δυνάμενον εἶναι μεταξὺ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός, ἀνάγκη τὸν ἀποκρινόμενον ὑγιῶς πρὸς τὴν ἐρώτησιν ἐν θατέρῳ τὴν πρόνοιαν τίθεσθαι, εἰ δ' ἐστί τι δυνάμενον εἶναι τούτων μεταξύ, φανερὸν ὡς ὁ τοῦτο δείξας εἴη ἂν δεικνὺς τὴν ἐρώτησιν οὐκ ἀναγκαίαν τῷ μὴ πάντας | τοὺς δυναμένους λέγεσθαι τρόπους 124 τῆς προνοίας περιειληφέναι.

Καὶ τί ἄν, εἶπεν, εἴη τοιοῦτον, ὃ τῷ παραλελεῖφθαι παραλύει τὸ τῆς ἀποκρίσεως ἀναγκαῖον;

Κἀγώ· δοκῶ μοι τοῦτο γνώριμον ἔσεσθαι, εἴτε τοῦτον ἔχει τὸν τρόπον εἴτε καὶ μή, εἰ πρῶτον ὑπομνήσαιμεν ἑαυτούς, τίνος ποτὲ ἐκείνων ἑκάτερον † εἶναι μηνυτικόν, λέγω δὲ τό τε καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. τοῦ δ' ὀρθῶς με φήσαντος λέγειν ἐπειρώμην τὸ σημαινόμενον ὑφ' ἑκατέρου τῶν ἐν τῇ ἐρωτήσει κειμένων ἐκτίθεσθαι, λέγων καθ' αὑτὸ μὲν προνοεῖν τινος λέγεσθαι τοῦτον, ὃς ποιησάμενος σκοπὸν τὴν ὠφελίαν τοῦ προκειμένου ἐνεργεῖ τε καὶ πράττει ταύτης χάριν τὰ δι' ὧν οἴεται τοῦ προκειμένου τεύξεσθαι σκοποῦ, τέλος ποιούμενος τῶν ἐνεργειῶν τὴν ὠφελίαν τοῦ προνοουμένου· κατὰ συμβεβηκὸς δὲ προνοεῖν λέγεταί τί τινος, ὅταν, μηδὲν τοῦ προνοεῖν οὕτως λεγομένου πράττοντος ὑπὲρ ὠφελίας τοῦ προνοουμένου, ἔκ τινων ὑπ' ἐκείνου γινομένων ὠφελεῖσθαί τι συμβαίνῃ, μηδὲ τὴν ἀρχὴν γνωρίζοντος τὸ συμβαῖνον τοῦ τοῦτον προνοοῦντος τὸν τρόπον. θησαυρόν τε γὰρ εὑρηκέναι δοκεῖ κατὰ συμβεβηκὸς ὁ πρώτως ἄλλου τινὸς ὀρύσσων χάριν, μηδὲ εὑρήσειν προσδοκῶν· καὶ ὑπὸ κεραυνοῦ τινος ἀπόλωλε κατὰ συμβεβηκὸς τῷ τὸν κεραυνὸν μήτε | τούτου χάριν ἐνεχθῆναι, μήτε τοῦ 125 τοῦτο ἔσεσθαι ἔννοιάν τινα γεγονέναι τῷ τοῦ κεραυνοῦ ποιητῇ εἴτε καὶ δημιουργῷ. ἡ γὰρ γνῶσίς τινος τῶν ἑπομένων τοῖς γινομένοις ἄλλου χάριν παραλύει τὸ γίνεσθαι κατὰ συμβεβηκὸς αὐτὰ τῷ κατὰ συμβεβηκὸς μὲν εἶναι τὸ παρὰ λόγον γίνεσθαι δοκοῦν, τὴν δὲ πρόγνωσιν τῶν κατὰ λόγον γινο-

---

2 τοῦ B²S²a Sp.: τῷ VFS¹: τὸ B¹ 7 τί G Sp.: τίς Va post ἄλλο litura 1 litt. V 15 τί ἂν Sp.: πᾶν VGFS¹B¹: παντοῖον B²S²a Sp. 18 ἐκείνων] ει in ras. V 19 εἶναι] fortasse ἐστὶ 20 με Sp.: μὲν libri 22 ὠφέλειαν a Sp. semper προκειμένου] προνοουμένου Diels recte 23 χάριν] ρ in lit. V 25 λέγεσθαι coni. Sp. 27 συμβαίνῃ S²a Sp.: συμβαίνει B²: συμβῆναι VFB¹S¹ 29 ὀρύσσων Sp.: ὀρύσσειν libri 30 τινος] fortasse τις 31. 32 τοῦ τοῦτο scripsi: τούτου τὸ VBSa: τούτου τι τὸ Vict.: τοῦτο coni. Sp. 34 αὐτὰ τῷ scripsi: αὐτῷ VB¹S¹F: αὐτῷ τῷ B²S²Ga Sp. 35 παρὰ λόγον a Sp.: παράλογον codd. supra τὴν B²: εἰ τῶν s. v. V

μένων σημεῖον εἶναι δοκεῖν. ἢ γὰρ οὐκ ἐπὶ τούτων καὶ τῶν οὕτως γινομένων κατηγοροῦμεν τὸ συμβεβηκός;

Κἀκεῖνος· οὐκ ἐπ' ἄλλων μέν. τὴν γοῦν τύχην κατὰ συμβεβηκὸς αἰτίαν εἶναι λέγοντες † οὐκ ἔλαττον αὐτὴν ὁρίζομεν τοῦ σπανίως γίνεσθαι τῷ ἀπροοράτῳ.

Ἀλλὰ μήν, ἔφην ἐγώ, τοιαύτης οὔσης τῆς τε καθ' αὑτὸ καὶ τῆς κατὰ συμβεβηκὸς προνοίας οὐκέτ' οἶμαί σε δεήσεσθαι πολλῶν λόγων πρὸς τὸ μὴ ἡγεῖσθαι ἱκανῶς ἔχειν τὴν ἐρώτησιν τὴν ἀξιοῦσαν τὴν πρόνοιαν εἴς τε τὴν καθ' αὑτὸ καὶ τὴν κατὰ συμβεβηκὸς διαίρεσιν μόνας.

Ὀρθῶς λέγεις, εἶπεν· εἰ γάρ τις γνωρίζει τὴν γινομένην ὠφελίαν εἴς τινα ἐκ τῶν ὑφ' αὑτοῦ γινομένων ἄλλου χάριν, δῆλον ἐκ τῶν προειρημένων ὅτι μήτε καθ' αὑτὸ μήτε κατὰ συμβεβηκὸς οὗτος προνοεῖ τοῦ τοῦτον τὸν τρόπον ὑπό τινος τῶν ὑφ' αὑτοῦ γινομένων ὠφελουμένου. |

Τί δέ, εἶπον ἐγώ, εἰ πρὸς τῷ γνωρίζειν τὴν ὠφελίαν τὴν γινομένην 126
εἴς τινα καὶ κατὰ τὴν ἑαυτοῦ βούλησιν γίνοιτο, οὐ πολὺ πλεῖον ἔτι τὴν οὕτως γινομένην πρόνοιαν ἐρεῖς ἀφεστάναι τῆς κατὰ συμβεβηκός;

Καὶ ὅς· πάνυ μὲν οὖν. σχεδὸν γὰρ ἡ τοῦτον γινομένη τὸν τρόπον ὄντα καθ' αὑτὸ προνοεῖν τινος τὸ ἕνεκα τοῦ προνοουμένου πάντα ποιεῖν, κατὰ συμβεβηκὸς δὲ τὸ ἕνεκα μὲν ἄλλου τινὰ ποιεῖν, οὐ γνωρίζον δὲ τὴν εἰς τοῦτο δι' ἐκείνου γινομένην ὠφελίαν, οὐδὲ βουλόμενον. τὸ δὲ μὴ ἕνεκα μὲν τούτου ποιοῦν, γνωρίζον δὲ καὶ βουλόμενον ὠφελεῖσθαι τοῦτο, προνοοῖ μὲν ἂν τούτου, οὔτε δὲ καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός. [καὶ εἰ ὠφελοῖ μὲν τοῦτο, ἐφ' ἑαυτὸ δὲ τὴν ἀναφορὰν ποιοῖτο τῆς ὠφελίας, οὐδὲ τοῦτο καθ' αὑτὸ οὐδὲ κατὰ συμβεβηκὸς προνοεῖ· καὶ εἴ τι τῶν μὲν καθόλου καθ' αὑτό, τῶν δ' ἐν μέρει κατὰ συμβεβηκός, οὐδὲ τοῦτο ἁπλῶς οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκὸς τῶν καθ' ἕκαστα προνοεῖ, οὐ καθ' αὑτὸ μέν, ὅτι ⟨οὐ⟩ τούτων ἕνεκα, οὐ κατὰ συμβεβηκὸς δέ, ὅτι οὐχ ἕτερον τὸ καθόλου τῶν κατὰ μέρος (ἐν γὰρ τούτοις αὐτῷ τὸ εἶναι) ἀποδεῖν τοῦ γίγνεσθαι καθ' αὑτὴν προηγουμένως.]

Τί δ' ἄν, εἶπον, λέγοις περὶ τοῦ προνοοῦντος μέν τινων, ἐφ' ἑαυτὸν μέντοι τὴν ἀπὸ τῶν προ|νοουμένων ὠφελίαν ἀναφέροντος; ὃν τρόπον ὁρῶ- 127
μεν τούς τε ποιμένας τῶν προβάτων προνοουμένους, καὶ τοὺς βουκόλους τῶν βοῶν, καὶ τῶν αἰγῶν τοὺς αἰπόλους, ὁμοίως δὲ καὶ τοὺς ἱπποφόρβους καὶ τοὺς συβώτας τῶν νεμομένων τε καὶ βοσκομένων ὑπ' αὐτῶν.

1 δοκεῖ Sp. quia falso interpunxit ante σημεῖον 4 λέγοντες εἶναι a Sp. οὐκ] ἐπ' B^2S^2a Sp.; fortasse recte cf. Simpl. ad Phys. II, 5. 334,6 sqq. τοῦ] οὐ τῷ B^2S^2a Sp.: τῷ Diels 5 ἀπροοράτῳ] ἀπροαιρέτῳ Vict. 9 fortasse διαιρεῖσθαι 18 ὄντα καθ' αὑτὸ] καθ' αὑτὸ ὄντα καθ' αὑτὸ Vict.: καθ' αὑτὸ ὂν τὸ καθ' αὑτὸ Sp.: sensus postulat tale quid: (17) οὖν, εἶπεν, ἡ τοῦτον et (17. 18) τρόπον ὅτι καθ' 18 τινος ἢ τὸ a 19 τινὰ] τινὸς B^2S^2a ποιεῖν B^2S^2a Sp.: ποιεῖ VFB^1S^1 22—29 καὶ εἰ — προηγουμένως emblema ex 30 sqq. 24 ⟨οὔτε⟩ καθ' αὑτὸ οὔτε coni. Sp. 25. 26 οὔτε — οὔτε Sp.: οὐδὲ — οὐδὲ libri 26 οὐ B^2S^2a Sp.: ἢ VB^1S^1 post ὅτι add. οὐ B^2S^2a Sp. 28 fortasse ⟨ὀλίγον⟩ ἀποδεῖ 28. 29 αὑτὴν] αὑτὸ καὶ coni. Sp. recte 31 προουμένων V 32 ποιμένας] inter ι et μ 2 litt. erasae V προνοοῦντας coni. Sp. recte

Ἀλλ' οὗτοί γε, ἔφη, καὶ πᾶσά γε ἡ τοῦτον τὸν τρόπον γινομένη πρόνοια ὀλίγον τι διαφέρει τῆς γινομένης προηγουμένως τε καὶ καθ' αὑτήν· τῶν γὰρ ἄλλων γινομένων ὁμοίως ὁ σκοπὸς μετατιθέμενος μόνος τῆς τοιαύτης προνοίας [ὁ] πρὸς τὴν καθ' αὑτὸ ποιεῖ τὴν διαφοράν.

Τί δ', οὐχὶ καὶ ὁ λέγων, ἔφην, τῷ μὲν καθ' αὑτὸ γίνεσθαι τὴν πρόνοιαν, τῷ δὲ κατὰ συμβεβηκός, καθ' αὑτὸ μὲν τῶν καθόλου, κατὰ συμβεβηκὸς δὲ τῶν ὑπ' αὐτά, ἄλλον τινὰ τρόπον προνοίας λέγει παρὰ τοὺς ῥηθέντας ἐξ ἀρχῆς;

Πῶς γάρ, εἶπεν, οὐκ ἄλλον, εἴ γε τὸ κοινὸν ἄλλο μὲν ἑκάστου τῶν ὑφ' ἑαυτό, ἐν τούτοις μὲν τὸ ἕν τι εἶναι ἔχον, καὶ διὰ τοῦτο κοινωνοῦν πως αὐτοῖς τῶν εἰς αὐτὸ γινομένων προηγουμένως;

Κἀγὼ πρὸς αὐτόν· δῆλον τοίνυν, εἶπον, ἐκ τῶν ὡμολογημένων, ὅτι καθ' ὃν ἄν τις τῶν ὕστερον ῥηθέντων τρόπον τὴν πρόνοιαν γίνεσθαι | λέγῃ, οὔτε προηγουμένως οὔτε κατὰ συμβεβηκὸς ἂν αὐτὴν γίνεσθαι λέγοι. 128

Δῆλον γὰρ οὖν εἶπεν.

Ἀλλὰ μήν, ἔφην, τούτου δήλου γεγονότος δῆλον, ὡς οὔτε ἡ πρώτη εἰς ἣν ἔφης ἐρωτᾶν τινας, ἀποκρίσεως ἀξία, οὔθ' ὁ κατά τινα τούτων τῶν τρόπων τὴν πρόνοιαν γίνεσθαι λέγων ἀναιρεῖ τὴν πρόνοιαν, ὡς δοκεῖ ποιεῖν ὁ κατὰ συμβεβηκὸς αὐτὴν γίνεσθαι λέγων. τὸ γὰρ ἀφεμένους τούτων τινὶ τῶν τρόπων ἀνατιθέναι τὴν ἐκ τῶν θείων τῶν ἐν γενέσει τε καὶ θνητῶν πρόνοιαν τοὺς θεοὺς λέγειν διὰ τὴν τῶν θνητῶν σωτηρίαν τὰς οἰκείας ἐνεργείας ἐνεργεῖν παντελῶς ἀλλότριον θεῶν. παραπλήσιον γὰρ τοῦτο τῷ λέγοντι τοὺς ἐλευθέρους καὶ τοὺς δεσπότας τῶν οἰκετῶν εἶναι χάριν καὶ τὰς οἰκείας ἐνεργείας ἕνεκα τῆς ἐκείνων σωτηρίας τε καὶ τάξεως ἐνεργεῖν, εἴπερ δεσπόται τῶν ἄλλων πάντων οἱ θεοί. εἰ γὰρ ἐν πᾶσι τιμιώτερον τοῦ ἄλλου χάριν ὄντος τὸ οὗ χάριν ἐστίν τι, εἴ γε τιμιώτερον τὸ τέλος τῶν πρὸ αὐτοῦ, ἔσται κατὰ τοὺς οὕτω λέγοντας ὁ μὲν οἰκέτης τε καὶ δοῦλος τιμιώτερος τοῦ δεσπότου, τῶν δὲ θείων τὰ θνητά. καίτοι γε ἐπὶ μὲν τῶν δούλων καὶ τῶν δεσποτῶν ἔστιν εἰπεῖν ἀντίδοσιν αὐτοῖς τινα γίγνεσθαι παρ' ἀλλήλων διὰ τῶν ἐνεργειῶν ἃς ἐνεργοῦσιν· τὰς μὲν γὰρ τῶν δεσποτῶν ἐνεργείας τῆς σωτηρίας | τῶν δούλων γίνεσθαι χάριν, συντελεῖν πάλιν εἰς 129 τὴν τῶν δεσποτῶν σωτηρίαν. ἐν γὰρ τῇ τῶν δούλων ἐνεργείᾳ τὴν τῶν δεσποτῶν σωτηρίαν κεῖσθαι, ὡς εἶναι ἑκάτερόν πως ἑκατέρου τέλος, τὸ δὲ τὴν τῶν θεῶν σωτηρίαν δεῖσθαι λέγειν τῆς τῶν θνητῶν ἐνεργείας ἄτοπον ἂν εἶναι δόξειε παντάπασιν.

Πῶς γὰρ οὔχ;

---

1 οὗτοί γε] οὗτος οὔτι γε Vict.: οὗτός γε a: οὗτος ἔφη vel οὗτοι οὔτι coni. Sp. 4 ὁ del. Schwartz 5 ἔφην Vict. Sp.: ἔφη VFB^1S^1: ἔφη ἔφην B^2S^2a τῷ] τῶν Sp. 6 τῷ] τῶν Sp. 10 μὲν] μέντοι Vict. Sp. recte 13 τρόπων a Sp. γίνεσθαι del. S^2: om. B 17 εἰς] ἐρώτησις coni. Sp. recte ἔφης scripsi: ἔφην libri 18 λέγω a 22 θεῶν Sp.: θεῷ libri 31 γίνεσθαι] fortasse γινομένας συντελεῖν δὲ πάλιν Vict. 36 οὐκ ἄτοπον; coni. Sp.

Ἄτοπον δὲ τούτῳ παραπλησίως καὶ τὸ τέλος καὶ τἀγαθὸν τῶν θεῶν εἶναι λέγειν ἐν τῇ τῶν θνητῶν τάξει τε καὶ προνοίᾳ, καὶ ταῦθ' ὁρῶντα πολλὰ τῶν ἐν τοῖσδε γενομένων οὐκ ἄξια τῆς θείας τάξεως. ἀλλ' εἰ τὰς οἰκείας τὸ θεῖον ἐνεργήσει ἐνεργείας τῆς τῶν θνητῶν σωτηρίας, οὐχ αὑτοῦ χάριν, παντάπασιν ἂν δόξειε τῶν θνητῶν εἶναι χάριν. ποιήσει δὲ τοῦτο κατὰ τοὺς ἐν τῷ προνοεῖν τὴν οὐσίαν αὐτοῦ τιθεμένους. τί γὰρ ἄλλο τὸ θεῖον ἔσται κατὰ τὸν γράφοντα 'ἐπεὶ τί τὸ καταλειπόμενον ἢ τῆς χιόνος, ἂν ἀφέλῃ τὸ λευκὸν καὶ τὸ ψυχρόν; τί δὲ πυρός, ἂν τὸ θερμὸν σβέσῃς, μέλιτος δὲ τὸ γλυκὺ καὶ τῆς ψυχῆς τὸ κινεῖσθαι καὶ τοῦ θεοῦ τὸ προνοεῖν;' εἰ γὰρ ἐν τῷ προνοεῖν τὸ εἶναι θεῷ κατὰ τὸν | οὕτω λέγοντά τε καὶ γράφοντα, πᾶν δὲ τὸ προνοοῦν προνοεῖ τινος, καὶ 130 ἔστι προνοεῖν τὸ τὰς οἰκείας ἐνεργείας ἐνεργεῖν χάριν τοῦ προνοουμένου, πᾶσα ἂν ἀνάγκῃ γένοιτο ἡ ὡς θεοῦ ἐνέργεια τῷ θεῷ χάριν τῶν προνοουμένων, ἢ πῶς σοι δοκεῖ;

Καὶ ὅς· τί γὰρ ἄλλο λέγει ὁ τὴν οὐσίαν τῶν θεῶν ἐν τῷ προνοεῖν τιθέμενος οὕτως, ὡς ἐν τῷ θερμῷ τὴν τοῦ πυρός;

Τί οὖν, ἔφην, οὐκ ἐν πᾶσιν ἀτελέστερα τὰ πρὸς τὸ τέλος συντελοῦντα τοῦ τέλους αὐτοῦ;

Πῶς γάρ, εἶπεν, ἄλλως;

Τί δ', οὐχὶ καὶ πᾶν τὸ τὰς οἰκείας αὑτῷ καὶ κατὰ φύσιν ἐνεργείας ἄλλου χάριν ἐνεργοῦν ἐκείνου χάριν ἀναγκαῖον εἶναι λέγειν, ἄλλως τε καὶ ἂν ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ τοιοῦτον ᾖ;

Πάνυ μὲν οὖν.

Ἀλλὰ μὴν τὸ τέλος ἄλλο τι πρόκειται, οὗ ποιεῖ χάριν ὃ ποιεῖ, καὶ ⟨ὃ⟩ ἐν τῇ οἰκείᾳ οὐσίᾳ ἔχει τὸ εἶναι ἄλλου χάριν, τοῦτ' ἀναγκαῖον ἀτελές τε εἶναι καὶ δεύτερον τιμῇ τούτου, οὗ χάριν ἐστίν.

Οὕτως, ἔφη.

Ἀναγκαῖον οὖν ἄρα τοῖς τοιαύτην εἶναι τὴν ἐκ τῶν θείων πρόνοιαν τῶν θνητῶν λέγουσιν ἀτελές τε τὸ θεῖον τῶν θνητῶν λέγουσι καὶ ὂν | τούτων χάριν, οὗ τί γένοιτ' ἂν ἀσεβέστερον ἢ ἀλλοτριώτερον τῆς τῶν θεῶν 131 οὐσίας τε καὶ προλήψεως;

Καὶ ὅς· ἀληθῆ μὲν λέγεις, εἶπεν, καὶ ἀνάγκη ταῦτά τε ἕπεσθαι τοῖς τοιαύτην καὶ οὕτως γίνεσθαι τὴν πρόνοιαν λέγουσι καὶ ἄλλα τούτοις παρα-

2 ὁρῶντα scripsi: ὁρῶν τὰ VFB^1S^1: ὁρῶντας B^2S^2a Sp. 3 γενομένων Sp.: γενομένοις libri θείας scripsi: οἰκείας libri 4 οὐχ αὑτοῦ B^2: οὐκ αὐτοῦ libri 5 δόξειε Sp.: δόξει libri τοῦτο scripsi: τούτου libri: τούτων coni. Sp. 6 κατὰ τοὺς scripsi: κατὰ τούτους VFB^1S^1: ⟨χάριν⟩ κατὰ τοὺς B^2S^2a Sp. 7 τὸν οὕτω γράφοντα Vict. Sp. ἢ τῆς Sp. („sed melius absunt"): ἤτισ sic V: εἴ τις GFV Vict.: ἤτις SB: ἤτις a 8 ἂν ἀφέλῃ Sp.: ἂν ἀφέληται V: ἀναφέληται FSa pr. et alt. τὸ om. a Sp. 9 τῆς om. a Sp. 10 alt. τὸ SFBa Sp.: τῷ V 13 ἀνάγκῃ scripsi: ἀνάγκη libri: del. Sp. (vel τὴν — ἐνέργειαν coni.) 14 εἶναι ἢ a Sp. 15 λέγει B Sp.: λέγοι Va 16 οὕτως Sp.: ὅπως libri 20 αὑτῷ Sp.: αὐτῷ V: αὐτῶν a 24 τὸ] fortasse ᾧ 25 ὃ add. B^2S^2a Sp. 26 τί μὴ a 29 ἀτελέστε τὸ VB^1S^1: ἀτελέστερον B^2S^2a Sp. alt. τῶν θνητῶν λέγουσι] expectas λέγειν

πλήσια. πολλὰ γὰρ τὴν ἀρχὴν οὐδὲ γνώσεως ἄξια εἶναι δόξει τῶν ἐνταῦθα γινομένων, μήτε ὑπὸ τῆς ἐκείνων γίνεσθαι προνοίας. ἄτοπον δ' ἂν ἕποιτο τοῖς ἀνατιθεῖσι μὲν πάντα τῇ προνοίᾳ, λέγουσι δὲ καὶ μόνον τὸ καλὸν ἀγαθόν, καὶ τοῦτ' ἐφ' ἡμῖν εἶναι τιθεμένοις, τινὸς ἀγαθοῦ τοῖς ἀνθρώποις κατ' αὐτοὺς † οἷόν τι γίνεσθαι τὴν θείαν πρόνοιαν, ἐν ᾗ τὸ εἶναι τοῖς θεοῖς φασιν εἶναι. διὸ τὸν μὲν περὶ τούτων λόγον ὑπερθώμεθα εἰς σχολὴν μακροτέραν, ὁ δέ γε νῦν ἡμῖν προκαταβεβλημένος λόγος ἀπαιτεῖν μοι δοκεῖ, τίνα τρόπον οὖν χρὴ γίνεσθαι λέγειν κατὰ Ἀριστοτέλη τὴν πρόνοιαν, ἐπεὶ μήτε καθ' αὑτὴν μήτε κατὰ συμβεβηκὸς αὐτήν φαμεν γίνεσθαι λέγειν, εἰσὶ δέ τινες παρὰ τούτους τρόποι προνοίας εὑρημένοι πλείους, ὧν τί φαμεν οἰκεῖον εἶναι τῶν θεῶν, ἀπαιτήσαι τις ἄν.

Κἀγὼ πρὸς αὐτόν· τί δέ, οὐ τὸ προκείμενον ἦν ἡμῖν δεῖξαι τὴν ἠρωτημένην ἐρώτησιν ὑπὸ τῶν προηγουμένως λεγόντων τὰ θεῖα προνοεῖν | τῶν ἐν γενέσει καὶ φθορᾷ ἢ κενήν γε οὖσαν καὶ μηδὲ τὴν ἀρχὴν ἀπο- 132 κρίσεως ἀξίαν, εἴ γε πλειόνων ὄντων τρόπων, καθ' οὓς οἷόν τε τὴν πρόνοιαν εἶναι λέγειν γίνεσθαι, ἧδε περὶ δύο μόνων ἐγίνετο, ὧν ἐδείχθη κατ' οὐδέτερον οἷόν τε γίνεσθαι τὴν ἐκ θεῶν ἐπιζητουμένην πρόνοιαν;

Ἦν μέν, ἔφη, τοῦτο, ἀλλ' ἐπεὶ ἱκανῶς παρέστησας, ὃν προεθέμην, πρὸς ἐκείνους λόγος ἐστί σοι πεπληρωμένος, ἡμῶν δὲ χάριν ἄξιόν σε τὰ τοῖς δεδειγμένοις ἀκόλουθα προσθεῖναι. εἰ γὰρ φαίνοιτο κατὰ τὴν ὑπ' Ἀριστοτέλους λεγομένην πρόνοιαν ἀναιρούμενα ταῦτα, ἃ ταῖς προειρημέναις δόξαις ἕπεσθαι δέδεικται, εἴη ἂν οὐ μικρὸν καὶ τοῦτο μαρτύριον γινόμενον εἰς τὴν τῆς δόξης ὡς ἀληθοῦς σύστασιν.

Ἔστι μέν, εἶπον, οὐ ῥᾴδιος ὁ περὶ τῶν τοιούτων λόγος, καὶ μάλιστ' ἐπεὶ μὴ [ἐπὶ] τῶν πρὸ ἡμῶν ἔργον τις ἐποιήσατο τοῦτο δεῖξαι· οὐδεὶς γοῦν δόξει, ὅσα κἀμὲ εἰδέναι μὴ προηγουμένως, τῶν προαγόντων τὸν Ἀριστοτέλους λόγον περὶ τούτου τοῦ προβλήματος διειληφέναι, ὡς δεῖξαι τοῖς ὑφ' αὑτοῦ λεγομένοις συνᾴδοντα ⟨τὰ⟩ ὑπ' Ἀριστοτέλους εἰρημένα. ἀλλ' ἐπεὶ σύ τε ἀξιοῖς ἡμᾶς τε καλῶς ἔχειν ὑπολαμβάνω, ἐφ' ὅσον οἷοί τέ ἐσμεν περὶ αὐτοῦ διαλαβεῖν, ἐπὶ τοσοῦτον προαγαγεῖν τὸν λόγον, ἄμεινον ἡγουμένῳ 133 τὸ κἂν ἐπ' ὀλίγον εὐπορῆσαι τῶν περὶ αὐτοῦ λέγεσθαι δυναμένων, ἢ φόβῳ τοῦ ἂν μὴ δυνηθῆναι τέλος ἐπιθεῖναι τῷ προβλήματι, καὶ τῶν ὀλίγων ἀποστῆναι, οὐκ ὀκνητέον πρὸς αὐτό. πειράσομαι δ' ὁμοῦ τῷ περὶ τούτων λόγῳ καὶ τοὺς τὰ Πλάτωνος μὲν ὑπισχνουμένους, σφόδρα δὲ πεπεικότας

2 μήτε] nisi plura exciderunt, legas μηδὲ (vel μήτι γε Schwartz) 5 οὐχ οἷον B^{2}S^2 a Sp. τι VB^{1}S^1: ται B^2: τῷ S^{2}a: τε Vict. Sp. 10 λέγειν ⟨δεῖν⟩ Schwartz 11 τί] τίνα a Sp. 12 δέξαι a 14 καὶ κενήν γε B^2: κενήν τε coni. Sp. 16 εἶναι suspectum Sp. ἧδε Sp.: ἡ δὲ B^2: εἰ δὲ VB^{1}Sa 17 ἐπιζητουμένην] ου in lit. V 18 παρέστησας punctis notat B^2: παρέστησα Vict. ὃ προεθέμην ⟨ὁ μὲν⟩ Schwartz προεθούμην a: προεθείμην Vict. 24 μὲν ὡς εἶπον a Sp. 25 ἐπὶ del. S^2: om. a Sp. 26 προηγουμένως ⟨σκεψάμενον⟩ Schwartz recte 28 τὰ ὑπὸ B^{2}S^{2}a Sp.: ὑπὲρ VGB^{1}S^1 28. 29 σύ τε] οὔτε a 30 ἡγουμένῳ] ἡγοῦμαι B^{2}S^{2}a Sp. ab isdem perperam οὐκ ὀκνητέον πρὸς αὐτό interlocutori tribuitur additurque ἄρα post ὀκνητέον 32 τοῦ Diels: τῷ libri 33 ὅμου V

ἑαυτοὺς ὡς μηδὲν Ἀριστοτέλους περὶ προνοίας εἰρηκότος, δεικνύναι ὅτι μηδὲν μετ' ἐπιστάσεώς τε καὶ φροντίδος λέγουσιν.

XXII. Ἐξήγησις λέξεως ἐκ τοῦ δευτέρου Περὶ γενέσεως καὶ φθορᾶς Ἀριστοτέλους ἄλλως ἔχουσα παρὰ τὴν ἐν τῷ εἰς αὐτὸ ὑπομνήματι· ἡ δὲ λέξις ἐστὶν ἥδε· "εἰ μὲν οὖν εἰς ἄπειρον εἰσιν ἐπὶ τὸ κάτω, οὐκ ἔσται ἀνάγκη τὸ ὕστερον τόδε γενέσθαι ἁπλῶς, ἀλλ' ἐξ ὑποθέσεως· ἀεὶ γὰρ ἕτερον ἔμπροσθεν ἀνάγκη ἔσται, δι' ὃ ἐκεῖνο ἀνάγκη γενέσθαι".

Εἰ ἐν οἷς τὸ ὕστερον ἐξ ἀνάγκης, ⟨ἐν⟩ ἐκείνοις μόνοις ἀληθὲς δειχθείη τὸ 'εἰ τὸ πρῶτον, ἐξ ἀνάγκης τὸ ὕστερον', ἐπὶ δὲ τῆς εἰς ἄπειρον γενέσεως 134 οὐκ ἔστι τὸ ὕστερον ἐξ ἀνάγκης τῷ μηδὲ γίνεσθαι τὸ αὐτό, οὐδ' ἂν πρὸ τοῦ ἐσχάτου γινομένου ἁπλῶς ἄν τι ἐξ ἀνάγκης γίνοιτο τῷ μόνως τὰ μεταξὺ τοῦ τελευταίου τὸ ἀναγκαῖον ἁπλῶς ἔχειν παρὰ τοῦ τέλους, εἰ τοῦτο ἁπλῶς τὸ γινόμενον ἐξ ἀνάγκης. εἰ γὰρ ἐκεῖνο ἐξ ἀνάγκης ἁπλῶς, τότε καὶ τὰ πρὸ αὐτοῦ ἐξ ἀνάγκης ἔσται. τῶν μεταξὺ † τοῦ τε ἐπ' ἄπειρον γινομένου ἕκαστον ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον ἔχον. εἰ γὰρ τὸ μὲν ταὐτὸ ἔσται, δεῖ καὶ τοῦτο ὂν πρὸ αὐτοῦ, καὶ ὁμοίως πάλιν ἐκεῖ τὸ ἀναγκαῖον ἕξει † γὰρ ἐκεῖνο ἔσται ἐξ ἀνάγκης, εἰ τὸ μετὰ τοῦτο, καὶ οὕτως προϊόντων, ἐπεὶ μηδὲν ἔσχατόν ἐστι τοῦ ἀπείρου ἐξ ἀνάγκης μέλλοντος γίνεσθαι, ἁπλῶς ἐξ ἀνάγκης ἐγίνετο καὶ τὰ πρὸ αὐτοῦ, οἷς πάλιν ἐξ ἀνάγκης γινομένοις εἵπετο καὶ τὸ τελευταῖον ἐξ ἀνάγκης γίνεσθαι, εἰ τὰ πρῶτα. οὐκέτ' ἐπὶ τῶν οὕτω γινομένων ἔσται λαβεῖν τὴν τοιαύτην ἀκολουθίαν τὴν εἰ τὸ πρῶτον, ἐξ ἀνάγκης τὸ ὕστερον. τὸ δὲ 'ὥστε εἰ μὴ ἔστιν ἀρχὴ τοῦ ἀπείρου, οὐδὲ τὸ πρῶτον ἔσται, δι' ὃ ἀναγκαῖον ἔσται γενέσθαι', ἴσον ἐστὶ τῷ 'ὥστε εἰ μὴ ἔστι τέλος τοῦ ἀπείρου'· ἀρχὴν γὰρ νῦν τὸ τέλος εἶπεν, ἐπεὶ ἀπὸ τοιούτου ἀρχή, εἰ ἀναγκαίως γίνοιτο τὸ καὶ τὰ πρὸ αὐτοῦ πάντα ἐξ ἀνάγκης ὀφείλειν γίνεσθαι. εἰ δὲ | μὴ ἔστι τοῦτο, 135 οὐδὲ ἡ ἀκολουθία αὕτη ἐπ' αὐτοῦ ἀληθής ἐστιν ἡ λέγουσα, εἰ τὸ πρῶτον τὸ ὕστερον, τῷ τὴν τοιαύτην ἀκολουθίαν ἀληθῆ γίνεσθαι ἐν οἷς ἐστί τι ἔσχατον ἐξ ἀνάγκης γινόμενον τῷ ἕπεσθαι τοῦτο τῷ ἐξ ἀνάγκης γινομένῳ τὰ καὶ πρὸ αὐτοῦ ἐξ ἀνάγκης τε γίγνεσθαι καὶ ἀληθὲς εἶναι ἐφ' ἑκάστου αὐτῶν τὸ εἰ τὸ πρῶτον, καὶ τὸ ὕστερον. ἀνάγκη γάρ, εἰ μέλλοι ἡ τοιαύτη ἀκολουθία ἀληθὴς ἔσεσθαι, εἶναί τι πέρας ἐν τοῖς λαμβανομένοις. ὅτι δ' ἀρχὴν καὶ τὸ πέρας λέγει, ἔδειξεν δι' ὧν μετ' ὀλίγον εἶπεν οὕτως·

---

3 Περὶ γενέσεως καὶ φθορᾶς] II 11. 337b25   6 pr. τὸ] ο in lit. V   εἰσιν V   τὸ Arist.: τῶν libri   8 διὸ καὶ ἐκεῖνο Vict.   9 ἐν add. a Sp.   δειχθείη τὸ coni. Sp.: δειχθῇ τὸ (ι subscr. v. c.) V: δειχθῆτο a   10 εἰ τὸ s. v. V   13 ἁπλῶς suspectum   εἰ Sp.: εἴη sic V: εἴη a   14 τὸ suspectum   15 τε del. Sp.   17 ἐκεῖ τὸ V: ἔκειτο Sa: ἐκεῖνο τὸ Vict. Sp.   18 ἕξει] ει s. v. V   ⟨καὶ⟩ γὰρ Sp.   21 τὰ V   23 pr. εἰ Sp.: εἰς libri   24 τὸ πρῶτον ἔσται] πρῶτον ἔσται οὐδὲν Arist.   26 εἰ Sp.: εἴη sic V: εἴη a   τὸ καὶ τὰ Sp.: τοῦ καὶ τὸ libri   28 ἀληθής] ἀληθὲς Sp.   30 τῷ ἐξ] τὸ ἐξ a   οὕτως] l. c. 338a6

'τούτων δ' εἴπερ ἔσται ἀίδιος, οὐκ εἰς εὐθὺ οἷόν τε διὰ τὸ μηδαμῶς εἶναι ἀρχὴν μήτ' ἂν κάτω, ἐπὶ τῶν ἐσομένων λαμβανομένων, μήτ' ἂν ἄνω ἐπὶ τῶν γινομένων'. τὸ γὰρ 'μήτ' ἂν κάτω ἐπὶ τῶν ἐσομένων' τῆς ὡς πέρατος ἀρχῆς ἐστι δηλωτικόν. τὴν μὲν οὖν κάτω δεῖ εἶναι ἀρχήν, εἰ μέλλοι τὸ ἁπλῶς ἀναγκαῖον ἕξειν τὰ γινόμενα, ὅτι τῷ τοῦτο ὑποκεῖσθαι ἁπλῶς ἀναγκαίως ἔσεσθαι τούτῳ ἀληθὲς ἐγίνετο, εἰ τὸ πρῶτον ἐξ ἀνάγκης, καὶ τὸ ὕστερον, τὴν δὲ ἄνω, ὅτι οὕτω δυνησόμεθα λαβεῖν τὸ εἰ τὸ πρῶτον τὸ ὕστερον. |

XXIII. Περὶ τῆς Ἡρακλείας λίθου, διὰ τί ἕλκει τὸν σίδηρον. 136

Ἐμπεδοκλῆς μὲν ταῖς ἀπορροίαις ταῖς ἀπ' ἀμφοτέρων καὶ τοῖς πόροις τοῖς τῆς λίθου συμμέτροις οὖσιν ταῖς ἀπὸ τοῦ σιδήρου τὸν σίδηρον φέρεσθαι λέγει πρὸς τὴν λίθον· αἱ μὲν γὰρ τούτου ἀπόρροιαι τὸν ἀέρα τὸν ἐπὶ τοῖς τοῦ σιδήρου πόροις ἀπωθοῦσί τε καὶ κινοῦσι τὸν ἐπιπωματίζοντα αὐτούς· τούτου δὲ χωρισθέντος ἀθρόᾳ ἀπορροίᾳ ῥεούσῃ τὸν σίδηρον ἕπεσθαι· φερομένων δὲ τῶν ἀπ' αὐτοῦ ἀπορροιῶν ἐπὶ τοὺς τῆς λίθου πόρους, διὰ τὸ συμμέτρους τε αὐτοῖς εἶναι καὶ ἐναρμόζειν καὶ τὸν σίδηρον σὺν ταῖς ἀπορροίαις ἕπεσθαί τε καὶ φέρεσθαι. ἐπιζητήσαι δ' ἄν τις, εἰ καὶ συγχωρηθείη τὸ τῶν ἀπορροιῶν, τί δήποτε ἡ λίθος οὐχ ἕπεται ταῖς ἰδίαις ἀπορροίαις, κινεῖται δὲ πρὸς τὸν σίδηρον. οὐδὲν γὰρ μᾶλλον ἐκ τῶν εἰρημένων ἡ λίθος πρὸς τὸν σίδηρον ἢ ὁ σίδηρος κινηθήσεται πρὸς τὴν λίθον. ἔτι διὰ τί οὐ καὶ χωρὶς τῆς λίθου κινηθήσεταί ποτε σίδηρος ἐπ' ἄλλο τι τῶν ἀπ' αὐτοῦ ἀπορροιῶν ἀθρόων φερομένων. διὰ τί γὰρ μόναι αἱ ἀπὸ τῆς λίθου ἀπόρροιαι κινεῖν δύνανται τὸν ἐπιπωματίζοντα τοὺς τοῦ σιδήρου πόρους ἀέρα καὶ ἐπέχοντα τὰς ἀπορροίας; ἔτι διὰ τί ἄλλο οὐδὲν πρὸς ἄλλο τι οὕτω φέρεται, καίτοι πολλὰ λέγεται ὑπ' αὐτοῦ συμμέτρους τοὺς πό|ρους 137 πρὸς ἀλλήλας ταῖς ἀπορροίαις ἔχειν; λέγει γοῦν 'ὕδωρ οἴνῳ μᾶλλον ἐναρίθμιον, αὐτὰρ ἐλαίῳ οὐκ ἐθέλει'. ἀλλ' οὐ φέρεται τούτων οὐδέτερον πρὸς ἕτερον. ὁ Δημόκριτος δὲ καὶ αὐτὸς ἀπορροίας τε γίνεσθαι τίθεται καὶ τὰ ὅμοια φέρεσθαι πρὸς τὰ ὅμοια, ἀλλὰ καὶ εἰς τὸ κοινὸν πάντα φέρεσθαι. ταῦθ' ὑποθέμενος λαμβάνει τὸ τὴν λίθον καὶ τὸν σίδηρον ἐξ ὁμοίων ἀτόμων συγκεῖσθαι, λεπτοτέρων δὲ τὴν λίθον καὶ † ὅτι εἶναι ἀραιοτέραν τε καὶ πολυκενωτέραν αὐτὴν εἶναι, καὶ διὰ τοῦτ' εὐκινητοτέραν θᾶττον ἐπὶ τὸν

---

1 δ' εἴπερ ἔσται Vict. Arist. Sp.: δὲ περεσθαι sic V: δέ περ εσθαι sic B: δέ περ ἔσεσθαι S^1: δ' εἴπερ ἔσθαι B^2: δ' ἐπερέσθαι GF: δ' εἴπερ ἔσεσθαι S^2a   2 κάτω ὡς ἐπὶ Vict. ex Arist. vulg.   2 διαλαμβάνομεν Vict. cf. Arist. vulg.   4 ⟨μὴ⟩ εἶναι coni. Sp.   6 τούτῳ] τοῦτο coni. Sp.   ⟨τὸ⟩ εἰ Schwartz   7 ἄνω μὴ ὅτι Vict. ut videtur Sp.   11 τῆς om. a Sp.   ταῖς] τοῖς B^2S^2a Sp.   12 τούτου] ταύτης B^2S^2a Sp.   22 αὐτοῦ B^2S^2a Sp.: αὐτῆς V(ῆ puncto notatum)GB^1S^1 26 λέγει Sp.: λέγεις libri (cf. v. 284 St.)   28 δὲ v. c. V Sp.: τε V^1GSa   29 κενὸν Diels   30 λαμβάνει Sp.: λαμβάνειν libri   τὸν s. v. V   31 λεπτοτέραν coni. Sp.   καὶ ὅτι εἶναι VS^1B^1: καὶ τῷ εἶναί B^2: καὶ τὸ εἶναι S^2a: εἶναι καὶ coni. Sp.: καὶ ἐκείνου Diels   32 fortasse εὐκινητότερα   θᾶττον] τἄτομα Diels

σίδηρον φέρεσθαι (πρὸς γὰρ τὰ ὅμοια ἡ φορά), καὶ ἐνδυόμενα εἰς τοὺς πόρους τοῦ σιδήρου κινεῖν τὰ ἐν ἐκείνῳ σώματα διαδυόμενα δι' αὐτῶν διὰ λεπτότητα, τὰ δὲ κινηθέντα ἔξω τε φέρεσθαι ἀπορρέοντα καὶ πρὸς τὴν λίθον διά τε ὁμοιότητα καὶ διὰ τὸ κενὰ ἔχειν πλείω, οἷς ἑπόμενον τὸν σίδηρον διὰ τὴν ἀθρόαν ἔκκρισίν τε καὶ φορὰν φέρεσθαι καὶ αὐτὸν πρὸς τὴν λίθον. οὐκέτι δὲ ἡ λίθος πρὸς τὸν σίδηρον φέρεται, ὅτι μὴ ἔχει τοσαῦτα ὁ σίδηρος κενὰ ὅσα ἡ λίθος. ἀλλὰ τὸ μὲν τὴν λίθον καὶ τὸν σίδηρον ἐξ ὁμοίων συγκεῖσθαι δέξαιτ' ἄν τις, πῶς δὲ καὶ τὸ ἤλεκτρον καὶ τὸ ἄχυρον; † ὅτι δὲ καὶ ἐπ' ἐκείνων λέγεται ταύτην τὴν αἰτίαν, ἔτι πολλὰ ἑλκόμενα ὑπὸ τοῦ | ἠλέκτρου, οἷς πᾶσιν εἰ ἐξ ὁμοίων σύγκειται, κἀκεῖνα ἐξ ὁμοίων ἀλλήλοις 138 συγκείμενα ἕλκοι ⟨ἂν⟩ ἄλληλα. Διογένης δὲ ὁ Ἀπολλωνιάτης πάντα τὰ ἐλατά φησιν καὶ ἀφιέναι τινὰ ἰκμάδα ἀφ' αὐτῶν πεφυκέναι καὶ ἕλκειν ἔξωθεν, τὰ μὲν πλείω, τὰ δὲ ἐλάττω, πλείστην δὲ ἀφιέναι χαλκόν τε καὶ σίδηρον, οὗ σημεῖον τό τε ἀποκαίεσθαί τι καὶ ἀπαναλίσκεσθαι ἀπ' αὐτῶν ἐν τῷ πυρί, καὶ τὸ χριόμενα αὐτὰ ὄξει καὶ ἐλαίῳ ἰοῦσθαι· τοῦτο γὰρ πάσχειν διὰ τὸ ἕλκειν ἐξ αὐτῶν τὴν ἰκμάδα τὸ ὄξος. † τὸ γὰρ τὸ πῦρ καίειν ἂν καίειν αὐτῷ· τῷ δὲ εἰσδυόμενον εἰς ἕκαστον ἕλκειν τε καὶ ἀναλίσκειν τὸ ἐν αὐτοῖς ὑγρόν. τοῦ σιδήρου ἕλκοντός τε καὶ πλεῖον ἀφιέντος ὑγρὸν τὴν λίθον οὖσαν ἀραιοτέραν τοῦ σιδήρου καὶ γεωδεστέραν πλεῖον ἕλκειν τὸ ὑγρὸν τὸ ἀπὸ τοῦ παρακειμένου ἀέρος ἢ ἀφιέναι. τὸ μὲν οὖν συγγενὲς ἕλκουσαν ἐν αὑτῇ δέχεσθαι, τὸ δὲ μὴ συγγενὲς ἀπωθεῖν. εἶναι δ' αὐτῇ συγγενῆ τὸν σίδηρον, διὸ τὸ ἀπὸ τούτου ἕλκειν τε καὶ δέχεσθαι ἐν αὑτῇ, καὶ διὰ τῆς τούτου ἕλξεως καὶ τὸν σίδηρον ἐπισπᾶσθαι διὰ τὴν ἀθρόαν ἕλξιν τοῦ ἐν | αὐτῷ 139 ὑγροῦ, μηκέτι δὲ τὸν σίδηρον ἕλκειν τὴν λίθον ⟨τῷ⟩ μηδ' οὕτως εἶναι τὸν σίδηρον ἀραιὸν ὡς δέχεσθαι δύνασθαι ἀθρόαν τὴν ἀπ' αὐτῆς ὑγρότητα. ἀλλ' εἰ τοῦτο, διὰ τί μόνη ἡ λίθος ἕλκει τὸν σίδηρον, τῶν δ' ἄλλων οὐδὲν τὸ συγγενές, οἷον χαλκὸς καὶ μόλιβδος; ἀφίησι γὰρ καὶ ταῦτα ὑγρὸν καὶ ἕλκει, καὶ συγγενῆ τινα καὶ τούτοις ἐστίν, ὥσπερ καὶ τοῦ σιδήρου ἡ λίθος. ἔτι διὰ τί οὐ καὶ ἄλλα τινὰ ἡ λίθος ἕλκει τῶν στερεῶν, ἃ ἀφίησι πλείονα ἰκμάδα, ὧν καὶ ὁ χαλκός ἐστιν; οὐ γὰρ διότι. ἐμμένει τὰ ἑλκόμενα διὰ τὴν συμμετρίαν ἕπεται τὸ ἀφ' οὗπερ ῥεῖ τὸ ἑλκόμενον, ἀλλὰ

2 κινεῖν Sp.: κινεῖ libri 4 οἷς B^2a Sp.: οἶδ' VB^1F: οἷς δ' S^2: οἱ δ' S^1 6 ἔχει] ι puncto notatum V 8 καὶ scripsi: εἰς libri post ἄχυρον posui sign. interr., post αἰτίαν libri 9 ὅτι] εἰ Schwartz δὲ om. a Sp. λέγεται] λέγει a Sp. 10 οἷς] ὡς coni. Sp. πᾶσιν εἰ VB^1F: πᾶσιν S^1: εἰ πάντα B^2S^2a: εἰ πάντα ἃ coni. Sp. 11 ἂν addidi δὲ Sp.: τε libri cf. 72,28 16 τῷ γὰρ Sp. coni. alt. τὸ del. Panzerbieter *(Diog. Apoll. p. 98)* καίειν αν καίειν sic V: καίειν ἂν καίειν FGB^1S^1: καίειν τὴν ἐν αὐτῷ ἰκμάδα ἂν καίειν (ἰκ. ἀποκαίειν Sp. ἰκ. ἀνακαίειν vir doctus apud Sp.) B^2S^2a Sp. τῷ VS^1FG: τὸ BS^2a Sp. αὐτὰ τὸ δὲ ⟨ὄξος⟩ εἰσδυόμενον vir doctus apud Sp.; fortasse καὶ γὰρ τὸ πῦρ καίειν ἃ καίει αὐτῶν τῷ [δὲ] 17 αὑτῷ B^2S^2a Sp. τοῦ] καὶ vel ὥστε τοῦ vir doctus apud Sp. 20 ἢ ἀφιέναι] ἢ ἀ in lit. V 21 τὸ δὲ Panzerbieter: τότε libri 22 διὸ scripsi: διὰ libri διὸ— τούτου] διὰ τοῦτο Panzerbieter: διὰ τοῦτο ⟨τὸ ὑγρὸν⟩ Sp. coni. 24 τῷ add. B^2S^2a Sp. μηδ' scripsi: μήθ' libri: μὴ Sp. τῷ σιδήρῳ Diels 29 οὐ καὶ ἄλλα B: οὐχὶ ἄλλα sic V: οὐχ ἄλλα GSFa Sp.

διότι ἕλκεται, καὶ εὐλογώτερόν γε, ὧν μηδὲ ἐμμένει ἐν τῷ ἕλκοντι ἰκμὰς ἀλλὰ παραπέμπεται, ταῦτα μᾶλλον κινεῖσθαι. καὶ γὰρ πλεῖον ἀπὸ τούτων εἰκὸς ἕλκεσθαι τῷ τὸ ἑλκόμενον ἐν ἑαυτῷ μηδὲ πληρούμενον ὑπ' αὐτοῦ, ἀλλ' ὅμοιον μένον ἕλκειν. ὁμοίως δὲ καθόλου ἀναγκαῖον τὸν περὶ τούτου λέγοντα πρῶτον ἐζητηκέναι, τίς ὁ τῆς ὁλκῆς τρόπος. ἕλκει γὰρ τὰ μὲν βίᾳ καὶ ἁφῇ· ταῦτα αὐτὰ κινούμενα κινεῖ. οὐχ οὕτως δὲ ἡ λίθος· ἀκίνητος γάρ. καὶ οὔτε τοῦ σιδήρου ἁπτομένη, οὔτε σπῶσα τὸν μεταξὺ ἀέρα ἢ τὸ ὕδωρ ἐπισπᾶται αὐτὸν δι' αὐτῶν. καὶ γὰρ ἂν τὰ ἐπιπολάζοντα ἐν αὐτῷ καὶ κουφότερα ἕλκοι | τῷ ἐπισπᾶσθαι τὸν μεταξὺ ἀέρα, ⟨ὡς⟩ τῷ θερμῷ τῷ 140 ἐν αὐτοῖς τὸ ἤλεκτρον καὶ ἡ σικύα. οὐχ οὕτως ἐκείνη. ἐν ἐκείνοις γὰρ τὸ πῦρ κινούμενον καὶ ἐξιὸν σπᾷ τὸ παρακείμενον ὑγρὸν καὶ ἁπτόμενον ὡς σπωμένῳ τὸ συνεχὲς ἐφέλκεται, ἡ δὲ λίθος τὸν σίδηρον μόνον. εἰ γὰρ ἔσπα τὸν μεταξὺ ἀέρα, ἐφέρετ' ἂν πάντα τὰ ἐν τῷ ἀέρι κουφότερα τοῦ σιδήρου ἐπὶ τὴν λίθον πρῶτα τοῦ σιδήρου. ἕλκειν δοκεῖ καὶ ἡ ὑστέρα τὰ σπέρματα καὶ αἱ φλέβες καὶ τὰ μέλη τὴν τροφήν. οὐχ οὕτως δὲ ἡ λίθος ἕλκει τὸν σίδηρον. καὶ γὰρ τούτων ὅσα ἕλκει τῷ τὸν ἀέρα καὶ τὸ ὑγρὸν σπᾶν πρῶτον ⟨τὸ⟩ μεταξὺ τοῦτο ποιεῖ κατὰ συμβεβηκός. ἕλκειν δοκεῖ καὶ ὁ ἥλιος τὸ ὕδωρ (μεταβάλλον γὰρ διὰ τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα ἀναφέρεται εἰς τὸν κατὰ φύσιν αὐτῶν τόπον, ὅς ἐστιν ἄνω ἔνθα καὶ ὁ ἥλιος) οὐχ ὡς ἡ λίθος· οὐ γὰρ μεταβάλλει τὸν σίδηρον. ἕλκει καὶ τὴν τροφὴν τὸ ζῷον καὶ πᾶν τὸ ἐπιθυμητὸν καὶ ὀρεκτὸν οὐ τῷ ποιεῖν τὸ μεταξὺ αὐτοῦ ⟨καὶ τοῦ⟩ ὀρεγομένου ὅμοιον ἑαυτῷ (οὐ γὰρ τροφὴ γίνεται τὸ μεταξύ, οὐδ' ἕλκεται τοῦτο), ἀλλὰ κινηθὲν τὸ μεταξὺ ὑπὸ τοῦ ὀρεκτοῦ ⟨δια⟩δίδωσι τὸ εἶδος ἐπὶ τὸ κινούμενον, ὡς ἐπὶ τοῦ ὁρᾶν γίνεται. οὕτως καὶ ὁ σίδηρος ἐπὶ τὴν λίθον φέρεται, οὐχ ἑλκούσαν αὐτὸν βίᾳ πρὸς ἑαυτήν, ἀλλ' ἐφέσει τούτου οὗ ἐνδεὴς μέν ἐστιν αὐτός, ἔχει δ' αὐτὸ ἡ λίθος· δοκεῖ γὰρ καὶ ἡ λίθος σιδηρῖτις εἶναι, | ἐξικμασμένη μέντοι ἤδη ἤτοι ὑπὸ χρόνου ἢ 141 ὑπό τινος ἄλλης αἰτίας. οὐ μόνον γὰρ τὰ αἴσθησιν ἔχοντα καὶ τὰ ἔμψυχα ἐφίεται τοῦ κατὰ φύσιν ἑαυτοῖς, ἀλλ' οὕτω πολλὰ καὶ τῶν ἀψύχων ἔχει.

XXIV. Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου Περὶ ψυχῆς Ἀριστοτέλους μετ' ὀλίγον τῆς ἀρχῆς εἰρημένης· "λέγομεν δὴ γένος ἕν τι τῶν ἄλλων ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ

---

1 ἐμμένει Panzerbieter: ἐμμένειν libri ἡ ἰκμὰς a Sp. 2. 3 ἀπὸ τούτων εἰκὸς corr. ex εἰκὸς ἀπὸ τούτων V 3 ἑαυτῷ ⟨μὴ κατέχειν⟩ Schwartz 4 μένον Sp.: μένειν libri 6 βίᾳ Sp.: βία libri ἁφῇ Sp.: ἀφὴ V: ἄφη a ταῦτα αὐτὰ scripsi: ταῦτα τὰ VGSa: ταῦτα F: ἃ καὶ αὐτὰ Sp.: ἃ (ἃς?) καὶ τὰ Vict. 7 ἡ Vict. Sp.: εἰς VSBa 8 ἀν sic V 9 ἕλκοι Vict. Sp.: ἕλκει libri ὡς addidi 10 οὐχ Sp.: οὐδ' libri οὕτω δὲ coni. Sp. ἐκείνη Sp.: ἐκεῖνος libri 12 σπωμένῳ] σπώμενον a Sp. 17 τὸ add. B^2S^2a Sp. 19 αὐτῶν] αὐτοῦ a Sp. 20 ὡς] οὕτως Sp. 21 οὐ τῷ ποιεῖν Vict.: οὕτω ποιεῖ libri 22 καὶ add. B^2S^2a Sp. τοῦ add. Diels 23 διαδίδωσι Diels: δίδωσι libri 27 σιδηρίτισ V ἐξικμασμένη scripsi: ἐξικασμένης V: ἐξ ἰκασμένης a Sp. 31 δευτέρου] de an. II, 1. 412^{a}6 33 ἄλλων del. Vict., om. Arist. Sp.

καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε ⟨τι, καὶ⟩ τρίτον ⟨τὸ ἐκ τούτων.⟩"

⟨Εἰ ἡ⟩ ὕλη καθ' αὑτὴν οὐκ οὖσα τόδε τι, καθὰ τὴν μορφὴν καὶ τὸ εἶδος ἂν δέξηταί τε καὶ σχῇ, ἤδη λέγεται τόδε, ἀπὸ τοῦδε τοῦ εἴδους ἑκάστῳ τῶν ἐνύλων τὸ εἶναι τούτῳ. ἐπὶ μὲν οὖν τῶν ἁπλῶν τε καὶ πρώτων σωμάτων οὐδ' ὅλως καθ' αὑτὴν ἡ ὕλη τόδε τι τῷ τὴν πρώτην καὶ κυρίως ὕλην τούτοις προσεχῶς ὑποκεῖσθαι, ἐπὶ δὲ τῶν συνθέτων σωμάτων, ἐπεὶ τούτοις μηκέτι προσεχῶς ὑποκείμενον ἡ πρώτη τε καὶ κυρίως | ὕλη, 142 ἀλλ' ἔστιν ἡ ὕλη σώματα τούτοις ὑποκείμενα, εἴ γε τὰ καλούμενα στοιχεῖα ἡ τούτων ὕλη, ἔσται μὲν ἡ τούτων ὕλη τόδε τι, οὐ μὴν τὸ γενόμενον ἐξ αὐτῶν τὸ εἶναι τοῦτο ὃ γέγονεν ἀπὸ τῆς ὕλης ἔχει καὶ τοῦ ἐκείνης εἴδους, ἀλλ' ἀπὸ τοῦ εἴδους τοῦ γεγονότος ἐν τῇ ποιᾷ συνθέσει τε καὶ μίξει τῶν ὑποκειμένων αὐτῷ σωμάτων. οὐ γὰρ ἐπεὶ πῦρ καὶ ἀήρ, ὕδωρ καὶ γῆ ὕλη σαρκί, ἡ σὰρξ ἀπὸ τούτων σὰρξ καλεῖταί τε καὶ ἔστιν, ἀλλ' ἀπὸ τοῦ γεγονότος ἐν αὐτοῖς εἴδους, καθ' ὃ τὸ εἶναί ἐστι τῇ ἐξ αὐτῶν γεγονυίᾳ σαρκί. οὐδὲ γὰρ τὴν ἀρχὴν ἐκεῖνα ἐν τῇ σαρκὶ ἔτι σώζεται. ἀλλ' ὥσπερ ἐπὶ τῆς τῶν ἁπλῶν γενέσεως σωμάτων ἡ ὑποκειμένη ὕλη αὐτοῖς, αὕτη δ' ἦν ἡ πρώτη, οὐκ ἦν μὲν αὐτὴ καθ' αὑτὴν τόδε τι, ἦν μέντοι ἐν ὑποστάσει ἐπ' ἄλλου τινὸς εἴδους οὖσα, καὶ κατ' ἐκεῖνο τόδε τι οὖσα (τὸ γὰρ γινόμενον πῦρ κατὰ μεταβολὴν τῆς ὕλης γίνεται ἀποβαλλούσης μὲν τὸ προϋπάρχον εἶδος ἐν αὐτῇ, μεταβαλλούσης δὲ εἰς τὸ τοῦ πυρός, καὶ οὐχ ὅτι ἐξ ἀέρος, ἂν οὕτω τύχῃ, ἡ μεταβολὴ αὕτη, τὸ πῦρ κατὰ τὸν ἀέρα τὸ εἶναι ἔχει, ὥς γε οὐδ' ὕλης εἰς τὸ πῦρ μεταβολή), οὕτως οὐδὲ τὰ σύνθετα σώματα, οἷς ἤδη προσεχὴς ὕλη τόδε τί ἐστιν, τόδε τι εἶναι ἔχει ἀπό του τῶν ὑποκειμένων αὐτοῖς σωμάτων εἴδους, ἀλλ' ἀπὸ τοῦ ἐξ ἐκείνων τε καὶ ἀπ' ἐκείνων γενομένου. διὸ κατὰ παντὸς μὲν ἀληθές | ἐστιν τὸ πᾶσαν 143 συναμφότερον οὐσίαν ἀπὸ τοῦ εἴδους ἔχειν τὸ εἶναι τοῦτο ὅ ἐστι, τούτου δ' οὕτως ἔχοντος ἀληθὲς καὶ ὃ καθ' ἑκάστην τῶν συναμφοτέρων οὐσιῶν τό τε εἶναι καὶ τὸ λέγεσθαί ἐστι, τοῦτ' αὐτῶν εἶδος εἶναι, ὥστ' ἐπεὶ καὶ τὸ ζῷον συναμφότερος οὐσία καὶ τῷ ζῴῳ αὐτῷ εἶναί τε καὶ λέγεσθαι παρὰ τῆς ψυχῆς τε καὶ κατὰ τὴν ψυχήν ἐστιν, εἶδος ἂν εἴη ἡ ψυχὴ τῶν ζῴων, οὕτως δὲ καὶ τῶν ἄλλων τῶν παρὰ τὰ ζῷα ἐμψύχων. ὅτι δὲ εἶδος ἡ ψυχή, ἔδειξεν ὁδῷ χρησάμενος τοιαύτῃ. ἐπεὶ τῆς οὐσίας ἡ μέν ἐστιν ὕλη, ἡ δὲ εἶδος, ἡ δὲ συναμφότερος, καὶ ἔστιν ἡ μὲν συναμφότερος ἐξ ὕλης τε καὶ εἴδους ἔχουσα τὸ τόδε ⟨τι⟩ οὐ παρὰ τῆς ὕλης, ἀλλὰ παρὰ τοῦ

1 μορφὴν Sp. ex Arist.: μορφὴ libri 2 τι καὶ et ἐκ τούτων suppl. Vict. ex Arist. (sed hic τὸ ἐκ) 3 ⟨εἰ ἡ⟩ ὕλη scripsi: ἡ ὕλη Vict.: ἤδη libri οὐκ om. a καθὰ] κατὰ Vict. 4 ἂν δέξηταί scripsi: ἐὰν δέξηται Sp.: ἐνδείξηται libri σχῇ V τόδε ⟨τι⟩ coni. Sp. 4. 5 ἑκάστῳ Sp.: ἑκάστου libri 8 ἐπὶ a 11 εἴδους Vict.: τόδε libri 14 alterum σὰρξ om. a Sp. 15 γεγονυῖα V 17 ἦν SFa Sp.: ἣν V 19 εἴδους SFa Sp.: εἶδος V 23 ὥς γε Vict.: ὅς γε libri 24 ἀπό του] ἀπὸ τοῦ a Sp. 25 ὑποκειμένων Sp.: ὑποκειμένου libri 28 ὃ scripsi: τὸ libri ἑκάστην BS²a Sp.: ἑκάστη VS¹ 33 τοιαύτη V (corr. v. c.) ἐπὶ a 35 τι add. B²S²a Sp.

εἴδους τοῦ ἐν αὐτῇ, λαβὼν τὰ φυσικὰ σώματα οὐσίας εἶναι (ἐνεργεῖ γάρ. τὸ ἐνεργὲς δὲ ⟨οὐσία⟩) καὶ ὅτι σύνθετος οὐσία, διελὼν τὸ φυσικὸν σῶμα τῷ ζωὴν ἔχειν, ἔλαβεν τὸ εἶναι τὸ φυσικὸν σῶμα τὸ ζωὴν ἔχον οὐσίαν σύνθετον, οὐχ ὅτι μὴ καὶ τὸ φυσικὸν σῶμα καθ' αὑτὸ οὐσία σύνθετός τε καὶ συναμφότερος, ἀλλ' ὅτι αὐτὴ ἤδη καὶ ἐκ τίνων σύγκειται φανερά (ἐκ γὰρ σώματος φυσικοῦ καὶ ζωῆς ἥτις ἐστὶν ἡ ψυχή). λαβὼν δὲ τὸ ζωὴν ἔχον σῶμα συναμφότερον οὐσίαν εἶναι ἐξ ὕλης τε καὶ εἴδους, καὶ δείξας ὅτι ἡ ψυχὴ οὔτε σῶμα οὐθ' ὑποκείμενον ἐν τῷ ζῴῳ, ἔδειξεν ὅτι ἡ κατὰ τὸ εἶδος οὐσία ἐστὶ ψυχή. δεῖ γὰρ αὐτὴν ἢ ὡς εἶδος ἢ ὡς ὕλην εἶναι ἐν αὐτῷ. |

XXV. Ἄλλης λέξεως ἐκ τοῦ δευτέρου τῶν Περὶ ψυχῆς Ἀριστοτέλους ἐξήγησις. 144

"Οὐ γὰρ τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ φυσικοῦ τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ."

Πρὸς τί τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ; ἀλλ' εἰ τοιοῦτο τὸ φυσικόν, πῶς ἔτι φυσικὸν τὸ θεῖον οὐκ ἔχον στάσεως ἀρχὴν ἐν αὑτῷ; ἢ ἔχει πως στάσεως ἀρχήν, εἴ γε κατὰ μὲν τὰ μέρη κινεῖται, τὸ δ' ὅλον ὡς ὅλον ἕστηκεν· ἐν τῷ αὐτῷ γάρ ἐστιν ἀεί. ἢ οὐ περὶ παντὸς εἶπεν τοῦ φυσικοῦ σώματος, ἀλλὰ τοῦ ἐν ᾧ ἡ ψυχὴ γίνεται. ἢ τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ οὐ περὶ φυσικοῦ σώματος λέγει, ἀλλὰ περὶ ψυχὴν ἔχοντος. ἡ γὰρ ψυχὴ ἐν τούτοις ἀρχὴ κινήσεώς τε καὶ στάσεως.

XXVI. Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις.

"Τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιόνδε σῶμα."

Μάλιστ' ἂν δεικνύοιτο ἡ ψυχὴ μὴ οὖσα ἐν ὑποκειμένῳ διὰ ταύτης τῆς λέξεως. εἰ γὰρ τὸ ὀργανικὸν σῶμα, ἐν ᾧ ἐστιν ἡ ψυχή, παρὰ τῆς | ψυχῆς ἔχει τὸ ὀργανικὸν εἶναι καὶ οὔτε πρὸ τοῦ ἔχειν τὴν ψυχὴν ὀργανικὸν ἦν, οὔτε ἀπελθούσης τῆς ψυχῆς ἐστιν ὀργανικόν, οὐκ ἂν εἴη ἐν αὐτῷ ὡς ἐν ὑποκειμένῳ. ἀλλὰ μὴν οὐκ ἐν ἄλλῳ τινί ἐστι σώματι ἢ ἐν τούτῳ. τὸ γὰρ σπέρμα δυνάμει ἔμψυχον τῷ δύνασθαι γενέσθαι τοιοῦτο σῶμα, οὗ ἡ ψυχὴ τελειότης ἐστί, καὶ ᾧ τὸ εἶναι τούτῳ, ὅ ἐστι, παρὰ τῆς ψυχῆς ἐστιν. 145

---

1. 2 fortasse γάρ [τὸ], 2 ἐνεργὲς scripsi: ἐναργὲς V οὐσία add. Schwartz διελὼν δὲ τὸ Vict. Sp. 5 αὕτη V 11 δευτέρου] de an. II, 1. 412b15 13 τοιουδὶ Vict. 14 τοῦ] τοιουδὶ Arist. 15 (16. 18. 21) αὐτῷ V 22 τὴν ψυχὴν B² 24 ἐκ τοῦ αὐτοῦ] de an. II, 1. 412b26 25 τοιονδὶ Arist. 32 τελειότης (ς in lit.) B Vict. Sp.: τελειότητος libri

XXVII. Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις.

"Λέγωμεν οὖν τὴν ἀρχὴν τῆς σκέψεως τοῦ πράγματος λαβόντες διωρίσθαι τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν [ἔχοντι σώματι.]"

Διὰ τοῦ λαβεῖν μὲν τὸ ψυχὴν ἔχον σῶμα συναμφότερον οὐσίαν, πᾶσαν δὲ συναμφότερον οὐσίαν ἐξ ὕλης τε καὶ εἴδους εἶναι, μὴ εἶναι τὸ σῶμα ἐν ὑποκειμένῳ τινί, ἀλλ' αὐτὸ εἶναι τὸ ὑποκείμενον, καὶ ἀποδοὺς λόγον τῆς ψυχῆς ἐντελέχειαν τὴν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ, ὡς οὐδέπω ἱκανῶς δεδειγμένου τοῦ τὴν ψυχὴν εἶδος εἶναι διὰ τὸ μηδὲ τὴν αἰτίαν ἐν τῷ ἀποδεδομένῳ λόγῳ ἐμφαίνεσθαι, δι' ἣν εἶδός ἐστι καὶ ἐντελέχεια ἡ ψυχὴ τοῦ τοιούτου σώματος, | πάλιν ἀναλαβὼν ἄνωθεν αὐτὸ τοῦτο πει- 146 ρᾶται δεικνύναι, καὶ πρῶτον μὲν ἐκτίθεται τὰς δυνάμεις τῆς ψυχῆς, καὶ δείξας τὰς μέν τινας αὐτῶν οὔσας πρώτας καὶ χωριστὰς τῶν ἄλλων, τὰς δὲ δευτέρας, καὶ τάξιν τινὰ οὖσαν ἐν αὐταῖς δείξας, καὶ ὅτι τὸ μὲν ζῆν τοῖς ἐμψύχοις παρὰ τῆς θρεπτικῆς ἐστι ψυχῆς, τὸ δὲ ζῴῳ εἶναι παρὰ τῆς αἰσθητικῆς, δείξας δὲ καὶ ἐπὶ τῶν αἰσθητικῶν τάξιν τινὰ οὖσαν, καὶ τὰς μὲν πρώτας τε καὶ χωριζομένας τῶν ἄλλων, τὰς δὲ δευτέρας τε καὶ τῶν πρὸ αὐτοῦ ἀχωρίστους, ζητήσας δὲ καὶ πότερον χρὴ ἑκάστης δυνάμεως ψυχῆς ψυχὴν λέγειν ἢ μόριον ψυχῆς, καὶ εἰ μόριον, πότερον τῷ λόγῳ μόνον χωριστὸν ἢ καὶ τόπῳ, καὶ δείξας τὰς πλείστας δυνάμεις αὐτῆς χωριζομένας λόγῳ μόνον, περὶ δὲ τοῦ νοῦ εἰπὼν εἶναί τινα ἀμφισβήτησιν, εἰπὼν δὲ καὶ κατ' εἶδος γίνεσθαι διαφορὰς τῶν ἐμψύχων, ⟨τῷ⟩ τὰ μὲν πάσας ἔχειν τὰς δυνάμεις, τὰ δέ τινας, τὰ δὲ μίαν μόνην, ἐπὶ τούτοις ἔδειξε, πῶς εἶδος ἡ ψυχὴ καὶ ἐντελέχεια, ὅτι γὰρ τῷ τοῦ σώματός τι εἶναι τοῦ ὑποκειμένου † ὁμοία οὖσα καὶ χωριστή ἐστιν αὐτοῦ. ἡ δὲ δεῖξις τοιαύτη· ἔλαβεν τὸ ἐπὶ πάντων τῶν λεγομένων εἶναι τοιούτων, ὁποῖά ἐστι πρώτως τε καὶ | δευτέρως, [καὶ] καθὸ μὲν πρώτως λέγονται, τοῦτο εἶναι εἶδος αὐτῶν, καθὸ 147 δὲ δευτέρως, [τὸ] ὑποκείμενόν τε καὶ ὕλην τὴν ἐκεῖνο τὸ εἶδος συνέχουσαν, καὶ τοῦτο διὰ τῆς ἐπαγωγῆς πιστωσάμενος ἔλαβεν τὸ καὶ ζῆν τὰ ἔμψυχα λέγεσθαι κατὰ πρώτην μὲν τὴν ψυχὴν * * * ἔχον, οὕτως ἔχοντος ἡ μὲν ψυχὴ ἐδείχθη εἶδος οὖσα τοῦ σώματος τοῦ ἔχοντος αὐτήν, ὕλη δὲ τὸ σῶμα.

XXVIII. Ὅτι μὴ ἡ ὕλη γένος.

Κοινὰ τῷ γένει καὶ τῇ ὕλῃ τὸ κοινὰ εἶναι πλειόνων, καὶ τὸ πρῶτα τῇ φύσει τῶν ὑπ' αὐτά τε καὶ [δι'] ὧν ἐστι κοινά, καὶ τὸ τῇ εἴδους τινὸς

---

1 ἐκ τοῦ αὐτοῦ] de an. II, 2. 413a20 2 οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως διωρίσθαι Arist. 3 ζῆν] ζωὴν B²S²a Sp. ἔχοντι σώματι om. Arist.: del. Vict. 5 ⟨δείξας⟩ μὴ coni. Sp. recte 15 αἰσθητικῶν Sp.: αἰσθητῶν libri 17 αὐτῶν coni. Sp. 21 τῷ τὰ scripsi: καὶ τὰ Vict. Sp. 21. 22 πάσας ἔχειν Vict. Sp.: πάσχειν libri 22 τὰ δέ τινας Sp.: τὰς δέ τινας libri 24 ὁμοία] Sp. videtur ἀχώριστος coniecisse 25 ὁποία a Sp. 26 καὶ delevi 27 pr. τὸ delevi 29 ψυχήν, ⟨κατὰ δεύτερον δὲ τὸ σῶμα τὸ τὴν ψυχὴν⟩ Schwartz ἔχον, οὐ οὕτως Vict. Sp. 33 δι' del. B²

συνθέσει πρὸς αὐτὰ τὰς διαφορὰς λαμβάνειν. ὡς γὰρ κοινῆς οὔσης τῆς ὕλης τὰ εἴδη ἐν αὐτῇ γινόμενα κατὰ τὴν πρὸς ἄλληλα διαφορὰν διάφορον ποιεῖ καὶ τὸ συναμφότερον, οὕτως καὶ τοῦ γένους ὄντος κοινοῦ τὰ εἴδη καὶ αἱ διαφοραὶ συντιθέμεναι αὐτῷ κατὰ τὴν ἐν αὐτοῖς διαφορὰν ποιοῦσι τὴν ἐν τοῖς γένεσι διαφοράν· τὰ γὰρ αὐτὰ ἕτερα γίνεται τῇ τῶν διαφερόντων συνθέσει. ἢ εἴη ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ κατὰ τὸ μὴ ὁμοίως ἔχειν τὸ κοινὸν πρὸς τὰ εἴδη ὧν ἐστι κοινόν. ἡ μὲν γὰρ ὕλη κοινὴ ὡς ὑποκείμενον τούτοις ὧν ἐστι κοινόν (ὑπόκειται γὰρ τοῖς εἴδεσιν), τὸ δὲ | γένος κοινὸν ὡς κατηγορούμενον τῶν ὧν κοινόν ἐστιν. ἐν γὰρ τῇ ὕλῃ 148 ὑποκειμένῃ τὰ εἴδη γίνεται ὡς ἐν τῷ χαλκῷ τὰ σχήματα, οὐχ οὕτως δ' ἐν τῷ γένει τὰ εἴδη· τὰ γὰρ γένη ὧν ἐστι γένη τούτων κατηγορεῖται. καὶ ἡ μὲν ὕλη ἅμα τε πᾶσα λαμβανομένη κοινὴ τῷ πάντ' ἔχειν ἐν ἑαυτῇ τὰ ἔνυλα εἴδη, ἀλλ' ἕκαστον αὐτῆς μόριον καθ' αὑτὸ κοινὸν καὶ αὐτὸ τῷ πάντων εἶναι παρὰ μέρος τῶν ἐναντίων δεκτικόν, τὸ δὲ γένος αὐτὸ μὲν κοινὸν τῶν οἰκείων εἰδῶν, τὸ δὲ καθ' ἕκαστα αὐτοῦ οὐ κοινόν· οὐ γὰρ οἷόν τε τὸ ἐν Σωκράτει ζῷον ἐν ἄλλῳ γενέσθαι τινί. καὶ ἡ μὲν ὕλη πρᾶγμά ἐστι καὶ ὑπόκειται συντελοῦν εἰς τὸ εἶναι αὐτῶν ἑκάστῳ τῷδέ τινι, τὸ δὲ γένος ὡς γένος λαμβανόμενον οὐ πρᾶγμά τί ἐστιν ὑποκείμενον, ἀλλὰ μόνον ὄνομα, καὶ ἐν τῷ νοεῖσθαι τὸ κοινὸν εἶναι ἔχον, οὐχ ἐν ὑποστάσει τινί. καὶ ἡ μὲν ὕλη καὶ κατ' ἀριθμὸν ἄφθαρτος, τὸ δὲ γένος τῷ εἴδει τὸ ἄφθαρτον ἔχει καὶ τῇ τῶν γινομένων ἀνεπιλείπτῳ διαδοχῇ, τὸ δὲ καθέκαστα φθαρτὸν αὐτοῦ. καὶ ἡ μὲν ὕλη τῆς συναμφοτέρου οὐσίας τὸ ἕτερον μόριον ἐν τῇ τοῦ συναμφοτέρου φθορᾷ χωρίζεταί τε καὶ σώζεται, τὸ δὲ γένος ἐστὶ μὲν καὶ ἐν ἁπλοῖς (τοιαῦτα γὰρ τὰ τῶν εἰδῶν καὶ τῶν συμβεβηκότων γένη· οὐ γὰρ σύνθετον οὐδὲ συναμφότερον ὡς ἐξ εἴδους καὶ ὑποκειμένου οὔτε ποιότητος οὔτε ποσότητος οὔτε τι τῶν παρὰ τὴν οὐσίαν γενῶν), ἐν δὲ τῇ συ|ναμφοτέρῳ τε καὶ ἐνύλῳ οὐσίᾳ σύνθετον μὲν 149 τὸ γένος καὶ τὸ κοινὸν ὡς σύνθετον ἐν αὐτῇ. ὡς γὰρ τὰ καθέκαστα ἐν τῷ ζῴῳ σύνθετα, οὕτω δὴ καὶ τὰ εἴδη αὐτῶν καὶ τὰ γένη· τὸ γὰρ ζῷον εἶδός τι σημαίνει σὺν ὕλῃ, οὐ μὴν τὸ ἕτερον μέρος ἐστὶ τοῦ συναμφοτέρου ὡς ὕλη, ἀλλ' αὐτὸ τὸ ζῴῳ εἶναί ἐστι τὸ εἶναι ἐξ ἀμφοῖν. διὸ οὐδ' ἐχωρίζετο τῆς ὕλης παραπλησίως· ἔχον γάρ τι τοῦ εἴδους ἐν τῷ τοῦ οἰκείου λόγῳ ἐν τῇ φθορᾷ τοῦ ὅλου, ἥτις γίνεται κατὰ τὴν τοῦ εἴδους φθοράν, καὶ αὐτὸ κατὰ τὴν τοῦ φθαρτοῦ κοινωνίαν φθείρεται. διὸ τὸ ἐν Σωκράτει ζῷον μόριόν πως ὂν τοῦ γένους οὐχ ὑπομένει φθειρομένου Σωκράτους. τοῦτό τοι κἂν πάντα τὰ καθέκαστα ζῷα φθαρῇ ἀναιρεῖται καὶ τὸ ὡς γένος ζῷον ὄν, τῆς ὕλης μηδὲν τοιοῦτο πασχούσης. οὐδὲ τὰ εἴδη ὁμοίως

---

2 διαφορὰν διάφορον scripsi: διαφορὰν διαφορὰν VS: διαφορὰν διάφοραν (αν alt. in lit.) B: διαφορὰν a: διάφορον Sp. 6 ἡ V 10 ὑποκειμένη V 13 τῷ Vict.: τὸ libri 15 καθ' ἕκαστον coni. Sp. 21 pr. τὸ om. a Sp. 22 καθ' ἕκαστον coni. Sp. 26 ποιότητες et ποσότητες Schwartz recte τι] τινὸς B^{2}S^{2}a Sp. 31 αὐτῷ coni. Sp. pr. τὸ Sp.: τῷ libri 31. 32 οὐδὲ χωρίζεται τῇ ὕλῃ coni. Sp. 32 ἐν τῷ οἰκείῳ coni. Sp. 36 τοῦτό τοι suspectum Spengelio, sed cf. Ind. De an.

ἔν τε τῇ ὕλῃ ἔν τε τῷ γένει. ἐν μὲν γὰρ τῇ ὕλῃ πᾶν τὸ εἶδος γίνεται οὔσῃ χωρὶς εἴδους κατὰ τὸν ἑαυτῆς λόγον, ἐν δὲ τῷ γένει φθάσαν ἤδη τὸ εἶδος τὸ κοινότερόν τε καὶ ἐν πᾶσι τοῖς ὑπὸ τὸ γένος εἴδεσι συνείληπται. διὸ οὐδὲ τὸ εἶδος πᾶν ἔτι ἐν τῷ γένει γίνεται τῷ μέρος αὐτοῦ φθάσαν τὴν τοῦ γένους συμπληροῦν φύσιν, αἱ δὲ διαφοραὶ αἱ τὸ κοινὸν τοῦ εἴδους διαιροῦσαί εἰσιν αἱ τῷ γένει συντιθέμεναι. διὸ τὸ μὲν γένος ἀχώριστον τούτων ὧν ἐστι γένος καὶ συμφθειρόμενον αὐτοῖς, καὶ οὐχ | εἰδῶν 150
ἀλλὰ μέρους εἰδῶν δεκτικόν, καὶ οὐδὲ τούτων ὡς ὑποκείμενον δεκτικόν, ἀλλὰ τῇ νοήσει λαμβανόμενόν τε καὶ χωριζόμενον τῶν σὺν οἷς ἐστιν αὐτῷ τὸ εἶναι, τῆς ὕλης πρώτης οὔσης παντὸς τοῦ ἐνύλου σώματος. ἡ μὲν γὰρ οὐχ οὖσά πως κατὰ τὸν οἰκεῖον λόγον ἐνεργείᾳ δεξαμένη τὸ εἶδος τόδε τι γίνεται ἡ πρώτη οὖσα ἀρχὴ τοῦ τόδε τι καὶ συναμφοτέρου, τὸ δὲ γένος ἀπὸ τούτων τῶν ἐνύλων τε καὶ καθ' ἕκαστον τὸ εἶναι λαμβανομένου διὰ τὸν χωρισμὸν τῶν τὴν διαφορὰν αὐτοῦ δεικνύντων τε καὶ ποιούντων. καὶ ἡ μὲν ὕλη πᾶσι τοῖς ἐν γενέσει τε καὶ φθορᾷ αἰτία τοῦ εἶναί τε καὶ ὑφεστάναι, τὰ δὲ γένη ἐν τοῖς διὰ τὴν ὕλην τὸ εἶναί τε καὶ τὴν ὑπόστασιν ἔχουσιν ἐπιγίνεται ἔργον [τὰ] τοῦ συντιθέντος αὐτὰ διὰ τοῦ τῶν ἄλλων τῶν συνυπαρχόντων αὐτῷ τῇ ἐπινοίᾳ χωρισμοῦ. |

---

13 τῶν om. a Sp. καθέκαστα coni. Sp. τὸ] τοῦ Sp. aut τὸ — λαμβάνον bene λαμβάνει B^2 17 τὰ del. B^2 Sp. αὐτὰ S^2B^2a Sp.: αὐτον ου sic V: αὐτὸν οὐ B^1FGS^1 18 τῶν s. v. V αὐτῷ S^2a Sp.: αὐτῶν libri

2 post τί 2 litt. erasae V 3 λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου Π. ψ. λόγου Ἀριστοτέλους tit. 4 ἔχον τὴν ἐπιστήμην tit. 6 λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου ὁμοίως Π. ψ. tit. 8 πῶς οὐχὶ καὶ tit. Sp. πρόσοδος tit.: πρόοδος V tert. καὶ om. tit. 9 εἴη om. tit. 11 γινομένοις ἐστι tit. 12 ἄλλης λέξεως tit. (nam non sexto, sed septimo loco disputat de hoc) 15 πλείους tit. Sp.· πλείω V: πλείως a 18 τι ᾧ tit. 20 θέσει τὰ ὀνόματα tit.

I. Τί ἐστιν ἀνάμνησις.

Ἀνάμνησίς ἐστιν εὕρεσις διὰ ζητήσεως φαντάσματος ὃ ἐγένετό ποτε ἐν τῷ σώματι ἐν ᾧ ἡ αἰσθητικὴ ψυχή.

II. Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου Περὶ ψυχῆς λόγου Ἀριστοτέλους, δι' ἧς λέγει "θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι· εἰς αὑτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν."

Εἰπόντος Ἀριστοτέλους ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς † ἐπὶ τῆς * * ἀπὸ τῆς ἕξεως, ἣν εἶπεν | δευτέραν δύναμιν (πρώτη γὰρ ἦν δύναμις ⟨ἡ⟩ πρὸς τὴν 152 ἀνάληψιν τῆς ἕξεως ἐπιτηδειότης). εἰπόντος οὖν αὐτοῦ περὶ αὐτῆς οὕτως θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι (εἰς αὑτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν) ἢ ἕτερον γένος ἀλλοιώσεως. διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν ὅταν φρονῇ ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος κατὰ τὸ νοεῖν καὶ φρονεῖν οὐ διδασκαλίαν ἀλλ' ἑτέραν ἐπωνυμίαν ἔχειν δίκαιον, ταῦτ' εἰπόντος αὐτοῦ ἐζητήθη καθόλου ὑπὸ τῆς ἐξηγήσεως, εἰ ⟨ἡ⟩ εἰς τὴν ἐνέργειαν μεταβολὴ κίνησίς ἐστιν. εἰ γὰρ μὴ ἀλλοίωσις, πολὺ μᾶλλον ἂν οὐκ εἴη τις τῶν ἄλλων [οὐ] κινήσεων. τὸ γὰρ ἀπὸ τῆς νοητικῆς ἕξεως μεταβάλλον εἰς τὸ νοεῖν τε καὶ ἐνεργεῖν ἀλλοίωσις μὲν οὐκ ἂν εἴη τις, ⟨εἰ⟩ ἡ μὲν ἀλλοίωσις κατὰ πάθος μεταβολή, ⟨ἡ δὲ⟩ οὐκ ἔστιν μεταβολὴ κατὰ πάθος, εἴ γ' ἐστὶν εἰς ταὐτὸν ἐπίδοσις. καὶ ἔστιν ἡ ἀπὸ τῆς ἕξεως ἐνέργεια σωστικὴ τῆς ἕξεως καὶ τελειότης αὐτῆς, εἴ γε τέλος ἑκάστῳ τὸ οὗ χάριν ἐστί, πᾶσα δὲ ἕξις ἕνεκα τῆς ἐνεργείας γίνεται τῆς κατ' αὐτήν. εἰ δὲ μὴ κατ' ἀλλοίωσιν ὁ οὕτως ἐνεργῶν κινεῖται, πολὺ | μᾶλ- 153 λον οὐδ' ἂν κατὰ τόπον ἢ κατ' αὔξησιν κινοῖτο· σωμάτων γὰρ αἱ κινήσεις τοιαίδε. καὶ γὰρ ⟨αἱ⟩ ἀπὸ τῶν κατὰ τὰς τέχνας ἕξεων ἐνέργειαι γίνοιντο μὲν διὰ κινήσεως, ἐπεὶ σωματικῆς ὑπηρεσίας δέονται, αὗται δὲ καθὸ τελειότητές εἰσι τῶν ἕξεων, οὐκ ἂν κινήσεις εἶεν. μήποτ' οὖν ἄμεινον γενέσεις αὐτὰς λέγειν τινάς, εἴ γε πρὸς τὴν τελειότητα τῶν οὐσιῶν ὧν εἰσι συντελοῦσιν· οὐ γὰρ ἑκάστῳ τῶν διὰ γενέσεως τὸ εἶναι ἐχόντων ⟨ἡ⟩ ἐπὶ τὴν

4 δευτέρου] de an. II, 5. 417b5   6 ἢ οὐκ Arist.   8 ἐπὶ] περὶ Sp.: fortasse περὶ ⟨τῆς ἐνεργείας⟩   9 ἕξεως S[2] Vict.: λέξεως libri   ἡ add. Diels   11 ἢ οὐκ Arist.   13 οὐ καλῶς ἔχει Vict. ex Arist. Sp.: οὐκ ἄλλως ἔχειν G: οὐκ ἄλλως ἐκεῖ VBS: οὐ καλῶς ἔχει ἐκεῖ F   λέγειν] λέγει a   16 νοοῦν καὶ φρονοῦν Arist.   17 ὑπὸ scripsi: ἀπὸ libri   17. 18 εἰ ἡ V[2]B coni. Sp.: εἰ V[1]FSa: ἡ G   19 οὐ del. B[2]S[2]: om. a Sp.   21 εἰ add. Vict. Sp.   ἡ δὲ add. B[2]S[2]a Sp.   26 κινοῖτο σωμάτων Sp.: κινεῖ τὸ σῶμα τῶν libri: κινοῖτο (κινοῖτο τὸ?) σῶμα τῶν Vict.   27 αἱ add. Sp.
28 μὲν S[2]a Sp.: μὲν ἡ sic V: μὲν ἡ GF: μὲν ἢ B: μὲν ἢ S[1]   ἐπεὶ GFB[2] Vict. Sp.: ἐπὶ VS (ι in lit.)   31 οὐ] ἐν coni. Sp. (et ⟨ἡ⟩ ἐπὶ): ἡ Diels

τελειότητα πρόοδος τῆς γενέσεως αὐτοῦ μέρος. τρόπον οὖν τινα μέρος τῆς γενέσεως τῆς τέχνης καὶ ἡ ἀπὸ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν μεταβολὴ γινομένη διὰ κινήσεών τινων, ἐπεὶ καὶ πᾶσα γένεσις δοκεῖ γίνεσθαι διὰ κινήσεων. ἀλλ' εἰ τοῦτο ἐπὶ τῶν τεχνῶν χρὴ λέγειν, ἆρά γε δεῖ τὸ αὐτὸ τοῦτο λέγειν καὶ ἐπὶ τῶν κατὰ τὰς θεωρητικὰς ἐπιστήμας, ἐνεργειῶν τινων οὐσῶν καὶ αὐτῶν; πολὺ γὰρ ἐπὶ τούτων εὐλογώτερον τὸ μὴ εἶναι κίνησίν τινα. ἀλλ' εἰ χρὴ καὶ ταῦτα γενέσεις λέγειν, πᾶσα δὲ γένεσις διὰ κινήσεως, διά τινων κινουμένων εἴη ἂν γινομένη τοιάδε γένεσις. ἢ δεῖ πρῶτον γενέσθαι γνώριμον εἰς τίνος τελειότητα ἡ τοιάδε ἐνέργεια συντελεῖ. ἢ αἱ μὲν κατὰ τὰς τέχνας * * * τῶν τεχνῶν καὶ τῶν τὰς τέχνας ἐχόντων, | καθό 154 εἰσι τεχνῖται, ἐπὶ δὲ τοῦ νοῦ καὶ τῶν ἀρετῶν καὶ τῶν θεωρητικῶν ἕξεων εἰς τὴν τοῦ ἀνθρώπου ἂν τελειότητα συντελοῖ ἡ ἀπὸ τῶν ἕξεων τούτων ἐνέργεια, εἴ γε καὶ αἱ ἕξεις αὗται τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως, καθὸ ἄνθρωπός ἐστι. κυρίως γὰρ ἄνθρωπος ὁ τὰς ἕξεις ἔχων τε καὶ ἐνεργῶν κατὰ ταύτας, καθ' ἃς τῷ ἀνθρώπῳ τὸ μάλιστα καὶ κυρίως εἶναι ἀνθρώπῳ. αἳ δὴ διδασκαλίαι κινήσεις τε καὶ ἀλλοιώσεις εἰσὶ τῶν ἕξεων, τούτων ποιητικαὶ δι' ὧν ἡ τοῦ ἀνθρώπου τελειότης γίνεται, εἶεν ἂν καὶ τῶν ἀπ' αὐτῶν ἐνεργειῶν αἴτιαι, εἴ γε πᾶν τὸ τὴν ἕξιν ἔχον εὐθὺς ἐνεργεῖ κατ' αὐτήν, εἰ μή τις ἐμποδίζοι τῶν ἐμποδιζόντων ταῖς ἐνεργείαις ἀναίρεσις καὶ αὐτὴ γινομένη μετά τινος κινήσεως.

III. Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου ὁμοίως Περὶ ψυχῆς, δι' ἧς περὶ αἰσθήσεως λέγει, ἔστι δὲ ἥδε· "διωρισμένων δὲ τούτων λέγωμεν κοινῇ περὶ πάσης αἰσθήσεως".

Εἰπὼν περὶ τῆς θρεπτικῆς δυνάμεως τῆς ψυχῆς ἐπὶ τὸν περὶ αἰσθήσεως μέτεισι λόγον, καὶ πρῶτον μὲν καθόλου καὶ κοινῶς περὶ αἰσθήσεως λέγει, ἔπειτα ἐρεῖ προελθὼν περὶ ἑκάστης ἰδίᾳ. πρῶτον μὲν οὖν λαμβάνει, ὅτι ἡ αἴσθησις γίνε|ται ἐν τῷ κινεῖσθαί τι καὶ πάσχειν (διὰ γὰρ κινήσεώς 155 τινος καὶ πάθους γίνεσθαι δοκεῖ), λαβὼν δὲ τὸ τὴν αἴσθησιν δι' ἀλλοιώσεως καὶ πάθους γίνεσθαι ἐμνημόνευσε τοῦ πάθους καὶ τοῦ πάσχειν, ὅπως γίνεται, ὅτι γὰρ τοῖς μὲν δοκεῖ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν, τοῖς δὲ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου. τούτου δ' ἐμνημόνευσεν, ἐπεὶ πρὸς τὸ ἀποδοῦναι, τί πότ' ἐστιν αἴσθησις, χρήσιμον αὐτῷ τὸ κεῖσθαι, ὑπὸ τίνος πάσχει τὰ πάσχοντα, ἐπεὶ καὶ ἡ αἴσθησις κεῖται πάθος τι εἶναι καὶ διὰ πάθους. πρὸ δὲ τοῦ περὶ τούτου διαρθρῶσαι πρῶτον ἀπορήσας περὶ τῆς αἰσθήσεως, διὰ τί, ὄντων ἐν τοῖς αἰσθητηρίοις τῶν αἰσθητῶν, οὐχ αἰσθάνεται ἡ αἴσθησις τούτων, ἀλλὰ τῶν ἐκτὸς μόνων, καὶ λύσας τὴν ἀπορίαν

1 πρόοδος Diels: πρόσοδος libri 3 κινήσεων Sp.: κινήσεως libri 4 fortasse κινήσεως, cf. v. 7 8 κινουμένων] κινήσεων Vict. unde διὰ τίνων κινήσεων coni. Sp. τοιαδε V ἢ Vict.: εἰ libri 10 excidisse videtur ἐνέργειαι εἰς τὴν τελειότητα συντελοῖεν ἂν 11 τεχνιται V 12 ἂν post ἀνθρώπου del. Vict. Sp. συντελοῖ ἡ V¹G: συντελοί ἡ V²: συντελεῖ ἡ B: συντελοιῇ FSa: συντελοῖ ἂν ἡ Vict. Sp. 16 αἳ Schwartz: αἱ libri: εἰ Sp. 18 αἰτιαι V 19 fortasse τι et τὰς ἐνεργείας 21 δευτέρου] de an. II, 5. 416b32 26 πρῶ τὸν (sic) V 27 πάσχει a 33 τὰ] τὸ a: ὃ Vict.

τῷ τότε δυνάμει τὴν αἴσθησιν εἶναι (ἡ γὰρ αἴσθησις πρὸς τὸ αἰσθητόν, αἰσθητὸν δ' αὐτῇ τὸ κεχωρισμένον· οὐδὲν γὰρ ὑφ' ἑαυτοῦ πάσχει, ἡ δὲ αἴσθησις διὰ πάθους· ἔστ' ἂν οὖν μὴ παρῇ τὸ αἰσθητόν, δυνάμει ἡ αἴσθησίς ἐστι), λαβὼν δὲ τὸ διχῶς λέγεσθαι τὸ αἰσθάνεσθαι (καὶ γὰρ δυνάμει καὶ ἐνεργείᾳ), ἔλαβεν τὸ τῆς αἰσθήσεως τὴν μὲν εἶναι δυνάμει, τὴν δὲ ἐνεργείᾳ, ὁμοίως δὲ καὶ τὸ αἰσθητόν. λαβὼν δὲ τὸ [τὴν αἴσθησιν] διὰ πάθους γίνεσθαι τὴν αἴσθησιν τὴν μὲν δυνάμει, τὴν δὲ ἐνεργείᾳ, ἐφεξῆς λέγει περὶ τοῦ πάσχοντος ὑπὸ τίνος πάσχει, ὃ πρὸ ὀλίγου ἐκίνησε. καὶ λαβὼν ὅτι πᾶν τὸ πάσχον πάσχει ὑπὸ τοῦ κινητικοῦ καὶ ἐνεργείᾳ ὄντος τούτου, ὃ τὸ πάσχον ὑπ' αὐτοῦ | 156 δύναται γενέσθαι, ἔδειξεν ἐκ τούτου, ὅτι τὸ πάσχον ἔστι μὲν ὡς ὑπὸ ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπὸ ἀνομοίου πάσχει. πάσχει μὲν γὰρ ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιόν ἐστιν. χρήσιμον δ' αὐτῷ τοῦτο πάλιν πρὸς τὸ καὶ [τὸ] τὴν αἴσθησιν τὴν δυνάμει, εἰ διὰ πάθους γίνεται, πάσχουσαν μὲν ἀνομοίαν εἶναι τῷ ποιοῦντι, ὅ ἐστι τὸ αἰσθητόν, παθοῦσαν δὲ καὶ γενομένην ὁμοίως αὐτῷ εἶναι. οἷς ἐφεξῆς ἐπέλαβεν τὴν αἴσθησιν τὴν μὲν δυνάμει εἶναι, τὴν δὲ ἐντελεχείᾳ, ⟨καὶ⟩ διαίρεσιν ποιεῖται τοῦ δυνάμει καὶ τοῦ ἐντελεχείᾳ, βουλόμενος δι' αὐτοῦ δεῖξαι, ὅτι μὴ κυρίως πάσχειν λέγεται ἡ αἴσθησις καὶ κινεῖσθαι. οὐ γὰρ πάσης δυνάμεως ἡ εἰς ἐνέργειαν πρόοδος διὰ πάθους καὶ κινήσεως. διχῶς γὰρ τὸ δυνάμει ἐπιστῆμον, ὁμοίως δὲ καὶ πᾶν ἄλλο, λέγεται. τό τε γὰρ φύσιν ἔχον δέξασθαι ἐπιστήμην δυνάμει ἐπιστῆμον, ἀλλὰ καὶ τὸ ἔχον ἤδη καὶ δεδεγμένον τὴν ἐπιστήμην, μὴ ἐνεργοῦν δὲ κατ' αὐτὸ δυνάμει λέγεται ἐπιστῆμον, ὅτι μὴ ὁμοίως λέγεται, ἔδειξεν. εἰπὼν δὲ καὶ τὸν ἔχοντα μὲν ἤδη τὴν ἐπιστήμην, μὴ ἐνεργοῦντα δέ, δυνάμει ἔτι καὶ αὐτὸν ἐπιστήμονα λέγεσθαι, προσέθηκεν, ὅτι ὁ ἤδη θεωρῶν τε καὶ ἐνεργῶν οὗτός ἐστιν ὁ κυρίως λεγόμενος ἐπιστήμων, οὐκέτ' ὢν δυνάμει. ἐφ' οἷς τὴν διαφορὰν λέγων τῶν δυνάμει λεγομένων ἐπίστασθαι ἔδειξεν, ὅτι | 157 ὁ μὲν πρῶτος λεγόμενος δυνάμει, ὁ κατὰ τὸ πεφυκέναι, οὐκ ἄλλως εἰς τὸ ἐνεργείᾳ γενέσθαι μεταβάλλει, εἰ μὴ διὰ τοῦ παθεῖν τε καὶ ἀλλοιωθῆναι διὰ μαθήσεως, ⟨ὁ⟩ δὲ ἤδη ἔχων εἰς τὸ ἐνεργεῖν οὐ διὰ πάθους ἔτι καὶ ἀλλοιώσεως μεταβάλλει. δείξας δ' ὅτι μὴ παντὸς τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολὴ διὰ πάθους τε καὶ ἀλλοιώσεως, ἐφεξῆς καὶ τοῦ ἀλλοιοῦσθαί τε καὶ πάσχειν διαίρεσιν ἐποιήσατο, καὶ ἔλαβεν τὸ μέν τι φθορὰν εἶναι ὑπὸ τοῦ ἐναντίου καὶ ἔκστασιν τοῦ ἐν ᾧ ἦν, ὡς πάσχει πάντα τὰ εἰς τὰ ἐναντία μεταβάλλοντα, τὸ δέ τι πάσχειν εἶπεν εἶναι οὐ τῷ φθείρεσθαι, ἀλλὰ τῷ σώζεσθαι καὶ

1 τότε coni. Sp.: τό γε libri 2 αὔτη a 4 λέγεσθαι Vict.: λέγεται libri 6 τὴν αἴσθησιν del. Schwartz 7 καὶ τὴν αἴσθησιν G: καὶ Vict. Sp. 11 et 12 πάσχει Sp.: πάσχειν libri ὑπὸ τοῦ Arist. 12 τὸ ἀνόμοιον Arist. 13 τὸ del. Sp. δυνάμει G[2] Sp.: δύναμιν VG[1]FBSa 15 ὁμοίως VFBSa Sp.: ὁμοίαν G Sp.: ὅμοιον Vict. 16 καὶ add. Vict. Sp. (ἐπιλαβὼν Schwartz) 20 ἐπιστῆμον Sp.: ἐπιστήμονα VFGS: ἐπιστήμον a 22 αὐτὴν Sp. 22. 23 ἐπιστῆμον (in lit.) VFB Sp.: ἐπιστήμην a: ἐπιστήμων Vict. 23 ὅτι ⟨δὲ⟩ coni. Sp.: fortasse ⟨ὃ⟩ ὅτι ὅτι—ἔδειξεν m[1] i. mg. V 25 ὅτι ὁ ἤδη scripsi (cf. l. c. 417a28): ὁ ἤδη Vict. ex Arist.: ὅτι μηδὲ VBS[1]a: ὅτι ὅδε μηδὲ F: ὅτι ὅδε G: ὅτι S[2] 26 οὐκέτ' ὢν] οὐ καὶ τῶν Sa 29 ὁ add. Sp. 35 πάσχον a

6*

ἐν ἐπιδόσει γενέσθαι τῇ καθὸ ἔχει ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος καὶ ὁμοίου. ἡ γὰρ κατὰ τὴν ἕξιν καὶ τοιαύτην δύναμιν ἐνέργεια τελειότης οὖσα τῆς ἕξεως οὐ κατὰ τὴν εἰς τοὐναντίον μεταβολὴν γίγνεται, ἀλλὰ κατὰ τὴν τοῦ αὐτοῦ ἐξ ἀργίας εἰς ἐνέργειαν· τὸ γὰρ ἔχον τὴν ἐπιστήμην ἐνεργοῦν γίνεται κατ᾽ αὐτήν, ὃ εἰς τὸ αὐτὸ καὶ ὅμοιον ἐπίδοσίς ἐστιν. ὁμοίως δὲ εἰπὼν ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν, πῶς καὶ ποία δύναμις καὶ πρὸς ποίαν ἐντελέχειαν ἔδειξεν προσθείς. *θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην*, ἥτις μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις, εἴ γε ἡ μὲν ἀλλοίωσις ἐξ ἄλλου εἰς ἄλλο καὶ ἐξ ἐναντίου ἐστὶ μεταβολή, ἡ δ᾽ ἐκ τοῦ οὕτω δυνάμει εἰς τὴν ἐνέργειαν (εἰς αὐτὸ γὰρ τοῦτ᾽ ἐστίν, ὃ ἔχει καὶ καθὸ | ἔχει) ἐπίδοσίς ἐστιν. 158 ἤ, εἰ δεῖ καὶ τοῦτο ἀλλοίωσιν λέγειν, ἕτερον ἄν τι εἴη γένος καὶ ἄλλη τις φύσις ἀλλοιώσεως. ὅτι δὲ τὸ πάσχειν ὡς ἴσον ἔλαβεν τῷ ἀλλοιοῦσθαι ἔδειξεν εἰπὼν *ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι*· ὡς γὰρ ἴσον † εἴη ἐν αὐτῷ 'ὅπερ οὐκ ἔστι πάσχειν'. ὃ δείξας προσέθηκεν, ὅτι μὴ χρὴ λέγειν τὸν φρονοῦντά τι καὶ νοοῦντα ἀλλοιοῦσθαι, εἰ δὲ μὴ ἀλλοιοῦσθαι, οὐδὲ κινεῖσθαι. εἰ γὰρ μὴ ἀλλοίωσις, δῆλον ὡς οὐδὲ κατὰ τόπον οὐδὲ ποιὸν μεταβολή. τοιαύτη δὲ καὶ ἡ τοῦ δυνάμει αἰσθανομένου εἰς τὸ ἐνεργείᾳ αἰσθάνεσθαι ἐπίδοσίς τε καὶ μεταβολή. διὸ κοινότερον ἡ αἴσθησις ἀλλοίωσις. εἰπὼν δὲ ταῦτα διέξεισιν ἐπ᾽ αὐτοῖς, ὁποία μὲν μεταβολὴ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀλλοίωσίς ἐστι, ποία δὲ οὔ. ἡ μὲν γὰρ ἐκ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν τὴν διὰ ταύτην, ὡς τὸ νοεῖν ἔχειν καὶ τὸ φρονεῖν, ἐπεὶ μὴ διὰ διδασκαλίας γίνεται, οὐκ ἀλλοίωσις οὐδὲ κίνησις, ἀλλ᾽ ἕτερόν τι γένος μεταβολῆς (ὑπὸ γὰρ τὴν γένεσιν εἴη ἂν τοιαύτη μεταβολή, εἴ γε τὸ τελειοῦσθαι καὶ ἡ εἰς τοῦτο ἐπίδοσις γινομένου πώς ἐστι), τὴν ⟨δὲ⟩ ἐκ τῆς ὑλικῆς δυναμέως εἰς τὴν ἕξιν μεταβολήν, ἥτις γίνεται κατὰ διδασκαλίαν τινὰ καὶ μάθησιν, ἤτοι οὐδ᾽ αὐτὴν διὰ πάθους γίνεσθαι ῥητέον, εἴ γε γίνεται καὶ αὐτὴ εἰς τὸ ἐνεργείᾳ τὴν ἕξιν ἔχειν καὶ τελειότητα ἐκ τῆς ὑλικῆς δυνάμεως | (γένεσις γάρ πως καὶ ἡ τοιαύτη μεταβολή), ⟨ἢ⟩ εἰ καὶ τὴν τοιαύτην 159 μεταβολὴν λέγοι τις ἀλλοίωσιν τῷ μὴ φυσικοῦ τινος εἴδους ἀνάληψιν εἶναι, δύο χρὴ τρόπους ἀλλοιώσεως εἶναι λέγειν, τήν τε ἐπὶ τὰς ἕξεις γινομένην καὶ τὴν φύσιν τε καὶ τὸ κατὰ φύσιν (τὸ γοῦν βέλτιον μέρος ὧν δύναται τὸ δυνάμενον κατὰ φύσιν αὐτῷ), τὴν δέ τινα ἀπ᾽ αὐτῶν βελτιόνων ἕξεων εἰς τὰς στερητικὰς διαθέσεις. εἰπὼν δὲ ταῦτα καὶ διορίσας μετῆλθεν ἐπὶ τὴν αἴσθησιν, καὶ ἔδειξεν, τίς μὲν ἡ πρώτη δύναμίς ἐστι, καὶ πῶς καὶ ὑπὸ τίνος εἰς τὴν ἕξιν μεταβάλλει ἡ τοιαύτη δύναμις, πῶς δὲ καὶ ὑπὸ τίνος ἡ δευτέρα εἰς τὴν ἐνέργειαν, καὶ λέγει τὴν μὲν ἐκ τῆς ὑλικῆς δυνάμεως μεταβολὴν εἰς τὴν κατὰ τὴν ἕξιν γενέσθαι *ὑπὸ τοῦ γεννῶντος* δηλονότι τὸ ζῷον (τὸ γὰρ γεννώμενον οὐδέπω τὴν ἕξιν ἔχει τὴν αἰ-

9 ἡ S²G²a Sp.: εἰ VS¹FBG¹ 11 ἀλλοίωσις a Sp. 12 ὅτι Vict.: ἔτι libri 13 εἴη ἐν (ἂν Vict.) αὐτῷ] fortasse *εἶπεν αὐτὸ* ⟨τῷ⟩ 18 ἀλλοιώσεως coni. Sp. 21 ἔχειν] fortasse ἔχει 24 ἐστι τὴν δὲ Sp.: ἐπὶ τὴν libri 25 μεταβολήν Sp.: μεταβολὴ libri 26 ητοι V αὐτὴν Vict.: ἂν τὴν libri γε Vict.: τε libri 27 αὐτὴ Vict.: αὐτὴν libri 28 ἢ add. Sp. 29 τῷ F Vict. Sp: τὸ VSa 32 αὐτῷ Schwartz: αὐτῶν libri την δε V ἀπ᾽ αὐτῶν] ἀπὸ τῶν coni. Sp.: fortasse ἀπ᾽ αὐτῶν ⟨*τῶν*⟩

σθητικήν, ἀλλ' ἔτι ἐστὶ δυναμένης ἕξεως δεκτικόν, γεννηθὲν δὲ ἔχει τὴν αἰσθητικὴν ἕξιν εὐθύς, ὥσπερ τὸ ἀναλαβὸν τὴν ἐπιστήμην), δείξας δὲ πῶς ἑκάτερον τῶν δυνάμει ἐπὶ τῆς αἰσθήσεώς ἐστιν, προσέθηκεν, ὅτι καὶ τὸ κατ' ἐνέργειαν δὲ αἰσθάνεσθαι ὁμοίως λέγεται τῷ θεωρεῖν τε καὶ νοεῖν· μόνον γὰρ ταύτῃ διαφέρουσιν ἥ τε αἰσθητικὴ καὶ νοητικὴ ἐνέργεια· ἔξωθεν γὰρ καὶ οὐκ ἐν τῷ αἰσθανομένῳ καὶ τὸ ἀκουόμενον ὑπ' αὐτοῦ καὶ τὸ ὁρώμενον, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον. οὗ αἰτίαν ἀπέδωκεν, ὅτι ἡ μὲν αἴσθησις ἀντιληπτική ἐστι τῶν | 160 καθέκαστα, οὐχ οἷόν τε δὲ εἶναι ἐν τῷ αἰσθανομένῳ, ἀλλ' οἰκείαν ὑπόστασιν ἔχει, ἡ δ' ἐπιστήμη καὶ ὁ νοῦς τῶν καθόλου θεωρητικά, ἃ καθόλου οὐκ ἔχει ἰδίαν ὑπόστασιν, ἀλλ' ἐν αὐτῇ πώς ἐστι τῇ διανοίᾳ, τὸ 'πῶς' προσθείς, ὅτι ἡ μὲν ὑπόστασις καὶ τούτοις καὶ τοῦ εἶναι ἡ αἰτία ἐν τοῖς καθέκαστα, ὡς δὲ κοινὰ ἐν τῷ νοεῖσθαι τὸ εἶναι ἔχει, καὶ ἔστιν ὡς κοινῶν ὄντων τὸ εἶναι ἐν τῷ νοοῦντι αὐτὰ νῷ. διὸ καὶ νοεῖν μὲν ἐφ' ἡμῖν, αἰσθάνεσθαι δὲ οὐκ ἐφ' ἡμῖν, ἐπεὶ πρὸς παρὸν μὲν καὶ παρόντος ἡ αἴσθησις, οὐκ ἐφ' ἡμῖν δὲ ἡ τῶν αἰσθητῶν παρουσία, ὡς ὅτε βουλόμεθα ἔχειν αὐτά. ὡς δὲ αἱ αἰσθήσεις ἔχουσιν, οὕτως καὶ αἱ τέχναι, ὅσαι περὶ αἰσθητά. οὐ γὰρ ἐπὶ τοῖς ταύτας ἔχουσι τὸ ἐνεργεῖν ὅτε βούλονται, τῷ δεῖν αὐτοῖς παρεῖναι τὰ περὶ ἃ ἐνεργοῦσιν. ὑπερθέμενος δὲ τὸ περὶ τῆς τῶν αἰσθητῶν τε καὶ νοητῶν διαφορᾶς ἐπὶ πλέον νῦν λέγει τὸ μὲν νοεῖν ἐφ' ἡμῖν, τὸ δὲ αἰσθάνεσθαι οὐκ ἐφ' ἡμῖν, τὰ εἰρημένα δὲ καὶ δεδειγμένα τῇ αἰσθήσει ἐφαρμόσας ἀπέδωκε τὸν κοινὸν λόγον τῆς αἰσθήσεως. ἔδειξεν γὰρ πρῶτον, ἐπεὶ διχῶς λέγεται τὸ δυνάμει (ἄλλως γὰρ λέγεται ὁ παῖς δύνασθαι στρατηγεῖν καὶ ὁ τέλειος ἄλλως· οὗτος γὰρ οὐχ ὁμοίως τῷ τὴν μὲν ἕξιν ἔχοντι μηδέπω δὲ ἐνεργοῦντι), κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ δυνάμει τὸ δυνάμει αἰσθάνεσθαι καὶ | 161 τὴν δυνάμει αἴσθησιν λέγεσθαι. 'ὧν δυνάμεων' εἰπών, 'ἐπεὶ οὐκ ὠνόμασται ἡ διαφορά, φανερὰ δὲ γέγονεν διὰ τοῦ λόγου, χρῆσθαι δὲ ἀναγκαῖον καὶ τῷ πάσχειν καὶ τῷ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν' ἐπὶ τῆς μεταβολῆς τῆς ἐκ τῆς κατὰ δύναμιν αἰσθήσεως εἰς τὴν ἐνέργειαν, ἐπεὶ μὴ ἔχομεν ἄλλα τινὰ ὀνόματα κύρια αὐτῶν, ἦλθεν ἐπὶ τὸ λόγον ἀποδοῦναι τῆς αἰσθήσεως, καὶ εἶπεν τὸ αἰσθητικὸν δυνάμει εἶναι οἷον τὸ αἰσθητὸν ἤδη ἐντελεχείᾳ ἐστίν, ὅτι πάσχει μὲν ὑπὸ τοῦ αἰσθητοῦ οὐδέπω ὅμοιον ὂν αὐτοῦ, παθὸν δὲ ὡμοίωται καὶ ἔστιν οἷον ἐκεῖνο, τὸ δὲ παθὸν ὡς ἴσον πᾶν ἢ τῷ ἀλλοιωθὲν εἶπεν. ἀποδοὺς δὲ τοῦτον τὸν λόγον οὐχ ὡς κυρίως ὄντος τοῦ αἰσθάνεσθαι, ἀλλὰ διὰ τὴν τῶν κυρίων ὀνομάτων ἀπορίαν (ἐδείχθη

---

1 ἔχει G Vict. Sp.: ἔτι ἔχει F: ἔτι VBa: del. S[2] 4 fortasse δὴ 7 ἕκαστον scripsi: ἑκάστου libri οὗ Diels: οὖν libri 8 fortasse ⟨ἃ⟩ οὐχ οἷόν τε [δὲ] 11 τῇ om. a Sp. 14 αὐτὰ scripsi: αὐτῷ libri 16 βολόμεθα V αἰσθήσεις] αἱ s. v. V 17 ταύτας scripsi: ταῦτα libri 18 τῷ coni. Sp.: τοῦ libri 20 fort. πλέον ⟨λέγειν⟩ νῦν λέγει] ῦν λέγει in lit. V 21 δὲ Sp.: τε libri 26 δυνάμει αἴσθησιν G Vict. Sp.: δύναμιν αἰσθήσει VFBSa 28 ἐπὶ om. a Sp. 29 ἐπεὶ coni. Sp.: ἔτι εἰ VFBS: ἔτι ἐπεὶ G: ὅτι εἰ Vict.: ὅτι Sp. in textu 31. 32 ἤδη ἐντελεχείᾳ Sp. ex Arist.: ἤδη ἐντελέχειά Vict.: ἡ δὲ ἐντελέχειά libri 32 ἐστίν om. F, sed cf. 86,29 ὅτι scripsi: ὃ libri πάσχει GF Vict. Sp.: πᾶσ ἔχει VBSa 33 πᾶν] fortasse ἂν 34 ἢ τῷ Sa: ἡ τω V: ἡ τῶ B[1]: ἡ τὸ B[2]: ἢ τὸ GF: ἦν τῷ coni. Sp.: fortasse εἴη τῷ ἀπὸ δοὺς V [illegible] rtasse κύριον ὄντα

γάρ, ὅτι οὐκ ἔστιν ἡ τοῦ οὕτω δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολὴ οὔτε πάθος οὔτε ἀλλοίωσις οὔτε κίνησις), ἐπὶ τὸ περὶ ἑκάστης αἰσθήσεως κατ' ἰδίαν λέγειν μετῆλθεν.

Τὰ δὲ κεφάλαια τῶν εἰρημένων· πρῶτον ἔλαβεν, ὅτι ἡ αἴσθησις ἐν τῷ κινεῖσθαί τε καὶ πάσχειν, μεθ' ὃ ἐζήτησεν, πῶς τὸ πάσχειν, τὸ εἰ δύναταί τι καὶ ὑπὸ τοῦ ὁμοίου πάσχειν· ἐφ' | οἷς ἀπορήσας, διὰ τί οὐχὶ 162 καὶ τῶν αἰσθητηρίων αὐτῶν αἴσθησις γίνεται ὄντων αἰσθητῶν, εἰς τὴν λύσιν τῆς ἀπορίας ἔλαβεν τὸ εἶναι τὸ δὲ δυνάμει τὴν αἴσθησιν, καὶ διὰ τοῦτο δεῖν αὐτῇ πρὸς τὴν ἐνέργειαν παρόντων τῶν αἰσθητῶν ποιεῖν δυναμένων. ἐφ' οἷς ἔλαβεν 'διχῶς ἡ αἴσθησις, ἡ μὲν δυνάμει ἡ δὲ ἐνεργείᾳ', μεθ' ἃ εἶπεν δεῖν λέγειν ἔτι, εἰ μηδέπω διώρισται, τίνι διαφέρει τὸ κινεῖσθαί τε καὶ πάσχειν τοῦ ἐνεργεῖν, εἰ τὸ πάσχειν τε καὶ κινεῖσθαι κινουμένου, ἐπεὶ καὶ λέγεται ἡ κίνησις ἐνέργειά τις εἶναι. ἐφ' οἷς ἔλαβεν, ὅτι πάντα τῷ πάσχειν καὶ κινεῖται τε ὑπὸ τοῦ ποιητικοῦ ἐνεργείᾳ ὄντος τούτου, ὃ δύναται τὸ πάσχον γενέσθαι· διὸ πάσχον μέν ἐστιν ἀνόμοιον, ἐπεὶ πᾶν τὸ πάσχον ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιον, ἐπεὶ τῇ αἰσθήσει ἦν καὶ δύναμις καὶ ἐνέργεια. καὶ ἔδειξε διττὸν τὸ δυνάμει, καὶ ὅτι μὴ πάντως τῷ δυνάμει ἡ εἰς τὴν ἐνέργειαν μεταβολὴ δι' ἀλλοιώσεως. ἐφ' οἷς διαίρεσιν ἐποιήσατο τοῦ ἀλλοιοῦσθαι· τούτου γὰρ δηλωτικὸν τὸ πάσχειν. τὸ μὲν γάρ τι πάσχειν κατὰ φθορὰν γίνεται, ἥτις ὑπὸ ἐναντίου γίνεται, τὸ δέ τι πάσχειν λέγεται σωζόμενον καὶ ἐπιδιδὸν εἰς τὴν αὑτοῦ τελειότητα ὑπὸ τοῦ ὁμοίου αὐτῷ· ὁμοία γάρ πως ἡ ἀπὸ τῆς ἕξεως ἐνέργεια τῇ ἕξει, ἀφ' ἧς γίνεται, ὃ | πάσχειν οὐκ ἀλλοίωσις ἂν εἴη. ἐφ' οἷς ἔδειξεν, ὅτι ἡ κατὰ 163 τὴν δύναμιν αἰσθήσεως εἰς τὴν κατ' ἐνέργειαν μεταβολὴ οὐκ ἔστιν ἡ αὐτὴ τῇ κατ' ἀλλοίωσιν γινομένῃ. ἀλλ' οὐδ' οὕτω πάσχει τὸ αἰσθανόμενον, ὡς ἔπασχε τὰ φθειρόμενα, ἀλλ' ὡς τὸ εἰς ἑαυτὸ ἐπιδιδόν. καὶ τὴν τελειότητα διορίσας εἰπὼν δεῖν τοῖς κοινοῖς ὀνόμασι χρῆσθαι ἐν τῷ λόγῳ τῷ τῆς αἰσθήσεως, ἐπεὶ μὴ ἔχομεν τὰ κύρια τῶν σημαινομένων, ἀπέδωκεν λόγον αὐτῆς καὶ εἶπεν [τὴν αἴσθησιν] δυνάμει τὸ αἰσθητικὸν εἶναι, ὁποῖόν ἐστι τὸ αἰσθητὸν ἐντελεχείᾳ, πάσχον δὲ ὑφ' ἑαυτοῦ καὶ δι' ἄλλου, οὐ μὲν ὡς εἶπεν πρότερον γίνεσθαι τὴν κατ' ἐνέργειαν αἴσθησιν, πῶς δεῖ τοῦ πάσχειν καὶ ἀλλοιοῦσθαι ἀκούειν ἐπὶ τῆς μεταβολῆς τῆς κατὰ τὴν δύναμιν αἰσθήσεως εἰς τὴν ἐνέργειαν προειρηκώς. ὁ δ' ἀποδοθεὶς λόγος τῆς αἰσθήσεώς ἐστι τὸ αἰσθητικὸν δυνάμει ὂν οἷον τὸ αἰσθητὸν ἤδη ἐστὶν ἐντελεχείᾳ, ὃ πάσχον μὲν ὑπ' αὐτοῦ οὐδέπω ὅμοιόν ἐστι, πεπονθὸς δὲ ὅμοιον. |

---

2 τὸ Diels: τὰ libri ἐπὶ τὰ GFSa Sp.: ἐπι (ἐπει v. c.) τα sic V: ἔπειτα B 5 τὸ] καὶ coni. Sp., sed supplendum ἐζήτησε τὸ 5. 6 δυναται V 8 τὸ δὲ] το δε (supra ο ras.) V: τότε coni. Sp. cf. 83,1: τόδε Schwartz 9 δεῖν] δεῖσθαι coni. Sp. αὐτῇ scripsi: αὐτὴν libri (cf. 85,18) 12 εἰ τὸ scripsi: ἐν τῷ libri 14 fortasse πᾶν τὸ πάσχον πάσχει τε καὶ κινεῖται ὑπὸ cf. 83,9 (πάντα πάσχει, τε del., ⟨καὶ⟩ ἐν. Sp.) 15 ἐστιν scripsi: ὅτι libri: τι coni. Sp. 17 alt. καὶ del. Sp. 21 ἀυτου sic V 22 αὐτῷ Sp.: αὐτοῦ libri 23 ἡ] εἰ a: fortasse ἡ ⟨τῆς⟩ 24 αἰσθήσεως Vict. Sp.: αἰσθήσει ἡ GFB: αἰσθήσει η sic V: αἰσθησείη Sa 26 ἑαυτο V ἐπιδιδόν scripsi: ἀποδεῖ libri: ἐπειδὴ Vict. 29 τὴν αἴσθησιν circumscripsi 30 fortasse ὑπ' αὐτοῦ μὲν] μεν V: μὴν Vict. Sp. 32. 33 αἰσθήσεως Vict.: αἴσθησιν libri 34 ηδη V ἐντελεχεια V

IV. Πῶς οὐχὶ καὶ ἡ πρόσοδος τοῦ ἡλίου καὶ ἡ ἄφοδος ὁμοίως 164 αἰτία γενέσεως καὶ φθορᾶς. ἡ γὰρ ἄλλου γένεσις ἄλλου φθορά.

Εἰ προσιόντος μὲν ἐγγυτέρω τοῦ ἡλίου γένεσίς ἐστιν, ἀπιόντος δὲ πόρρω φθορά, ἔστιν δ' ἡ ἄλλου γένεσις ἄλλου φθορά, καὶ ἡ ἄλλου φθορὰ γένεσις ἄλλου, πῶς οὐχ ἅμα καὶ φθορᾶς καὶ γενέσεως αἴτιός ἐστι καὶ προσιὼν καὶ ἀπιών, εἴ γε δεῖ καὶ τὰ γινόμενα ἐξ ἄλλων τινῶν γίνεσθαι φθορᾶς, καὶ τὰ φθειρόμενα εἰς ἄλλων γένεσιν μεταβάλλειν; οὕτω δ' οὐδὲν ἂν ἔτι διαφέροι ἡ πρόσοδος αὐτοῦ τῆς ἀφόδου. ⟨ἢ⟩ εἰ τῶν γινομένων τὰ μέν ἐστι προηγούμενα, τὰ δὲ δεύτερα καὶ τοῖς προηγουμένως γινομένοις ὑπεναντία, εἴη ἂν ἡ μὲν τῶν προηγουμένων γένεσις κυρίως, ᾗ γίνεται, προσιόντος ἑκάστοις τοῦ ἡλίου (καὶ ἐπεὶ ἡ τινῶν γένεσις ἄλλων ἐστὶ φθορά, εἴη ἂν φθειρόμενα τὰ [φθορᾷ] τοῖς προηγουμένως γινομένοις ἐναντία), ἡ δὲ φθορὰ τῶν προηγουμένων, ἥτις καὶ κυρίως φθορά, γένεσις δὲ τῶν τούτοις ἀντικειμένων, οὐκ οὖσα κυρίως γένεσις, ἀποχωροῦντος πορρωτέρω, εἰ κατὰ φύσιν αἱ γενέσεις γίνοιντο καὶ φθοραί, μηδενὸς ἀντιβαίνοντός τε καὶ ἀντικόπτοντος τῶν | αἰτίων. ἐν δὲ ταῖς ἀνωμαλίαις ταῖς τοιαύταις γίνοιντο ἄν ποτε 165 καὶ ἔμπαλιν. λέγεται γὰρ γένεσις καὶ φθορὰ κυρίως ἐπὶ τῶν προηγουμένως γινομένων, ταῦτα δ' ἐστὶ τὰ βελτίω τῶν κατ' ἀντίθεσιν γινομένων ἐξ ἀλλήλων. καὶ γὰρ [γενέσεις] αἱ τούτων γενέσεις καὶ φθοραί, [αἱ] γινόμεναι κατὰ τὴν ἐνιαύσιον τοῦ ἡλίου περίοδον, προσιόντος μὲν οἷς πρόσεισι προδήλως γίνονται, ἀπιόντος δὲ φθείρονται καὶ θνήσκουσιν.

V. Ὅτι τὸ ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαι καὶ μὴ ἐξ ὑποθέσεως ἐν τοῖς ἀεὶ κύκλῳ γινομένοις ἐστίν.

Τὸ ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαί τινα Ἀριστοτέλης ἐδίδαξεν ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς β̄ ἐπὶ μόνων ἀληθὲς ὂν τῶν κύκλῳ γινομένων καὶ ἀκολουθούντων τῇ τῶν θείων σωμάτων περιφορᾷ. ἐπεὶ γὰρ τὸ ἐξ ἀνάγκης ὂν ἀεί ἐστι (τὸ γὰρ ἐξ ἀνάγκης τοῦ ἀιδίου δηλωτικόν ἐστι), καὶ ἐξ ἀνάγκης ἂν εἴη ταῦθ' ἃ γινόμενα ἀναγκαίως τε καὶ ἀεὶ γίνεται. εἰ δὲ γίνεται τὰ γινόμενα πάλιν καὶ πάλιν, ταῦτα δέ ἐστι τὰ ἀνακυκλούμενα, ταῦτ' οὖν ἐστι καὶ γινόμενα ἐξ ἀνάγκης. ὅτι γὰρ μηδὲν τῶν ἐπ' εὐθείας γινομένων (ταῦτα δ' ἐστὶ τὰ μὴ πάλιν καὶ πάλιν γινόμενα), ὅτι δὴ μηδὲν τῶν | οὕτω γινομένων ἐξ ἀνάγκης γίνεται, οὕτως ἔδειξεν. τῶν ἐπ' εὐ- 166

---

2 φθορά GFSa Sp.: φορά V   3 προσιόντωσ V   γενεσισ V   8 αὐτοῦ Sp.: αὐτῷ libri   ἢ εἰ Vict. Sp.: εἰ VSB²a: ἡ GFB¹   10 ᾗ a: ἡ V: ἧ Vict.: ἣ Sp.: fortasse οἷς (vel ἣ κυρίως γ. cf. v. 13)   προσιόντωσ V   11 φθορα V   12 τὰ Vict. Sp.: τὰ φθορα sic V: τὰ φθορὰ Sa: ἐν τῇ φθορᾷ G: τὰ φθορᾷ B   16 γίνοιτο coni. Sp.   19 γενέσεις et αἱ delevi   21 φθείρονται] τ in lit. V   24 ἐδίδαξεν] de gen. et corr. II, 10. 336a31 sqq.   27 ὂν om. Sp.   28 ταῦθ' ἃ Sp.: ταῦτ' ἃ Sa: ταῦτα VFGB   δὲ] δ' ἀεὶ Diels   29 fortasse γίνεταί τινα   γινόμενα sic V   31 καὶ πάλιν om. a Sp.   32 ἔδειξεν] de gen. et corr. II, 11. 338a2 sqq.

θείας γινομένων ἤτοι ἐπ' ἄπειρόν τι γίνεται, ὡς ἀεὶ μέν τινα αὐτῷ προσθήκην γίνεσθαι, μηδέποτε δ' αὐτὸ παύεσθαι τοῦ γίνεσθαι τελειωθέν, ἢ οὕτως ἐπ' ἄπειρον γίνεται, ὡς ἄλλο ἐξ ἄλλου γίνεσθαι καὶ μηδέποτε ἵστασθαι, ἢ πέρας τε λαμβάνει καὶ παύεταί ποτε γινόμενον. οὔτε δὲ ἐν τοῖς ἐπ' ἄπειρον γινομένοις τῶν ἐπ' εὐθείας οἷόν τε γίνεσθαι ἐξ ἀνάγκης ἁπλῶς, οὔτε ἐν τοῖς πέρας ἔχουσιν, διὸ τὸ ἐξ ἀνάγκης γινόμενον οὕτως γίνεται, ⟨ὡς⟩ ἢ διὰ τὸ γινόμενον λοιπὸν ἀίδιον μένειν, ἢ διὰ τὸ ἀεὶ γίνεσθαι. οὐδὲν δὲ τῶν γινομένων οὔτε γενόμενον ἀίδιον μένειν οἷόν τε, οὔτ' ἐπ' ἄπειρον γίνεται. πᾶσά τε γὰρ γένεσις πεπερασμένη, καὶ μετὰ τὸ γενόμενον φθαρῆναι οὐκέτ' ἀνακάμπτει οὐδὲ γίνεται πάλιν. τοιοῦτο γὰρ ἦν τὸ ἐπ' εὐθείας, ὥστε οὐδὲν τῶν ἐπ' εὐθείας γινομένων πεπερασμένως ἐξ ἀνάγκης οἷόν τε λέγειν γίνεσθαι. τὰ μὲν γὰρ γινόμενά ἐστι τὰ καθέκαστα, ὁ Σωκράτης, ὁ Πλάτων, ὅδε ἵππος· τούτων οὐχ οἷόν τε πάλιν ἀνακάμπτειν καὶ γίνεσθαι πάλιν. εἰ γὰρ ἦν τι τούτων ἐξ ἀνάγκης [τὸ] γινόμενον, ἀληθὲς ἐπ' αὐτῶν καὶ τὸ 'εἰ τὸ πρῶτον, τὸ ὕστερον'. νῦν δ' οὐχ οὕτως ἔχει. κατὰ γὰρ τὸ εἶδος τὰ τοιαῦτα διαμένει ἀίδια, ὃ οὐκ ἔστι γενόμενον, ἦν δὲ τὸ ζητούμενον 167 περὶ τῶν γινομένων. εἰ δὲ καὶ οἱ ἄνθρωποι ἀεὶ γίνονται καὶ οὐ διαλείπουσιν, ἀλλὰ κύκλῳ καὶ ἡ τούτων γένεσις, καθὸ ἄνθρωποι ἂν εἶεν ἐξ ἀνάγκης γινόμενοι, * καθὸ ὁ μὲν Πλάτων, ὁ δὲ Σωκράτης. ἢ ἡ τούτων γένεσις ἐπ' ἄπειρον ἐπ' εὐθείας ἐστὶν ἄλλοτε ἄλλου γινομένου καὶ μηδέποτε ἔτι τοῦ αὐτοῦ. διὸ ἐπὶ τούτου μὲν ἡ ἀκολουθία ὑγιὴς ἡ 'εἰ τὸ ὕστερον, ἐξ ἀνάγκης καὶ τὸ πρῶτον'. ὅτι ⟨δὲ⟩ μηδ' ἐπ' ἄπειρον οὔσης τῆς ἐπ' εὐθείας γενέσεως [εἰ] οἷόν τέ τι ἐξ ἀνάγκης γίνεσθαι, ἔδειξεν διὰ τοῦ ἐπὶ τῶν ἐξ ἀνάγκης γενομένων ἀληθῆ ἀκολουθίαν εἶναι οὐ μόνον τὴν 'εἰ τὸ ὕστερον, καὶ τὸ πρῶτον' (αὕτη μὲν γὰρ καὶ ἐπὶ τῶν ἐνδεχομένως γινομένων ἀληθής), ἐφ' ὧν δ' ἐξ ἀνάγκης τι τῶν ὑστέρων ἁπλῶς γίνεται, ἐπὶ τούτων ἀληθὲς καὶ τὸ 'εἰ τὸ πρῶτον, τὸ ὕστερον'. τῷ μὲν γὰρ ἐξ ἀνάγκης τὸ ὕστερον γενέσθαι, εἶναι δ' ἀληθὲς ἐπὶ πάντων τῶν γινομένων ⟨τὸ⟩ 'εἰ τὸ ὕστερον, καὶ τὸ πρῶτον ἀνάγκη γενέσθαι', ἀναγκαῖον, ἐφ' ὧν τὸ ὕστερον ἐξ ἀνάγκης γίνεται, ἐπὶ τούτων καὶ τὸ πρῶτον ἐξ ἀνάγκης γενέσθαι. ἐπὶ δὲ τοῦ ἐπ' ἄπειρον γινομένου οὐδέν ἐστιν ὕστερον, ἐφ' οὗ ἔσται ἀληθὲς τὸ ἐξ ἀνάγκης αὐτὸ ἁπλῶς ἐσόμενον· οἷς δὲ τὸ ὕστερον μὴ ἐξ ἀνάγκης ἁπλῶς, ἐπὶ τούτων οὐδὲ τὸ πρὸ τοῦ ὑστέρου | οἷόν τε λέγειν ἐξ ἀνάγκης ἔσεσθαι 168 ἁπλῶς. τὸ γὰρ ἀναγκαῖον τοῖς πρὸ τοῦ ὑστέρου παρὰ τοῦ ὑστέρου, ὅταν ἐξ ἀνάγκης ἐκεῖνο γίνηται, μηδενὸς δὲ ὄντος ὑστέρου, ἐπὶ τῶν οὕτω γινομένων οὐδ' ἂν τῶν πρώτων τι γινομένων ἐν αὐτοῖς γίνοιτο ἐξ ἀνάγκης,

1 τι Sp.: ἔτι libri 5 fortasse τέ ⟨τι⟩ 6 fortasse διότι ὡς addidi 8 γενόμενον scripsi: γενομένων libri 13 ὁ δὲ a fortasse τέ ⟨τι⟩ 14 τὸ delevi τὸ — ἀληθὲς] ἀληθὲς ἂν ἦν coni. Sp. 19 οὐ καθὸ coni. Sp. ἢ ἡ Sa Sp.: ἡ ἡ VB: μὴ ἡ G: ἣ ἡ F 21 ἔτι Sp.: ἐπὶ libri 22 δὲ add. Vict. 23 εἰ del. Sp. 25 ἐνδεχομένως] ἐνδεχομένων a 26 ἀληθής] ης in lit. V 27 τῷ Sp.: τῶν libri 28 τὸ addidi 32 ἀναγκησ V 33 τὸ Sp.: τὸν libri 35 γίνηται Sp.: γίνοιτο libri fortasse ὑστέρου ⟨ἐξ ἀνάγκης⟩

ἀλλ' ἔσται ἐπ' αὐτῶν ἀληθὲς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, τὸ εἰ τὸ ὕστερον, ἔσται ἐξ ἀνάγκης καὶ τὸ πρῶτον αὐτοῦ. ἀπορήσειε δ' ἄν τις, εἰ ἐπὶ τῶν κύκλῳ γινομένων καὶ ἀνακαμπτόντων πάλιν ἀληθὴς ἀκολουθία ἡ 'εἰ τὸ πρῶτον, καὶ τὸ ὕστερον'. ἢ ἐπὶ τῶν ὡρισμένως γινομένων ὑπὸ τῶν κύκλῳ κινουμένων ἀληθὴς ἡ τοιαύτη ἀκολουθία. εἰ γὰρ τροπαὶ χειμεριναί, καὶ ἰσημερία, καὶ εἰ ἰσημερία, καὶ τροπαὶ θεριναί, καὶ εἰ τροπαὶ θεριναί, ἰσημερία, καὶ εἰ αὕτη, τροπαὶ χειμεριναί, ἀλλὰ ⟨καὶ⟩ εἰ χειμών, καὶ ἔαρ, καὶ εἰ ἔαρ, θέρος, καὶ εἰ θέρος, μετόπωρον, καὶ εἰ μετόπωρον, χειμών, πάλιν καὶ εἰ ἐπὶ τῶν πρώτων ῥηθέντων ἡ τάξις ὡρισμένη καὶ ἑστῶσα καὶ οὔτε ὑπολείπουσά ποτε οὔτε προλαμβάνουσα, ὅτι τῆς τούτων οὐσίας τε καὶ τάξεως αἰτία μόνη ἡ τῶν πρώτων κίνησις σωμάτων, οὐδενὸς εἰς αὐτὴν ἄλλου συντελοῦντος (διὸ καὶ τὸν χρόνον ἔστιν ἐπὶ τούτων ὁρίζοντας λέγειν, πότε ἐξ ἀνάγκης ἔσται), θέρη τε καὶ μετόπωρα καὶ χειμῶνες οὐκέθ' ὁμοίως ἔχουσι τὸ ὡρισμένον, καίτοι γινόμενα κύκλῳ καὶ ἑπόμενα τῇ κινήσει καὶ αὐτὰ τῶν ἀιδίων, ὅτι ταῦτα καὶ ὑπὸ τῆς | ὕλης πρὸς τὸ γίνεσθαι συνεργεῖται 169 πασχούσης ὑπὸ τῆς ἐκείνων κινήσεως, ἥτις ἐπεὶ μὴ πάντῃ ὁμοίως [ᾗ] ἕπεται κατὰ τὰ πάθη ταῖς ἐκείνων κινήσεσί τε καὶ περιφοραῖς, οὐχ ὁμοίως τοῖς καθ' ἕκαστον ὥρισται. ἔτι δὲ μᾶλλον τὸ ἀόριστον ἐν τοῖς πλειόνων δεομένοις συνεργούντων αὐτοῖς πρὸς τὸ εἶναι, ὧν ἐστι καὶ ἡ τῶν ζῴων γένεσις. διὸ ἀληθὲς ἐπ' αὐτῶν καθόλου, ὅτι ἀίδιον ἕκαστον αὐτῶν κατ' εἶδος (τούτου γὰρ αἰτία ἡ τῶν θείων περιφορά), τῆς δὲ τῶν καθ' ἕκαστα γενέσεως, ἐφ' ὧν τὸ πλεῖστον δύναται ἡ τῶν προσεχῶς ποιητικῶν αἰτία, οὐκ ἐπὶ τούτων ἀληθὲς τὸ 'εἰ τὸ πρῶτον, ἐξ ἀνάγκης τὸ ὕστερον', ἀληθὲς δὲ τὸ 'εἰ τὸ ὕστερον, ἐξ ἀνάγκης καὶ τὸ πρὸ αὐτοῦ'.

VI. Λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου Περὶ ψυχῆς Ἀριστοτέλους, δι' ἧς ἔδειξεν, ὅτι μὴ πλείους τῶν πέντε εἰσὶν αἰσθήσεων.

"Εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις ἁφή, καὶ νῦν αἴσθησιν ἔχομεν (πάντα γὰρ ⟨τὰ⟩ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν), ἀνάγκη τε εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλείπειν· καὶ ὅσων μὲν αὐτοὶ ἁπτόμενοι αἰσθανό|μεθα, τῇ ἁφῇ αἰσθητά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες· 170 ὅσα δὲ διὰ τῶν μεταξύ, καὶ μὴ αὐτῶν ἁπτόμενοι τοῖς ἁπλοῖς, λέγω οἷον ἀέρι τε καὶ ὕδατι" ἕως τοῦ "μηδ' ἕτερόν ἐστι σῶμα καὶ

1 ὑ|θέσεως V 4 τὸ om. Sp. ἡ V 5 τοιαύτη] τη in lit. V 7 καὶ add. Sp. 8 πάλιν καὶ] sensus postularet ἀλλά; fortasse excidit aliquid 12 καὶ S^{2}a: κἂν VS^{1}GF Sp. 13 τε] δὲ Vict. Sp. 16 πάντῃ] πάντων a Sp. 17 ᾗ delevi (ἢ V) 18 τοῖς GS^2 Sp.: οἷς VFS^{1}a 25 ἐκ τοῦ τρίτου] de an. III, 1. 424^{b}24—425^{a}13 28 τὰ add. Vict. ex Arist. cf. 90,8 πάθη om. a 30 ἐκλείπειν GB Vict.: ἐκλέίπειν sic V: ἐκλίπειν FS: ἐκλιπεῖν a Sp. αὐτοὶ (ut p. 90,21 et Arist. TW) Sa: αὐτῶν Arist. vulg.: αὐτῇ B^2: αὐτοῖσ V, cf. 90,21 απτόμενοι V 32. 33 ἁπλοῖς διαστήμασι λέγω δὲ οἷον Vict. 33 λέγω] ω in lit. V: λέγω δ' Arist. τε om. Arist. ἕως τοῦ] l. c. 425^{a}11 μηδ' ἕτερόν F: μὴ δέτερόν sic V: μηθέτερον BSa: ὥστε εἰ μή τι ἕτερον Vict. Sp. ex Arist.

πάθος, ὃ μηδενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδεμία ἂν ἐκλείποι αἴσθησις".

Δοκεῖ μοι ὁ νοῦς τοῦ λεγομένου συστέλλοντι εἰς τὰς κυρίας προτάσεις τῶν λόγων τοιοῦτος εἶναι. ὧν ἔχομεν τὰ αἰσθητήρια, τούτων πάντων καὶ αἴσθησιν ἔχομεν. εἴ τινων μὴ ἔχομεν αἴσθησιν, τούτων τῷ μὴ ἔχειν τὰ αἰσθητήρια αὐτῶν οὐκ αἰσθανόμεθα. εἶπεν δὲ τὸ μὲν ἐξ ὧν ἔχομεν πάντων διὰ τοῦ εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις ἁφή, καὶ νῦν αἴσθησιν ἔχομεν· πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν. εἰπὼν γὰρ περὶ τῆς ἁφῆς κατέλιπεν τὸ 'καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων τε καὶ αἰσθήσεων' προσθεῖναι, ὧν πάντων ληφθέντων γίνεται καθόλου τὸ 'εἰ ὧν ¦ ἔχομεν τὰ αἰσθητήρια, τούτων πάντων καὶ αἴσθησιν ἔχομεν'. τὸ 'εἴ τινων μὴ αἴσθησιν ἔχομεν, 171 τούτων τῷ μὴ ἔχειν τὰ αἰσθητήρια αὐτῶν οὐκ αἰσθανόμεθα' εἶπεν † πάλιν διὰ τοῦ αὐτοῦ ἀνάγκη τε, εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλείπειν, ὅτι συνημμένον δυνάμει προσλαμβάνει τὸ ἀντικείμενον τοῦ ὑποκειμένου τῷ ἑπομένῳ τὸ 'ἀλλὰ μὴν οὐδὲν ἡμῖν αἰσθητήριον ἐλλείπει', οὗ δειχθέντος ἕπεται τὸ μηδ' αἴσθησίν τινα ἐκλιπεῖν. δυνάμει δ' εἶπον, ὅτι μὴ ἄντικρυς τοῦτο προσλαμβάνει, ἀλλὰ λαβὼν τίνα ἔχομεν αἰσθητήρια, καὶ δείξας, ὅτι πλείω τούτων οὐχ οἷόν τέ ἐστιν αἰσθητήρια, δείκνυσιν, ὅτι μηδὲν ἡμῖν αἰσθητήριον λείπει. λαμβάνει δὲ τίνας ἔχομεν αἰσθήσεις διὰ τῶνδε· καὶ ὅσων μὲν αὐτοὶ ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθητὰ εἶναι, ἣν τυγχάνομεν ἔχοντες, ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς, λέγω δ' οἷον ἀέρι καὶ ὕδατι. διὰ γὰρ τούτων, ὅτι τὸ ἁπτικὸν αἰσθητήριον ἔχομεν, ἔλαβεν, καὶ πρὸς τούτῳ, ὅτι ὧν αἰσθανόμεθα διά τινος μεταξύ, τοῖς ἁπλοῖς σώμασιν τούτων ἡ αἴσθησις γίνεται, ἐξ ὧν ἔχομεν αἰσθητήρια, ἐξ ὕδατός τε καὶ ἀέρος. οἷς ἀκόλουθον ὂν τὸ δεῖξαι, ὅτι τῶν ἁπλῶν σωμάτων ἐκ τῶν δύο τούτων μόνων αἰσθητήρια δύναται εἶναι, ἐκ δὲ πυρὸς καὶ γῆς οὐχ ¦ οἷόν τε εἶναι αἰσθητήριον. 172 τούτου γὰρ δειχθέντος δεδειγμένον γίνεται καὶ τὸ μηδὲν ἡμῖν αἰσθητήριον λείπειν. ὁ δὲ τοῦτο μὲν ὕστερον δείκνυσι, πρῶτον δὲ ἐπιλαμβάνει τρία εἶναι τὰ αἰσθητήρια, τὴν ἁφὴν καὶ τὰ ἐκ τῶν ἁπλῶν, τό τε ἐκ τοῦ ὕδατος καὶ τὸ ἐκ τοῦ ἀέρος, πλείω δέ ἐστι τὰ εἴδη τῶν αἰσθητῶν, εἴ γε τὰ μέν ἐστιν ὁρατά, τὰ δ' ἀκουστά, τὰ δ' ὀσφρητά, τὰ δὲ γευστά, τὰ δ' ἁπτά. ὅτι μηδὲ ἰσάριθμα τὰ αἰσθητήρια εἶναι τοῖς αἰσθητοῖς δείκνυσιν διὰ τοῦ· ἔχει δ' οὕτως, ὥστ' εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ ἕτερα ὄντα ἀλλήλων τῷ γένει, ἀνάγκη τὸν ἔχοντα τὸ τοιοῦτο αἰσθητήριον ἀμφοῖν αἰσθητικὸν εἶναι. ἔστι γὰρ διὰ τοῦτο λαμβάνειν τὸ ὅτι, εἴ γε εἴη τινὰ [ἃ] διαφέροντα ἀλλήλων τῷ γένει αἰσθητὰ δι' ἑνός τινος αἰσθητηρίου αἰσθητὰ γινόμενα, τὸ ἔχον τὸ ἓν τοῦτο αἰσθητήριον ἀμφοτέρων τῶν

1 ἐκλίποι Arist. vulg. 3 συστέλλοντι Diels: συντελοῦντι libri 5 alt. ἔχ. αἴσθ. corr. ex αἴσθ. ἔχ. V 6. 7 fortasse ἐξ 'ὧν ἔχομεν' ⟨ἕως⟩ 'πάντων ⟨καὶ ἔχομεν, αἴσθησιν⟩' 9 περὶ scripsi: ἐπὶ libri 12 τὸ δὲ Vict. Sp. ἔχομεν coll. ante αἴσθησιν a Sp. 13 cf. Addenda 15 ἐκλείπει a 17 τὸ Vict. Sp.: τοῦ libri 18 ἀντικρὺς Sp. τοῦτου sic V 22 ἣν τυγχάνομεν B²S²a Sp.: ἐτυγχάνομεν VB¹S¹ 24 τούτῳ Sp.: τοῦτο libri 34 ὅτι] cf. Ind. 38 ἃ delevi

τῷ γένει διαφερόντων αἰσθητῶν αἰσθάνεται. οὐ γάρ, ἐπεὶ δύο καὶ τῷ γένει διαφέροντα αἰσθητά, τά τε ἀκουστὰ καὶ τὰ ὀσφραντά, δεῖ αὐτῶν καὶ τὰ ὄργανα δι' ὧν ἐστιν αἰσθητὰ διαφέροντα εἶναι (δι' ἀέρος γὰρ ἀμφοτέρων ἡ ἀντίληψις), ὥσθ' ὁ τοῦτον ἔχων ἀμφοτέρων ἂν διὰ τούτου ἀντιλαμβάνοιτο. πάλιν τε αὖ, εἰ πλείω εἴη αἰσθητήρια [τὰ], δι' ὧν οἷόν τε ἑνὸς αἰσθάνεσθαι (ὡς ἔχειν δοκεῖ τὰ ὀσφραντά· τούτων γὰρ δοκεῖ καὶ δι' ὕδατος καὶ ἀέρος αἴσθησις γίνεσθαι· δι' ὕδατος μὲν γὰρ τὰ ἔνυδρα, | ⟨δι'⟩ ἀέρος 173 δὲ τὰ ἀναπνέοντα δοκεῖ ὀσμῆς ἀντιλαμβάνεσθαι, ἐπεὶ διὰ τούτων πάντα τὰ ἕτερον τούτων ἔχοντα [τὸ] αἰσθητήριον μόνον αἰσθήσεται αὐτῶν· οὐ γὰρ δεῖ ἀμφότερα ἔχειν τὸ μέλλον ὀσμῆς αἰσθάνεσθαι) * * * ταῦτα λαβὼν καὶ ἀνελὼν δι' αὐτῶν τὸ ἀνάγκη εἶναι ε̄ τὰ αἰσθητήρια, ἐπεὶ τοσαῦται τῶν αἰσθητῶν κατὰ γένος διαφοραί, ἐφεξῆς δείκνυσιν, ὅτι μὴ οἷόν τε εἶναι αἰσθητήριον ἐξ ἄλλου τινὸς τῶν ἁπλῶν σωμάτων, ἢ ἐξ ὕδατος καὶ ἀέρος, ὧν τὴν μὲν κόρην, ᾗ τῶν ὁρατῶν αἰσθανόμεθα, ἐξ ὕδατος ἔχομεν, τὴν δ' ἀκοὴν ἀέρος, τὴν δ' ὄσφρησιν ἡμεῖς μὲν καὶ τὰ μὴ ἔνυδρα ἐξ ἀέρος, τὰ δὲ ἔνυδρα ἐξ ὕδατος. οὔτε δὲ ἐκ πυρὸς οἷόν τε αἰσθητήριον εἶναι, ὡς ἐν τῷ Περὶ αἰσθήσεώς τε καὶ αἰσθητῶν δείξει, οὔτε ἐκ γῆς μόνης. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε ἄλλο τι αἰσθητήριον εἶναι παρὰ ταῦτα, ἃ ἔχει τὰ τέλεια τῶν ζῴων. οὐδὲν ἐλλείπει αἰσθητήριον τοῖς τὰς πέντε αἰσθήσεις ἔχουσιν, ὥστε οὐδ' αἴσθησις. οὐδὲν γὰρ παρὰ τὰ τέσσαρα οἷόν τε ἁπλοῦν παθητὸν εἶναι σῶμα, ⟨ὡς⟩ ἐξ ἐκείνου δύνασθαί τι αἰσθητήριον εἶναι. δεῖ μὲν γὰρ τὸ αἰσθητήριον πάσχειν τι ὑπὸ τοῦ αἰσθητοῦ, διὸ καὶ παθητοῦ εἶναι σώματος· τὸ δὲ πέμπτον σῶμα ἀπαθὲς ἐνδέδεικται. |

VII. Ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου Περὶ ψυχῆς, δι' ἧς 174
ζητεῖ, πῶς ἡ συναίσθησις ἡμῖν γίνεται αἰσθανομένοις.

"Ἐπεὶ αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἤτοι ὄψει αἰσθάνεσθαι ὅτι ὁρᾷ, ἢ ἑτέρᾳ."

Ζητεῖ, πῶς ἡ συναίσθησις ἡμῖν γίνεται, ἐπειδὰν αἰσθανώμεθά τινων, καὶ τίνι· αἰσθανόμεθα δὲ αὐτῶν αἰσθανόμενοι. παντὶ γὰρ αἰσθανομένῳ τινὸς πρὸς τῇ ἀντιλήψει τούτου οὗ αἰσθάνεται, γίνεται συναίσθησίς τις καὶ τοῦ ὅτι αἰσθάνεται· αὕτη δὴ ἡ συναίσθησις πότερον ἡμῖν διὰ τῆς αὐτῆς αἰσθήσεως γίνεται, δι' ἧς καὶ τοῦ αἰσθητοῦ ἡ ἀντίληψις, ὡς τῇ ὄψει ἡμᾶς ὁρᾶν τε τὰ ὁρώμενα καὶ αἰσθάνεσθαι ἑαυτῶν ὁρώντων, ἢ τῇ μὲν ὄψει τῶν ὁρατῶν αἰσθανόμεθα, ἄλλῃ δέ τινι αὐτοῦ τοῦ ὁρᾶν; καὶ ὅτι μὲν οὐχ

4 τοῦτο a Sp. 5 τε] δὲ a Sp. τὰ delevi: τινὰ coni. Diels 7 δι' add. Sp. 8 ἐπεὶ διὰ scripsi: ἐπειδὴ libri τὰ Sp.: τὸ libri 9 τὸ del. Sp. 13 ⟨ἐξ⟩ ἀέρος coni. Sp. 17 δείξει] de sensu 2. 436a22 sqq. 18 ταῦτα, ἃ scripsi: ταῦτα δ' libri: ταῦτα ⟨ταῦτα⟩ Vict. Sp. 19 οὐδὲ coni. Sp. 21 ὡς add. Vict. 24 ἐκ τοῦ τρίτου] de an. III, 2. 425b12 26 ἤτοι] ἢ τῇ Arist. 27 ὅτι] εἴ τι BS²a Sp. 28 αἰσθανόμεθά a 29 τίνι scripsi: τινι libri 29 αὐτῶν scripsi: αὑτῶν libri 31 αὕτη δὴ ἡ G³ Sp.: αὕτη ἤδη FSa: αυτη ηδη sic V 34 αὐτοῦ scripsi cf. p. 92, 21: οὐ τῇ libri: del. Vict. Sp. οὐχ G³ Vict. Sp.: οὖν καὶ libri

ἄλλῃ, ἔδειξε διὰ τοῦ πλείους ἔσεσθαι τοῦ αὐτοῦ αἰσθητοῦ αἰσθήσεις, εἰ γὰρ ἄλλη τις ἔσται, ᾗ τοῦ ὁρᾶν αἰσθανόμεθα καὶ μὴ ἡ αὐτὴ ὄψις, ⟨ᾗ⟩ ὁρῶμεν, ἔσται ἡ τοῦ ὁρᾶν αἰσθανομένη ἅμα καὶ χρωμάτων αἰσθανομένη. ἡ γὰρ τῆς ἐνεργείας τῆς περὶ τὰ αἰσθητὰ γινομένης αἰσθανομένη αἰσθάνοιτο ⟨ἂν⟩ καὶ | τούτων, περὶ ἃ ἡ ἐνέργεια ἡ κατὰ τὸ ὁρᾶν, ἔστι δὲ 175 ταῦτα τὰ χρώματα. οὐ γάρ ἐστι τὸ ὁρᾶν ἄλλο τι ἢ ἐνεργεῖν τῇ ὄψει περὶ τὰ ὁρατά, ὥσθ' ἡ τοῦ ὁρᾶν αἴσθησις αἴσθησίς ἐστι τῆς γινομένης περὶ τὰ ὁρατὰ ἐνεργείας ὑπὸ τῆς ὁρατικῆς αἰσθήσεως. οὐχ οἷόν τε δὲ αἰσθέσθαι τῆς περὶ τάδε τινὰ ἐνεργείας μὴ καὶ τῶνδε αἰσθανόμενον, περὶ ἃ ἡ ἐνέργεια γίνεται. ἀλλ' εἰ τοῦτο, ἔσονται τῶν αἰσθητῶν πλείους αἰσθήσεις, αἵ τε αἰσθανόμεναι αὐτῶν προηγουμένως καὶ αἱ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ τῶν αἰσθήσεων αἰσθανόμεναι. τοῦτο δ' ἄτοπον τὸ τὰ ἴδια αἰσθητὰ ἑκάστῃ αἰσθήσει πλείοσιν αἰσθήσεσιν αἰσθητὰ εἶναι λέγειν. προσέτι τε εἰ [ἡ] ἄλλη μέν ἐστιν ἡ αἰσθανομένη, ἄλλη δὲ καθ' ἣν αἰσθανόμεθα ἑαυτῶν αἰσθανομένων, ἐπ' ἄπειρον προελεύσεται. καὶ γὰρ τῆς τοῦ ὁρᾶν αἰσθήσεως πάλιν ἔσται συναίσθησις ἡμῖν δι' ἄλλης τινὸς αἰσθήσεως, κἀκείνη πάλιν, οὗ αἰσθανομένη ποιεῖ τὴν συναίσθησιν, ἄλλην τινὰ ἕξει τὴν αἰσθανομένην, καὶ τοῦτ' εἰς ἄπειρον, ἀτοπώτατον δὲ τοῦτο. καταλείπεται τὸ τῇ αὐτῇ τῶν τε αἰσθητῶν αἰσθάνεσθαι ἡμᾶς καὶ τῆς περὶ τὰ αἰσθητὰ ἑαυτῶν ἐνεργείας. ἀλλ' εἰ ἔστιν ἐνέργεια τῆς ὁρατικῆς δυνάμεως τὸ ὁρᾶν, ἔσται ἡ ὄψις τῶν τε χρωμάτων ἀντιλαμβανομένη καὶ αὐτοῦ τοῦ ὁρᾶν. ἀλλ' εἰ οὗ ἐστιν ἡ ὄψις αἰσθητική, τοῦτ' ἀνάγκη κεχρῶσθαι, | καὶ τὸ 176 ὁρᾶν, εἰ ἔστιν ὁρατόν τι, κεχρωσμένον. πρώτην λύων ἀπορίαν πρῶτον μὲν ἐχρήσατο τῷ τὴν ὄψιν μὴ μόνον χρωμάτων ἢ κεχρωσμένων αἰσθητικὴν εἶναι, ἀλλὰ καὶ τῆς στερήσεως αὐτῶν. ἐδείχθη γὰρ πᾶσα αἴσθησις αἰσθανομένη καὶ τῆς στερήσεως τῶν αἰσθητῶν ἡ αὐτή. τῇ γοῦν ὄψει καὶ φωτὸς καὶ σκότους αἰσθανόμεθα. δεύτερον ἔλαβεν, ὅτι καὶ τὸ ὁρᾶν κέχρωσταί πως, εἴ γε τὸ ὁρᾶν γίνεται τοῦ αἰσθητηρίου δεξαμένου τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης τῆς ὑποκειμένης αὐτῷ, οὗ σημεῖον παρέθετο πολλάκις ἀπελθόντων τῶν ὁρωμένων ἔτι ἐν ταῖς αἰσθήσεσιν ὑπομένειν τινὰς αὐτῶν αἰσθήσεις τε καὶ φαντασίας. ταῦτ' εἰπὼν εἰς λύσιν τῶν ἠπορημένων διὰ τῶν ἑξῆς [ἐχρήσατο εἰς λύσιν τῆς ἀπορίας], ὅτι γίνεται καὶ πῶς γίνεται, δείκνυσιν. λέγει τὴν τοῦ αἰσθητοῦ ἐνέργειαν καὶ τὴν τῆς αἰσθήσεως μίαν εἶναι κατὰ τὸν λόγον μόνον διαφερούσας, ὅτι τῇ μὲν κατ' ἐνέργειαν αἰσθήσει τὸ εἶναί ἐστιν ἐν τῷ ἔχειν τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης,

2 γὰρ] cf. Ind. ἄλλη τίς Sp. καὶ G²: εἰ libri ἡ αὐτὴ] αὐτὴ ἡ FGSa Sp. 3 ᾗ add. Vict. 4 ἡ] καὶ Vict. Sp. 4. 5 αἰσθανομένη αἰσθάνοιτο Vict. Sp.: αἰσθανόμενοι αἰσθάνοιντο libri 5 ἂν add. Sp. 8 αἰσθέσθαι] pr. σ s. v. V 9 τῶνδε Sp.: τῷδε libri αἰσθανόμενον Schwartz: αἰσθανόμενοι libri 10. 11 αἵ τε scripsi: αὗται libri (αυται V) 11. 12 τὰ—τῶν] τὰ αἰσθη et τῶν in lit. V 14 εἰ Sp.: εἰ ἡ V: εἴη Sa 17 ἕξει Sp.: ἕξιν libri 18 post τοῦτο interpunxi. Spengelius post ἄπειρον 19 οὖν τὸ GF τῇ αὐτῇ Sp.: τὴν αὐτὴν libri 22 καὶ τὸ Sp.: τε καὶ libri 23 τι scripsi: τὸ libri: ἔσται Sp. 24 τῷ Sp.: τῇ τῶν libri 27. 28 κέχρωσταί Sp.: κεχρῶσθαι libri 30 πολλακισ V 32 ἐχρήσατο—ἀπορίας circumscripsi 33 δείκνυσιν] ν in lit. V 34 διαφέρουσαν coni. Sp. 35 εἶναι del. Vict.

τῷ δὲ κατ' ἐνέργειαν αἰσθητῷ ⟨ἐν⟩ τῷ ἔχεσθαι τὸ εἶδος αὐτοῦ χωρὶς τῆς ὕλης. εἰ γάρ ἐστιν ἡ κίνησις ⟨ἡ⟩ ὑπὸ τοῦ κινοῦντος γινομένη [ἡ] ἐν τῷ κινουμένῳ καὶ τὸ πάθος τὸ ὑπὸ τοῦ ποιοῦντος γινόμενον ἐν τῷ ποιουμένῳ καὶ πάσχοντι, | ἀνάγκη καὶ τὴν ἀπὸ τοῦ αἰσθητοῦ κίνησιν καὶ τὸ γινόμενον 177 ὑπ' αὐτοῦ πάθος ἐν τῇ κατὰ δύναμιν αἰσθήσει γενόμενον ποιεῖν τὴν κατ' ἐνέργειαν αἴσθησιν· ὡς γὰρ ἡ ποίησις καὶ ἡ πάθησις ἐν τῷ πάσχοντι, ἀλλ' οὐκ ἐν τῷ ποιοῦντι (ἦν γὰρ τὸ ποιοῦν πάσχον, καὶ ταὐτὸ τὸ ποιεῖν τε καὶ πάσχειν, ὡς ἔδειξεν ἐν Φυσικῇ ἀκροάσει), οὕτως καὶ ἡ τοῦ αἰσθητοῦ καὶ ἡ τοῦ αἰσθητικοῦ. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον καὶ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινομένης τῇ τῶν εἰδῶν τῶν αἰσθητῶν λήψει χωρὶς τῆς ὕλης, γένοιτο ἂν ἡμῖν εὐλόγως ἅμα τῇ αἰσθήσει τῶν αἰσθητῶν καὶ συναίσθησις τοῦ αἰσθάνεσθαι κατὰ τὴν αὐτὴν αἴσθησιν. τῷ μὲν γὰρ ἀπὸ τῶν αἰσθητῶν ἔξωθεν ὄντων λαμβάνειν τὸ εἶδος ἡ ἐκείνων ἀντίληψις, τῷ δὲ ἐν ἑαυτῇ τὴν αἴσθησιν τὸ εἶδος ἔχειν τῶν αἰσθητῶν καὶ διὰ τοῦτο καὶ ταύτης πως αἰσθάνεσθαι ἡ συναίσθησις. εἰ γὰρ τὸ ὁρᾶν κατὰ τὴν τοῦ εἴδους τοῦ αἰσθητοῦ λῆψιν γίνεται, ὅμοιος δὲ ὁ λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, λαβοῦσα τὸ εἶδος ὁρᾷ καὶ αὑτὴν ἅμα ὁρῶσαν ὁρῶσα γίνεται. ἡ μὲν δὴ συναίσθησις τοῦ αἰσθάνεσθαι γινομένη ἐν τῷ τὴν αἴσθησιν ἅμα τε [τῇ] τοῦ αἰσθητοῦ καὶ τῆς ἰδίας περὶ τὸ αἰσθητὸν ἐνεργείας αἰσθάνεσθαι. διὸ ἐξ ἀνάγκης ἕπεται παντὶ τῷ αἰσθανομένῳ συναισθάνεσθαι καὶ ἑαυτοῦ | αἰσθανομένου τῷ ἕπεσθαι τῇ αἰσθήσει αἰσθανομένῃ τινὸς 178 τῶν αἰσθητῶν ἔξω ὄντος τὸ ἅμα καὶ ἑαυτῆς αἰσθάνεσθαι.

VIII. Εἰ αἰσθητὸν ὃ πάσαις ταῖς αἰσθήσεσιν κατὰ συμβεβηκὸς αἰσθητόν.

Εἰ μιᾷ αἰσθήσει κατὰ συμβεβηκός ἐστιν αἰσθητὸν τὸ ἔχον τῶν ἰδίων τι ταύτῃ τῇ αἰσθήσει αἰσθητῶν συμβεβηκὸς ἑαυτῷ (διὰ γὰρ τῆς τοῦ αἰσθητοῦ ἀντιλήψεως γίνεται καὶ ἡ τοῦ κατὰ συμβεβηκός· οὕτω γὰρ ἡ ὄψις γλυκέος ὅτι τῷ ὠχρῷ συμβέβηκεν εἶναι γλυκεῖ τε καὶ μέλιτι), εἴ τις λέγοι τι πάσαις ταῖς αἰσθήσεσι κατὰ συμβεβηκὸς εἶναι αἰσθητόν, οὗτος λέγοι ἄν, τοῦτο, ὅ φησι πάσαις κατὰ συμβεβηκὸς ταῖς αἰσθήσεσιν αἰσθητὸν εἶναι, ἔχειν τινὰ συμβεβηκότα τοιαῦτα, ὧν τὸ μὲν τῇ ἁφῇ καθ' αὑτό ἐστιν αἰσθητόν, τὸ δὲ τῇ γεύσει, τὸ δὲ τῇ ὀσφρήσει, τὸ δὲ τῇ ἀκοῇ, τὸ δὲ τῇ

---

1 αἰσθητῷ] τῷ s. v. V ἐν add. Sp. εἶδος] εἶναι a 2 alt. ἡ add. Sp. tert. ἡ del. Sp. 4 ἀπὸ] ὑπὸ coni. Sp. 8 Φυσικῇ ἀκροάσει] III, 3. 202a21 sqq. 9 αἰσθητικοῦ Vict. Sp.: αἰσθητικωτάτου libri 12 συναίσθησις Sp.: συναισθήσει libri 17 fortasse ⟨καὶ ἡ ὄψις⟩ λαβοῦσα αὐτὴν V 19 τε damnat Sp. 19 τῇ circumscripsi αἰσθητοῦ λήψει καὶ Vict. Sp. τὸ αἰσθητὸν Sa Sp.: τοῦ αἰσθητὸν (αἰσθητῶν?) V 21 τῷ F Sp.: τοῦ libri 22 ἑαυτῆς] ἑαυτοῦ Sp. 23 ταῖς om. a 25 εἰ] ἐπεὶ coni. Sp. 26 αἰσθητῶν FSa Sp.: αἰσθητὸν V 29 τι scripsi: ὅτι libri αἰσθητον V οὗτος Vict.: οὕτως libri 32 τῇ ante ὀσφρήσει infra versum V

ὄψει, ὥστ' εἴη ἂν τὸ πᾶσι κατὰ συμβεβηκὸς αἰσθητὸν τῷ πάσαις καθ' αὑτὸ εἶναί τι αἰσθητὸν ἐν αὐτῷ τούτῳ πάσαις [αὐτὸ εἶναι] κατὰ συμβεβηκὸς αἰσθητόν, ἑκάστης αὐτῆς διὰ τοῦ οἰκείου αὐτῇ αἰσθητοῦ αἰσθανομένης αὐτοῦ. οὐ γὰρ τὸ πάσαις κατὰ συμβεβηκὸς αἰσθητὸν οὐδ' ὅλως ἐστὶν αἰσθητόν, ὡς ἂν δόξαι ἁπλῶς ἀκούσαντι. τὸ γὰρ μηδεμιᾷ αἰσθητὸν αἰσθήσει ἀναί|σθητον· οὐ ταὐτὸν δὲ τὸ πάσαις ἀναίσθητον τῷ πάσαις κατὰ συμβεβηκὸς * * * αἰσθητὸν τοιοῦτον εἶναι τὸ ὑποκείμενον τοῖς πάσαις ταῖς αἰσθήσεσιν αἰσθητοῖς. τῷ γὰρ τὰ συμβεβηκότα τούτῳ αἰσθητὰ εἶναι πάσαις, αὐτὸ δὲ μή, τούτῳ γίνεται πάσαις κατὰ συμβεβηκὸς αἰσθητόν.

IX. Λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου Περὶ ψυχῆς, δι' ἧς δεικνυσιν Ἀριστοτέλης, ὅτι ἔστιν τι ᾧ ἅμα πάντων αἰσθανόμεθα.

„Ἆρ' οὖν ἅμα μὲν καὶ ἀριθμῷ ἀδιαίρετον καὶ ἀχώριστον τὸ κρῖνον, τῷ εἶναι δὲ κεχωρισμένον; ἔστι δέ πως ὡς τὸ διαιρετὸν τῶν διῃρημένων αἰσθάνεται, ἔστι δὲ ὡς ἀδιαίρετον· τῷ εἶναι μὲν γὰρ διαιρετόν, τόπῳ δὲ καὶ ἀριθμῷ ἀδιαίρετον· ἢ οὐχ οἷόν τε; δυνάμει μὲν γὰρ τὸ αὐτὸ καὶ ἀδιαίρετον τἀναντία, τῷ δὲ εἶναι οὔ, ἀλλὰ τῷ ἐνεργεῖσθαι διαιρετόν, καὶ οὐχ οἷόν τε ἅμα λευκὸν καὶ μέλαν εἶναι, ὥστε οὐδὲ τὰ εἴδη πάσχειν αὐτῶν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις, ἀλλ' ὥσπερ ἣν καλοῦσί | τινες στιγμὴν ἢ μίαν ἢ δύο, ταύτῃ καὶ διαιρετή. ᾗ μὲν οὖν ἀδιαίρετος, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα· ᾗ δὲ διαιρετὸν ὑπάρχει, δὶς τῷ αὐτῷ χρῆται σημείῳ ἅμα. ᾗ μὲν οὖν δυσὶ χρῆται, τῷ πέρατι δύο κρίνει καὶ κεχωρισμένα ἐστὶν ὡς τῷ κεχωρισμένῳ· ᾗ δὲ ἕν, ἑνὶ καὶ ἅμα."

Λαβὼν ὅτι ἑκάστη αἴσθησις ἐν τῷ αἰσθητηρίῳ οὖσα, ἐν ᾧ οὖσα αἰσθάνεται, τῶν τε αἰσθητῶν αὐτῇ αἰσθάνεται καὶ κρίνει αὐτῶν τὰς πρὸς ἀλλήλας διαφοράς (λευκοῦ μὲν γὰρ καὶ μέλανος ὄψις, γλυκέος δὲ καὶ πικροῦ γεῦσις, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἑκάστη), καὶ διὰ τούτου συστήσας, ὅτι ἡ αἰσθανομένη τινῶν καὶ τὰς διαφορὰς αὐτῶν κρίνει (οὐ γὰρ ἄλλης μὲν τὸ αἰσθάνεσθαί τινων, ἄλλης δὲ τὸ κρίνειν τὰς διαφορὰς αὐτῶν, καθ' ἃς ἐστιν αἰσθητά, ἀλλ' ἥ τε αἰσθανομένη τινῶν καὶ κρίνει αὐτά, καὶ ἡ κρίνουσα τὰς διαφορὰς αὐτῶν καὶ αἰσθάνεται αὐτῶν· ταὐτὸν γὰρ κρίνειν

---

2 αὐτὸ εἶναι delevi   3 αὐτῇ scripsi: αὐτῷ coni. Sp.: αὐτοῦ libri   6 δε V   πάσαις ἀναίσθητον ⟨καὶ τὸ πάσαις κατὰ συμβεβηκὸς αἰσθητόν⟩ Vict. Sp.   7 αἰσθητῷ τῷ supplet Schwartz recte   8 τούτῳ scripsi: τούτων libri: τούτου a Sp.   9 δὲ μή S²a Sp.: δ' εἰ μὴ VBFS¹   τούτῳ Sp.: τοῦτο libri   10 ἐκ τοῦ τρίτου] de an. III, 2. 427a2   13 κεχωρισμένον FS²a Sp.: κεχωρισμένοσ VBS¹   alt. δέ] δε V: μὲν δή Vict.: δὴ Arist. vulg.   15 ἀδιαίρετον FSB²a Sp.: διαιρετὸν VB¹   16 αὐτὸ διαιρετὸν καὶ ἀδ. Vict.   καὶ τἀναντία Vict.   18 εἰ Sp.: η (supra η lit.) V: ἢ S¹: εἰ ἢ S²a   20 ἢ μίαν καὶ δύο Vict.: ἡ μία καὶ ἡ δύο Arist. vulg.   ᾗ] ἧι V (et 21—23)   20. 21 ἀδιαίρετον Arist. vulg.   23 ὡς κεχωρισμένων Arist. vulg.   24 ἕν] ἐν libri   26 αὕτη a   28 τούτου Sp.: τοῦτο libri

τῷ αἰσθάνεσθαι· διὰ τοῦτο γὰρ καὶ ἡ αἴσθησις κρίσις τις εἶναι δοκεῖ). εὑρὼν τι οὐ μόνον τῶν ἐναντίων ἀλλήλοις αἰσθητῶν τὰς διαφορὰς κρῖνον, ἀλλὰ καὶ πάντων τῶν αἰσθητῶν (κρίνομεν γὰρ καὶ τὰς τῶν ὁρατῶν διαφορὰς πρὸς τὰς τῶν γευστῶν, ὁμοίως δὲ καὶ πρὸς τὰς τῶν ἀκουστῶν, ἀλλὰ καὶ πρὸς τὰς τῶν ὀσφρητῶν καὶ πρὸς τὰς τῶν ἁπτῶν), πρῶτον μὲν ἔλαβεν, ὅτι αἰσθήσει | 181 ταῦτα κρίνομεν (αἰσθητά τε γάρ ἐστι καὶ ὡς αἰσθητῶν αὐτῶν ποιούμεθα τὴν κρίσιν), μεθ' ὃ ἔδειξεν, ὅτι μὴ οἷόν τε κρίνειν τὰς διαφορὰς τῶν αἰσθητῶν μὴ αἰσθανόμενον αὐτῶν ἕν τε ὂν καὶ ταὐτόν. οὐ γὰρ οἷόν τε τὸ μὴ αἰσθανόμενον πάντων κρίνειν αὐτῶν τὰς πρὸς ἄλληλα διαφοράς· εἰ γὰρ τοῦ μὲν ἄλλο, τοῦ δ' ἄλλο αἰσθάνοιτο, οὐδέτερον αὐτῶν οἷόν τε γνωρίζειν, τίνι τὰ ὧν ᾐσθάνοντο ἀλλήλων διαφέρει. καὶ γὰρ οὐδ' ἐν ἄλλῳ τινὶ ἦν τῇ αἰσθήσει τὸ κρίνειν ἢ ἐν τῷ αἰσθάνεσθαι. λαβὼν δ' ἐκ τούτων τὸ ἓν εἶναι τὸ πάντων αἰσθητῶν αἰσθανόμενόν τε καὶ κρῖνον αὐτῶν τὰς διαφοράς, ἐφεξῆς ἔδειξεν, ὅτι καί, εἰ ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἅμα αὐτῶν αἰσθάνεται, ὅτε κρίνει τὰς διαφορὰς αὐτῶν (εἴ γε, ὅτε κρίνει αὐτάς, τότε αἰσθάνεται, κρίνει δ' ἅμα τὰς πρὸς ἄλληλα αὐτῶν διαφοράς), καὶ αἰσθάνοιτ' ἂν ἅμα τῶν κρινομένων· ἐν γὰρ τῷ αἰσθάνεσθαι τῇ αἰσθήσει τὸ κρίνειν. ταῦτα λαβών, τό τε μίαν αἴσθησιν εἶναι, ᾗ πάντων αἰσθανόμεθα, καὶ τὸ ἅμα αἰσθάνεσθαι τούτων ὧν ἅμα κρίνει τὰς διαφοράς, ἐπὶ τούτοις ἠπόρησεν, ἐπεὶ τὸ κατ' ἐνέργειαν αἰσθάνεσθαί ἐστι τὸ τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης λαμβάνειν, πῶς οἷόν τε ἕν τι ὂν ἅμα πλειόνων καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. εἰ γὰρ τοῦτο, δεήσει αὐτὸ ἅμα ἐναντία εἴδη τε καὶ πάθη δέχεσθαι, λευκότητα καὶ μελανίαν, | 182 ὅταν τούτων αἰσθάνηται καὶ ταῦτα κρίνῃ, γλυκύτητα καὶ πικρότητα, ὁμοίως τὰ ἄλλα. ἀλλὰ μὴν ἀδύνατον τὸ τὰς ἐναντίας ἅμα κινήσεις κινεῖσθαι τὸ αὐτό, εἰς λευκότητα ἅμα καὶ μελανίαν μεταβάλλον, καὶ τὰ ἐναντία εἶναι δεχόμενον. ταῦτα δείξας καὶ ἀπορήσας, λύων τὴν ἀπορίαν ἔλαβεν τὸ ἅμα μὲν τὸ κρῖνον κρίνειν τε καὶ αἰσθάνεσθαι τῶν πλειόνων, ἓν ὂν καὶ μὴ διῃρημένον, τῷ λόγῳ κεχωρισμένον, ὡς ἓν ὂν κατ' ἄλλην μὲν δύναμιν δεκτικὸν τοῦδέ τινος εἶναι, κατ' ἄλλην δὲ τοῦ ἐναντίου αὐτῷ ἢ διαφέροντος, [ὡς] ἀδιαίρετον ὂν τῷ τε τόπῳ καὶ τῷ ἀριθμῷ, τουτέστιν τῷ ὑποκειμένῳ. τόπῳ γὰρ ἀδιαίρετον τὸ ἓν ἐν τόπῳ ὄν, τοιοῦτο δὲ συνεχὲς καὶ μὴ διῃρημένον, ὃ καὶ ἕν ἐστι τῷ ἀριθμῷ. εἰπὼν δὲ τοῦτο ὡς εἰς λύσιν τοῦ ἠπορημένου ἐπήνεγκεν ἢ οὐχ οἷόν τε, δεικνὺς ὅτι μὴ λύεται τούτῳ τὸ ἠπορημένον. δύναται μὲν γὰρ ἕν τι ὂν κατ' ἀριθμὸν τῷ λόγῳ διαφέρειν τῷ δυνάμεις ἔχειν διαφερούσας, καθ' ἃς τῶν ἐναντίων ἐστὶ δεκτικόν, οὐ μὴν οὕτω τῶν ἐναντίων τὰς δυνάμεις ἔχειν, ὡς ἅμα αὐτὰ δύνασθαι δέχεσθαι. τὸ γὰρ τῶν

1 αἰσθάνεσθαι S²a Sp.: αἰσθάνεται VS¹ 7 οἷον S²a Sp.: ὅμοιον VBFS¹ τὰς BSa² Sp.: ἢ τὰς S¹F: η τὰσ sic V 8 μὴ Vict. Sp.: η (supra η lit.) VB: ἢ FSa ἓν scripsi: μὴ ἓν Vict. Sp.: ἢ ἓν FSa: ἡ ἓν V 13 ἓν εἶναι] ἐνεῖναι a Sp. 14 εἰ del. Sp. 15 pr. ὅτε Sp.: ὅτι libri 25 pr. τὸ suspectum 29 fortasse τῷ (δὲ) λόγῳ τοῦδέ S²Fa Sp.: τόδε VS¹ 30 αὐτῷ ἢ Sp.: αὐτῷ ᾗ VF: αὐτῷ αὐτῷ ἢ Sa ὡς delevi 31 τῷ τε FSa Sp.: τότε V 32 ἀδιαίρετον FSa Sp.: διαιρετὸν V 36. 37 ἐναντίων] αντίων V

ἐναντίων δυνάμεις ἔχον οὐχ οὕτως ἔχειν δύναται αὐτάς, ὡς ἅμα αὐτῶν καὶ τὰς ἐνεργείας δέχεσθαι. ἀναγκαῖον γὰρ κατὰ τὰς ἐνεργείας αὐτὸ διαιρεῖσθαι, ὡς ἐν ἄλλῳ μὲν χρόνῳ τὸ ἕτερον αὐτῶν γίγνεσθαι, ἐν ἄλλῳ δὲ τὸ ἕτερον, ἡ δὲ αἴσθησις ἅμα ἔκρινεν αὐτῶν τὰς διαφοράς, ὡς ἅμα αὐτῶν αἰσθανομένη καὶ τὰ εἴδη λαμβάνουσα, | 183 εἴ γε τὸ αἰσθάνεσθαι ἐν τῇ τῶν εἰδῶν τῶν αἰσθητῶν λήψει. ἐπεὶ δὲ καὶ νόησις δοκεῖ τῇ τοῦ εἴδους τοῦ νοουμένου λήψει γίνεσθαι, διὰ τοῦτο εἶπεν τὸ εἰ τοιοῦτο αἴσθησις καὶ ἡ νόησις. εἰπὼν δὲ ταῦτα καὶ δείξας, ὅτι μένει ἔτι ἡ ἀπορηθεῖσα ἀπορία ὡς ⟨μὴ⟩ δυναμένη λύεσθαι, δι' ὧν ἐπήνεγκεν, † ὡς προεῖπεν ἀλλ' ὥσπερ ἣν καλοῦσί τινες στιγμὴν ἢ μία ἢ δύο, ταύτῃ καὶ διαιρετή, καὶ τὰ ἄλλα τὰ ἐπὶ τούτοις, ἥτις λέξις σφόδρα ἀσαφῶς τε καὶ βραχέως εἰρημένη τοιοῦτο σημαίνει. ἀξιοῖ τοιοῦτον εἶναι τὸ ᾧ ἡ αἴσθησις τοῖς ζῴοις γίνεται τῶν αἰσθητῶν, ὡς δύνασθαι ἅμα μὲν ἓν εἶναι, ἅμα δὲ πολλά, οὕτως ὡς καὶ τὸ σημεῖον, ὅταν ὡς πολλῶν γραμμῶν πέρας ληφθῇ. αἱ γὰρ ἀπὸ τῶν τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὸ κέντρον ἀγόμεναι εὐθεῖαι πέρας ἔχουσι πᾶσαι τὸ κέντρον τοῦ κύκλου, ἓν σημεῖον, ὃ σημεῖον ἓν ὂν καὶ πολλά πώς ἐστιν, ὅταν ὡς ἑκάστης τῶν γραμμῶν ἐπ' αὐτὸ ἀχθεισῶν πέρας λαμβάνηται. εἰ γὰρ τοιοῦτό τι ἡ αἴσθησις εἴη, καθὸ μὲν ἕν τι καὶ ἀδιαίρετόν ἐστιν, ἓν ἔσται τὸ κρῖνον (ἀλλὰ καὶ ἅμα κρίνει τὰ ἐν τοῖς πέρασι τῶν γραμμῶν τῷ πάντα τὰ πέρατα ἅμα εἶναι καὶ ἕν τι), καθόσον δὲ ὡς τῆσδε καὶ τῆσδε πέρας λαμβάνεται | 184 καὶ τοσαῦτα λαμβάνεται, ὅσαι καὶ εὐθεῖαι, πολλά. καὶ κατὰ τοῦτο πάλιν καθόσον μὲν οὖν πολλὰ τὰ πέρατα καὶ διαφερουσῶν γραμμῶν, πολλὰ ἔσται τὰ κρινόμενα καὶ κεχωρισμένα καὶ διαφέροντα καὶ τρόπον τινὰ † οὔπω κεχωρισμένον, καθόσον τὸ κέντρον πολλά πως ἦν, ὧν ἕκαστον κριτικὸν ὂν τοῦ ἐν τῇ ἰδίᾳ γραμμῇ πάθους ὄντος, καθόσον δὲ ἓν τὸ ἐκ πάντων ἐστὶν ἀδιάφορον καὶ πάντῃ τὸ αὐτό, αὐτὸ ἕν τε ἔσται τὸ κρῖνον καὶ ἅμα κρῖνον. καὶ τὸ μὲν εἰς λύσιν εἰρημένον τῶν ἠπορημένων τοιοῦτον. τί δὲ τοιοῦτον λαμβάνειν ἔστιν ἐπὶ τῆς αἰσθήσεως, ⟨ὡς⟩ ἅμα ἕν τε εἶναι καὶ πολλά, ὁμοίως τῷ τοῦ κύκλου κέντρῳ τῷ ὡς πέρατι τῶν πολλῶν εὐθειῶν ληφθέντι, οὐ ῥᾴδιον εὑρεῖν. σῶμά τε γὰρ τὸ ἔσχατον αἰσθητήριον, ἐν ᾧ γίνεται τὰ τῶν αἰσθητῶν πάθη, καὶ οὐχ οἷόν τε τὰ ἀπὸ τῶν πέντε αἰσθητηρίων πάθη διαπεμπόμενα ἐπ' αὐτὸ ὡς διὰ γραμμῶν τῷ αὐτῷ μορίῳ τοῦ σώματος ἐπιβάλλειν. γένοιτο γὰρ ἂν πάλιν ἐν τῷ αὐτῷ τὰ ἐναντία γινόμενα πάθη καὶ ἐναντίαι κινήσεις, εἴ γε διὰ τοιαύτης κινήσεως ἡ κατ' ἐνέργειαν αἴσθησις. οὐδὲ γὰρ τὰ ἀφ' ἑνὸς αἰσθητηρίου διαπεμπόμενα ἐπ' αὐτὸ πάθη οἷά τε κατὰ τὸ αὐτὸ μόριον αὐτοῦ γίνεσθαι, † οἷον, εἴ γε τῶν μὲν ἐναν-

---

1 ἔχειν Sp.: ἔχον libri 7 τοιοῦτον ἡ Sp. 8 μένει] μὲν εἴη Sa 9 μὴ add. Vict. δι' ὧν προεῖπεν, ἐπήνεγκεν coni. Sp.: λύων ἐπήνεγκεν, ὡς προεῖπον, Schwartz bene 10 ἡ μία (η μια V) al libri: ἢ μία καὶ ἢ Vict. cf. 94,21 12 σημαίνει a Sp.: σημαίνειν V ᾧ sic V 17 αὐτὸ ἀχθεισῶν] αὐτὸ ἀχθ in lit. V 22 πολλὰ Sp.: πολλαὶ libri 24 fortasse οὔτω κεχ. ⟨τὸ κρῖνον⟩ κεχωρισμένα Sp. 25 τοῦ B²a Sp.: τῇ VB¹FS 26 αὐτὸ ἓν Vict. Sp.: αὐτῷ ἓν libri 29 ὡς addidi 37 οἷον suspectum Spengelio fortasse ἅμα cf. 97,2

τίων τὰ αὐτὰ [τὰ] αἰσθητήρια, ἀδύνα|τον δ' ἐν τῷ αὐτῷ αἰσθητηρίῳ κατὰ 185
τὸ αὐτὸ μέρος ἅμα τὰ ἀπὸ τῶν ἐναντίων γίνεσθαι πάθη. ὅταν γὰρ βλέ-
πωμεν ἅμα λευκόν τε καὶ μέλαν, οἷς μέρεσι τῆς κόρης ἑκατέρου αὐτῶν ἡ
ἔμφασις γίνεται, ὥσπερ ὁρῶμεν γινόμενον καὶ ἐπὶ τῶν κατόπτρων, * * *
οὔτε ἐφ' ὃ διαδίδοται ταῦτα, τοῦτο δ' ἔστιν ὡς εἶπον τὸ ἔσχατον αἰσθη-
τήριον, οὕτως οἷόν τε διαδιδόσθαι ὡς μὴ ἐν κεχωρισμένοις αὐτοῦ γίνεσθαι
μέρεσιν, ὥστ' ἐπὶ μὲν τοῦ σώματος ἀδύνατον λαβεῖν τι ὅμοιον τῇ εἰκόνι
τῇ τοῦ σημείου τε καὶ τῶν γραμμῶν ὧν πέρας τὸ σημεῖον. ἴσως δ' ἂν
ἐφαρμόζειν δύναιτο μᾶλλον τῇ δυνάμει τῇ τοῦ σώματος ἐκείνου, ὃ λέγομεν
ἔσχατον αἰσθητήριον, οὗ ἡ αἰσθητικὴ δύναμις εἶδος. ἥτις δύναμις αἰσθάνε-
ται καὶ κρίνει τὰ ἐν τῷ σώματι, οὗ δύναμις καὶ εἶδός ἐστιν γενόμενα κατὰ
τὴν ἀπὸ τῶν αἰσθητηρίων διάδοσιν. ἡ γὰρ δύναμις αὕτη μία οὖσα καὶ
ὥσπερ πέρας τοῦ σώματος τούτου οὗ δύναμίς ἐστιν, ἐπειδὴ ἐπὶ τοῦτο τὸ
ἔσχατον αἱ κινήσεις φέρονται, ἀσώματός τε οὖσα καὶ ἀδιαίρετος καὶ ὁμοία
πάντῃ, μία οὖσα, πολλαί πως γίνονται τῷ τῶν καθ' ἕκαστον μόριον τοῦ
σώματος, οὗ δύναμίς ἐστι, κινήσεων αἰσθάνεσθαι ὁμοίως, ἄν τε κατὰ ἕν τι
μόριον ἡ κίνησις ἐν αὐτῷ γένηται, ἄν τε κατὰ πλείω. ἐν γὰρ τῇ τῶν
πλειόνων κρίσει πολλαί πως δυνάμεις ἡ μία γίνεται ὡς ἑκάστου μορίου
πέρας οἰ|κεῖον λαμβανομένη. τὸ μὲν γὰρ σῶμα οὐκ ἐδύνατο ἅμα κατὰ τὸ 186
αὐτὸ πλείω δέχεσθαι πάθη, διὰ τὸ ἀδύνατον εἶναι τὰ ἐναντία ἐν τῷ αὐτῷ γί-
νεσθαι ἅμα τε ⟨καὶ⟩ κατ' αὐτό· ἐναντία ⟨δὲ⟩ τὸ εἶδος τὸ τοῦ λευκοῦ καὶ ⟨τὸ⟩ τοῦ
μέλανος. διὸ οὐδὲν οἷόν τε σῶμα ἅμα δέχεσθαι ταῦτα, ἀλλὰ τοῦ αἰσθητη-
ρίου ἐκείνου κατ' ἄλλο μὲν μόριον τάδε τινὰ τῶν αἰσθητῶν τῶν ἅμα προ-
σπιπτόντων γίγνεται, κατ' ἄλλο δὲ τάδε τῶν ἀπὸ τῶν πρώτων αἰσθητηρίων
ἐπ' αὐτὸ φερομένων τὸν τρόπον. ἡ δὲ δύναμις ἡ αἰσθητικὴ οὐκέτι κεκώ-
λυται ἅμα τὴν κρίσιν αὐτῶν ποιεῖσθαι, ὅτι μὴ ταὐτόν ἐστι τὸ κρίνειν τῷ
παθεῖν. παθεῖν μὲν γάρ τι τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἀδύνατον, ὅτι ἀδύνα-
τον ἅμα τι δέχεσθαι τὰ ἐναντία (ἀσυνύπαρκτα δὲ τὰ ἐναντία), κρῖναι δὲ
ἅμα τὰ ἐναντία οὐδὲν ἀδυνατεῖ, ὅτι μὴ ἔστιν ἐν κρίσει ἐναντία τὸ τὸ λευ-
κὸν λευκὸν κρῖναι καὶ τὸ μέλαν μέλαν. ὡς γὰρ ἐν τῷ πάσχειν ἐναντίον
τὸ τὰ ἐναντία [τὸ] παθεῖν τὸ αὐτὸ μέρος καὶ ἐν ταὐτῷ χρόνῳ, καὶ διὰ
τοῦτο ἐν τῷ πάσχειν τοῦτο ἀδύνατον, οὕτως ἐν κρίσει πάλιν ἀδύνατον τὸ
τὸ λευκὸν ὁμοῦ μὲν λευκόν, ὁμοῦ δὲ μέλαν ὑπολαμβάνειν εἶναι. διὸ πάλιν
ἐν κρίσει τὸ οὕτως ἔχον ἀσυνύπαρκτον. τὸ μὲν μέλαν μέλαν, τὸ δὲ λευ-
κὸν λευκὸν εἰπεῖν οὐκ ἀδύνατον, ὅτι μηδ' ἐναντίον. εἰ μὲν γὰρ ἦν ἀνάγκη
καὶ ἐν τῇ δυνάμει τῇ κρινούσῃ τὰ αἰσθητὰ τὰ εἴδη | πρῶτον τῶν αἰσθη- 187

1 τά om. a Sp. 4 fortasse ⟨οὔτε ἅμα ἐν τοῖς αὐτοῖς ἐμφαίνεται⟩ οὔτε 5 ἐφόδια διαδίδοται FSGa 8 ὧν Vict. Sp.: ὡς libri 15 fortasse γίνεται 16 κινήσεων scripsi: κινήσεως libri 19 λαμβάνοντος B[2] 21 καὶ et δὲ et τὸ addidi κατ' αὐτὸ] κατὰ ταὐτὸ Sp. ἐ. γὰρ τὸ B[2] 23 ἐκείνου Sp.: ἐκεῖνο libri 25 ἐπὶ τὸν αὐτὸν φ. τόπον coni. Sp.: fortasse ⟨παθῶν⟩ ἐπ. αὐτὸ φ. ⟨τοῦτον⟩ τ. τρ. 28 δὲ] γὰρ a Sp. 31 τὸ del. B[2]S[2] a Sp. παθεῖν κατὰ τὸ B[2]S[2]a Sp. 31 τῷ αὐτῷ a Sp. 35 οὐκαδύνατον V 36 αἰσθητὰ] σθ in lit. V εἴδη] forte πάθη πρῶτον] πρὸ τῶν coni. Sp. τῶν om. a Sp.

τῶν ἐγγενέσθαι, οὐδ' ἂν ἐκείνη κρίνοι ἂν [ἐν ᾗ] τἀναντία τῷ μὴ δέξασθαι τἀναντία ἅμα οἷόν τε εἶναι· ἐπεὶ δ' ἐν μὲν τῷ αἰσθητηρίῳ τὰ πάθη γίνεται, ἡ δὲ τῶν ἐν τούτῳ γινομένων κρίσις ἐν τῇ δυνάμει (οὐ γὰρ οἷόν τε ἔτι τοῦτο τὰ πάθη δέχεσθαι τὰ σωματικὰ ὂν ἀσώματον), οὐδὲν κεκώλυται τὰ ἐν τῷ αἰσθητηρίῳ γινόμενα κατ' ἄλλο καὶ κατ' ἄλλο μέρος ἅμα κρίνειν ἡ δύναμις ἡ παντὸς αὐτοῦ. ἡ γὰρ αἴσθησις κρίσις ἐστὶ τῆς αἰσθητικῆς δυνάμεως τῶν αἰσθητῶν διὰ τῶν [αὐτῶν] ἐν τῷ αἰσθητηρίῳ γινομένων παθῶν δι' αὐτῶν, γίνεται δὲ οὕτως ἡ αὐτὴ καὶ μία δύναμις πολλαί πως ἅμα γινομένη τῷ τῶν καθ' ἕκαστον μέρος τοῦ αἰσθητηρίου παθῶν γινομένων ἅμα ποιεῖν αἰσθητὴν κρίσιν. ἡ γὰρ κρίνουσα δύναμις τὸ κατά τι ἓν μέρος τοῦ αἰσθητηρίου γινόμενον πάθος αὐτὴ κρίνει καὶ τὰ κατὰ πάντα τὰ μόρια ἅμα [δ'] αὐτοῦ γινόμενα πάθη, ἡ αὐτὴ καὶ μία καὶ πολλαί πως γινομένη κατὰ τὴν τῶν μερῶν τοῦ αἰσθητηρίου καθὸ πάσχει διαίρεσιν, ὡς ἐγίνετο καὶ τὸ σημεῖον ἓν ὂν πολλὰ κατὰ τὸ πλῆθος τῶν γραμμῶν διαιρούμενον ὧν [ἡ] ἑκάστῃ πέρας.

X. Περὶ θαλάσσης ἐκ τῶν Μετεωρολογικῶν.

Προθέμενος ἐν τῷ δευτέρῳ τῶν Μετεωρολογικῶν εἰπεῖν περὶ θαλάσσης, 188
τίς τε ἡ φύσις αὐτῆς καὶ διὰ τίνα αἰτίαν τοσοῦτον ἁλμυρὸν ὕδατός ἐστι πλῆθος, πρῶτον τὰς περὶ αὐτῆς προκαταβεβλημένας δόξας παρέθετο, ὧν ἡ μὲν τῶν θεολόγων πηγὰς οἰκείας ἔλεγεν ἔχειν τὴν θάλασσαν, τῶν δὲ φυσικῶν οἱ μὲν αὐτὴν γεγονέναι ἔλεγον ἐκ τῆς πολλῆς ὑγρότητος τῆς περὶ τὴν γῆν ἀναχθείσης ὑπὸ τῆς [ἀπὸ] τοῦ ἡλίου κινήσεώς τε καὶ θερμότητος, ὑπολειφθείσης δὲ ταύτης, ἣν καλοῦμεν θάλασσαν, οἱ δὲ θερμαινομένης φασὶ τῆς γῆς ὑπὸ τῆς κινήσεως τοῦ ἡλίου ἱδρῶτα ἐκκριθῆναι τὸ ὕδωρ τοῦτο, ὃ καλεῖται θάλαττα. διὰ τοῦτο γὰρ καὶ ἁλμυρὸν τὸ ὕδωρ εἶναι, ὅτι καὶ ὁ ἱδρώς. οἱ δὲ τῆς ἁλμυρότητος τὴν γῆν καὶ τὴν ποιότητα τὴν ταύτης αἰτιῶνται. τὸ γὰρ ὕδωρ ῥέον δι' αὐτῆς τοιούτους τοὺς χυμοὺς λαμβάνει, ὁποίους ἂν ἔχῃ καὶ ἡ γῆ, δι' ἧς δίεισί τε καὶ διηθεῖται. μεθ' ἃ δείξας, ὅτι μὴ ἔχει πηγὰς οἰκείας ἡ θάλασσα τῷ πᾶν μὲν τὸ πηγαῖον ὕδωρ, εἰ μὲν αὐτόματον ᾖ, ἀπορρεῖν τε ἀπὸ τῶν πηγῶν, ἀφ' ὧν ἄρχεται, καὶ μεθίστασθαι, τὸ δ' ὅσον οὐκ ἀπορρεῖ χειρόκμητον εἶναι καὶ οὐκ αὐτὸ φύσει (τοιαῦτα γὰρ τὰ φρέατα), τὴν δὲ θάλασσαν μήτε τῶν χειροκμήτων εἶναι μήτε τῶν φερομένων τε καὶ μεθισταμένων * * *. διὰ γὰρ τῆς θαλάσσης κινήσεις τε καὶ ἀντιπεριστάσεις αἱ μὲν γίνονται τοῦ | αὐτοῦ ὕδατος 189
μεταρρέοντος (ὃ γινόμενον ἐν πάσῃ θαλάσσῃ φανερὸν ἡμῖν γίνεται ἐν τοῖς

---

1 ἐγγενέσθαι G^{2}S^{2}a Sp.: ἐν γενέσει VBFG^{1}S^1 ἐν ᾗ circumscripsi: fortasse αὐτὴ 2 εἶναι scripsi: τι libri 5 ἡ Vict. S: η V: ἣ a 7 αὐτῶν delevi 10 αἰσθητὴν] fortasse ⟨τὴν τῶν⟩ αἰσθητῶν 12 δ' delevi fortasse αὐτῷ 13 διαίρεσιν G^2 Vict.: διαιρεῖν libri 15 ὧν Schwartz: ὧν ἡ libri: ὃν Vict. 17 ἐν τῷ δευτέρῳ] Arist. Met. II, 1—3 (353a31—359b26) 19 πρῶ τὸν V 22 ἀναχθείσης Schwartz: ἐνεχθείσης libri τοῦ Sp.: ἀπὸ τῆς V: ἀπὸ τοῦ a 29 ἔχει Sp.: ἔχῃ libri 30 ἀπορρεῖν Sp.: ἀπορρεῖ libri 31 μεθίστασθαι Sp.: μεθίσταται libri χειρότμητον V (corr. Sp. ex Arist.) οὐκ αὐτὸ (αὐτο V)] fortasse οὐ στάσιμον 33 excidisse videtur τὴν αἰτίαν ἀπέδωκεν τῆς φαινομένης τῆς θαλάσσης ῥύσεως

στενοῖς τῷ παρὰ τὴν γῆν ἐν τοῖς τοιούτοις τόποις φανερὰν αὐτῆς γίνεσθαι τὴν μετάρρυσιν), εἰ δέ τις γίνεται αὐτῆς κίνησις ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ κοιλότερα φερομένης, οὐκ ἀπ' οἰκείων πηγῶν ἀλλὰ τῇ τῶν ποταμῶν ἐπιχύσει ἀπὸ τῶν ὑψηλοτέρων ἐπιρρεόντων, ἀφ' ὧν τὰς πηγὰς ἔχουσιν, ὡς τὴν τοιαύτην κίνησιν ἀπὸ πηγῶν μὲν τὴν ἀρχὴν ἔχειν, ἀλλ' οὐ τῶν τῆς θαλάττης, ἀλλὰ τῶν ποταμῶν τῶν εἰς αὐτὴν ῥεόντων. ἐφ' ᾧ ἔδειξεν, ὅτι μὴ θάλαττά ἐστιν ἀρχὴ τοῦ ὕδατος καὶ τὸ τέταρτον στοιχεῖον, ὅ τινες ὑπολαμβάνοντες ἔλεγον μὴ μόνον τοὺς ποταμοὺς εἰς τὴν θάλασσαν ἰέναι, ⟨ἀλλὰ⟩ καὶ ἀπὸ τῆς θαλάττης, γλυκὺ δ' ἔχειν τὸ ὕδωρ τῷ ἀπὸ τῆς γῆς αὐτὸ ἠθούμενον φέρεσθαι. ἐφ' οἷς δεικνύς, ὅτι μὴ ἔστι τὸ ὕδωρ τὸ διὰ τῆς γῆς ἁλμυρὸν τῇ αὐτοῦ φύσει, ἀπέδωκεν αἰτίαν τῆς ἁλμυρότητος, ὡς † λεγομένη, τὸ τοῦ ὕδατος περικειμένου τε καὶ περιτεταμένου περὶ τὴν γῆν τὸ μὲν λεπτότατον καὶ γλυκύτατον ἀνάγεσθαι καὶ ἀναθυμιᾶσθαι καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως, ἀτμίζον διὰ τὸ κουφότερόν τε ὂν καὶ καθαρώτερον ἐπιπολάζειν, τούτου δ' ἀναγομένου συνεχῶς καὶ πάλιν μεταβάλλοντός τε καὶ καταφερομένου τὸ ἁλμυρὸν ὑπολείπεσθαι διὰ βάρος ἐν τῷ τοῦ ὕδατος οἰκείῳ τόπῳ. | ἐφ' οἷς ἀπορήσας πόθεν ἡ ἀρχὴ καὶ ἡ 190 αἰτία τῆς ἁλμυρότητος τῆς οὔσης ἐν τῷ ὕδατι καὶ τῆς θαλάσσης, ἔδειξεν πᾶν τὸ γινόμενον ὕδωρ ἁλμυρὸν οὐκ ἐκ τοιούτου κατὰ μῖξίν τινος γίνεσθαι. τό τε γὰρ σύστημα τῶν ζῴων τὸ ἐν τῇ κύστει διὰ τοῦτον τὸν χυμὸν εἶναι τοιοῦτον· φαίνεται γὰρ μεμῖχθαί τι αὐτῷ γεῶδες, ὃ δῆλον γίνεται ὑφιζάνον ἐν αὐτῷ. ἀλλὰ καὶ ὁ ἱδρὼς μιγνύμενον ἔχει τοιοῦτον ἐν ἑαυτῷ, ὃ λαμβάνει τὸ πινόμενον ὕδωρ ἀπὸ τοῦ σώματος, διηθούμενον δι' αὐτοῦ καὶ ὥσπερ πλῦνον αὐτὸ καὶ καθαῖρον. τοιοῦτον δὲ καὶ τὸ διὰ τῆς τέφρας διηθούμενον. ἔστι δὲ τὸ μιγνύμενον τούτοις καὶ τῆς αὐτῆς ἰδιότητος αἴτιον τὸ ὅσον ἄπεπτον ἐν τοῖς σώμασι μένει, μὴ δυνηθὲν ὑπὸ τῆς πεπτούσης αὐτὸ μεταβληθῆναι θερμότητος. τοιοῦτος γὰρ ὅ τε ἱδρὼς καὶ τὸ οὖρον καὶ τὸ διὰ τῆς τέφρας διηθούμενον· καὶ γὰρ ἡ τέφρα τὸ μὴ δυνηθὲν τῆς γῆς ὑπὸ τοῦ πυρὸς κρατηθῆναι καὶ μεταβαλεῖν εἰς αὐτό, ἀλλὰ ἄπεπτον μεῖναν τῆς καομένης ὕλης μόριον. ἃ κατασκευάσας ἔλαβεν, ὅτι δεῖ τοιοῦτό τι εἶναι καὶ ὃ τῷ ὕδατι μιγνύμενον τὴν θάλασσαν ἐξ αὐτοῦ ποιεῖ. εἰπὼν δὲ δεῖν ἄπεπτόν τι εἶναι περίττωμα, οὗ ἡ μῖξις τῆς πρὸς τὸ ὕδωρ αἴτιον αὐτῷ τῆς ἁλμυρότητος γίνεται, | δεικνὺς τί πότ' ἐστι τοῦτο, ἔλαβεν τὸ 191 ὥσπερ ἐπὶ τῶν σωμάτων τῶν ζῴων ἐν ταῖς τροφαῖς τε ⟨καὶ⟩ μεταβολαῖς ἄπεπτά τινα περιττώματα γίνεται, ὧν τῇ πρὸς τὸ ὕδωρ μίξει γίνονταί τινες ἁλμυραί τε ὑποστάσεις ἐν αὐτοῖς καὶ πικραί, οὕτω δὴ καὶ ⟨ἐν τῷ⟩ παντὶ ἀπὸ πάντων τῶν φυομένων καὶ γινομένων ὑπολαμβάνειν δεῖ τοιαύτην τινὰ ἄπεπτον

9 ἀλλὰ add. B²F Sp. 9 γλυκὺν libri 11 γῆσ in lit. V fortasse γῆς ⟨διηθούμενον⟩ 12 λεγομένη τὸ] λεγομένης τῷ Sp.: γενόμενον τὸ G³: fortasse ⟨μὴ⟩ γενομένης τό; cf. Arist. Met. 357a5 τοῦ] τ in lit. V 17 ἀπορρήσασ V 18 καὶ delevi 20 τοῦτον] τοῦτο Sp. 24 πλῦνον Sp.: πλύ|νομεν sic V: πλύνον μὲν GF: πλυνόμενον B: πλύνομεν Sa αὐτὸ Sp. 25 δὲ in lit. V αὐτῆς] τοιαύτης Schwartz 29 τοῦ in lit. V κρατηθῆναι] τη in lit. V 32 τῆς] fortasse ἡ 34 καὶ add. Sa Sp. 35 ὧν Schwartz: ὡς libri 36 ἐν τῷ addidi cf. Alex. in Meteor. 97a16

ὑπόστασιν γίνεσθαι, καὶ πλήρη τὴν γῆν τοιαύτης καταμεμιγμένης ξηρᾶς καὶ ἀπέπτου περιττώσεως ὁμοίως τῇ τέφρᾳ· ἣν ἐν ταῖς ὑπὸ τοῦ ἡλίου γινομέναις ἀναθυμιάσεσιν ἀπό τε τῆς γῆς καὶ τοῦ ὕδατος ἐγκαταμεμιγμένην ἅτε οὖσαν κουφοτέραν ἐν ταῖς εἰς ὕδωρ συστάσεσί τε τῶν νεφῶν καὶ μεταβολαῖς ἐγκαταμιγνυμένην καὶ συγκαταφερομένην ἀεὶ ἀρχὴν καὶ αἰτίαν εἶναι τῆς ποιότητος τοῦ τῆς θαλάττης ὕδατος, ἧς περιττώσεως ἐν ταῖς ἀπὸ τῆς θαλάττης ἀναθυμιάσεσι τὸ πλεῖστον ὑπομένον. εἶναι γάρ τι καὶ συναναφερόμενον τῷ ὕδατι καὶ μεταβάλλον εἰς γλυκὺ ἐν τῇ πέψει τε καὶ τῇ ἐκ τῶν νεφῶν μεταβολῇ, * * * τοῦτο δὲ τὸ ὑπομένον τῆς ἁλμυρότητος αἴτιον τῷ ὕδατι τῷ τῆς θαλάσσης. ὅτι δὲ σὺν τῷ ὑομένῳ ὕδατι τοιαύτη τις συγκαταφέρεται περίττωσις, ἔδειξεν ἐκ τοῦ τά τε νότια ὕδατα μάλιστα εἶναι πλατέα τῷ καὶ τὸν νότον ἀπὸ τῶν μερῶν ἐκείνων τὴν γένεσιν ἔχειν, ἐν οἷς πλείων ἡ ξηρὰ ἀναθυμίασις γίνεται, πλατύτερα δὲ καὶ τὰ πρῶτα τῶν μετοπωρινῶν ὑδάτων, ὅτι ἀνάγκη τὰ βαρύτατα πρῶτα | 192 καταφέρεσθαι, βαρύτατα δὲ τὰ πλεῖστον τὸ γεῶδες ἐν ἑαυτοῖς ἔχοντα. ὅτι δὲ τοιοῦτο περίττωμα τῇ θαλάσσῃ πολύ, ἐπιστώσατο καὶ διὰ τοῦ θερμὴν αὐτὴν εἶναι. πάντα γὰρ ὅσα πεπύρωται ἔχει τινὰ δύναμιν θερμότητος ἐν αὐτοῖς, ὡς ἥ τε κονία καὶ ἡ τέφρα καὶ ἡ τῶν ζῴων ὑπόστασις, καὶ ἡ τῶν θερμοτέρων τὴν κοιλίαν ζῴων καὶ ὑπόστασις θερμοτέρα. ἐπιστώσατο δὲ ἁλμυρὸν γίνεσθαι κατὰ μῖξιν τοιούτου τινὸς περιττώματος καὶ ἀπὸ τῆς ἱστορίας, παραθέμενος λιμένας τε καὶ ποταμούς, ὧν ὄντων ἁλμυρῶν συμβέβηκεν καὶ τὸ ὕδωρ παχύτερόν τε εἶναι καὶ γεωδέστερον, ὡς τὸ μὲν μὴ ἐὰν διὰ παχύτητα καταφέρεσθαι ἐν ἑαυτῷ τὰ φύσιν ἔχοντα ἐν τῷ ὕδατι τεθέντα κάτω φέρεσθαι, τὰ δὲ θερμανθέντα διὰ τὴν παχύτητα ἅλας ποιεῖν.

XI. Ἐπιχείρησις ὅτι θέσει τὰ ὀνόματα.

Εἰ θετικοὶ τῶν ὀνομάτων ἐσμὲν φύσει, καὶ τοῦτο παρὰ τῆς φύσεως ἔχομεν τὸ δύνασθαι ὀνομάζειν καὶ τίθεσθαι τὰ ὀνόματα τοῖς πράγμασιν, δῆλον ὡς θέσει τὰ ὀνόματα· θέσει γὰρ ἡμεῖς τιθέμεθα. οὐ γὰρ οἷόν τε τοῦ ὀνόματος ἑκάστου τῶν πραγμάτων ὑπάρχοντος φύσει ἡμᾶς ἐπ' αὐτοῖς τίθεσθαι αὐτά. ὡς γὰρ ἐπιστήμης | 193 ὄντες δεκτικοὶ φύσει οὐκ ἔχομεν τὰς ἐπιστήμας φύσει, ἀλλὰ τὸ μὲν δύνασθαι δέχεσθαι ἐπιστήμην παρ' ἐκείνης ἡμῖν ἐστιν, οὐκ ἔτι μέντοι καὶ ἐπιστῆμαι παρ' ἐκείνης (οὐ γὰρ ἂν ἦμεν δεκτικοὶ τῶν ἐπιστημῶν ἀλλ' ἔχοντες αὐτὰς καὶ ἐπιστήμονες), οὕτω καὶ τὸ μὲν δύνασθαι τίθεσθαι καὶ τὰ ὀνόματα παρ' ἐκείνης, οὐ μέντοι καὶ τὰ ὀνόματα ἔτι· οὐ γὰρ ἂν ἔθ' ἡμεῖς τοῦ τίθεσθαι αὐτὰ κύριοι. οἷς γὰρ τὸ κεῖσθαι φύσει, τούτοις οὐκέτι κατὰ φύσιν τὸ ὑφ' ἡμῶν τίθεσθαι. εἰ δὲ μὴ

---

5 ἐγκαταμιγνυμένην καὶ] ἐγκαταμεμιγμένην καὶ a Sp.: fortasse del.   9 fortasse ⟨τῷ δὲ ἔλαττον εἶναι τοῦτο τοσούτῳ, ὅσῳ καὶ ἐν τῷ ὑομένῳ τὸ ἁλμυρὸν τοῦ γλυκέος ἔλαττον⟩ τούτῳ δὴ τό; cf. Al. in Met. 97 v 29   14 ὅτι Sp.: ὅταν libri   15 δὲ Sp.: τε libri   19 θερμοθέρα] θερμο s. v. V   23 ὕδατι τεθέντα Sp.: ὕδατιητιθέντα (ὕ in lit.) VB: ὕδατι ἠτιθέντα Sa   27. 28 τοῖς — ὀνόματα V[1] in mg.   29 fortasse ἑκάστῳ   35 ἔτ' ἦμεν ἡμεῖς coni. Sp. recte   35. 36 κεῖσθαι Sp.: κινεῖσθαι libri

εἴη κατὰ φύσιν τοῖς πράγμασι τὸ ὑφ' ἡμῶν αὐτοῖς τὰ ὀνόματα τίθεσθαι, οὐδ' ἂν ἡμῖν εἴη κατὰ φύσιν τὸ τίθεσθαι τὰ ὀνόματα αὐτοῖς· οὐ γὰρ ταὐτόν ἐστι θέσθαι ὄνομα καὶ εἰπεῖν τὸ κείμενον. ἔδει τε εἰ ἔκειτο φύσει τὰ ὀνόματα, καὶ τοὺς λέγοντας πάντας λέγειν τὰ αὐτά. ἀλλ' εἰ φύσει τὰ ὀνόματα, δεῖ καὶ τὰ στοιχεῖα δι' ὧν τάσσεται εἶναι φύσει· οὐ γὰρ ἄλλη τίς ἐστι τῆς διαφορᾶς τῶν κατὰ ἔθνη διαφερόντων ἐπὶ τῶν αὐτῶν πραγμάτων παρὰ τὴν τῶν στοιχείων τε καὶ συλλαβῶν ποιὰν σύνθεσιν. ἱκαναὶ δὲ τοῦτο συστῆσαι καὶ αἱ ὁμωνυμίαι καὶ αἱ πολυωνυμίαι καὶ μετονομασίαι.

XII. Ὅτι μὴ ἄπειρον τὸ ὄν.

Ὁ λόγος δεικνύναι θέλων ἄπειρον τὸ ὂν | διὰ τοῦ τὸν ὑποτεθέντα εἶναι ἐν τῷ τοῦ κόσμου πέρατι ἤτοι ἐκτενεῖν ἐπέκεινα τοῦ κόσμου τὴν χεῖρα, 194 ἢ ⟨δι'⟩ ὁτιδὴ κωλυθήσεσθαι, ἀμφοτέρως δὲ ἔσεσθαί τι ἐκτὸς τοῦ κόσμου (ἢ γὰρ τὸ κωλῦον ἐκτός ἐστιν, ἢ ἐν ᾧ ἔσται τὸ ἐκτεινόμενον), τὴν πιθανότητα ἔχει παρὰ τῆς φαντασίας τε καὶ αἰσθήσεως, ὥσπερ καὶ ὁ λέγων πᾶν τὸ πεπερασμένον πέρατι περαίνειν· ἀμφοτέρων γὰρ ἡ πιθανότης ἀπὸ τῆς αἰσθήσεως. τῷ γὰρ ἡμᾶς διὰ τὸ ἀφαντάστους εἶναι τοῦ ἀντικειμένου τοῖς ἐρωτωμένοις μηδὲν αὐτοῖς ἐξ αἰσθήσεως ἔχειν παρασχέσθαι τούτοις ἀντιμαρτυρούμενον ἡ τῷ λόγῳ πιθανότης. οὔτε γάρ τινι περιπεπτώκαμεν τοιούτῳ πεπερασμένῳ, οὗ μηδέν ἐστιν ἐπέκεινα (τοιαῦτα γὰρ πάντα τὰ ὡς μέρη πεπερασμένα, ὧν ἐσμεν αἰσθανόμενοι μόνων), οὔτε προσπίπτει ἡμῖν τοιοῦτον, οὗ μηδὲ ἐκτὸς εἶναι δυνήσεται· ἁπάντων γὰρ ὧν αἰσθανόμεθα ἐκτός τι ὄν. διὸ δεῖ τοὺς ἐνισταμένους τοῖς τοιούτοις τῶν λόγων [ἢ] μὴ παρὰ τῶν αἰσθήσεων πειρᾶσθαι τὴν μαρτυρίαν φέρειν, ὧν ἐκτός ἐστι τὰ ζητούμενα, ἀλλ' ἀπὸ τῆς οὐσίας τῶν πραγμάτων πειρᾶσθαι φέρειν τὰς ἐνστάσεις, προσλαβόντας ἐν αὐτοῖς ἐναργὲς ὂν τὸ | μὴ δύνασθαι πάντα τὰ αὐτὰ ὑπάρ- 195 χειν τῷ τε μορίῳ καὶ τῷ ὅλῳ, καὶ τῷ παντὶ καὶ ἑκάστῳ τῶν μερῶν αὐτοῦ. διὸ μηδὲ δεῖν ζητεῖν τὰς ἀπὸ τῶν αἰσθήσεων μαρτυρίας περὶ τῶν μερῶν, οἷς εἰσι σύντροφοι, μεταφέρειν ἐπὶ τὸ πᾶν, ὃ πάσης ὂν ἐκτὸς αἰσθήσεως πρὸς τῷ ὑπὸ μηδεμιᾶς φαντασίας αἰσθητικῆς βοηθεῖσθαι καὶ πολλαῖς αὐτῶν ἐναντιοῦται. οὐδὲ γὰρ ἂν διέφερέν τι τὸ πᾶν τοῦ μέρους, εἰ ἦν ὁμοίως, ὥσπερ ἑκάστου αὐτῶν ἐκτός τι, οὕτω δὴ κἀκείνου. * * * ὥστε κατὰ μὲν τὸν λόγον εἶναί τι καὶ πᾶν οὐ πάντα τὰ ἄλλα μέρη, ἡ δ' αἴσθησις οὐδενός ἐστιν ἀντιληπτικὴ τοιούτου, οὐ διὰ τὴν αἴσθησιν ἀποστατέον τῶν ὑπὸ τοῦ λόγου τιθεμένων. οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων οὕτω ποιοῦμεν, ὅτι μηδὲ τὰ αἰσθητά φαμεν εἶναι μόνα· οὐδ' ἐπεὶ χρώμεθα πρὸς τὰς πίστεις τῶν ζητουμένων ἐπὶ πολλῶν ταῖς ἐκ τῶν αἰσθήσεων μαρτυ-

---

5 τάττεται a Sp. 6 fortasse ⟨ὀνομάτων αἰτία⟩ τῆς 10 ὁ λόγος] "*Arch. in Eud. phys.*" Sp. cf. *Simpl. in Phys.* (Diels) 467,26 ἐκτενεῖν Blass: ἐκτείνειν libri 12 ⟨δι'⟩ ὁτιδὴ κωλυθήσεσθαι Blass: ὅτι δὴ κωλυθήσεται libri 13 pr. ἢ] ἡ V 18 ἀντιμαρτυρούμενον, ἡ Sp.: ἀντιμαρτυρουμένη libri 20 προσπίπτει Sp.: προσπίπτειν libri 22 ἐκτός τι ὄν Sp.: ἕκαστον libri ἢ (ἡ V)] del. Sp. 26 παντι V 31 excidit tale quid εἰ δὲ τοιοῦτον ἡ τοῦ παντὸς φύσις 35 οὐδ' del. Sp.

ρίαις διὰ τὴν συντροφίαν τε καὶ τὴν πρὸς αὐτὰ συνήθειαν, ἤδη χρὴ μόναις ταύταις χρῆσθαι μέτρῳ τῆς ἀληθείας· οὐδὲν ἂν τῶν ἀλόγων πρὸς τὴν γνῶσιν τῆς ἀληθείας διαφέροιμεν, ἱκανὸν γὰρ αὐτοῖς τὸ ἐν τοῖς οἰκείοις αἰσθητοῖς ἀληθές. ἃ δ' οὐκ ἔστιν αἰσθήσεων ἴδια, ἄτοπον τὸ τὴν ἐν τούτοις ἀλήθειαν τῆς ἐκ τῶν αἰσθήσεων μαρτυρίας πᾶσαν ἠρτῆσθαι λέγειν. ὅτι μὲν οὖν εὔλογον εἶναί τι καὶ πᾶν, οὗ μέρη τε | 196 ὧν αἰσθανόμεθα, καὶ ὅσαι τούτων ἀρχαί τε καὶ αἰτίαι, ἱκανὸν μὲν συστῆσαι τὸ ὅλον τε καὶ τὸ μέρος πρὸς ἄλληλα λεγόμενον. τό τε γὰρ μέρος ὅλου μέρος τινός, καὶ τὸ ὅλον τοῖς μέρεσι τοιοῦτον, εἴ γέ ἐστιν ὅλον, οὗ μηδὲν τῶν μορίων ἄπεστιν, ὥστ' εἰ μέρη τὰ καθ' ἕκαστά τε καὶ αἰσθητά ἐστιν, καὶ τὸ ὅλον οὗ μέρη ταῦτα (τὰ γὰρ μέρη ὅλου μέρη τινός), † ἄτοπον τῷ πᾶν τὸ ὡς μέρος λεγόμενον ἐπὶ τὸ ὅλον τε τὴν ἀναφορὰν ἔχειν. διὸ οὐδ' ἂν ὡς μέρους μέρη λέγηται τὰ πρῶτα ληφθέντα, ἀνάγκη κἀκεῖνο, ᾗ μέρος ἐστίν, ἄλλου τινὸς εἶναι † μέρος, εἰ μὴ ὅλον τι εἴη, ἀναιροῖτ' ἂν τὸ καὶ ταῦτα εἶναι μέρη. ἀλλ' εἰ ὅλον τι ἀναγκαῖον εἶναι εἴη, ἐφ' ὃ πᾶν τὸ ὡς μέρος ὄν τε καὶ λεγόμενον ἔχει τὴν ἀναφοράν, ταὐτὸν δὲ ὅλον τε καὶ πᾶν, εἴ γε ἑκάτερον αὐτῶν ὁρίζεται τῷ μηδὲν αὐτοῦ τῶν μερῶν ἀπεῖναι, εἴη ἄν τι τοιοῦτο ὂν πεπερασμένον, εἴ γε πεπερασμένον, οὗ μηδὲν τῶν μερῶν ἄπεστιν. τὸ δὲ πᾶν τοιοῦτον. οὔτε γὰρ ἄλλο τι ὂν ἐκτὸς αὐτοῦ ἔσται περαῖνόν τε καὶ πεπερασμένον, οὔτε ἐκτείνειν τις εἴς τι μετ' αὐτὸ ὂν δυνήσεται τὸ κρατούμενον ὑπ' αὐτοῦ. οὐκέτι γὰρ ἂν εἴη πᾶν τε καὶ ὅλον, οὗ ἔξωθέν τί ἐστιν ὄν. ἔξωθεν δέ ἐστίν τι [ἐστι καὶ ὂν] τοῦ τε περαίνοντος παρ' ἄλλο τι καὶ τοῦ [δὲ] καταλείποντός τι μετ' αὐτό, εἴτε τοξεύειν τις ἢ ἐκτείνειν | 197 τῶν αὐτοῦ μορίων ἢ τῶν ὑφ' αὐτοῦ κρατουμένων τι δυνήσεται. ἱκανὸν δ' ἔτι συστῆσαι ταὐτὸ τοῦτο καὶ τὸ τὰς ἀρχὰς τῶν ὄντων εἶναι πεπερασμένας. ἀπείρων γὰρ οὐσῶν οὐδὲ γνῶσις αὐτῶν ἔσται. εἰ δὲ μὴ τούτων, οὐδὲ τῶν ἐξ αὐτῶν γινομένων τινός, εἴ γε πᾶσα ἐπιστήμη ἐκ τῆς τῶν ἀρχῶν τοῦ ἐπιστητοῦ γνώσεως πρόεισιν. ἕπεται δὲ τῷ ἀπείρους εἶναι τὰς ἀρχὰς καὶ τὸ μηδὲν γίνεσθαι τῶν γινομένων τεταγμένως. τίς γὰρ ἂν τάξις ἀπείρων γένοιτο; τί γὰρ ἂν εἴη τῆς ἐν τοῖς ἀπείροις τάξεως αἴτιον; οὔτε γὰρ φύσις ἐν αὐτοῖς ἔχοι χώραν ἄν τινα, ἧς ἴδιον τὸ ἕνεκά του πάντα τὰ κατ' αὐτὴν γινόμενα γίνεσθαι ὡς ἐπὶ τὸ πλεῖστον, οὐθ' οἷόν τε γίνεσθαι

---

1 ἤδη Schwartz: εἰ δὲ libri δ' ἐχρῆν coni. Sp. 2 ἂν Vict.: γὰρ libri 6 οὐ V 11 ἄτοπον] fortasse αὐτὸ ὅλον τῷ] τὸ Vict. τὸ om. Sa 12 τε (ε corr. v. c. V): τι BF^aS^a 13 κἀκεῖνο scripsi: κἀκεῖνα libri ᾗ BS^aF^a: ἧι V: ὧν FSa 14 fortasse ⟨μέρους⟩ μέρος, ⟨ὃ⟩ εἰ μὴ ὅλου ⟨οὗ⟩ εἰ Vict. 15 εἴη V 17 μ. αὐτῶν a εἴη ἄν τι] ἢ ἀντὶ τοῦ a 20 τίσ εἴσ τι (supra εἴσ: ἔστι v. c.) V: τις εἴς τι BF^aS^a: τι ἐστι GSFa: τὶς εἰς τὸ Vict. Sp. 21 ὑπ' αὐτοῦ (αὐτου V)] ὑφ' αὐτοῦ a Sp. 22 ἐστι καὶ ὂν delevi δὲ ἔστιν τι ἐστι καὶ (καὶ supra ἐστι) ὂν τοῦ τε (ο supra ε) V: τι τοῦτο GFS: δέ ἐστιν ὂν (haec in mg. S^1) τοῦτε (τοῦτο S^1) SF^aa Sp.: δὲ ἔστιν τί ὂν τοῦτε B: δέ ἐστι τί εστι ὢν τοῦ τε S^a περαίνοντος] post ε lit. 1—2 litt. V 23 τοῦ $F^aS^aS^2$a Sp.: τοῦδε $VBFS^1$ εἴτε] fortasse εἰς ὃ 24 αὐτοῦ V ἢ V 25 δ' ἔτι] δὲ a Sp. τὸ om. a Sp. 28 τῷ om. a 29 τεταγμένως V^1GBFSa Sp.: τεταγμένον v. c. VF^aS^a 31 ἂν χώραν coni. Sp. 32 οὐθ' Sp.: οὐχ libri

ἐν μὴ δεχομένοις τάξιν πράγμασι. τί γὰρ μᾶλλον ἐν τοῖς ἀπείροις τόδε πρὸ τοῦδε, καὶ τὸ μὲν πρῶτον τὸ δ' ὕστερον, οὗ χωρὶς οὐχ οἷόν τε τὸ ἕνεκά του γινόμενον γενέσθαι; πῶς γὰρ ἂν ἄνθρωπος ἢ ἵππος ἤ τι τῶν ἄλλων τῶν φύσει γινομένων γένοιτο, ἀναιρεθέντος τοῦ τὸ μέν τι εἶναι πρῶτον τῶν εἰς αὐτὰ συντελούντων, τὸ δὲ δεύτερον καὶ ἄνθρωπον μὲν ἐξ ἀνθρώπου, ἵππον δὲ ἐξ ἵππου γίνεσθαι κατὰ φύσιν, οὐσῶν τῶν ἀρχῶν ἀπείρων τε καὶ τάξιν οὐ δεχομένων; τί γὰρ τὸ τὰ ἄπειρα τάξον; εἰ δ' ἀνάγκη μὲν τύχῃ τε καὶ τῷ αὐτομάτῳ τὴν ἀπειρίαν διοικεῖσθαι, οὐχ οὕτω δὲ γινόμενα φαίνεται τὰ γινόμενα | (τὰ γὰρ ἢ ὁμοίως ἀεὶ ἢ ὡς ἐπὶ τὸ πλεῖστον 198 γινόμενα πόρρω κεχώρισται τῶν προειρημένων αἰτίων, οὕτω δὲ ὁρᾶται τὰ γινόμενα κατὰ φύσιν), ἀναιροῖτ' ἂν καὶ τῶν ἀρχῶν τε καὶ τῶν ὄντων ἀπειρία. τί γάρ; εἰ ἀδύνατον ἄπειρον ἀπείρου μεῖζον εἶναι, κατὰ δὲ τὰς δόξας τῶν ἀπείρους τὰς ἀρχὰς εἶναι τιθεμένων οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἄπειρα πολλά, μᾶλλον δ' ἀπειράκις ἄπειρα ἕπεται εἶναί τε καὶ γίνεσθαι λέγειν, πῶς ἄν τις οὐκ ἀτοπωτάτην ὑπολάβοι τήνδε τὴν δόξαν; ἄπειρον γὰρ ἀπείρου μεῖζον οὐχ οἷόν τε λέγειν εἶναι, εἴ γε τὸ μὲν ἄπειρον ἀνάγκη πανταχοῦ λέγειν εἶναι, καὶ πάντα κατέχειν τόπον. οὐκέτι γὰρ ἄπειρον τὸ μὴ ὂν πανταχοῦ. τὸ γὰρ ὑπολιπεῖν τινα καὶ ἄλλῳ χώραν πεπερασμένου, τοῦ δὲ τοιούτου οὐδὲν ὑπερέχειν οἷόν τε, οὐδὲ παρ' αὐτὸ ἄλλο εἶναι, μὴ ὅτι ἄπειρον, ἀλλ' οὐδὲ πεπερασμένον. οὐκέτι γὰρ ἂν εἴη πανταχοῦ οὕτως. ὥστε καθ' οὓς πλείω τὰ ἄπειρα, οὐδὲν ἂν εἴη κατὰ τούτους ἁπλῶς ἄπειρον. εἰ γὰρ πλείω τὰ ἄπειρα, οὐκέτι τὸ ἄπειρον ἔσται πανταχοῦ, ἔσται τε ἄπειρον ἀπείρου μεῖζον, εἴ γε τά τε δύο ἄπειρα ἀνάγκη [τε] τοῦ ἑνὸς ὑπερέχειν, καὶ ἄπειρον καὶ τὸ ἐκ τῶν δύο ἀπείρων συγκείμενον. πάλιν δ' αὖ τὰ τρία μείζω τῶν δύο, καὶ οὕτω προστιθέντων ἐπ' ἄπειρον ἡ αὔξησις τοῦ ἀπείρου προελεύσεται. ἢ γὰρ οὐκ ἐροῦσιν τὰ δύο ἄπειρα τοῦ ἑνὸς μείζω τε καὶ πλείω, καὶ οὕτως αὐτοῖς συμβήσεται ἀμερῆ 199 τὰ ἄπειρα λέγειν (ἐκ γὰρ τῆς τῶν τοιούτων συνθέσεως μόνων οὐδὲν μεῖζον ἑκάστου τῶν ἐν τῇ συνθέσει τὸ ἐκ πάντων συγκείμενον, ὃ ταῖς στιγμαῖς συμβέβηκε μόναις), ἤ, εἰ τοῦτο ἀλογώτατον, καὶ τὰ ἴσα συντιθέμενα ἀνάγκη τὸ λοιπὸν ποιεῖν διπλάσιον, ἔσται τὸ ἐκ τῶν δύο ἀπείρων συντιθέμενον διπλάσιον, καὶ οὕτως ἔσται τι καὶ ἴσον ἄπειρον ἀπείρῳ, καὶ διπλάσιον ἄλλο ἄλλου καὶ ἥμισυ, οὕτω δὲ καὶ τριπλάσιον ⟨καὶ⟩ ἐπ' ἄπειρον αὐξόμενον, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; ἔτι δ' ἀναγκαῖον καὶ τῶν τυχόντων μέγεθος ἐχόντων, ἀπείρων δὲ κατὰ τὸν ἀριθμὸν τὴν σύνθεσιν ἄπειρόν τι μέγεθος ποιεῖν, οὐδὲν δὲ οἷόν ⟨τε⟩ τούτου τοῦ μεγέθους μεῖζον εἶναι, ἀνάγκη

---

3 alt. ἢ V 4 τοῦτο Sp. 10 αἰτιῶν a Sp. 12 τί γάρ; Schwartz: τε γάρ libri: del. Sp. 15 ἄν τις Schwartz: γὰρ libri (⟨ἄν τις⟩ τήνδε Sp.) 16 γὰρ s. v. V 21 οὕτως BS²a Sp.: οὗτος VFGS¹ post οὕτως inseruerunt: καθ' οὓς (ὃ εἰς S) πλείους (πλείω G) τὰ ἄπειρα· οὐδὲν ἂν εἴη τό, deinde iteraverunt ὡς μέρος (102,11) — αἴτιον (102,30) FGS (del. S²) L ὥστε om. G ἢ πλείους τὰς ἀρχὰς G in mg. 22 οὐκέτι scripsi: οὔτε ὅτι VBFS¹: οὔτε S²a Sp. 24 τε del. S²B²: om. a Sp. 25 προστεθέντων coni. Sp. 27 ἀμερῆ scripsi: μέρη libri 30 ἀλογώτατον Sp.: ἀλογώτατα libri 31 ποιεῖν Sp.: ποιεῖ libri 33 καὶ addidi 34 fortasse δ' ⟨εἰ⟩ 35 ἀπείρων Sp.: ἄπειρον libri 36 τε add. FS¹ Sp.

τῷ ἀπείρους τὰς ἀρχὰς ὑποτιθεμένῳ εὐθὺς ταύτας ἀλλήλων ἅπτεσθαι λέγειν καὶ μηδὲν αὐτῶν εἶναι μεταξύ· * * * γίνοιτ' ἂν οὕτως τοῦ ἐκ τῶν ἀπείρων συντιθεμένων γινομένου ἀπείρου μεῖζον τὸ ἔκ τε τῶν ἀπείρων ἀρχῶν καὶ ἐκ τῶν μεταξὺ αὐτῶν συγκείμενον. ὅτι δὲ πλείω τὰ ἄπειρα κατὰ τοὺς ἀπείρους τὰς ἀρχὰς λέγοντας, καὶ ἐκ τούτων γνώριμον. λέγουσι μὲν γὰρ τοὺς κόσμους ἀπείρους, τούτων δὲ εἰ μὲν καὶ ἕκαστος αὐτῶν ἐξ ἀπείρων ἀρχῶν ἐστι συγκείμενος, ἀπειράκις ἄπειρα τὰ ἄπειρα ἀναγκαῖον εἶναι, ἑκάστης ἰδίᾳ τῆς ἀρχῆς τῶν | 200 ἐν τοῖς ἀπείροις κόσμοις πρὸς ἑκάστην ἄπειρον μέγεθος ποιούσης ἐν τῇ πρὸς ἀλλήλους τῇ κατὰ μίαν σύνθεσιν, εἴ γε ἄπειρον ἀναγκαῖον εἶναι τὸ ἐξ ἀπείρων μέγεθός τι ἐχόντων σύγκειμενον. εἰ δὲ ἐκ πεπερασμένων ὄν, τοσαυτάκις ἄπειρα τὰ ὄντα, ἐξ ὅσων ἕκαστος κόσμος πεπερασμένων στοιχείων ἐστίν. εἰ δὲ καὶ τὸ μεταξὺ κενὸν συγκαταριθμοῖτο, πολὺ μεῖζον ἂν ἔχοι τὸ γινόμενον γίνοιτο. εἰ δὲ ταῦτα παράλογα καὶ ὑπερβάλλοντα πᾶσαν ἀτοπίαν, δῆλον [δ'] ὡς ἄτοπος ἡ τῆς ἀπειρίας ὑπόθεσις. ἧς ἑπομένης καὶ τοῖς πᾶν τὸ πεπερασμένον παρὰ τὸ ἐκτὸς περαίνειν λέγουσι καὶ τοῖς ἀξιοῦσιν ἐκτείνειν δύνασθαί τι τὸν ἐπὶ τοῦ πέρατος γενόμενον ἐπέκεινα καὶ ἔξω τοῦ πέρατος, δῆλον ὡς καὶ ταῦτα ἐνέχοιτο ἂν τοῖς ἀτόποις τοῖς προειρημένοις. διὸ λύειν αὐτὰ πειρατέον [οὐκ] ἀπὸ τῆς οὐσίας αὐτῶν τὴν ἀρχὴν λαμβάνοντας, οὐκ ἀπὸ τῆς αἰσθήσεως τῆς μηδὲν εἰς τὴν γνῶσιν αὐτῶν συντελούσης. εἰ μὲν οὖν τῷ πεπερασμένῳ τὸ εἶναι πεπερασμένῳ ἐστὶν ἐν τῷ θεωρεῖσθαι παρ' ἄλλο, λέγοιεν ⟨ἄν τι⟩ οἱ ἐναντίοι, ἀξιοῦντες παντὸς πεπερασμένου ἐκτὸς ὀφείλειν εἶναί τι παρ' ὃ περαῖνον φαίνεται, εἴ γέ ἐστιν ἐν τούτῳ τῷ πεπερασμένῳ τὸ εἶναι· εἰ δέ ἐστι πεπερασμένον τὸ πέρας ἔχον καὶ τὸ | 201 οἷόν τε εἰς ἴσα διαιρεῖσθαι καὶ τὸ ἐκ πεπερασμένων μερῶν συγκείμενον, ὧν οὐδενὶ τὸ εἶναι ἐν τῷ ἐκτὸς ἔχειν αὐτοῦ τι, οἱ λαμβάνοντες πᾶν τὸ πεπερασμένον παρά τι περαίνειν οὐ τῶν ἐν τῇ οὐσίᾳ τοῦ πεπερασμένου περιεχομένων λαμβάνοιεν ἄν τι, ἀλλά τι συμβεβηκὸς τούτοις, οἷς τοῦ παντὸς μέρεσιν ὑπάρχει τὸ πεπεράνθαι. τούτοις γὰρ ὑπάρχοντος τοῦ παρ' ἄλλο ὁρᾶσθαι, οὐ διὰ τὸ πεπεράνθαι. ἀλλὰ διὰ τὸ μέρεσιν τοῦ παντὸς εἶναι, ἀξιοῖ τοῦτο μεταφέρειν καὶ ἐπὶ τὸ ὡς πᾶν πεπερασμένον, μόνοις τοῖς ὡς μέρεσι πεπερασμένοις τούτου παρακολουθεῖν δυναμένου, οὐχ ᾗ πεπερασμένα, ἀλλ' ᾗ μέρη. καὶ

---

2 excidit tale quid εἰ γὰρ λείπεταί τι μεταξύ, (καὶ γίνοιτ' Vict.) 7 ἐστι συγκείμενος Sp.: ἐπισυγκείμενον libri ἀναγκαῖον] ἀνάγκη a Sp. 8 ἑκάστης ἰδίᾳ Sp.: ἑκάστη διὰ libri, sed G in mg.: ἑκάστης ἀρχῆς 9 alt. τῇ suspectum 9. 10 fortasse συνθέσει 11 ὄν Vict.: ὧν libri 12 πεπερασμένος a Sp. 13 συγκαταριθμοῖτο] pr. α in lit. V ἔχοι] ἔχον sive ἔτι coni. Sp.: ἐκεῖ Schwartz 14 δ' del. Sp. 16 τοῖς S²a Sp.: τῆς VS¹B 19 pr. οὐκ del. S²: om. Sp. alt. οὐκ Vict.: ἀλλ' libri 21 εἶναι πεπερασμένον B 22 λέγοιεν ⟨ἄν τι⟩ scripsi: καλῶς λέγοιεν Vict.: καλῶς ἂν λέγοιεν Sp. 23 παρ' ὃ περαῖνον G: παρ' ὃ περαίνειν Vict. Sp.: παρ' ὅπερ οινον (supra οι litura) VB: παρ' ὅπεροινον (οινον in lit.) F: παροπέροινον S: παρ' ὅπερ εἶναι S²B²a 24. 25 διαιρεῖσθαι Vict.: διαιροῦνται libri 25 τὸ Sp.: τι libri 28 τι scripsi: τινα libri fortasse οἷς ⟨ὡς⟩ 29 ἄλλα Sp. καὶ οὐ Vict. Sp. τὸ scripsi: τοῦτο libri 30 δια V ἀξιοῦσι coni. Sp. 32 ἀλλ' ᾗ Sp.· ἀλλὰ libri

γὰρ εἰ μὲν τὸ πεπερασμένον τῇ αὑτοῦ φύσει ⟨τὸ⟩ πεπεράνθαι ἔχει. τὸ δὲ πρός τι περαίνειν [ἐν] τῇ πρὸς ἄλλο σχέσει τοιοῦτον, οὐκ ἂν εἴη τὸ πεπερασμένον ἐν τῷ περαίνειν πρός τι ὂν ἐκτὸς αὑτοῦ. χρὴ γὰρ τὸν εἰσάγοντα διὰ τῶν λόγων φύσιν οὕτως ἄτοπον καὶ τοῖς οὖσί τε καὶ γινομένοις μαχομένην, ὡς ἐδείξαμεν, οὐκ ἐκ βραχείας πιθανότητος ποιεῖσθαι τὴν κατασκευήν τε καὶ τὴν πίστιν αὐτῆς, οὐδὲ ἀπὸ συμβεβηκότος τινός τισι τῶν πεπερασμένων τὴν φύσιν τοῦ πεπερασμένου λαμβάνοντος. οὔτε γὰρ ἕπεται τοῦτο ἐπὶ τῷ λέγοντι τὸ πᾶν εἶναι πεπερασμένον, οὔτε ἐκ τῆς αἰσθήσεως ἔχουσί τι περὶ αὐτοῦ τοιοῦτο | λέγειν, ἥ τε ἀπὸ τῶν ὑπὸ τὴν αἴσθησιν πεπερασμένων 202 παράθεσις οὐχ ὁμοία, εἴ γε ταῦτα μὲν ὁμολογεῖται πρὸς τῷ πεπεράνθαι [τὸ] καὶ μέρη τοῦ παντὸς εἶναι, τὸ δὲ πᾶν οὐκέθ' οἷόν τε μέρος τινός. ὅτι δὲ μὴ ἐπὶ πάντων τῇ αἰσθήσει χρηστέον, αὐτοὶ πρὸς οὓς ὁ λόγος δεικνύασιν, ἄτομά γέ τινα μεγέθη τιθέμενοι ἐκπίπτοντα τὴν αἰσθητὴν φύσιν καὶ κενόν τι εἶναι λέγοντες καὶ ἀμερῆ τινα καὶ ἀσώματα καὶ κινήσεις καὶ χρόνους εἰσαγόμενοι.

Ὡς δὲ ἦν τούτου τοῦ λόγου ἀπὸ συμβεβηκότος τοῖς πεπερασμένοις ἡ ἐπιχείρησις, ἀλλ' οὐκ ἀπὸ τῆς οὐσίας τοῦ πεπερασμένου, καὶ ἀπὸ τῆς κατὰ τὴν αἴσθησιν συνηθείας, οὐκ ἀπὸ τῆς κατὰ τὸν λόγον ἀκολουθίας, οὕτω δὲ καὶ ἐπὶ τοῦ δευτέρου, ὃς ἀξιοῖ τὸν ἐν τῷ πέρατι τοῦ παντὸς γενόμενον ἐκτείνειν τε ἐπέκεινα τοῦ πέρατος ἢ κωλυθήσεσθαι, ἀμφοτέρως δὲ ἔσεσθαί τι τοῦ παντὸς ἐκτός. καὶ γὰρ οὗτος ἀπὸ τῶν [ἐκ] μερῶν πεπερασμένων τὴν ἐπιχείρησιν ἐπὶ τὸ πᾶν μεταφέρει καὶ ἀξιοῖ τοῖς ἀπὸ τῆς περὶ ταῦθ' ἡμῖν αἰσθήσεώς τε καὶ ἀπ' αὐτῶν φαντασίας γινομένης χρῆσθαι ὡς ἐπὶ πάντων οὕτως ἐχούσης. τὸ δ' οὐχ οὕτως ἔχει. οὐ γὰρ τὸ φαινόμενον ἀληθές. οὐ γὰρ εἰ φαντασίαν ἑαυτοῦ τις λάβοι ὄντος ἔν τισι τόποις, ἐν οἷς ἤ ποτε γέγονεν ἢ | οὐδὲ γέγονε τὴν ἀρχήν, διὰ τοῦτο καὶ ἔστιν ἔνθα. 203 [οἷόν τε] τοῦ γὰρ μὴ πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι ἱκανὰ μαρτύρια καὶ τὰ κοιμωμένων καὶ ἐγρηγορότων κενὰ γινόμενα φαντάσματα, οἷς ὅμοιον καὶ τὸ ὑποτίθεσθαι ἐν τῷ πέρατί τινα γίνεσθαι τοῦ παντὸς τῶν δυναμένων ἐπέκεινα τοῦ πέρατος ἐκτείνειν τι κρατούμενον. τί γὰρ διαφέρει τῆσδε τῆς φαντασίας τε καὶ ὑποθέσεως τὸ ἐν τῷ μὴ ὄντι ἑαυτὸν γινόμενον ὑποτίθεσθαι καὶ ζητεῖν, πότερον αὐτὸν προσιόντα αὐτῷ παραδέξεται ἢ οὐ παραδέξεται, καὶ πότερον γινόμενος ἐν αὐτῷ στήσεται ⟨ἢ⟩ οὐδὲν τὸ ἀντιβαῖνον ἕξει καὶ ἐκτεῖναι τὴν χεῖρα δυνήσεται ἢ ἐμποδὼν ἔσται τι αὐτῷ, ὅτι γὰρ τούτων ὑποθετέον τί ἐστι τὸ μὴ ὄν. διὸ βέλτιον τὰς τοιαύτας φαντασίας ἐλέγχειν οὔσας κενάς, ἑπομένους ταῖς διὰ τῶν λόγων ἀποδείξεσι καὶ χρω-

---

1 γὰρ s. v. V αὐτοῦ V τὸ add. Sp. ἔχει S² Sp.: ἔχειν libri 2 ἐν delevi 3 fortasse ⟨εἶναι⟩ ἐν ἐκτὸς αὑτοῦ scripsi: ἐκ τοσούτου libri 4 γινομένοις BSa Sp.: γινομένοι sic V 7 λαμβάνοντα Schwartz ἐπὶ] fortasse ἔτι 8 τι] τῆς a 11 τὸ del. S² Sp. 13 δεικνύασιν scripsi: δείκνυσιν V: δεικνῦσιν Sp. 16 δὲ ἦν GFSa Sp.: δε ην sic V: δέην B τοῖς Vict. Sp.: τι ἡ V: τι ἣ B: τὶ ἡ F: τὶ ἢ Sa 20 τε] fortasse τι κωλυθήσεσθαι Sp.: κωλυθήσεται libri 21 ἐκ delevi 22 τοῖς Sp.: τὰ libri 27 οἷόν τε delevi: οἷον ταί τε G: ᾤετο coni. Sp. 29 τῶν δυν.] δυνάμενον Schwartz 33 ἢ addidi: καὶ add. Vict. 34 ἡ V 35 fortasse τούτῳ

μένους τοῖς δεδειγμένοις διὰ πλειόνων, ταῦτα δ' ἐστίν, ὅτι μὴ σῶμα οἷόν τέ τι ἄπειρον εἶναι μήτε τῶν ἁπλῶν μήτε τῶν συνθέτων, ἀλλὰ μηδὲ τὸ κενόν τι. καθόλου γὰρ ἀδύνατον ὑφεστάναι διάστημα ἄνευ σώματος. οὔτε γὰρ μῆκος οἷόν τέ τι εἶναι καθ' αὑτὸ κεχωρισμένον σώματος, οὔτε πλάτος, οὔτ' οὖν βάθος. τὰ γὰρ ὑπὸ τῶν γεωμετρῶν λεγόμενα διαστήματα ἐφ' ἕν τε καὶ δύο καὶ τρία οὐχ ὡς ὑπόστασιν οἰκείαν ἔχοντα λέγονται πρὸς αὐτῶν. χωρίζονται γὰρ αὐτῇ τῇ ἐπινοίᾳ τῶν φυσικῶν σωμάτων, ἃ καὶ κυρίως | ἐστι σώματα, καὶ χωρὶς σώματος λαμβάνοντες ποιοῦνται περὶ 204 αὐτῶν τοὺς λόγους ζητοῦντες καὶ δεικνύντες, τίνα ἐστὶ τὰ ὡς τοιούτοις αὐτοῖς ὑπάρχειν τε καὶ συμβεβηκέναι δυνάμενα. οἳ δὲ τὸ κενὸν εἶναι τιθέμενοι οὐδὲν ἄλλο ἢ τρεῖς διαστάσεις ἐν ὑπάρξει λαμβάνουσιν εἶναι χωρὶς ὕλης [οἵ], λέγοντες εἶναι δεκτικὸν σωμάτων, οὐδὲν ἀλλ' ἢ διάστημα διαστήματός φασιν εἶναι δεκτικόν. οὐδὲ γὰρ τὸ σῶμα κατ' ἄλλο τί ἐστιν ἐν τόπῳ, ἢ κατὰ τὰς τρεῖς διαστάσεις τὰς ἐν αὐτῷ. οὐ γὰρ καθὸ χρῶμά τι ἢ χυμόν τινα ἢ ἄλλο τι τῶν συμβεβηκότων ἔχει τὸ σῶμα, ἐστὶν ἐν τόπῳ, ἀλλὰ κατὰ τὰ ἐν αὐτοῖς διαστήματα, ὧν εἰ δεκτικὸν τὸ ἴσον ἐστί, κενὸν ἔσται τὸ διάστημα γινόμενον ἐν διαστήματι· ἀλλ' εἰ μὴ ἀρκεῖ τῷ σώματι πρὸς τὸ εἶναι τὸ οἰκεῖον διάστημα, ἀλλὰ ἄλλου ἴσου τοῦ ἐν αὐτῷ δεῖται διαστήματος, τί δή ποτε οὐ καὶ τὸ κενὸν ἐν ἄλλῳ τινὶ ἔσται διαστήματι, εἴ γε τὰ διαστήματα ἄλλων δεῖται πρὸς τὸ εἶναι διαστήματα; καί τοι εὔλογον, ὡς μῆκος οὐχ οἷόν τε ὑφεστάναι χωρὶς ὕλης αὐτό τι καθ' αὑτό, ὁμοίως δὲ οὐδ' ἐπίπεδον, οὕτω μηδὲ πρὸς τοῦτο ὃ προσειληφὸς τὴν τρίτην διάστασιν, βάθος ἣν ὀνομάζομεν, ὁποῖόν φασι τὸ κενὸν εἶναι. κενὸν μὲν οὖν διὰ τοῦτο οὐκ ἂν εἴη τὸ τοῦ παντὸς ἐκτός. δέδεικται δὲ διὰ πλειόνων καὶ ὅτι μηδὲ σῶμά τι οἷόν τε ἄπειρον εἶναι· οὐδὲ γὰρ τὰ ἁπλᾶ 205 σώματα οἷόν τε πλείω εἶναι τῶν πέντε σωμάτων, τεσσάρων μὲν τῶν ἐνύλων, πέμπτου δὲ τοῦ θείου σώματος καὶ κυκλοφορητικοῦ, οὔτε τι τούτων ἄπειρον εἶναι. δέδεικται δὲ καὶ ὅτι, τῶν ἁπλῶν ὄντων πεπερασμένων καὶ τὸν ἀριθμὸν καὶ τὸ μέγεθος, ἀνάγκη καὶ τὰ ἐκ τῆς τούτων συνθέσεώς τε καὶ μίξεως καὶ κράσεως τὸ εἶναι ἔχοντα εἶναι καὶ αὐτὰ πεπερασμένα. δέδεικται δὲ ὅτι μηδὲ πλείους οἷόν τε κόσμους εἶναι, ἀλλ' ἀνάγκη πᾶσαν τὴν τῶν σωμάτων φύσιν εἶναι ἐν τῷ κόσμῳ. ὧν οὕτως ἐχόντων οὐδὲν ἂν εἴη τοῦδε κόσμου, ὃ καὶ πᾶν ἐστιν, ἐκτός, οὔτ' ἄλλου σώματος παρὰ ταῦτα εἶναι, οὔτε κενοῦ τινος διαστήματος ὄντος ἔξω τῆς διαστάσεως τῶν σωμάτων, ἃ πάντα ἀναιρεῖν ἄτοπον βραχείᾳ τινὶ ἐνδόντας πιθανότητι, ἀλλὰ χρὴ τοὺς θαρροῦντας πρὸς τοὺς ἐξετάζοντας, εἰ ὁ γενόμενος ἐν τῷ πέρατι τοῦ παντὸς ἐκτείνει τὴν χεῖρα ἢ κωλυθήσεται, λέγειν ἀποκρινομένους, ὅτι οὐκ ἐκτενεῖ, ἀλλὰ κωλυθήσεται, ⟨κωλυθήσεται⟩ δὲ οὐχ ὡς αὐτοὶ λέγουσιν, ὑπό τινος ἀντιβαίνοντος ἐκτὸς περικειμένου τῷ παντί, ἀλλὰ πολὺ μᾶλλον ὑπὸ

2 τι in lit. V 10 οἳ scripsi: οἱ libri 12 οἵ delevi ἀλλ' scripsi: ἀλλ' libri 16. 17 fortasse ἐστὶ κενόν, 18 τοῦ] fortasse τῷ 21 οὐχ' οἷόν τε Sp.: οὐ μόνον τε libri 22 fortasse μηδ' ὃ π. τούτῳ (sic Sp.) [τὸ] 24 τὸ] fortasse τι 25 οὔτε coni. Sp. 31 πᾶσαν Vict.: πᾶσα libri 33 τοῦδε ⟨τοῦ⟩ coni. Sp. 34 εἶναι] fortasse ὄντος 35 ἃ πάντα Sp.: ἅπαντα libri 38 κωλυθήσεται add. Sp.

τοῦ μηδὲν εἶναι. πῶς γὰρ ἄν τις εἰς τὸ μηδὲν ἐκτείναι τι, ἢ πῶς ἂν ἐν τῷ μηδὲ ὅλως ὄντι γένοιτο; τὴν ἀρχὴν | γὰρ οὐδ' ἂν ὁρμήν τι λάβοι 206 εἰς τὸ ἐκτείνειν τι τῶν αὐτοῦ μερῶν ἐν τῷ μηδενί· τοιαύτη γὰρ ἡ τοῦ μὴ ὄντος φύσις.

XIII. Περὶ τοῦ ἐφ' ἡμῖν τινα.

Ἐπεὶ τὸ ἐφ' ἡμῖν ἐστι ἐν λογικῇ συγκαταθέσει (διὰ τοῦτο γὰρ ἐν μόνῳ τῷ ἀνθρώπῳ τὸ ἐφ' ἡμῖν, ὅτι καὶ μόνος τῶν ζῴων ἄνθρωπος λογικός τέ ἐστι καὶ βουλευτικός), συγκατατίθεται μὲν γὰρ καὶ τὰ ἄλογα ζῶα, ἀλλὰ ταῦτα μὲν ταῖς φαντασίαις ταῖς ἀπὸ τῶν αἰσθητῶν διὰ τῶν αἰσθήσεων γινομέναις ἐν αὐτοῖς ἑπόμενα καὶ τῷ ἀπὸ τούτων ἐν αὐτοῖς γινομένῳ πάθει τὰς συγκαταθέσεις ποιεῖται ἀγόμενα ὑπ' αὐτῶν, ᾗ ἂν ἐκεῖνα ἄγῃ, ὁ δ' ἄνθρωπος, ὅταν ὡς ἄνθρωπος ποιῆται τὰς συγκαταθέσεις, δεῖται πρὸς ταῖς φαντασίαις καὶ λόγου, ὃν ἔχων παρὰ τῆς φύσεως πρὸς τὴν τῶν τοιούτων κρίσιν ἄνθρωπός ἐστιν, δι' οὗ λόγου κρίνει τὰ φαντάσματα. διὸ κἂν βουλευομένῳ περὶ τῆς προσπεσούσης φαντασίας αὐτῷ μὴ τοιοῦτον δοκῇ, ὁποῖον τὴν ἀρχὴν ἐφαίνετο, οὐ συγκατατίθεται αὐτῇ, συγκατατιθέμενος ἂν τῷ ὅσον ἐπὶ τῷ ἀπὸ τῆς φαντασίας πάθει, καὶ ἔστι προαίρεσις ἡ τοιαύτη συγκατάθεσις ὄρεξις οὖσα βουλευτική. τὸ γὰρ ἐκ τῆς βουλῆς περὶ τοῦ ἐκ τοῦ αἰσθητοῦ [τε] | καὶ πρὸ αὐτοῦ προκριθὲν ἡ προαίρεσις. εἰ 207 μὲν οὖν καὶ βουλευομένοις ἡμῖν εἵπετο τῇ φαντασίᾳ συγκατατίθεσθαι, οὐκ ἂν ἦν ἐφ' ἡμῖν οὐδ' ἡ μετὰ τῆς βουλῆς συγκατάθεσις, ἐπεὶ δὲ ἀλλοιοτέραν ἡμῖν πολλάκις τὸ βουλεύσασθαι τὴν συγκατάθεσιν ποιεῖ τὴν ἐπὶ φαντασίᾳ τοῦ ἀπ' αὐτῆς πάθους, οὐκέτ' ἂν εὐλόγως ταῖς φαντασίαις λεγοίμεθα συγκατατίθεσθαι. ἐπεὶ μηδὲ ταῖς φαντασίαις συγκατατιθέμεθα, ἦν δὲ τοῦ ἐφ' ἡμῖν ἀναιρετικὸν τοῦτο, οὐδ' ἂν τὸ ἐφ' ἡμῖν εἶναί τι ἀναιροῖτο. καὶ γὰρ εἰ μὲν εἵπετο πάντως ἡμῖν τὸ βουλεύεσθαι ἐπὶ πάσῃ φαντασίᾳ, ἴσως ἂν ἐδόκει καὶ αὐτὸ οὐκ ἐφ' ἡμῖν εἶναι, ἀλλὰ σύμπτωμά τι τῆς φαντασίας γενόμενον ὑπ' αὐτῆς, οὗ παρ' ἐκείνης τὸ εἶναι ἔχοντος ἔδοξεν ἂν καὶ ἡ ἐπ' αὐτῷ συγκατάθεσις κατ' ἐκείνην γίνεσθαι, καθ' ἣν καὶ τὸ βουλεύεσθαι, ἐφ' ᾧ ἡ συγκατάθεσις. εἰ δὲ μὴ ἡ φαντασία τοῦ βουλεύεσθαι τὸν ἄνθρωπον κυρία, ἀλλ' ἔστιν ἐπ' αὐτῷ καὶ τὸ βουλεύσασθαι καὶ τὸ μή (πολλαῖς γοῦν φαντασίαις χωρὶς τοῦ βουλεύσασθαι συγκατατιθέμεθα τοῖς ἀλόγοις ζῴοις παραπλησίως), οὐδ' ἂν ἡ τοιαύτη συγκατάθεσις τῆς φαντασίας ἔργον εἴη ὑπεναντιουμένη ἐν πολλοῖς τε αὐτῇ καὶ πολλαχῶς. ὅτι δ' ἡμεῖς τοῦ βουλεύεσθαι περὶ τῶν φαντασιῶν κύριοι, δῆλον ἔκ τε τοῦ προειρημένου τοῦ ἡμᾶς ἔχειν τὴν ἐξουσίαν τοῦ βουλεύσασθαί τε καὶ μή, καὶ μὴ τὴν φαντα|σίαν εἶναι τούτου κυρίαν. εἰ γὰρ μὴ φαντασία, τί ἂν ἄλλο 208

7 μόνῳ Sp.: μὲν libri μόνος Sp.: μόνων libri (μόνών sic V) 16 αὐτῇ scripsi: αὐτῷ libri 17 pr. τῷ] τὸ a Sp.: fortasse delendum 19 τε del. Schwartz 21 ἡ Schwartz: ἦν libri 23 λεγοίμεθα Sp.: λεγόμεθα libri 24 μηδὲ] fortasse δὲ μὴ 26 μὲν F Vict. Sp.: μὴ Va τὸ Sp.: τοῦ libri 34 αὐτῇ Sp.: αὐτῆς libri: αὐτοῖς Vict. 37 φαντασία Sp.: φαντασίαν libri 37. p. 108,1 ἄλλο τεθείη Vict.: ἀλλοιωθείη libri

τεθείη παρ' ἡμᾶς τὸ κύριον τοῦδε; οὐ γὰρ ἐπεὶ κοινότερον λέγομεν φαίνεσθαι ἡμῖν καὶ τὸ κατὰ τὸν λόγον εὑρεθέν τε καὶ δόξαν, ἤδη χρὴ φαντασίαν τε καὶ ἐπὶ φαντασίᾳ λέγειν τὴν τοιαύτην συγκατάθεσιν, εἴ γε ἡ κυρίως φαντασία ἐστὶν κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. ἀλλὰ τὸ ἐπαινεῖσθαι μὲν τοὺς βουλευομένους, ψέγεσθαι δὲ τοὺς μή, σημεῖον τοῦ ἐφ' ἡμῖν εἶναι τὸ βουλεύεσθαι καὶ μὴ τῆς φαντασίας ἔργον. οἱ γὰρ ἔπαινοι καὶ οἱ ψόγοι ἐπὶ τοῖς ἐφ' ἡμῖν, διὸ ἐπὶ ταῖς φαντασίαις οὔτε ἐπαινούμεθα οὔτε ψεγόμεθα, εἰ μή τισιν αὐτῶν ἡμεῖς αἴτιοι. ἐπὶ δὲ ταῖς ἐπ' αὐταῖς συγκαταθέσεσιν ἤδη τούτων θάτερον. ψεγόμεθα γὰρ καὶ τῶν φαντασιῶν ἐπ' ἐκείναις, ὅσαι γίνονταί γε δι' ἀνασκησίαν ἡμῖν τοιαῦται, ἧς ἀσκήσεως ἡμεῖς ἦμεν κύριοι. ἐπεὶ τὸ συμβούλους παραλαμβάνειν ἢ καὶ τοῦδε μᾶλλον ἢ ἀντὶ τῶνδε ἐφ' ἡμῖν, δῆλον ὡς ἐφ' ἡμῖν καὶ τὸ βουλεύεσθαι τὴν ἀρχήν. εἰ γὰρ ἐφ' ἡμῖν τὸ τοῖσδε χρήσασθαι συμβούλοις, δι' οὓς ἡ τοιαύτη συγκατάθεσις, ἐφ' ἡμῖν καὶ τὸ βουλεύεσθαι. ἐπεὶ περὶ τῶν ἐκ προνοίας ἁμαρτανομένων μείζους αἱ κολάσεις ὡς κατὰ προαίρεσιν πεποιηκότων, δῆλον ὡς καὶ πᾶν τὸ ἐκ προνοίας γινόμενον ἐφ' ἡμῖν. |

XIV. Ἐπιδρομὴ τῶν ἐν τῷ τετάρτῳ Μετεωρολογικῶν, ἀτελής. 209

Εἰπὼν ἐν τῷ δευτέρῳ Περὶ γενέσεως καὶ φθορᾶς περὶ τῶν τεσσάρων στοιχείων, πυρὸς ἀέρος ὕδατος γῆς, τίς αὐτῶν ἡ κατ' εἶδος οὐσία τε καὶ αἰτία, δείξας δ' οὖσαν αὐτοῖς καὶ τὴν γένεσιν ἐξ ἀλλήλων κατὰ τὴν τῶν εἰδοποιουσῶν αὐτὰς διαφορῶν εἰς ἀλλήλας μεταβολήν, ἐν τούτῳ τῷ ἐπιγραφομένῳ μὲν τετάρτῳ Μετεωρολογικῶν, ὄντι δὲ μᾶλλον οἰκείῳ τῇ περὶ γενέσεώς τε καὶ φθορᾶς πραγματείᾳ πρῶτον ὑπέμνησεν τῶν εἰδοποιουσῶν τὰ στοιχεῖα τὰ τέσσαρα διαφορῶν, αἳ ἦσαν δύο αἱ πρῶται τῶν ἁπλῶν ἐναντιώσεων, θερμότης ψυχρότης, ὑγρότης ξηρότης. τούτων γὰρ τετραχῶς συνδυαζομένων ἀλλήλοις ἕκαστον αὐτῶν εἰδοποιεῖται. μεθ' ἃ ἔδειξεν τῶν τεσσάρων τούτων διαφορῶν τὰς μὲν δύο ποιητικὰς οὔσας, θερμότητά τε καὶ ψυχρότητα, παθητικὰς δὲ τὰς δύο, τήν τε ξηρότητα καὶ τὴν ὑγρότητα, καὶ ἑκάστῳ τῶν στοιχείων ἐξ ἑκατέρων τῆς ἐναντιώσεως τὴν ἑτέραν, ὡς καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν δύναμιν ἐν ἑαυτοῖς πάντα. μεθ' ἃ προέθετο μὲν εἰπεῖν τὰ ἔργα τὰ γινόμενα ὑπὸ τῶν ποιητικῶν δυνάμεων, ἅ ἐστιν, ὡς ἐρεῖ, πέψις, ἀπεψία, καὶ τὰ ἑκατέρου τούτων εἴδη, ἔτι δὲ τῶν πασχόντων ὑπ' αὐτῶν, ταῦτα δέ ἐστι | ξηρόν τε καὶ ὑγρόν, τὰ εἴδη τε 210 καὶ τὰς διαφοράς. καὶ πρῶτον εἰπὼν ἐν οἷς ἐστίν τε καὶ γίνεται ἡ τοιαύτη μεταβολή, ὅτι ταῦτ' ἐστὶν τὰ πεφυκότα καὶ τὰ ζῷα καὶ τὰ τούτων μέρη, ὡς [δ'] ἐκ τῆς τῶν τεσσάρων σωμάτων συνόδου τούτων ὄντων τῶν

---

6 το// V 11 ἐπεὶ Vict.: ἐπὶ libri 11. 12 fortasse καὶ τοῦσδε μᾶλλον [ἢ] ἀντὶ 18 φθορᾶς B[2]S[2]a Sp.: διαφθορᾶς VFB[1]S[1] 20 τὴν Sp.: τὰς VBSa: τὰ F 22 δε V 23 πρῶτον] 108,28—110,26 = Arist. Meteor. IV, 1. 378b10—379b9 26 συνδοιαζομένων V 29 fortasse ἑκατέρας 30 fortasse πάντα ⟨ἔχειν⟩ 31 μὲν] cf. 110,27 33 πασχόν| V 36 δ' del. Sp.

προηγουμένως γινομένων κατὰ φύσιν, καὶ ἐπὶ τούτοις ἀποδιδούς, τί ἐστιν ἡ ἁπλῆ τε καὶ ἡ φυσικὴ γένεσις, ὅτι γὰρ μεταβολὴ ὑπὸ τῶν ποιητικῶν δυνάμεων θερμότητός τε καὶ ψυχρότητος τῆς ὑποκειμένης ὕλης ἐν ἑκάστῃ φύσει κατὰ τὰς δυνάμεις τὰς παθητικάς, ξηρότητά τε καὶ ὑγρότητα, ὅταν ἔχωσι λόγον πρὸς ἀλλήλας, ὡς δύνασθαι τὰς μὲν ποιεῖν τε καὶ μεταβάλλειν, τὰς δὲ μεταβάλλεσθαί τε καὶ πάσχειν * * *. γεννῶσι γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τὰ ὑπ' αὐτῶν κατὰ ταῦτα γεννώμενα, κρατοῦντα τῆς ὕλης, ὕλη δέ ἐστιν αὐτοῖς ἡ ἑτέρα ἐναντίωσις, ἥ ἐστι τὸ ξηρόν τε καὶ ὑγρόν. ὅταν δὲ μὴ κρατῇ μηδὲν † τούτῳ τῷ λόγῳ πρὸς τὴν ὑποκειμένην αὐτοῖς ὕλην, [ἢ] εἰ μὲν εἴη κατὰ μέρη τινὰ μὴ κρατοῦντα τῆς ὑποκειμένης ὕλης, μώλυσίς τε καὶ ἀπεψία γίνεται, εἰ δ' ἐν τῇ γενέσει καθόλου γίνοιτο ἡ τοιαύτη τῶν ποιητικῶν ἀσθένεια, εἰς σῆψιν ἡ μεταβολή. ⟨ἡ⟩ γὰρ κατὰ φύσιν πᾶσα φθορὰ ὁδός ἐστιν εἰς σῆψιν, κατὰ φύσιν δ' ἡ εἰς φθορὰν ὁδὸς διὰ γήρως τε καὶ αὐάνσεως, | 211 ὧν ἡ μὲν ξηρότης τε καὶ αὔανσις εἴη ἂν ἐπὶ τῶν φυτῶν κυριώτερον λεγομένη, τὸ δὲ γῆρας ἐπὶ τῶν ζῴων, εἴ γε κατὰ μὲν τὴν ἐν τοῖς μέρεσιν ἀσθένειαν τῶν ποιητικῶν δυνάμεων * * * γίνεσθαι τήν τε μώλυσιν καὶ ἀπεψίαν, ὧν μώλυσις μὲν πάλιν κυριώτερον ἂν ἐπὶ τῶν μερῶν τῶν ζῴων * * *. ἁπάντων γὰρ κατὰ φύσιν γενομένων τὸ κατὰ φύσιν τέλος σαπρότης τε καὶ σῆψις. οὐ γὰρ κατὰ φύσιν ἡ βίαιος φθορά. διὰ τοῦτο γὰρ τὰ κατὰ φύσιν φθειρόμενα πρῶτον μὲν εἰς ὑγρότητα μεταβάλλει τῷ μηκέτι κρατεῖν τὴν ἐν αὐτοῖς θερμότητα τῆς ὑγρότητος, ὡς πέττειν αὐτὴν δύνασθαι, τέλος δέ, τῆς αὐτῆς ὑγρότητος διατμηθείσης καὶ συνεκκριθείσης, ἐκκρινομένης καὶ διακρινομένης τῇ θερμότητι, τὰ ὑπολειπόμενα ξηρά. γίνεται γὰρ τῶν σηπομένων τέλος τὸ εἰς ταῦτα διαλυθῆναι, ἐξ ὧν ἐγένετό τε καὶ συνέστη, ὁριζόντων καὶ μιγνύντων τῷ ξηρῷ τὸ ὑγρὸν τῶν ποιητικῶν, ἃ ἦν τὸ θερμὸν καὶ ψυχρόν. γίνεται δ' ἡ τοιαύτη φθορά, τουτέστιν ἡ κατὰ φύσιν, ὅταν διὰ τὸ περιέχον κρατῇ τοῦ ὁρίζοντος, ὅπερ ἦν τὸ θερμὸν προηγουμένως, τὸ ὁριζόμενον ὑπ' αὐτοῦ ὃ ἦν ὑγρόν τε καὶ ξηρόν, ἀναλισκομένου ὑπὸ τῆς ἐν τῷ περιέχοντι πλείονος θερμότητος τοῦ ἐν τοῖς φθειρομένοις τε καὶ σηπομένοις θερμοῦ ἡ τῶν πασχόντων πλεονεξία γίνεται. καθόλου | 212 γὰρ σῆψίς τε τῶν σηπομένων γίνεται διὰ τὸν χωρισμὸν τῆς φύσεως ἐξ αὐτῶν, φύσις δ' ἐν ἑκάστῳ τῆς κινήσεως ἐν αὐτοῖς ἀρχή, ἐστὶν δ' ἐν πᾶσι τοῖς κατὰ φύσιν συνεστῶσι προηγουμένως τοιοῦτο θερμόν. μεθ' ὃ λόγον ἀπέδωκε σήψεως, φθορὰν αὐτὴν εἰπὼν εἶναι τῆς ἐν ἑκάστῳ † περιέχοντι. ἐπεὶ δὲ κατ' ἔνδειαν θερμοῦ ἡ σῆψις, πᾶν δὲ τὸ τοιαύτης δυνάμεως ἐνδεὲς ψυχρόν, ἀμφότερά πως ποιητικὰ τῆς σήψεως

---

6 tale quid excidit τῆς γενέσεως καὶ φθορᾶς λόγον ἀπέδωκε 9 temptavi μηδὲν τούτων τῷ ⟨μὴ⟩ λόγον (ἐν λόγῳ—εἶναι?) π. τ. ὑ. α. ὕ. ἔχειν, εἰ cf. Alex. ad Arist. Met. 127r9 10 ἢ del. Sp. 12 ἡ add. Vict. 15 εἴγε] εἰ δὲ Sp. fort. recte 16 fortasse ⟨εὔλογον⟩ γίν. 18 fortasse ζῴων ⟨λέγοιτο, ἀπεψία δὲ ἐπὶ τῆς τροφῆς τῶν ζῴων⟩ cf. l. c. 127r16 22 ὡς διατμ. a Sp. 24 σηπομένων Vict.: σημαινομένων libri fortasse ταὐτά 28 ὃ ἦν scripsi: ἢ ὂν libri: ὂν Sp. 29 γὰρ ὑπὸ Vict. 31 τε] ἐπὶ coni. Sp. 32 φύσεως Vict. Sp.: σήψεως libri ἐν θερμότητος αὐ. a 35 ⟨θερμότητος τῆς (immo τῇ) | ἐν τῷ⟩ περ. Vict. 36 τοιαύτης scripsi: τῆς libri, cf. l. c. 127v1

γίνεται, τὸ θερμόν τε καὶ ψυχρόν· γίνεται γὰρ ὑπὸ πλήθους ἑκατέρου τοῦ τε ψυχροῦ καὶ τοῦ θερμοῦ, ἀλλὰ ψυχροῦ μὲν οἰκείου, θερμοῦ δὲ ἀλλοτρίου. διὰ γὰρ τὴν τοιαύτην καὶ τοῦτον τὸν τρόπον γινομένην μεταβολὴν τὰ σηπόμενα ξηρότερα γίνεται καὶ τέλος γῆ καὶ κόπρος. γίνεται γὰρ τοῦτο ὅτι ἐξιόντος ἐξ ἑκάστου τῶν σηπομένων τοῦ οἰκείου θερμοῦ συνεξατμίζεται καὶ τὸ οἰκεῖον ἐν αὐτοῖς ὑγρόν, ⟨ὃ⟩ αἴτιον γίνεται τῆς ξηρότητος, τῷ μηκέτι ἐν αὐτοῖς εἶναι τὸ ἐπαγόμενον καὶ ἐπισπώμενον τὸ ὑγρόν, ὃ ἦν ἔμφυτος ἐν ἑκάστῳ θερμότης. προσέθηκεν δὲ ἀκόλουθον οὖσαν τοῖς προειρημένοις καὶ τὴν αἰτίαν τοῦ μὴ ὁμοίως ἐν τοῖς ψύχεσι σήπεσθαί τινα. τῷ γὰρ ἔλαττον τοῦ χειμῶνος εἶναι τὸ θερμὸν ἐν τῷ περιέχοντι οὐχ οὕτως μαραίνεταί τε καὶ κατισχύεται τὸ ἐν ἑκάστῳ θερμὸν οἰκεῖον, ἀλλ' οὐδὲ | 213 τὰ πεπηγότα διὰ ψυχρότητα ὁμοίως σήπεται τῷ διὰ ψυχρότητα πλείονα μὴ κρατεῖσθαι ὑπὸ τῆς ἐν τῷ περιέχοντι ἀέρι θερμότητος, ἐπεὶ δὲ εἰ ἔμελλεν αὐτὸ κινεῖν τε καὶ μεταβάλλειν, τῷ κρατεῖν κινεῖν. ἀλλ' οὐδὲ τὰ ζέοντα σήπεται, διότι καὶ τῆς ἐν τούτοις θερμότητος ἐλάττων ἡ ἐν τῷ περιέχοντι αὐτὰ ἀέρι θερμότης. ἀλλ' οὐδὲ τὰ κινούμενα καὶ ῥέοντα ὁμοίως ὑπὸ τοῦ ἐν τῷ περιέχοντι θερμοῦ κρατεῖται τοῖς ἀκινητίζουσί τε καὶ ἠρεμοῦσι. καὶ γὰρ οὕτως ἀσθενεστέρα γίνεται ἡ ἐν τῷ ἀέρι θερμότης ⟨τῆς⟩ ἐν τῷ κινουμένῳ. ἡ γὰρ κίνησις συναύξει τὸ ἐν ἑκάστῳ θερμὸν ῥιπίζουσά τε καὶ ἐξάπτουσα. τὴν δ' αὐτὴν αἰτίαν εἶπεν εἶναι καὶ τοῦ τὸ πολὺ ἧττον τοῦ ὀλίγου μεταβάλλειν τε καὶ σήπεσθαι. πλεῖον γὰρ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐν τῷ πλείονι, διὸ κρατεῖ ταῦτα τῶν ἐν τῷ περιέχοντι δυνάμεων. αὕτη γὰρ αἰτία, ᾗ καὶ ἡ θάλαττα καὶ τὸ ἄλλο ὕδωρ διαιρούμενον σήπεται. εἶπεν καὶ τὴν αἰτίαν τοῦ ἐκ τῶν σηπομένων γεννᾶσθαί τινα ζῷα. ἡ γὰρ ἐκ τῶν σηπομένων ἐκκρινομένη θερμότης οὖσα φυσικὴ γεννᾷ τινα καὶ συνίστησι τὰ ἐκκριθέντα, ἐν οἷς ἂν εὔκρατα τύχῃ γενόμενα.

Εἰπὼν δὲ καθόλου περὶ τῆς κοινῆς γενέσεως καὶ φθορᾶς ὁμοίως ἦλθεν ἐπὶ τὸν περὶ ὧν | 214 προέθετο λόγον, ταῦτα δ' ἦν τὸ εἰπεῖν, διὰ τίνων αἱ προειρημέναι δυνάμεις, ἥ τε θερμότης καὶ ἡ ψυχρότης, ἐργάζονται τήν τε γένεσιν τῶν γινομένων καὶ τὴν φθορὰν ἐκ τῶν ὑποκειμένων αὐταῖς, ταῦτα δ' ἦν ἐν τοῖς φυσικοῖς σώμασι τὰ ξηρά τε καὶ τὰ ὑγρά· ταῦτα γὰρ ἐκείνοις ὕλη. ἐπεὶ γὰρ πᾶσα γένεσις καὶ μεταβολὴ ὑπὸ τῶν ποιητικῶν δυνάμεων, ὧν τὸ μὲν θερμότης, * * * κυρίως γενέσεως αἴτιον, κρατοῦντος γὰρ τοῦ θερμοῦ καὶ συγκρίνοντος τὸ ξηρόν τε καὶ τὸ ὑγρὸν πέσσοντος καὶ ὁρίζοντος ἡ γένεσις. εἰ δὲ μὴ κρατοίη τοῦτο τῷ ψυχρὸν πλεῖον εἶναι, κατισχῦον τὸ ψυχρὸν τῶν ἐναντίων αἴτιον φθορᾶς τε καὶ σήψεως. ἐπεὶ δὲ

---

4 ὅτι Sp.: τοῦ libri   6 ⟨ὃ⟩ αἴτιον Vict. Sp.   13. 14 intellegerem v. 13 κινεῖσθαι ὑπὸ et ἐπειδὴ (ἐπεί γε Sp.) ἃ ἔ. et v. 14 αὐτοῦ κρατεῖν et κινεῖν κρατεῖ (κρ. κινεῖ Sp.) 15 διότι scripsi: διὸ libri   16 ὑπὸ τοῦ Sp.: ὑπ' αὐτοῦ libri   17 θερμοῦ S[2] Vict.: θερμῷ libri   18 ἀσθενεστέρα scripsi: εὐσθενεστέρα libri: εὐσθενέστερα Sp.   ᾖ ἡ Vict. Sp.   τῆς addidi   20 εἶπεν om. a Sp.   τοῦ τὸ Sp.: τοῦτο libri   22 αὕτη Fa Sp.: αυτη V: αὐτὴ B: αὕτὴ S   23 ᾗ Vict. Sp.: ἣ V: om. FSa   ἡ θάλαττα Sp.: τὴν θάλατταν libri   27 κενῆς V   33 fortasse θερμότης, ⟨τὸ δὲ ψυχρότης, θερμότης⟩ 35 τῷ] τῷ τὸ coni. Sp.

καὶ ἡ πέψις πλεοναχῶς καὶ ἡ ἀπεψία, περὶ τούτων εἰπεῖν εὐλόγως προέθετο, καὶ πρῶτον μὲν λέγει, διὰ τίνων τὸ θερμὸν τὰς κατ' αὐτὸ γινομένας ἐν τῷ ὑποκειμένῳ ποιεῖται μεταβολάς, καί φησιν οἰκεῖον μὲν ἔργον εἶναι τῷ θερμῷ τὴν πέψιν, εἶναι δὲ τῆς πέψεως εἴδη τε καὶ διαφορὰς πέπανσιν ὄπτησιν ἕψησιν, τῆς δὲ ψυχρότητος οἰκεῖον ἔργον μὲν ἀπεψίαν εἶναι, ταύτης δὲ εἴδη πάλιν καὶ διαφορὰς ὠμότητα μώλυνσιν στάτευσιν. ἐφ' οἷς εἰπὼν ὅτι μὴ οἰκεῖα μὲν ταῦτα τὰ ὀνόματα τοῖς καθ' ὧν εἴρηται, τῷ δὲ μὴ κεῖσθαι ἑκάστῳ αὐτῶν ὄνομα οἰκεῖον ἀπὸ τῶν ὠνομασμένων ἀνάγκη μεταφέρειν τὰ ὀνόματα καὶ ἐπὶ τὰ ὅμοια τοῖς ὠνομασμένοις, διὸ οὐ ταῦτα ἀλλὰ [τὰ] τοιαῦτα | χρὴ νομίζειν εἶναι τὰ εἰρημένα, 215 λέγει τε καὶ ὁρίζεται, τί τῶν εἰρημένων ἕκαστόν ἐστιν, καί πρῶτον τί ἐστι πέψις λέγει. καὶ ἐπὶ τούτοις τί ἐστιν ἀπεψία, ἥτις ἐστὶν ἀντικειμένη τῇ κοινῇ πέψει. μεθ' ἃ περὶ πεπάνσεως ποιεῖται τὸν λόγον ὑπὸ τὴν πέψιν οὔσης, καὶ μετὰ τὸν περὶ ταύτης λόγον περὶ ὠμότητος λέγει, ἣ οὖσα ὑπὸ τὴν ἀπεψίαν ἀντίκειται τῇ ἑψήσει. ἐφ' οἷς τί ἐστιν ὄπτησις εἰπών, ἣ καὶ αὐτὴ πέψις τίς ἐστι, λέγει περὶ στατεύσεως, ἣ τῶν ὑπὸ τὴν ἀπεψίαν οὖσα τῇ ὀπτήσει ἀντίκειται. ὧν τὴν μὲν πέψιν εἶπεν εἶναι τελείωσιν ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ τῶν ἀντικειμένων παθητικῶν (ἀντικείμενα δὲ ἦν ἀλλήλοις παθητικὰ ἡ ἐν ἑκάστῃ ὕλῃ ξηρότης τε καὶ ὑγρότης· ταῦτα γὰρ τὰ πεσσόμενα καὶ ὁριζόμενα ὑπὸ τοῦ θερμοῦ), ἀπεψία δὲ ἀτέλεια δι' ἔνδειαν τῆς οἰκείας θερμότητος, ὃ ψυχρότης ἐστίν. ὧν γὰρ τέλος ἡ πέψις, τούτοις ἡ ἀπεψία ἀτέλεια.

Πάλιν πέπανσιν μὲν εἶπεν πέψιν καὶ τελείωσιν τῆς ἐν τοῖς περικαρπίοις τροφῆς, τελείωσις δὲ τούτοις τὸ δύνασθαι ἐξ αὐτῶν γίνεσθαι ἄλλο τοιοῦτον (λέγεσθαι εἶπεν καὶ ἄλλα πέπονα κατὰ τὴν πρὸς αὐτὰ ἀναφοράν), ὠμότητα δὲ ἀπεψίαν καὶ ἀτέλειαν τῆς ἐν τῷ περικαρπίῳ τροφῆς. ἐφ' οἷς ἔδειξεν, ὅτι πᾶν τὸ πεπαινόμενον ἀναγκαῖον | ἔχειν μὴ μόνον ὑγρό- 216 τητα, ἀλλὰ καὶ ξηρότητα. ἐφ' οἷς ὡρίσατο τὴν ἕψησιν πέψιν ὑπὸ τῆς ἐν τῷ περιέχοντι ὕδατι θερμότητος τοῦ ἐν αὐτῷ ὑπάρχοντος ἀορίστου ὑγροῦ, ὃ ἐστιν ἢ πνεῦμά τι ἢ ὕδωρ. προσέθηκεν δὲ καὶ ἐφ' ὧν ἡ ἕψησις κατηγορεῖται κοινότερον ἕψεσθαι λεγομένων. ὡρίσατο δὲ καὶ τὴν μώλυνσιν τὴν ἐναντίαν ἑψήσει ἀπεψίαν εἶναι, ἐπεὶ δὲ πλεοναχῶς ἡ ἕψησις, καὶ τὴν μώλυνσιν τοσαυταχῶς, ἑκάστῃ διαφορᾷ ἑψήσεως οἰκείας τινὸς ἀντικειμένης μωλύνσεως. μεθ' ἃ τί ἐστιν ὄπτησις εἶπεν, ὅτι γὰρ πέψις ὑπὸ θερμότητος ξηρᾶς καὶ ἀλλοτρίας. ὑπὸ ξηρᾶς δὲ εἶπεν γίνεσθαι θερμότητος τότε, ὅταν ξηρότερον γίνηται τὸ πεσσόμενον οὕτως. τὴν δὲ τῇ ὡς ὀπτήσει λεγο-

---

2 πρῶτον] 110, 27—111, 22 = Arist. Meteor. IV, 2. 379^{b}10—380^{a}10 5 ἕψησιν semper V δὲ coni. Sp.: τε libri 6 διαφορὰς Sa Sp.: διαφορᾶς B^2: διαφοραὶ VFB^1 10 τὰ del. Sp. cf. l. c. 379^{b}16; ib. εἰρ. εἴδη 15 ἣ a: ἡ Vict. 18 ἐκ τῶν Arist. 23 πάλιν] 111, 23—112, 4 = Arist. Meteor. IV, 3. 380^{a}11—381^{b}22 25 λέγεσθαι ⟨δὲ⟩ coni. Sp. πέπονα Sp.: πέπανα libri πρὸς] εἰς B 32 μώλυσιν V 35 ξηρᾶς καὶ ἀλλοτρίας corr. S^1 Sp.: ξηρὰ καὶ ἀλλότρια libri 36 ξηρότερον S^1GF (Arist. 381^{a}28): ξηρὸν VBS^2a Sp.

μένῃ πέψει ἀντικειμένην ἀπεψίαν οὐκ εἶπεν μὲν ὠνομάσθαι πάνυ τι, εἶναι δὲ παραπλησίαν στατεύσει, ὅταν τὸ ὀπτώμενον μεταβάλλῃ μέν, μὴ μέντοι καὶ ὀπτηθῇ, ὃ γίνεται ἢ δι' ἔνδειαν θερμότητος τῆς μεταβαλλούσης τὸ ὀπτώμενον, ἢ διὰ πλῆθος τῆς ἐν τῷ ὀπτωμένῳ ὑγρότητος.

Εἰπὼν δὲ περὶ τούτων μετῆλθεν ἐπὶ τὸν περὶ τῶν παθητικῶν δυνάμεων λόγον, αἳ ἦσαν ξηρότης καὶ ὑγρότης, καὶ δεικνύς, τίνες τούτων πάλιν εἰσὶν διαφοραί, καὶ τίνα καὶ πόσα εἴδη τὰ γινόμενα ἐξ αὐτῶν, πρῶτον μὲν ὑπέμνησε τοῦ ἀρχὰς εἶναι τῶν σωμάτων, καθὸ παθητικά ἐστι, | τὸ ὑγρόν 217 τε καὶ ξηρόν, τὰ δ' ἄλλα, ὅσα μὴ ἀρχαί, ἀλλ' ἐκ τῶν ἀρχῶν ὄντα τε καὶ γεγονότα, μικτὰ μὲν ἐκ τούτων εἶναι (ὁποτέρου γὰρ πλέον ἔχει τὸ μεμιγμένον, τούτῳ συντάσσεσθαι αὐτό, τὰ μὲν κατὰ τὸ ξηρὸν πλεονεκτοῦντα τῷ ξηρῷ, τὰ δὲ κατὰ τὸ ὑγρὸν τῷ ὑγρῷ), πάντα δὲ τῶν τε ὑγρῶν καὶ τῶν ξηρῶν τὰ μὲν ἐντελεχείᾳ ταῦτα λέγεται εἶναι, τὰ δὲ δυνάμει. ἐφ' οἷς λαβών, ὅτι ἡ μῖξις τοῦ ὑγροῦ τε καὶ τοῦ ξηροῦ αἰτία τοῦ ὡρίσθαι τὰ ἐξ αὐτῶν μεμιγμένα (ἀόριστον γὰρ ἐκείνων ἑκάτερον καθ' αὑτὸ ὄν), λαβὼν δὲ καὶ τὸ ὑγρὸν μὲν παθητικὸν τῶν στοιχείων τὸ ὕδωρ εἶναι, ξηρὸν δὲ τὴν γῆν, ἐν οἷς καὶ τὸ ψυχρὸν ὂν δοκεῖ μᾶλλον εἶναι καθ' αὑτὸ παθητικὸν ἢ ποιητικόν, προσλαβὼν τὸ πᾶν ὡρισμένον παθητὸν σῶμα ἢ μαλακὸν ἢ σκληρὸν εἶναι, καὶ εἰπών, τί μέν ἐστι τὸ μαλακόν, τί δὲ τὸ σκληρόν (σκληρὸν μὲν γὰρ τὸ ἀντιβαῖνον καὶ μὴ ὑπεῖκον κατὰ τὴν ἐπιφάνειαν, μαλακὸν δὲ τὸ ὑπεῖκον κατὰ τὴν ἐπιφάνειαν τῷ ὑπείκειν, οὐ τῷ διαιρούμενον ἀντιπεριίστασθαι), ἑξῆς, ἐπεὶ πᾶν τὸ ὡρισμένον σῶμα σκληρὸν ἢ μαλακόν, πεπηγὸς δὲ ἤδη τὸ ὡρισμένον, ἐπὶ τὸ περὶ πήξεως λέγειν ἦλθεν, καὶ ὑπομνήσας τῶν παρὰ τὴν ὕλην αἰτίων, ὅτι ἐστὶ τό τε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως καὶ τὸ εἶδος, καὶ λαβὼν ταῦτα αἴτια εἶναι τῶν | γινομένων ἁπάν- 218 των φύσει (καὶ γὰρ πήξεως καὶ διαχύσεως, καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραίνεσθαι), τίνα ἐστὶ τὰ ποιητικὰ καὶ τίνα πάθη τε καὶ εἴδη τῶν γινομένων ἔλαβεν, ποιητικὰ μὲν εἰπὼν εἶναι θερμότητά τε καὶ ψυχρότητα, πάθη δὲ τὰ ὑπὸ τούτων ἐπιγινόμενα τοῖς σώμασιν, τό τε θερμὸν καὶ τὸ ψυχρόν. ἐφ' οἷς ἐπανελθὼν ἐπὶ τὸν περὶ πήξεως λόγον, καὶ λαβὼν τὸ πήγνυσθαι ξηραίνεσθαί πως εἶναι, ἔφη δεῖν περὶ τούτου πρῶτον εἰπεῖν, καὶ πρῶτον μὲν ἔλαβεν, τίνα τὰ ξηραινόμενα, ὅτι γὰρ ὕδωρ, καὶ ὅσα ὕδατος εἴδη, καὶ ὅσα ἔχει ὕδωρ ἢ σύμφυτον ἢ ἔπακτον. ἐφ' οἷς ἐζήτησεν ὑπὸ τίνων ξηραίνεται, καὶ λαβών, ὅτι πάντα τὰ ξηραινόμενα ἢ θερμαινόμενα ἢ ψυχόμενα ξηραίνεται, προσέθηκεν τὸ καὶ ⟨τὰ⟩ θερμαινόμενα καὶ τὰ ψυχόμενα θερμῷ ξηραίνεσθαι ἢ τῷ ἐντὸς ἢ τῷ ἐκτός, ⟨τῷ μὲν ἐκτός,⟩ ἃ ὑπὸ

---

1 μὲν s. v. V   ὠνομάσθαι V   3 γίνεται Vict.: γίνεσθαι libri   5 μετῆλθεν] 112,5—113,22 = Arist. Meteor. IV, 4. 381b23—5, 382b28   6 πάλιν GFSa Sp.: π//// V: lacuna 5 litterarum B   13 fortasse λέγεσθαι   14 ὑγροῦ Vict.: ψυχροῦ libri   18 παθητόν] παθητικὸν a Sp.   21 τῷ ὑπείκειν Vict. Sp. cf. Arist. 382a13: τῶν ὑπ' ἐκείνου libri   24 ἡ om. a Sp.   26 διαχύσεως V (litteris madore evanidis) Vict. Sp.: om. relicto spatio 9 litterarum B: διαλύσεως GFSa   30. 31 πήγνεσθαι V   35 τά add. Sp.   36 τῶ ἐντοσ V   ἢ τῷ ἐκτός, ⟨τῷ μὲν ἐκτός⟩, ἃ Sp.: τῶν ἐνεκτοσ ἃ V: τῶν ἐν ἐκτὸς ἃ FS[1]Ga: τῶν ἐνεκτὸς ἃ B: ⟨ἢ⟩ τῷδ ἐκτὸς ἃ Vict.

τοῦ περικειμένου ξηραίνεται θερμοῦ, τῷ δ' ἐντός, ὅσα ὑπὸ ψυχροῦ. ὑπὸ γὰρ τοῦ ψυχροῦ ἀναλισκόμενον τὸ ἐνυπάρχον ἐν τοῖς ξηραινομένοις θερμὸν καὶ διαφορούμενον συνεξατμίζει καὶ τὸ ὑγρὸν τὸ ἐν αὐτοῖς, οὗ γινομένου ξηραίνεται.

Εἰπὼν δὲ τίνα τ' ἐστὶ τὰ ξηραινόμενα καὶ ὑπὸ τίνων καὶ διὰ τίνος, ὅτι γὰρ διὰ τοῦ θερμοῦ ἢ τοῦ ἐντὸς ἢ τοῦ ἐκτός, μετῆλθεν ἐπὶ τὸ | [219] περὶ τῶν ὑγραινομένων λέγειν, ἃ τοῖς ξηραινομένοις ἐναντίον πάσχει πάθος, καὶ λαβὼν τοῦ ὑγραίνεσθαι διαφορὰς εἶναι (ὑγραίνεται γὰρ τὰ ὑγραινόμενα τὰ μὲν κατὰ σύστασιν, † ὑγραίνεσθαι τὸν ἀέρα, τουτέστιν εἰς ὕδωρ μεταβάλλειν, ὃ ἦν παθητικὸν ὑγρόν· ψυχόμενον γὰρ τὸ πνεῦμα καὶ συνιστάμενόν τε καὶ παχυνόμενον καὶ γινόμενον τὴν εἰς ὕδωρ ποιεῖται μεταβολήν, * * *), περὶ τήξεως καὶ τῆς τοιαύτης εἰς ὕδωρ μεταβολῆς εἶπεν ἅμα δῆλον ἔσεσθαι καὶ περὶ πήξεως, ἐπεὶ δοκεῖ τὰ πεπηγότα τηκόμενα. οἷς προσέθηκε, τίνα ἐστὶν τὰ πηγνύμενα. πάντα γὰρ τὰ πηγνύμενα ἢ ὕδωρ ἢ ὕδατος εἴδη ὄντα πήγνυται ἢ γῆς καὶ ὕδατος μόνων, οἷς προσέθηκεν τὸ ὑπὸ τίνων πήγνυται. ἢ γὰρ ὑπὸ θερμοῦ, ἢ ὑπὸ ψυχροῦ, ἢ ὑπὸ ὑγροῦ. διὸ καὶ ὑπὸ τῶν ἐναντίων λύεται. τὰ μὲν γὰρ ὑπὸ ξηροῦ θερμοῦ παγέντα, ὅ ἐστι πῦρ, ὑπὸ ὕδατος λύεται, ὅ ἐστιν ὑγρόν τε καὶ ψυχρόν, τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ θερμοῦ λύεται, πυρὸς γάρ. οἷς προσέθηκεν, ὅτι ὅσα μὲν τῶν πηγνυμένων ὕδατός ἐστιν, ταῦτ' οὐ πήγνυται ὑπὸ πυρός, λύεται γὰρ ὑπὸ τούτου. καὶ γὰρ εἰ πήγνυται ταῦτα τῷ τὸ ἐν αὐτοῖς θερμὸν χωρίζεσθαι, εὐλόγως ἂν λύοιτο παρουσίᾳ τούτων. ἀλλὰ τῆς τούτων πήξεως τὸ ψυχρὸν πηκτικόν. διὸ μηδὲ παχύνεσθαι τὰ τοιαῦτα τῷ τὴν μὲν πάχυνσιν γενέσθαι τοῦ μὲν ὑγροῦ ἀπιόντος, συνισταμένου | [220] δὲ τοῦ ξηροῦ, καὶ τὸ ὕδωρ μὴ δύνασθαι μόνον τῶν ὑγρῶν παχύνεσθαι διὰ τὸ μηδὲν ἔχειν ἐν αὐτῷ ξηρότητος, τὸ μὴ μεμιγμένον ἐξ ὕδατός τε καὶ γῆς ὑπ' ἀμφοτέρων πήγνυσθαι καὶ ὑπὸ θερμοῦ καὶ ὑπὸ ψυχροῦ. ἐπεὶ δὲ διὰ τοῦ παχύνεσθαι ἡ τούτων πῆξις, εἶπεν αὐτὰ παχύνεσθαι μὲν ὑπ' ἀμφοτέρων, τοῦ τε θερμοῦ καὶ τοῦ ψυχροῦ, οὐ μὴν τὸν αὐτὸν τρόπον, ἀλλ' ὑπὸ μὲν τοῦ θερμοῦ τὸ ὑγρὸν ἐξατμίζοντος, ὑπὸ δὲ τοῦ ψυχροῦ τὸ ἐν αὐτοῖς θερμὸν ἐκθλίβοντος, μεθ' οὗ συνεξατμίζεσθαι τὸ ἐν αὐτοῖς ὑγρόν. ἐφ' οἷς προσέθηκεν, τίνα μὲν τῶν μικτῶν παχύνεται, τίνα δὲ οὐ παχύνεται, ἀλλὰ πήγνυται. εἰπὼν δέ, τίνα τε πήγνυται, καὶ πῶς, καὶ ὑπὸ τίνων, ἐφεξῆς εἶπεν περὶ τῶν λυομένων τε καὶ τηκομένων. τὰ μὲν ὑπὸ ψυχροῦ τῶν μικτῶν παγέντα, ἐν οἷς ἐστι γῆς πλέον, ὅσα μὲν τῷ θερμὸν ἐξεληλυθέναι πήγνυται, ταῦτα λύεταί τε καὶ τήκεται θερμῷ, εἰσιόντος πάλιν εἰς αὐτὰ

---

1 τῷ S² Sp.: τὸ libri 6 μετῆλθεν] 113, 5 — 114, 13 = Arist. Meteor. IV, 6. 382ᵇ28 — 383ᵇ17 7 λέγειν Ba Sp.: λέγει FS: λεγεί sic V 9 ὡς ὑγραίνεσθαι Vict. Sp. 11 ⟨νέφος⟩ γινόμενον Diels 11. 12 fortasse μεταβολήν, ⟨τὰ δὲ κατὰ τὸ τήκεσθαι τὸ πεπηγός⟩ 12 τήξεως scripsi: πήξεως libri 13 καὶ περὶ πήξεως] cf. l. c. 382ᵇ30: περὶ τήξεως Sp. 21 εἰ Sp.: ἢ libri 22 τούτου coni. Sp. 26 αὐτῷ Sp.: αὐτοῖς libri μὴ] δὲ Sp. fortasse recte 33 πήγνεται V 34 μικτῶν Sp.: μικρῶν libri

τοῦ θερμοῦ, ὡς γίνεται ὑπὸ τοῦ πεπηγότος πηλοῦ διὰ ψυχρότητα, ὅσα δὲ διὰ ψῦξιν μὲν πέπηγεν, οὐχ οὕτως δέ, ὡς τὸ θερμὸν αὐτῶν κεχωρίσθαι μόνον, ἀλλ' ὡς σὺν τούτῳ καὶ τὸ ὑγρὸν ἐξητμίσθαι, ταῦτ' οὐ λύεται, εἰ μὴ ὑπερβαλλούσῃ θερμότητι, ἀλλὰ μαλάττεται καὶ ἐλαύνεται ὡς σίδηρος καὶ κέρας. ἀλλὰ ταῦτα μὲν καὶ τήκεσθαι λέγει, διὸ καὶ προσέθηκεν, τίνα καὶ ἄλλα | τήκεται. ⟨ὅσα⟩ μὲν ὑπὸ θερμοῦ ξηροῦ πηγνύμενα, τουτέστι πυρός, τὰ μὲν ἄλυτα μένει, τὰ δ' ὑγρῷ λύεται· κέραμος μὲν ἄλυτον καὶ λίθοι τινές, ὧν ἡ γένεσις ὑπὸ πυρὸς γῆς συγκαυθείσης καὶ ἑνωθείσης [γίνονται], νίτρον δὲ καὶ ἅλες λυτὰ ὑγρῷ, ὥς φησι, ψυχρῷ, λέγων τῷ ἐν τῇ οἰκείᾳ φύσει τε καὶ οὐσίᾳ ἔχοντι τὸ ψυχρόν, ὁποῖόν ἐστι τὸ ὕδωρ. οὐκέτι τὸ ἔλαιον ἐν τῇ αὑτοῦ φύσει καὶ οὐσίᾳ τὸ ψυχρὸν ἔχει. διὸ οὐδ' ἐν τοῖς τοῦ ὕδατος εἴδεσιν ἔλαβεν αὐτό, οὐκ ἔχει δὲ τὸ ψυχρὸν ἐν τῇ αὑτοῦ φύσει, ὅτι ἔχει πολὺ ἀέρος.

Ὅσα γὰρ τῶν μεμιγμένων ὕδατος πλέον ἢ γῆς ἔχει, ⟨παχύνεται μὲν ὑπὸ πυρός,⟩ πήγνυται δέ, ὅσα γῆς πλέον, δι' ὧν ἔδειξεν, ὅτι καὶ τὸ νίτρον καὶ οἱ ἅλες γῆς εἰσι μᾶλλον (πηκτὰ γάρ ἐστι τῷ θερμῷ, ὧν καὶ λίθος καὶ κέραμος). ἑξῆς περὶ ἐλαίου ἠπόρησεν (οὔτε γὰρ πήγνυται ὑπὸ ψυχροῦ, ὃ ἔπασχε τὰ ἐξ ὕδατος ὄντα, οὔθ' ὑπὸ θερμοῦ πήγνυται, ὃ πάσχει τὰ τὸ πλεῖον ἔχοντα γῆς, τὸ δὲ πήγνυται μὲν ὑπ' οὐδετέρου, παχύνεται δὲ ὑπ' ἀμφοῖν), αἰτίαν ἀπέδωκε τὸ εἶναι πλῆρες ἀέρος. οὗ σημεῖον παρέθετο τὸ ἐποχεῖσθαι τῷ ὕδατι, ὃ ποιεῖ ὁ ἀὴρ καὶ ὅσα ἔχει πολὺν ἀέρα ἐν αὑτοῖς, ὡς τὰ ξύλα. ἐφ' οἷς πῶς μὲν ὑπὸ τοῦ ψυχροῦ παχύνεται τὸ ἔλαιον εἶπεν, πῶς δὲ ὑπὸ τοῦ θερμοῦ. τὸ μὲν γὰρ ψυ|χρὸν παχύνει αὐτὸ μεταβάλλον τὸν ἐν αὐτῷ ἀέρα εἰς ὕδωρ τῇ ψύξει (ἡ γὰρ τοῦ ὕδατος ψῦξις τῷ ἐλαίῳ παχύτερον αὐτὸ ποιεῖ), ὑπὸ δὲ πυρὸς καὶ χρόνου παχύνεται καὶ λευκαίνεται, ⟨λευκαίνεται⟩ μὲν ἐξατμίζοντος τὸ ὑπολειπόμενον ὑδατῶδες ἐν αὐτῷ, παχύνεται δὲ διὰ τὸ μεταβάλλειν τὸν ἀέρα τὸν ἐν ἑαυτῷ εἰς ὕδωρ ὑπὸ τοῦ θερμοῦ μαραινόμενον. μαραίνεται γὰρ ὑπὸ τοῦ πλείονος θερμοῦ τὸ ἔλαττον. μεθ' ἃ καθόλου ἔλαβεν ὡς δεδειγμένον τὸ ὅσα μὲν τῶν μικτῶν μὴ παχύνεται ὑπὸ ψυχροῦ, ἀλλὰ πήγνυται, μᾶλλον ταῦτα ὕδατος εἶναι, (τοιαῦτα οἶνος ὄξος κονία οὖρον ὀρρός), ὅσα δὲ παχύνεται ὑπὸ τοῦ πυρὸς μὴ ἐξατμιζομένου τοῦ ἐν αὐτοῖς ὑγροῦ, τὰ μὲν γῆς τὰ δὲ κοινὰ ὕδατος καὶ ἀέρος, μέλι μὲν γῆς, κοινὰ δὲ ἔλαιον [μέλι γάλα αἷμα]. λέγει δὲ κοινὰ εἶναι ὕδατός τε καὶ γῆς, ὥσπερ ἦν τὸ μέλι, οὕτω δὲ καὶ τὸ γάλα, τὸ αἷμα. τοῦ δὲ τὸ γάλα ἐξ ἀμφοῖν ὂν πλεῖον γῆς ἔχειν παρέθετο δεικ-

1 ὑπὸ] fortasse ἐπὶ   6 ἀλλατήκεται V   ὅσα add. Vict. ex Arist. 383^{b}9   7 κέραμος Vict. cf. Arist. 383^{b}11: κέρας libri   8 τῆς γῆς Arist.   9 γίνονται delevi   δὲ Sp.: τε libri   λυτὰ Vict. cf. l. c. 383^{b}13: αὐτὰ libri   10 οὐσίᾳ Vict.: οἰκείᾳ libri   11 οὐδ' ἐν] οὐδὲν a Sp.   14. 15 παχύνεται μὲν ὑπὸ πυρὸς addidi ex Arist. 383^{b}18: παχύνεται τῷ θερμῷ add. Vict.   15 ἔδειξεν] 114,14—115,22 = Arist. Meteor. IV, 7. 383^{b}18—384^{b}23   17 ἐξ ἧς a   fortasse ἀπορήσας   19 τὸ (pr.) Sp.: τε libri   20 οὗ αἰτίαν Vict.   21 ὃ Sp.: ὃν libri   22 εἶπεν Schwartz: εἰς τὸ ἓν (ἐν V) libri   26 λευκαίνεται add. Sp. ex Arist.   30 μᾶλλον Sp. ex Arist.: μάλα libri   31 ὀρρός Sp.: ὄρρος Vict.: ὀρός VB: ὄρος FSa   33 μέλι γάλα αἷμα del. Sp.   34 οὕτω Sp.: τούτῳ libri   35 καὶ τὸ αἷμα Vict.

τικὸν τὸ ἐὰν δὴ χωρισθῇ ὁ ὀρρὸς τοῦ γάλακτος ἑψομένου τοῦ γάλακτος ἐκκαίεσθαι αὐτό, ὡς καὶ τῶν ἄλλων τῶν ἑψομένων, ἃ πλεῖον γῆς ἔχει. ἐφ' οἷς τὰς αἰτίας ἀπέδωκε τοῦ τὰ μὲν λυτὰ τῶν πεπηγότων εἶναι, τὰ δὲ ἄλυτα. λυτὰ μὲν νίτρον ἅλες, ἄλυ|τον δὲ κέραμος, καὶ τὰ μὲν μαλακτὰ ὡς 223
κέρας, τὰ δὲ ἀμάλακτα ὡς κέραμος καὶ λίθος. ἡ δ' αἰτία, ἐπεὶ δύο ἐστὶ τὰ πηγνύντα, ὡς εἴρηται, θερμόν τε καὶ ψυχρόν, λύεσθαι αὐτά ποτε ἀνάγκη ψυχρῷ τε καὶ θερμῷ, τὰ μὲν ὑπὸ θερμοῦ παγέντα ψυχρῷ, τὰ δ' ὑπὸ ψυχροῦ θερμῷ. διὸ τὰ μὲν πυρὶ λύεται τὰ ὅσα ὕδατι ἐπάγη, τὰ δὲ ὕδατι, ὅσα ὑπὸ πυρὸς ἐπάγη. ὑπὸ ὕδατος μὲν οὖν λυθήσεται, ὅσα ὑπὸ πυρὸς πέπηγεν μόνου, ὑπὸ δὲ τοῦ πυρὸς πάλιν, ὅσων ὕδωρ τῆς πήξεως αἴτιον. εἰ δή τινα ὑπ' ἀμφοῖν μὲν πηγνύμενα, ταῦτα ἄλυτα ἔσεσθαι μάλιστα, πήγνυται δὲ ὑπ' ἀμφοῖν, ὅσα προθερμανθέντα πήγνυσι τὸ ψυχρόν, οὗ τὴν αἰτίαν ἀπέδωκεν. ὅταν γὰρ ὑπὸ τοῦ θερμοῦ τῶν ὑπὸ ἀμφοῖν πηγνυμένων ἐξατμισθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ πηγνυμένῳ, τὸ ψυχρὸν μετὰ ταῦτα συνθλίβει τε αὐτὸ καὶ οὕτως πυκνοῖ, ὡς μηδὲ διδόναι μηδ' ὑγρῷ δίοδόν τινα, καὶ διὰ τοῦτο ὑπ' ἀμφοῖν ἄλυτα τὰ οὕτω παγέντα. λέγει δὲ καὶ τὸν σίδηρον ὑπ' ἀμφοῖν πήγνυσθαι, πρῶτον γὰρ ὑπὸ πυρὸς τακέντα (ἡ γὰρ γένεσις αὐτοῦ διὰ τούτου), μετὰ ταῦτα ὑπὸ ψυχροῦ πήγνυσθαι, διὸ καὶ πρὸ ὀλίγου αὐτὸν εἶπεν οὐ τήκεσθαι, ἀλλ' ἐλαύνεσθαι καὶ μαλάσσεσθαι. οὐδὲ τὰ ξύλα δὲ τηκτὰ εἶπεν εἶναι, ἀλλὰ καυστά. διότι ἐκ γῆς ἐστιν καὶ ἀέρος, ἀλλ' οὐχ ὕδατος, οὗ σημεῖον παρέθετο πάλιν τὸ ἐποχεῖσθαι αὐτὰ τῷ ὕδατι· ὁ γὰρ ἀὴρ τοιοῦτος. |

[Λείπει τινὰ ὡς προέγραψεν τῇ ἐπιδρομῇ τῶν εἰρημένων ἐν τῇ τε- 224
τάρτῃ τῶν Μετεωρολογικῶν Ἀριστοτέλους.]

XV. Περὶ τοῦ οἱονεὶ ἀμεροῦς.

Τὰ οἱονεὶ ἀμερῆ ἐστιν ὅμοια ἀμερεῖ, οὐκ ἀμερῆ, ὅτι μηδ' ἄλλο τι ὅμοιόν τινι ἐκείνῳ ταὐτόν ἐστιν, ᾧ ἐστιν ὅμοιον. ἐπεὶ ὅμοιον ἀμερές τε φαινόμενον ἀμερές, οὐκ ἀμερές, ὡς καὶ ὁ φαινόμενος συλλογισμὸς οὐ συλλογισμός. ἀλλ' εἰ μὴ ἀμερές, μέρη δῆλον ὅτι ἕξει, οὕτως δὲ οὐδὲν ἀμερὲς ἔσται. πᾶν γὰρ τὸ λαμβανόμενον μέρος αὐτοῦ καὶ αὐτὸ οἱονεὶ ἀμερὲς ἔσται τῷ τὸ εἶναι τῷ λεγομένῳ ἀμερεῖ ἐν τῷ οἱονεὶ ἀμερεῖ εἶναι, * * * εἴ γε διὰ τούτου ἀπολύονται τὸ μὴ συγκεῖσθαι ἐξ ἀμερῶν τὸ μέγεθος. εἰ δὲ λέγοι τις αὐτὸ οἱονεὶ μέγεθος, πάλιν οὐ μέγεθος ἔσται. εἰ δὲ πᾶν μέγεθος μεριστόν, τὸ οἱονεὶ μέγεθος ἀμερὲς ἔσται τῇ αὑτοῦ φύσει. εἰ δ' ἀμερές, ἐκ τῆς τῶν ἀμερῶν συνθέσεως ἔσται τὰ μεγέθη. εἰ δὲ λέγει τις τὸ οἱονεὶ

2 pr. τῶν] ῶ in lit. V τῶν om. a Sp. 4 καὶ τούτων τὰ Vict. 7 θερμῷ τε καὶ ψυχρῷ corr. in ψυχρῷ τε καὶ θερμῷ V 9 λύθησεται V 11 μὲν Vict.: μὴ libri 18 πήγνεσθαι V 21 ἀὴρ] ἀη in lit. V 23 τῇ ἐπιδρομῇ] ἐπιδρομὴ Sp. 24 Ἀριστοτέλους] ἀτελής Vict. 27 ἐπεὶ] ἔτι εἰ coni. Sp. bene ἀμερές τε] ἀμερεῖ τὸ coni. Sp. bene 28 fortasse ⟨τὸ φαινόμενον ἀμερὲς⟩ οὐκ 31 lacunam indicavi 33 οὗ a 35 οἱονεὶ Sp.: οἷον libri

ἴσον δύνασθαι τῷ δυνάμει, ἔσται τὸ οἱονεὶ ἀμερὲς δυνάμει ἀμερές. εἰ δὲ τοῦτο, οὐδὲν ἔσται ἐνεργείᾳ, ὃ ἔσται ἀμερές, εἴ γε μηδὲν τῶν δυνάμει τι ὄντων ἐστὶ τοῦτο ὃ δύναται, ὥστε οὐδὲ τὸ οἱονεὶ | ἀμερὲς ἀμερές ἐστιν. 225 ἀλλ' εἰ μὴ ἐνεργείᾳ, ἀλλὰ δυνάμει τὸ οἱονεὶ ἀμερὲς ἀμερές ἐστιν, ἄλλο τι ὂν δυνάμει τοῦτό ἐστιν. τί οὖν ὂν ἐστι δυνάμει ἀμερές; καὶ εἰ μέγεθός ἐστι τὸ οἱονεὶ ἀμερές, ἐκ δὲ τούτων τὸ μέγεθος (ἐκ γὰρ τῶν οἱονεὶ ἀμερῶν), ἔσται πᾶν μέγεθος ἐκ μεγεθῶν συγκείμενον καὶ διαιρούμενον εἰς μεγέθη, οὕτω δὲ καὶ ἐπ' ἄπειρον ἡ τομὴ προελεύσεται. ἔτι ⟨εἰ⟩ τὸ οἱονεὶ ἀμερὲς ὕλη τοῦ ἀμεροῦς, πᾶσα δ' ὕλη τινὸς κατά τινα μεταβολὴν * * * τὸ οἱονεὶ ἀμερὲς ἀμερὲς ἔσται, ἐπεὶ ὕλη τοῦ ἀμεροῦς τὸ οἱονεὶ ἀμερές, ἄλλο ἔσται τοῦ ἀμεροῦς. εἰ δὲ τοῦτο, ἤτοι συντιθέμενον ποιήσει τὸ ἀμερὲς ἢ διαιρούμενον, ἕπεταί τε πάλιν τῷ λέγειν εἰς ἀμερῆ αὐτὸ διαιρεῖσθαι τὸ ἐκ τῆς τῶν ἀμερῶν συνθέσεως γίνεσθαι τὰ μεγέθη. |

2 ἀμερεσ V 3 δυναται V οὐδε V οἱονεὶ F coni. Sp.: οἷον libri 4 ἀλλ' ὅτι a 5 ὂν ἐστι VFSa: ὂν ἔσται B: ἔσται Vict. 6 γὰρ delevi 8 εἰ add. Diels 9 ⟨τοῦτ' αὐτὸ γίγνεται, κατά τινα μεταβολὴν⟩ τὸ Schwartz 10 fortasse ⟨καὶ⟩ ἐπεὶ 11 εἰ B Vict.: ἢ V: ἡ GFS

ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΗΘΙΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Α. 226

ΑΛΕΞΑΝΔΡΟΥ ΣΧΟΛΙΚΩΝ ΗΘΙΚΩΝ ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ ΚΕΦΑΛΑΙΑ

---

4 οὐκ add. Vict. (οὔτ' ἀγαθὸν οὔτε κακόν B²) 8 ἐναντίον ἁπλοῦν τῷ δὲ πλούτῳ a: ἐναντίον τῷ δὲ πλούτῳ Vict. Sp. 9 δὲ om. a Sp. εἶναι om. tit. 10 ὡς] ἡ ὡς tit. 15 οὐ γένος tit. 17 ἃ om. a 20. 21 ἡ λέξις ἐκ τοῦ γ̄ τῶν N. tit. Νικομαχιῶν V (semper) 22 περὶ ἡδονῆς tit. 23 θήσεται a Sp. 23 τι add. tit. 24 ἐστιν om. tit. 25 ἔστι — ἐπιστήμη om. tit. ποιητέου (bis) V

ις. Πῶς εἰ ἡ λύπη κακὸν πᾶσα, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθόν.

ιζ. Ὑπὸ τί τῶν ἀγαθῶν ἡ ἡδονὴ ἂν εἴη, πότερον τῶν τιμίων ἢ τῶν ἐπαινετῶν ἢ τῶν ὠφελίμων.

ιη. Διὰ τί φορτικωτάτους εἶπεν εἶναι τοὺς ἐν ἡδονῇ τὸ τέλος τιθεμένους ἐν τῷ πρώτῳ τῶν Νικομαχείων ἠθικῶν Ἀριστοτέλης.

ιθ. Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί.

κ. Ὅτι μὴ χρὴ ἐν πάσῃ πράξει καὶ παντὶ μαθήματι τὸ χρήσιμον ἀπαιτεῖν.

κα. Περὶ αἰδοῦς.

κβ. Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί.

κγ. Πῶς εἰ ἡδονή ἐστιν κατὰ Ἀριστοτέλη ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, οὐκ ἔσται καὶ ἡ εὐδαιμονία κατ' αὐτὸν ἡδονή.

κδ. Πῶς αἱ ἀρεταὶ δι' αὐτὰς αἱρεταί.

κε. Ἐπιδρομὴ πόθεν ἡ τῶν ἀρετῶν εὕρεσίς τε καὶ σύστασις.

κς. Ὅτι οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ.

κζ. Διὰ τί αἱ ἠθικαὶ ἀρεταὶ μεσότητες.

κη. Περὶ τοῦ πότερον ἡ ἀρετὴ γένος ἢ ὅλον.

κθ. Ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν, ὃ δείκνυται διὰ λέξεως ἐκ τοῦ τρίτου τῶν Νικομαχείων Ἠθικῶν Ἀριστοτέλους.

λ. Πῶς οὐκ ἔσται δικαιοσύνη μὲν ἐξ ἀδικίας, ἀδικία δὲ ἐκ δικαιοσύνης εἰ τὰ ἐναντία ἐξ ἀλλήλων γίνεται.

I. Ἀπορίαι πρὸς τοὺς τὸ ζῆν ⟨οὐκ⟩ ἀγαθὸν εἶναι λέγοντας. 226

Εἰ τὸ εὖ πλεῖν ἀγαθόν, τὸ δὲ κακῶς κακόν, τὸ πλεῖν οὔτε ἀγαθὸν οὔτε κακόν· καὶ εἰ τὸ εὖ ζῆν ἀγαθόν, τὸ δὲ κακῶς κακόν, τὸ ζῆν οὔτ' ἀγαθὸν οὔτε κακόν. ἢ οὐκ ἀληθὲς τὸ τὰς δυνάμεις τῶν ἀντικειμένων ἀδιαφόρους εἶναι καὶ μέσας. πᾶσα γὰρ τοιαύτη δύναμις ἀγαθόν τε καὶ αἱρετὸν τῷ σκοπὸν ἔχειν τὸ βέλτιον ὧν δύναται· τὸ γὰρ χεῖρον ἐν τοῖς δυνάμει τι οὖσιν γίνεται καὶ κατὰ ἀποτυχίαν τινά. ὅσα τε γὰρ κατὰ τέχνην τῶν τοιούτων γίνεται, τοῦ βελτίονος χάριν τῶν δυναμένων ἐν αὐτῷ γενέσθαι γί|νεται, ὅσα τε κατὰ φύσιν, ὁμοίως. τὸ γὰρ πλεῖν ὑπὸ τῆς 227 κυβερνητικῆς τῆς εὐπλοίας χάριν εὑρέθη, καὶ τὸ πρίειν ὑπὸ τῆς τεκτονι-

2. 3 πότερον — ὠφελίμων om. tit. 5 τῷ om. a Sp. Ἀριστοτέλους a Sp.: om. tit. 7 ἐν — μαθήματι] πανταχοῦ tit. 10 ἀκολουθοῦσιν a 11 ἡ ἡδ. a Sp. 13 ἑαυτὰς a Sp. 15 χάριν αἱρετόν, ἀλλ' tit. τοῦ καλοῦ om. a Sp. 16 μεσότητές εἰσιν τοῦ καλοῦ a Sp. 17 πότερον ἢ (ἢ add. Vict.) ὡς γένος ἢ ὡς ὅλον τῶν ἀρετῶν ἡ ἀρετή tit. Vict. Sp. 18 ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου τῶν Νικομαχείων Ἠθικῶν Ἀριστοτέλους, δι' ἧς δείκνυται, ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν tit. Vict. Sp. 20 πῶς εἰ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίνεται, οὐκ ἔσται ἐκ μὲν δικαιοσύνης ἀδικία, ἐκ δὲ ἀδικίας δικαιοσύνη, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν τε καὶ κακιῶν ὁ αὐτὸς λόγος tit. Vict. Sp. 22 οὐκ add. B² Sp. (οὐκ ἀ. οὔτε κακόν B²) 24 τὸ δὲ] καὶ τὸ a Sp. 26 ἀδιαφόρους S²Fa Sp.: διαφόρους VS¹B¹: οὐ διαφόρους B² 29 δυναμένων] δυνάμεων a

κῆς τοῦ πρίειν καλῶς, διὸ καὶ αἱρετὸν τῇ μὲν τὸ πλεῖν τῇ δὲ τὸ πρίειν, ὅτι χωρὶς τούτων οὐχ οἷόν τε ταύταις τοῦ προκειμένου τέλους τυχεῖν. οὐ γὰρ ἀπὸ τῶν δι' ἀποτυχίαν τινὸς γινομένων ἔν τινι ἡ κρίσις τῶν ὑποκειμένων, ἀλλὰ ἀπὸ τῶν ὧν χάριν ἔστιν τε καὶ γίνεται προηγουμένως. ὡς δ' ἐπὶ τῶν κατὰ τὰς τέχνας γινομένων ἔχει, οὕτω καὶ ἐπὶ τῶν κατὰ φύσιν. καὶ γὰρ ἐπ' ἐκείνων σκοπὸς τῇ φύσει τὸ βέλτιον, τῶν δυναμένων ἄμφω, καὶ τούτου χάριν ἡ φύσις δίδωσιν αὐτό. ὅσα γὰρ μὴ οἷόν τε εὐθὺς ὑπὸ τῆς φύσεως γινόμενα τὴν οἰκείαν ἔχειν τελειότητα, τούτοις ἡ φύσις δίδωσι δύναμιν τοῦ τελείοις γενέσθαι, ἀδύνατον δέ τι δύναμιν ἔχειν τινὸς μὴ καὶ τὸ ἀντικείμενον αὐτῷ δυνάμενον· ταύτῃ γὰρ δύναμις ἐνεργείας διαφέρει. διό εἰσιν μὲν αἱ δυνάμεις προηγουμένως τῶν βελτιόνων. ἕπεται δ' αὐταῖς ἐξ ἀνάγκης τὸ καὶ τῶν ἀντικειμένων εἶναι τούτοις. εἰ δὴ ἡ κρίσις ἑκάστου ἀπὸ τῶν προηγουμένων καὶ ὧν ἐστιν (οὐ γὰρ τοῦ μὴ περιπατεῖν χάριν ἡ δύναμις ἡ περιπατητική, εἰ καὶ γίνεταί ποτε ἐν τῷ τοῦτο δυναμένῳ καὶ ἡ στέρησις αὐτοῦ, καὶ εἰ μὲν αἱρετὸν εἴη τὸ περιπατεῖν, αἱρετὸν τῇ ἑαυτοῦ φύσει καὶ τὸ δύνασθαι περιπατεῖν, εἰ | 228 καὶ τὸ δύνασθαι καὶ μὴ περιπατεῖν ἔχει· εἰ δὲ ἐκεῖνο μὴ αἱρετόν, οὐδὲ τὸ δύνασθαι) καὶ τὸ ζῆν δὴ ἔχον δύναμιν ἐν αὑτῷ τοῦ τε εὖ ζῆν καὶ τοῦ κακῶς δεδομένον παρὰ τῆς φύσεως ἡμῖν τοῦ εὖ ζῆν χάριν (οὐ γὰρ ἦν οἷόν τε εὐθὺς γενομένους ἔχειν τὸ εὖ ζῆν· οὐδὲν γὰρ ἐν ἀτελεῖ τέλειον, πᾶν δὲ ἀτελὲς εὐθὺς τῷ γενέσθαι), εἴη ἂν αἱρετὸν τοῦ ἀρίστου χάριν τῶν ἐν ἡμῖν γενέσθαι δυναμένων [δεδομένον]. ἄριστον μὲν γὰρ καὶ τέλος τὸ εὖ ζῆν, τοῦτο δ' οὐχ οἷόν τε χωρὶς τοῦ ζῆν γενέσθαι. πῶς γὰρ οὐκ ἀπεμφαῖνον τὸ ὁμοῦ μὲν λέγειν ἡμᾶς ὑπὸ τῆς φύσεως πρὸς τοῦτο οἰκειῶσθαι καὶ τῆς ἑαυτῶν σωτηρίας χάριν ποιεῖν πάντα, ὁμοῦ δὲ μὴ λέγειν [ἡμᾶς] ὡς πρὸς τὸ ἀγαθὸν αὐτὸ τὴν φύσιν ἡμᾶς οἰκειοῦν; ὅτι γὰρ ὡς πρὸς τὸ ἀγαθὸν τὸ ζῆν ᾠκειώμεθα, δῆλον καὶ ἐκ τοῦ περί τε τὸ παῖδας ποιήσασθαι πολλὴν σπουδὴν εἰσφέρεσθαι ὡς ἐσομένους τρόπον τινὰ δι' ἐκείνων, ἀλλὰ καὶ διὰ τοῦ πάντα ἃ φοβούμεθα φοβεῖσθαι μειζόνως, διότι ὑποπτεύεται καὶ θανάτου αἴτια ἔσεσθαι. ὅτι δ' ἀπὸ τῆς πρὸς τὰ βελτίω δυνάμεως ἡ κρίσις τῶν μεταξύ, δῆλόν ἐστιν καὶ ἐκ τοῦ τὸν ἄνθρωπον ὁμολογεῖσθαι τῶν ἄλλων ζῴων ἄμεινον ζῷον εἶναι, τοῦτο δέ, διότι τῶν ἄλλων οὐδὲν ἀρετῆς δεκτικόν. τῷ, οὗ ἐστιν ἀμείνονος δεκτικόν, τοῦτο τῶν ἐν τοῖς ἄλλοις ζῴοις γινομένων αἱρετῶν ἄμεινον εἶναι, | 229 τούτῳ βελτίων ὁ ἄνθρωπος, ἐπεί, εἴ γε καὶ ἀπὸ τῶν χειρόνων ἡ κρίσις ἐγίνετο τῶν μεταξύ, οὐδὲν ἐκώλυεν τὸν ἄνθρωπον ἢ κάκιστον τῶν ζῴων λέγειν, τοῦ κακίστου τῶν ὄντων τῆς κακίας ὄντα δεκτικόν, ἢ μηδενὸς τῶν ἄλλων ζῴων εἶναι αὐτὸν βελτίονα, ἐπεὶ ἐν πᾶσι

1 τῇδε V 6 δυναμένων Vict.: δυνάμεων libri 8 ἔχειν] ν s. v. V 9 δύν|α|ναμιν V δ' ἔτι a 13 ἐστιν ⟨χάριν⟩ sive ἐστιν ⟨ἕνεκα⟩ coni. Sp. 15 αὐτῶ a alt. καὶ om. a Sp. 18 αὐτῷ V εὔζην V 19 γενομένοις Sp. 20 τῷ VBS Vict.?: τὸ Fa: τοῦ Sp. 22 δεδομένον circumscripsi 25 ἡμᾶς circumscripsi τὸ om. a Sp. 26 ἡμᾶς del. Sp. 26. 27 οἰκειώμεθα a Sp. 27 τε del. Sp. 28 ἐκεινω[v'], ἀλλὰ sic V 29 διότι] ὅτε Schwartz 32. 33 τῷ οὖν οὗ a Sp. 37 ἢ a

τοῖς αἱρετοῖς τε καὶ φευκτοῖς ἕπεσθαι δεῖ τῇ τοῦ σπουδαίου κρίσει αἱρετόν.

II. Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί.

⟨Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί,⟩ δεικνύοιτ' ἂν πρῶτον μὲν ἀπὸ τῆς ἐπιθυμίας. εἰ γὰρ πᾶσα μὲν ἐπιθυμία ὄρεξις ἡδέος, καὶ ἐν τούτῳ αὐτῇ τὸ εἶναι, εἰσὶ δὲ τῶν ἐπιθυμιῶν ὁμολογουμένως αἱ μὲν αἱρεταί, αἱ δὲ φευκταί, δῆλον, ὅτι μὴ παρ' ἄλλου τινὸς αὐταῖς ἡ διαφορά, ἢ παρὰ τῶν ἡδονῶν, δι' ἃς εἰσι, τῷ τούτων τὰς μὲν εἶναι αἱρετάς, τὰς δὲ φευκτάς. διοίσουσιν ἄρα καὶ ἡδοναὶ ἀλλήλων κατὰ ταὐτὰ ταῖς ἐπιθυμίαις, εἴ γε παρὰ τούτων καὶ ἐκείναις αἱ διαφοραί. ἀλλὰ δὴ οὐχ οἷόν τε ὁμοειδῆ ἀλλήλοις εἶναι τὰ τῇ ἑαυτῶν φύσει διάφορα. δεύτερον ἀπὸ τῶν ἐνεργειῶν. ἐπεὶ γὰρ πᾶσα ἡδονὴ ἐπὶ ἐνεργείᾳ τινὶ γίνεται, καὶ ἔστιν οἰκειότης ταῖς ἡδοναῖς πρὸς τὰς ἐφ' αἷς γίνονται ἐνεργείας (τέλη γάρ πώς ἐστιν αὐτῶν), |230 δῆλον, ὅτι οὕτω συνδιαιροῖντο ἂν ταῖς ἐνεργείαις καὶ αὗται· ἀλλὰ μὴν τῶν ἐνεργειῶν τῶν ἐφ' αἷς ⟨αἱ⟩ ἡδοναὶ αἱ μέν εἰσιν αἱρεταί αἱ δὲ φευκταί· ἕξουσιν ἄρα καὶ αἱ ἡδοναὶ τὴν αὐτὴν πρὸς ἀλλήλας διαφοράν. εἰ δὲ τοῦτο, οὐχ ὁμοειδεῖς. καὶ γὰρ εἰ πλέον ἀφέστηκεν τὸ ἐφιέμενον καὶ ἐπιθυμοῦν τινος καὶ μηδέπω ἔχον αὐτὸ τοῦ ἔχοντός τε καὶ συνόντος αὐτῷ, εἴη ἂν καὶ ἡ ἐπιθυμία πλέον ἀφεστῶσα τῆς ἡδονῆς τῆς ἐνεργείας, ἐφ' ᾗ ἡ ἡδονή· ἡ μὲν γὰρ ἔφεσίς ἐστιν ἡδονῆς, τῇ δ' ἐνεργείᾳ σύνεστιν ἡδονὴ καὶ παρακολουθεῖ. ὥστ' εἰ ταῖς ἐπιθυμίαις συνδιαιροῦνται αἱ ἡδοναί, πολὺ ἂν μᾶλλον ταῖς ἐνεργείαις συνδιαιροῖντο. ὡμολόγηται δὲ τῶν ἐνεργειῶν, ἐφ' αἷς αἱ ἡδοναί, τὰς μὲν εἶναι αἱρετάς, τὰς δὲ φευκτάς. ὅτι δ' οἰκεῖαι ταῖς ἐνεργείαις αἱ ἡδοναὶ ἐφ' αἷς γίνονται, καὶ ὁμοίως ταῖς ἐνεργείαις καὶ αὗται κατ' εἶδος ἀλλήλων διαφέρουσιν, καὶ οὐ μόνον τῷ ἐπὶ διαφερούσαις γίνεσθαι ἐνεργείαις ἡ διαφορὰ αὐταῖς ἡ πρὸς ἀλλήλας, δῆλον ἐκ τοῦ μὴ δύνασθαι τὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ ἡδονὴν ἐπ' ἄλλῃ γενέσθαι. τῷ γὰρ σώφρονι αἱ τῶν ἀκολάστων ἐνέργειαι οὐ μόνον εἰσὶ φευκταί, ἀλλὰ καὶ ἀηδεῖς, ὡς τῆς ἐπ' αὐτῇ ἡδονῆς οἰκείας οὔσης ταῖς ἐνεργείαις καὶ συνδιαιρουμένης αὐταῖς. εἰ γὰρ μὴ τοῦτ' ἦν, οὐδὲν ἂν ἐκώλυεν τὰς μὲν |231 ἐνεργείας φευκτὰς αὐτοῖς εἶναι, ἡδονὴν μέντοι καὶ τοῖς σώφροσιν αὐτὰς φέρειν. ἔτι εἰ αἱ ἐπ' ἄλλαις

---

1 δεῖ τὸ τῇ a 1. 2 fortasse ⟨τὸ⟩ αἱρετόν αἱρετὸν suspectum Sp. 3 ὁμοιοειδεῖς a 4 ὅτι — ἡδοναί repetit B Sp. 5 αὕτη a 7 ἢ] ἡ a 9 ταῦτα a ἐπιθυμίας Sp. 11 διαφορά a 13 οὕτω V²: οὐ των V¹: οὕτων B¹: αὐτῶν GS¹F: ὡσαύτως S²B²a Sp. 14 συνδιαιροῖντο V²: οὖν διαιροῖντο V¹B¹GS¹F: διαιροῖντο S²B²a Sp. 15 αἱ ante ἡδοναὶ add. Ga Sp. 17 εἰ ἐπὶ πλέον SF 20 παρακολουθεῖ a Sp.: γὰρ ἀκολουθεῖ libri 22 ὡμολόγηται] ὁμολογεῖται a Sp. 23 τὰς om. a post φευκτάς, add. ὥστε καὶ αἱ ἡδοναὶ τοιαῦται B² 24 αὗται a Sp.: αὐ̔ταὶ sic V: αὖται SF 28 μόνον sive μόνον οὐ coni. Sp. 28. 29 αὐτῇ scripsi: αὐτῆσ V: αὐταῖς GFSa Sp. 31 ἔτι εἰ αἱ Schwartz: ἕπεται V¹ (V²? in mg.: γρ. ἐπεὶ αἵ γε ἐπ' ἄλλαις) S¹FB¹G: εἰ δὲ αἱ B²S² (in mg. addit ἔπειτ' αἱ S²) Sp.: εἰ δὲ αἱ ἔπειθ' αἱ a (ἔπειθ' αἱ lineola subducta del. Vict.?)

ἐνεργείαις ἡδοναὶ ἐμποδίζουσι τὰς ἐπ' ἄλλαις γινομένας (οἱ γοῦν χαίροντες τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ οὐκέτι δύνανται, ἐπειδὰν ἀκούσωσιν αὐλοῦ, ἥδεσθαι ταῖς ἐπὶ τῷ μυθολογεῖν φέρ' εἰπεῖν γινομέναις), εἶεν ἂν ἡδοναὶ ἡδονῶν φθαρτικαί. εἰ δ' εἰσὶν ἡδοναὶ ἡδονῶν φθαρτικαί, οὐκ ἂν εἶεν ὁμοειδεῖς, ἔχουσαί γε τοῦτο πρὸς ἀλλήλας ὃ ἔχει τἀναντία πρὸς ἄλληλα. οὐ γάρ, ὥσπερ ἡ αὐτὴ ὑγεία περιγίνεται τοῖς τὰ αὐτὰ ἰατρευομένοις διαφόρως, καὶ οὐδὲν κωλύεταί τις τὴν αὐτὴν ἔχειν ὑγείαν ἄλλοτε ἄλλως θεραπευόμενος, οὕτως δὲ ἔχει καὶ ἐπὶ τῶν ἐνεργειῶν τε καὶ τῶν ἐπ' αὐταῖς ἡδονῶν. οὐ γὰρ οἷόν τε τὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ ἡδονὴν γινομένην καὶ ἐπ' ἄλλῃ γενέσθαι. οὐ γὰρ οἷόν τε τὰς ἐν ταῖς σωφρονικαῖς ἐνεργείαις ἡδονὰς ἐπὶ τοῖς ἀκολάστοις γενέσθαι ποτέ.

III. Ὅτι δικαιοσύνης καὶ ἀδικίας καὶ ὅλως ἀρετῆς τε καὶ κακίας ἐστίν τις ἕξις μεταξύ.

Ὅτι δικαιοσύνης καὶ ἀδικίας καὶ ὅλως ἀρετῆς τε καὶ κακίας ἐστίν τις ἕξις μεταξύ, ἣν | μέσην ἕξιν λέγομεν. εἰ ἡ δικαιοσύνη καὶ ἡ ἀδικία δια- 232
θέσεις κατ' αὐτούς, αἱ δὲ διαθέσεις ἀναπόβλητοι, οὔτ' ἂν ἐξ ἀδίκου γίγνοιτό τις δίκαιος, οὔτε ἐκ δικαίου ἄδικος. γίνονται δέ τινες δίκαιοι καὶ ἄδικοι οὐ πρότερον ὄντες· γίνοιντο ἂν ἔκ τινος ἄλλης καταστάσεως. ἀλλὰ μὴν πᾶν τὸ γινόμενον ἢ ἐξ ἐναντίου γίνεται ἤ τινος μεταξὺ ὄντος τῶν ἐναντίων. καὶ ὁ δίκαιος ἄρα καὶ ὁ ἄδικος ἢ ἐξ ἐναντίου γίνονται ἢ ἐκ τοῦ μεταξύ. οὐ γίνονται δὲ ἐκ τοῦ ἐναντίου, ἐκ τοῦ μεταξὺ ⟨ἄρα⟩. ἐξ ἧς ⟨δὲ⟩ καταστάσεως οἱ δίκαιοι καὶ οἱ ἄδικοι γίνονται, αὕτη ἂν εἴη μεταξὺ δικαιοσύνης καὶ ἀδικίας. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάσης ἀρετῆς καὶ κακίας. εἰ δὲ λέγοιεν τὰς κακίας μὴ εἶναι διαθέσεις μηδ' ἀναποβλήτους, ἀλλὰ μεταβάλλειν τινὰς μηδὲν κωλύειν ἐξ ἀδικίας εἰς δικαιοσύνην, καὶ ὅλως ἐκ κακίας εἰς ἀρετήν, ἀλλ' εἴς γε τὴν κακίαν πόθεν μεταβάλλουσιν; εἰ γὰρ δὴ ἐν τῇ φύσει τοῦ ἀνθρώπου τὴν κακίαν εἶναι καὶ πάντας γεννᾶσθαι κακούς, καὶ εἴη ἂν κατὰ φύσιν ἡ κακία τοῖς ἀνθρώποις. οὗ δὲ τὸ ἐναντίον κατὰ φύσιν τινί, τούτῳ τὸ ἐναντίον παρὰ φύσιν· παρὰ φύσιν ἄρα τοῖς ἀνθρώποις ἡ δικαιοσύνη καὶ ἡ ἀρετή. εἰ δὲ τοῦτο ἄτοπον, δεῖ γίνεσθαι τὸν ἄδικον ἄδικον, ὥσπερ γίνεται καὶ ὁ δίκαιος ⟨δίκαιος.⟩ ἐξ ἧς δὲ ἕξεως εἰς τὴν ἀδικίαν ἡ | μεταβολή, αὕτη ἂν εἴη ἡ μέση. εἰ δὲ λέγοιεν μηδέπω 233
τοὺς παῖδας λογικοὺς εἶναι, διὸ μηδὲ δικαίους μηδὲ ἀδίκους (λογικοῦ γὰρ

---

1 γινομέναισ V^1 (corr. V^2) 2 δύναναι V^1 (corr. V^2) αὐλοῦ Vict.?: αὐτοῦ libri 3 ἂν οὖν V^2 5 ὃ V^2 Vict.? Sp.: ἃ V^1: ἃς SFa 6. 7 διαφόρως B^{2}S^{2}a Sp.: διαφόροις VFB^{1}S^1 11 τοῖς] ταῖς Sp. 12 pr. καὶ] τε καὶ a Sp. 14 pr. καὶ] τε καὶ a Sp. 18 ἂν οὖν a Sp. 19 γίνεται Sp.: γίνοιτο libri 21. 22 τοῦ μεταξὺ ἄρα. ἐξ ἧς δὲ B^{2}a (sed τῆς a) Sp.: τῆσ μεταξὺ ἐξῆσ (ἐξ ἧς S^1) VS^{1}L: τῆς μεταξὺ οὖν ἐξ ἧς δὲ S^{2}L: τῆς οὖν μεταξὺ ἐξ ἧς ἄρα F: τῆς μεταξὺ ἐξῆς ἄρα G 26. 27 εἰ γὰρ δὴ] εἰ γὰρ δεῖ L Vict.: ἢ γὰρ δεῖ S^{2}B^{2}a („εἰ si verum, καὶ ante εἴη del.“ Sp.) 28 οὐδὲ V: ᾧ δὲ Vict.? 31 ἄδικον alt. m^1 in mg. V δίκαιος add. Sp. δὲ καὶ ἕξεως B 33 fortasse μήτε — μήτε

αἱ ἕξεις αὗται, εἰ δ' αὗται λογικοῦ, καὶ ἡ μέση· διὸ ὁ παῖς ἄλογος ὢν οὔτ' ἐν ἀρετῇ ἐστιν οὔτ' ἐν κακίᾳ οὔτ' ἐν τῷ μεταξὺ τούτων, ὥσπερ οὐδ' ἄλλο τι τῶν ἀλόγων), μεταβάλλοντας δ' εἰς τὸ λογικὸν εὐθὺς εἶναι κακούς, ἀλλ' οὐ γίνεσθαι, ὁμολογοῖεν ⟨ἂν⟩ διὰ τούτων τῷ λογικῷ κατὰ φύσιν εἶναι τήν τε ἀδικίαν καὶ τὴν κακίαν, εἴ γε ἐν τῇ εἰς τὸ λογικὸν μεταβολῇ ἅμα καὶ εἰς ταῦτα γίνεται, καὶ ἴσον ἐστὶ τὸ εἰς λογικὸν μεταβάλλειν τῷ εἰς κακίαν· παρὰ φύσιν οὖν τῷ λογικῷ ἡ ἀρετή. ἔτι τε εἰ ὅλως ἐστὶν ἐκ κακίας εἰς ἀρετὴν μεταβολή, τὴν κακίαν ἤτοι εὐκίνητον καὶ εὐαπόβλητον ἐροῦσιν ἢ μόνιμον καὶ δυσκίνητον. ἀλλ' εἰ μὲν εὐκίνητον, τί δή ποτε οὐ ῥᾳδία ἡ εἰς τὰς ἀρετὰς ἐκ τῆς κακίας μεταβολή; εἰ δὲ δυσκίνητον καὶ μόνιμον, δῆλον ὡς ἐν τῇ εἰς ἀρετὴν μεταβολῇ ἐξ αὐτῆς δεῖ πρῶτον ἀποβληθῆναι τῆς κακίας τὸ δυσκίνητον καὶ μόνιμον, ἤ γε διὰ μαθήσεως καὶ ἀσκήσεως εἰς τὴν ἀρετὴν μετέβαλλε καὶ μὴ ἐξαίφνης. ἀλλ' εἰ πρῶτον εὐκίνητος γίνεται, ἦν δὲ τὸ εἶναι αὐτῇ κακίᾳ ἐν τῷ δυσκινήτῳ, ἐν ᾧ ἐστιν εὐκίνητος, οὐκέτ' ἂν ἐν τούτῳ ὡς κακία εἴη. ἀλλὰ μὴν οὐδ' ἀρετή. πῶς ἄρα ἔσται ἐν μέσῃ τινὶ ἕξει ὁ οὕτως ἔχων, ἐπεὶ καὶ ἡ μεταβολὴ ἡ εἰς 234 τὴν ἀρετὴν ἐκ ταύτης τῆς διαθέσεως γίνεται; ἔτι δ' εἰ καὶ ὅτι μάλιστα οἱ παῖδες οὔπω εἰσὶ λογικοὶ καὶ διὰ τοῦτο οὔτε ἀρετὴν ἔχουσιν οὔτε κακίαν, ἀλλὰ τῷ γίνεσθαι αὐτοὺς ἐκ τῶν οὕτως ἀλόγων λογικούς τε καὶ κακούς, εἶεν ἂν ἐν μέσῃ ἕξει. οὐ γὰρ ὁμοίως οὗτοι ἄλογοι τοῖς ἄλλοις, οὐδὲ γὰρ ἂν οὐδὲ αὐτοὶ δεκτικοὶ κακίας ἦσαν ἢ ἀρετῆς. εἰ δὲ μηδέτερον ἔχοντες δύνανται ἑκάτερον αὐτῶν δέξασθαι, οὐκ εἰσὶν οὕτως ἄλογοι. τὸ δὴ ἄλογον τὸ ἐπιδεκτικὸν λόγου, ἄλλο ὂν τοῦ ἀδυνάτου ἐπιδέξασθαι, ἄλλως ἂν ἄλογον εἴη, καὶ οὐχ οὕτως τὸ κυρίως ἄλογον. ἤδη καὶ κατάστασις ἡ τοῦ οὕτως ἀλόγου εἴη ἂν μέση ἕξις, ἐπεὶ ἅπαντα εἰς ἑκάτερον τῶν ἐναντίων ἡ μεταβολή, καὶ οὕτως ἐστὶ δυνάμει ἑκάτερον τῶν ἄκρων ὡς μηδὲν ὂν ἐνεργείᾳ. ἔστι γάρ τις καὶ περὶ τὸν παῖδα ἕξις τε καὶ κατάστασις, ἀφ' ἧς εἰς τὴν κακίαν καὶ τὴν ἀρετὴν μεταβολή, ἥτις ἐν οὐδενὶ τῶν κυρίως καὶ ἁπλῶς ἀλόγων λεγομένων ἐστίν.

IV. Ἀπορίας λύσις τῆς λεγούσης ὀργάνῳ μὲν μηδὲν εἶναι ἐναντίον, πλούτῳ δὲ πενίαν ἐναντίον, διὸ μὴ εἶναι τὸν πλοῦτον ὄργανον.

Τῷ ὀργάνῳ οὐδέν ἐστιν ἐναντίον, πλούτῳ δὲ | ἔστιν τι ἐναντίον, οὐχ 235 ὁ πλοῦτος ὄργανον. εἰ μὲν καθόλου λαμβάνοι μηδενὶ ὀργάνῳ εἶναί τι

3 κακοὺς ἢ σπουδαίους ἀλλ' B[1] 4 ὁμολογοῖεν ⟨ἂν⟩ Sp.: ὁμολογοῖεν VFS: ὁμολογεῖεν Ba 12 μό|ν//μον V ἤ γε] εἴ γε LS[2]F Vict. Sp.: ἤ γε a 13 μετέβαλε a Sp. 14 αὕτη a κακίᾳ Sp.: κακία libri 16 ἄρ' οὐκ coni. Sp. ἔσται] ἐστὶν a Sp. 19 οὕτωσ V 24 ἤδη καὶ] ἤδη δὲ καὶ Vict. Sp.: fortasse ἡ δὴ [καὶ] 25 ἅπαντα] ἀπαντᾷ Sp.: fortasse ἀπ' αὐτοῦ (αὐτῆς?) 28 μεταβολή] μεταβάλλει coni. Sp. ἥ τισ V 29 λεγομένων (λεγο in lit. V)] λεγομένη S[2]Ba Sp. 33 οὐκ ἄρα S[2]B[2]a Sp. 34 λαμβάνοι] „adversarius, sed fortasse hic et postea λαμβάνοιτο“ Sp.

ἐναντίον, οὐ συγχωρητέον τῷ καὶ τῷ πλούτῳ ὄντι ὀργάνῳ εἶναί τι ἐναντίον δοκεῖν, εἰ δὲ ἀδιορίστως καὶ ἐν μέρει λαμβάνοι, δεικτέον ὅτι μὴ συλλογίζεται. γίνονται γὰρ ἀμφότεραι αἱ προτάσεις ἐν μέρει. τότε γὰρ ἀναγκαίως καθόλου ἂν ἐλάμβανε τὸ μὴ εἶναί τι τῷ ὀργάνῳ ἐναντίον, εἰ ἦν ἐν τῷ λόγῳ καὶ τῇ οὐσίᾳ τοῦ ὀργάνου ἐμφαινόμενον τὸ μηδὲν εἶναι αὐτῷ ἐναντίον· εἰ δὲ μὴ ἔστιν ἐν τῇ οὐσίᾳ τοῦ ὀργάνου τὸ μὴ εἶναί τι αὐτῷ ἐναντίον, συμβεβηκὸς δέ τι, οὐδὲν κωλύει τοῦτο μὴ πᾶσι συμβεβηκέναι. οὐδὲ γάρ, ἐπεὶ τοῖς πολλοῖς ὑπάρχει τῶν πεπερασμένων τὸ παρά τι περαίνειν, ἤδη καὶ πᾶσιν. τὸ μέντοι ὄργανον εἶναι, δι' οὗ ἢ μόνου τι ἢ κάλλιστον γίνεται, εἰ ἐν τῇ οὐσίᾳ ἐστὶ τοῦ ὀργάνου, πάντα ἂν εἴη ὄργανα οἷς τοῦθ' ὑπάρχει· καὶ πᾶσι τοῖς ὀργάνοις τοῦτο. διὸ ἐπεὶ καὶ τῷ πλούτῳ τοῦτο ὑπάρχει (διὰ γὰρ τούτου αἱ κατ' ἐλευθεριότητά τε καὶ μεγαλοπρέπειαν ἐνέργειαι τῷ σπουδαίῳ), εἴη ἂν ὄργανον τῷ σπουδαίῳ· ἀπὸ γὰρ τῶν ἐν τῇ οὐσίᾳ τοῦ ὀργάνου ὄντων ἡ τῶν ὀργάνων κρίσις, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, οὐκ ἀπὸ τῶν συμβεβηκότων. δεικνύοι δ' ἄν τις καὶ ὅτι μηδετέρα τῶν προτάσεων εἴληπται καλῶς, μήτε ἡ λαμβάνουσα τῷ ὀργάνῳ μηδὲν εἶναι ἐναντίον, | μήτε ἡ λέγουσα τῷ πλούτῳ εἶναί τι ἐναντίον. εἰ 236 μὲν γὰρ διότι τῷ ὅλῳ τε καὶ συναμφοτέρῳ ὀργάνῳ μηδέν ἐστιν ἐναντίον, διὰ τοῦτο μηδὲ τῷ πρίονι μηδὲ τῇ κιθάρᾳ λέγοι τις εἶναί τι ἐναντίον, οὐδ' ἂν τῷ πυρὶ εἴη κατὰ τὸν οὕτως λέγοντα ἐναντίον τι, οὐδὲ ἄλλῃ τινὶ συναμφοτέρῳ οὐσίᾳ τῷ τῇ ὕλῃ τῇ ὑποκειμένῃ πᾶσι τοῖς τοιούτοις μηδὲν εἶναι ἐναντίον· εἰ δὲ κατὰ τὰ πάθη καὶ τὰς ποιότητας ⟨ἡ⟩ ἐναντίωσις (τῷ γὰρ πυρὶ κατὰ τὴν θερμότητα καὶ τὴν ξηρότητά ἐστί τινα ἐναντία, καὶ τοῦ σκεπάρνου ἐὰν ληφθῶσιν αἱ ποιότητες, καθ' ἃς ἐστιν αὐτῷ τὸ εἶναι, εὑρήσει κατὰ ταύτας ἐναντιότητά τινα αὐτῷ· τῷ μὲν γὰρ ὀξεῖ τὸ ἀμβλὺ ἐναντίον, τῷ δὲ βαρεῖ τὸ κοῦφον, δεῖ δὲ καὶ βάρους καὶ ὀξύτητος αὐτῷ· ὁ αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων ὀργάνων λόγος), * * * οὔτε τῷ πλούτῳ δὲ καλῶς ἐλήφθη εἶναί τι ἐναντίον. ἡ γὰρ πενία οὐκ ἐναντίον πλούτῳ, ἀλλὰ πλούτου ἀπουσία τε καὶ στέρησις, ἡ δὲ ὑγεία οὐχ ὡς ὄργανον ἀγαθόν, ἀλλ' ὡς τοῦ σώματος ἀρετή, ἐξ οὗ καὶ τῆς ψυχῆς ὁ ἄνθρωπος. εἰ δέ τις λέγοι τὴν στέρησιν τὴν τοιαύτην, ἀφ' ἧς οἷόν τε τὴν ἕξιν γενέσθαι πάλιν ἐναντίον, πᾶσιν οὗτος λέγοι ⟨ἂν⟩ τοῖς ἐν γενέσει εἶναί τι ἐναντίον, οὐ μόνοις τοῖς ὀργάνοις· ἐν πᾶσι γὰρ ἡ τοιαύτη στέρησις. |

---

4 ἐλάμβανε τὸ Sp.: ἐλαμβάνετο libri 8 παρά] πρός a Sp. 9 κάλλιστον] μάλιστα Sp.: κάλλιστα Schwartz 17—129,23 τῷ πλούτῳ — προαιρούμενοι om. GFSL (G in mg.: ἐντεῦθεν λείπεται τὸ τέλος τοῦδε τοῦ δ̄ κεφαλαίου καὶ τὰ λοιπὰ ἄλλα δ̄ κεφάλαια ὁλόκληρα. τὸ δ' ἑπόμενόν ἐστι τὸ τέλος τοῦ ιθου κεφαλαίου τὸ ἀρχόμενον ἐκ τοῦ "βιάζονται". ὁ ζητῶν δ' ἴσως εὑρήσει. excidisse plura signo notatum in S. lacunae vestigium deest in FL) 22 ἡ add. B²a Sp. 27 ἄλλων V¹ in mg. οὐδὲ τῷ πλούτῳ δὴ coni. Sp.: lacunam indicavi 32 λέγοι ⟨ἂν⟩ Sp.: λέγοι V Vict.: λέγει a 33 τοιαύτη] τ in lit. V

V. Ἀπορία ὅτι ἡ κοινὴ ἡδονὴ ἡ ὡς γένος λαμβανομένη οὔτ' ἀγαθόν ἐστιν οὔτε κακὸν οὔτ' ἀδιάφορον. 237

Εἰ ἡ κοινὴ ἡδονὴ ἡ ὡς γένος λαμβανομένη οὔτ' ἀγαθόν ἐστιν οὔτε κακόν, διότι ἡ μὲν ἀγαθόν ἐστιν αὐτῆς ἡ δὲ κακόν (τὸ γὰρ κοινὸν οὐκ ἔστιν ἕν τι τῶν ὑπὸ τὸ κοινόν), οὐδ' ἀδιάφορος ἔσται, εἴ γέ εἰσί τινες καὶ ἡδοναὶ ἀδιάφοροι, ὥσπερ καὶ αἱ μὲν ἀγαθαί, αἱ δὲ μοχθηραί. ταῦτα δ' ἄν τις ζητήσειεν καὶ ἐπὶ τῶν ἐνεργειῶν, ὧν τέλη πως αἱ ἡδοναί, διὸ καὶ συνδιαιροῦνται αὐταῖς. εἰ γὰρ τῶν ἐνεργειῶν αἱ μέν εἰσιν ἀγαθαί, αἱ δὲ μοχθηραί, αἱ δὲ ἀδιάφοροι, ἡ κοινὴ καὶ ὡς γένος ἐνέργεια λαμβανομένη οὔτ' ἀγαθὸν οὔτε κακὸν οὔτ' ἀδιάφορον ἔσται. ἀλλὰ μὴν πᾶν τὸ ὂν ἀναγκαῖον ἢ ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορον εἶναι. ἢ πᾶν τὸ ὂν ἐν ὑποστάσει καὶ τὸ εἶναι καθ' αὑτὸ δυνάμενον· εἰ δέ τι κοινὸν εἴη, ὑφ' ὃ ταῦτα πάντα ἐστίν, ἐκεῖνο οὐκέτι οἷόν τε τούτων τι εἶναι τῷ πάντα ἔχειν ὑφ' αὑτό. οὐδὲ γὰρ ἐπεὶ πᾶν ζῷον τὸ ἐν ὑποστάσει ὂν ἢ λογικόν ἐστιν ἢ ἄλογον, διὰ τοῦτο καὶ τὸ κοινὸν τὸ ὡς γένος κατὰ τῶν ἐν ὑποστάσει κατηγορούμενον ἐν θατέρῳ τούτων ἐστί. οὔτε οὖν ἡ κοινὴ ἡδονὴ οὔτε ἡ κοινὴ ἐνέργεια ἔσονται ἢ ἀγαθὰ ἢ κακὰ ἢ ἀδιάφορα, πάσης | ἡδονῆς καὶ πάσης ἐνεργείας τῆς ἐν ὑποστάσει τούτων τι ἐχούσης. ἐπεὶ δὲ αἱ ἡδοναὶ ταῖς 238 ἐνεργείαις, ἐφ' αἷς γίνονται, συνδιαιροῦνται, καὶ αἱ μὲν ἐπιγινόμεναί τε καὶ ἑπόμεναι ταῖς ἀγαθαῖς ἐνεργείαις ἀγαθαί, αἱ δὲ ταῖς μοχθηραῖς μοχθηραί, ἀδιάφοροι δὲ αἱ ταῖς ἀδιαφόροις, ἐπιζητήσαι τις ἄν, πῶς χρὴ περὶ λύπης λέγειν, ἐπειδὴ αὕτη ἐναντία τῇ ἡδονῇ. εἰ γὰρ καὶ ταύτην λέγοι τις συνδιαιρεῖσθαι ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνεται, πρῶτον μὲν τίνα τρόπον ἡ διαίρεσις ἔσται; πότερον τὰς μὲν ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινομένας ἐροῦμεν κακάς, τὰς δὲ ἐπὶ ταῖς μοχθηραῖς ἀγαθάς, τὰς δὲ ἐπὶ ταῖς ἀδιαφόροις ἀδιαφόρους; ἢ ἄτοπον τὸ λέγειν ⟨ἐν⟩ ἀγαθῷ εἶναι τὸ λυπούμενον ἐπὶ ταῖς μοχθηραῖς ἐνεργείαις, ἃς ἐνεργεῖ; ἐν κακῷ γὰρ ὁ τοιοῦτος. πῶς γὰρ οὐκ ἐν κακῷ ὁ ἐν τοιαύταις ἐνεργείαις ὤν; ἔπειτα ἡ μὲν ἡδονὴ εὐλόγως ἐδόκει συνδιαιρεῖσθαι ταῖς πρὸ αὐτῆς ἐνεργείαις (κατ' οἰκειότητα γὰρ τὴν πρὸς αὐτὰς ἐγίνετο καὶ ὡς τέλος τι ἦν αὐτῶν), ἡ δὲ λύπη ἀλλοτριότητός ἐστι σημεῖον τοῖς ἐφ' οἷς γίνεται. ἢ εὔλογον δι' αὐτὸ τὴν ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινομένην εἶναι κακήν, διότι ἀλλοτρία ἐστὶ τῶν ἀγαθῶν, καὶ διὰ ταῦτα τὴν ἐπὶ ταῖς κακαῖς ἀγαθήν, ὅτι ἐστί τις ἀλλοτρία τῶν κακῶν, ὅτι τε ὁ λέγων τὴν τοιαύτην λύπην ἀγαθὸν οὐ τὰς ἐνεργείας ἐφ' αἷς γίνεται, τίθησιν ἀγαθὰς εἶναι, ἀλλὰ τὴν ἀλλοτριότητα πρὸς τὰς τοιαύτας ἐνεργείας ἢ | περιστάσεις τε καὶ τύχας. ἢ ὅλως ἄτοπον τὸ τὴν λύπην 239

5 οὐδ' scripsi: οὔτ' libri   ἀδιάφορόν ἐστιν coni. Sp.   6 ἀδιάφοροι scripsi („indifferentes“ Bagolinus): διάφοροι libri   ταῦτα δ'] ταὐτόν coni. Sp.   10 ἀδιάφοροι V   11 ᾗ πᾶν coni. Sp.   14 pr. ἢ] ἡ V   15. 16 κατηγορούμενον] inter ο et ν una littera erasa V   16 θατέρω V   21 ἀδιαφόροις] φ in lit. V   26 ἐν add. B²a Sp.   alt. τὸ] τὸν B²a Sp.   27. 28 πῶς γὰρ οὐκ] ως γὰρ οὐκ in lit. V   31 τοῖς Vict.: τῆς libri   δι' αὐτὸ] fortasse διὰ τὸ

οὕτως διαιρεῖν. δοκεῖ γὰρ ἡ λύπη τῇ ἑαυτῆς φύσει κακὸν εἶναι τοῖς ἔχουσιν αὐτήν. ἀλλ' εἰ λύπη κακόν, τὸ δ' ἐναντίον τῷ κακῷ ἀγαθὸν ἢ κακόν, δεήσει καὶ τὴν ἡδονὴν ἐναντίαν οὖσαν τῇ λύπῃ ἀγαθὸν ἢ κακὸν εἶναι. εὑρέθη δὲ οὔτε πᾶσα ἀγαθὸν οὖσα οὔτε πᾶσα κακόν, ἦν δέ τις καὶ ἀδιάφορος. ἆρ' οὖν ἡ μὲν ἀγαθὴ οὕτως ἔσται ἐναντία τῇ λύπῃ, ὡς ἀγαθὸν κακῷ, ἡ δὲ μοχθηρὰ ὡς κακὸν κακῷ; ἀλλ' εἰ οὕτως, τί χρὴ περὶ τῆς ἀδιαφόρου λέγειν; ἣν γὰρ ἐπὶ ταῖς ἀδιαφόροις ἐνεργείαις γινομένη, ἥτις οὐκ ἔσται ἐναντία λύπῃ, ἔσται τῷ κακῷ οὐ μόνον κακὸν καὶ ἀγαθὸν ἐναντία, ἀλλὰ καὶ ἀδιάφορον, ὅπερ οὐ δοκεῖ. ἢ χρὴ τῶν ἡδονῶν καθόλου διαίρεσιν ποιησάμενον λαβεῖν τὰς μέν τινας αὐτῶν εἶναι κατὰ φύσιν τοῖς ἡδομένοις αὐτάς, τὰς δὲ παρὰ φύσιν. κατὰ φύσιν μὲν τὰς γινομένας ἐπὶ ταῖς κατὰ φύσιν ἡδομένοις ἐνεργείαις, παρὰ φύσιν δὲ ὧν καὶ ἐνέργειαι τοιαῦται. ἑκάστῳ γὰρ ζῴῳ εἰσί τινες οἰκεῖαί τε καὶ κατὰ φύσιν αὐτῶν ἐνέργειαι. καὶ γὰρ ἀνθρώπου εἰσὶν ἐνέργειαί τινες κατὰ τὴν ἀνθρώπου γινόμεναι φύσιν, καὶ ἵππου κατὰ τὴν τοῦ ἵππου, καὶ κυνὸς καὶ τῶν ἄλλων ζῴων ὁμοίως, ὧν καὶ τὰς ἡδονὰς κατὰ φύσιν καὶ αὐτὰς χρὴ λέγειν ἐκείνοις, τὰς δ' ἐπὶ ταῖς ὑπό τινων οὐ κατὰ τὴν οἰκείαν φύσιν αὐτῶν γινομέναις ἐνεργείαις ἡδονὰς παρὰ φύσιν (διὸ καὶ ὁμωνύμους ἐκείνας), ὧν τὰς μὲν κατὰ φύσιν ἑκάστοις καὶ ἡδονὰς κυρίως εἶναι | ῥητέον, τὰς δὲ παρὰ φύσιν ἐκείνοις τοῖς ἡδομένοις αὐτὰς ἡδονάς, οὐ μὴν κυρίως τε καὶ ἁπλῶς 240 ἡδονάς, ὥσπερ καὶ ὑγιεινὰ τὰ μὲν ἁπλῶς, τὰ δὲ τοῖσδε, καὶ τὰς μὲν ἀληθῶς τε καὶ κυρίως ἡδονὰς ἀγαθὰς εἶναι τοῖς ἡδομένοις αὐτὰς ῥητέον, τὰς δὲ παρὰ φύσιν γινομένας τισὶν οὐκ οὔσας ἁπλῶς ἡδονὰς μοχθηράς τε καὶ κακάς. εἰ δὴ μάλιστα ἄνθρωπος καὶ κατὰ φύσιν ἔχων μάλιστα ὁ ἀγαθός, εἶεν ἂν καὶ ἀνθρώπῳ κατὰ φύσιν ἡδοναὶ μάλιστα αἱ τούτῳ φαινόμεναι, καὶ ἡδέα οἷς οὗτος χαίρει. ὅσα δὲ τούτῳ δυσχερῆ, ταῦτα παρὰ φύσιν τε καὶ οὐχ ἁπλῶς ἡδέα, εἰ καὶ ἥδοιντό τινες ἐπ' αὐτοῖς. διαφέροιεν δ' ἂν καὶ τῶν κατὰ φύσιν ἑκάστῳ ἡδονῶν τῷ αἱ μὲν αὐτῶν μᾶλλον, αἱ δὲ ἧττον οἰκεῖαι εἶναι. οὕτω δ' ἂν εἴη τῇ λύπῃ κακῷ ὄντι ἡ κυρίως τε καὶ ἁπλῶς ἡδονὴ ἐναντία οὖσα ἀγαθὸν πᾶσα, εἰ καὶ μὴ ὁμοίως, αἱ δὲ παρὰ φύσιν οὔτε ἡδοναὶ ἁπλῶς οὔτε ἀγαθαί, * * * εἶεν δ' ἂν καὶ ἐπὶ τοῖς ἀδιαφόροις τοιαῦται· οὐδὲ γὰρ τὰ ἀδιάφορα ἐν τοῖς κατὰ φύσιν. ἡδονῇ δὲ ἐναντίον λύπη, ἀλλ' οὐ πόνος, εἴ γε πόνος θλῖψιν σωματικὴν δηλοῖ καὶ λύπην τινά, ἀλλ' οὐ τὴν ἁπλῶς. ἡ δὲ λύπη ἡ καθόλου τὴν τοιάνδε ψυχικὴν διάθεσιν σημαίνει, εἴτ' ἐπὶ θλίψει γίνοιτο σωματικῇ εἴτ' ἐπὶ διαθέσει τινὶ ψυχικῇ, ὥσπερ καὶ ἡ ἡδονὴ οὐχὶ σωματικὴ μόνον, ἀλλὰ καὶ ψυχική. τῇ κοινῇ οὖν ἡδονῇ λύπη κοινὴ οὖσα ἐναντίον, ἡ δ' ἐπὶ ταῖς παρὰ φύσιν | ἡδονή, 241

---

1 δοκεῖ] εῖ in lit. V 8 οὐκ] fortasse εἰ λύπῃ a: λύπη V ἔσται γὰρ οὕτω τῷ a Sp. 11 δὲ | δὲ V 12 ἡδομένοις scripsi: ἡδομένας VB: γινομέναις B²a Sp. 20 ἐκείνοισ sic V 20. 21 οὐ μὴν—ἡδονάς om. Ba Sp. 31 lacunam indicavi 34 καθόλου Sp. ψυχικὴν] κὴν in litt. 5 litterarum V 35 pr. εἴτ' B²a Sp.: εἴθ' VB¹ 37 λύπη ⟨ἡ⟩ coni. Sp. fortasse τοῖς ἡδονὴ—p. 126,1 ἀγαθὸν in lit. V

φθείρουσα τὴν ἐπὶ τοῖς κατὰ φύσιν ἡδονὴν οὖσαν ἀγαθόν, ὁμοίως τῇ οἰκείᾳ λύπῃ, εἴη ἂν καὶ αὐτὴ κακόν † ὡς ὑπερβολὴ γὰρ τὸ ἐφ' οἷς μηδὲ γενόμενον, ὡς εἶναι πᾶσαν μὲν λύπην κακόν, τῶν δ' ἡδονῶν τὰς μὲν κατὰ φύσιν τε καὶ κυρίως ἡδονὰς ὡς ἀγαθὰ ἐναντίας εἶναι ταῖς λύπαις, τὰς δὲ παρὰ φύσιν ὡς κακὸν κακῷ.

VI. Ὅτι τῇ ἡδονῇ ἡ λύπη ἐστὶν ἐναντίον ἀλλ' οὐ πόνος.

Ὁ μὲν γὰρ πόνος σωματικήν τινα θλῖψιν ἐμφαίνει, ἡ δὲ λύπη ψυχικὴν συστολήν. εἰ μὲν οὖν καὶ ἡ ἡδονὴ πᾶσα ἦν ἐν σωματικῇ διαχύσει, ἦν ἂν ὁ πόνος αὐτῇ ἐναντίος, ἐπεὶ δ' ἐστὶν ἡδονὴ διάχυσίς τις τῆς ψυχῆς οὐ διὰ σώματος οὐδ' ἐπὶ σώματι γινομένη μόνῳ, οὐκ ἂν εἴη τῇ τοιαύτῃ ἡδονῇ ἐναντίον πόνος, ἀλλὰ λύπη. ἡ μὲν γὰρ λύπη καὶ ἐπὶ ταῖς θλίψεσι τοῦ σώματος καὶ αὐτῆς τῆς ψυχῆς ἐφ' αὐτῆς, ὥσπερ καὶ ἡ ἡδονή, ὁ δὲ πόνος ἐπὶ σώματι μόνον. διὸ εἴη ἂν ἁπλῶς μὲν ἡδονῇ λύπη ἐναντία, τινὶ δὲ ἡδονῇ ἡ ὡς πόνος. τῇ γὰρ σωματικῇ διαχύσει καὶ τῇ τοῦ σώματος εὐσθενείᾳ καὶ τῇ ἐπὶ τούτοις ἡδονῇ εἴη | ἂν ἡ τοῦ σώματος θλῖψίς τε 242 καὶ ὀδύνη ἐναντία. ὁ δὲ ἐπὶ τῆς ψυχῆς λεγόμενος πόνος, ὡς λέγονταί τινες φιλόπονοι, οὐδὲ τὴν ἀρχὴν ἐναντίος ἡδονῇ· μεθ' ἡδονῆς γοῦν γίνεται. εἰ δέ τις ἐπὶ τῷ πονεῖν λυποῖτο, ἡ λύπη ἄν, οὐχ ὁ πόνος εἴη τὸ ἐναντίον τῇ ἡδονῇ. οὔσης δὲ λύπης τῇ ἡδονῇ ἐναντίας πᾶσα μὲν λύπη κακὸν εὐλόγως ἂν λέγοιτο· τῇ γὰρ αὑτῆς φύσει φευκτή. ἡ δ' ἡδονὴ οὐ πᾶσα ἀγαθόν, ἀλλ' ὅσαι μὲν τῶν ἐνεργειῶν τῶν ἐφ' αἷς ἡ ἡδονὴ ὑπερβολὴν ἔχουσιν, ἕξουσιν ὁμοίως καὶ αἱ ἐπ' αὐταῖς ὑπερβολὴν ἡδοναί, τοιαῦται δ' αἱ σωματικαί. διότι τούτων αἱ μὲν σύμμετροι αἱρεταί, ὁποῖαί εἰσιν καὶ αἱ περὶ τὰ ἀναγκαῖα τὰ πρὸς τὸ σῶμα (αἱρετὰ γὰρ καὶ τὰ ἀναγκαῖα), αἱ δ' ὑπερβάλλουσαι φευκταί, ὁποῖαί εἰσιν αἱ τῶν ἀκολάστων, καὶ εἴη ἂν ἐπ' αὐτῶν καὶ ἡ λύπη ὡς ἔνδειά τις κακόν, καὶ ἡ ὑπερβάλλουσα ἡδονὴ ὡς ὑπερβολή τις, ἡ δὲ σύμμετρος ἀγαθὸν ἐν μεσότητί πως οὖσα τῶν προειρημένων. ὧν δ' ἡδονῶν μὴ ἔστιν ὑπερβολή (τοιαῦται δ' εἰσίν, ὅσαι ἐπὶ ἐνεργείαις γίνονται, ὅσων τὸ αἱρετὸν ἐκ τῆς ἐπιδόσεώς τε καὶ προσθήκης αὔξεται, ὁποῖαί εἰσιν αἱ γινόμεναι κατὰ τὰς ἀρετάς), ἐπὶ τούτων οὐδὲ τῶν ἡδονῶν ἔσται τις ὑπερβολή· διὸ αἱ τοιαῦται αἱρεταί τε καὶ ἀγαθαὶ τῇ οἰκείᾳ φύσει πᾶσαι. |

---

1 τοῖσ] ταῖσ a Sp. 2 κακόν VB[1]: ἐναντίον ὡς κακὸν κακῷ B[2]a Sp. τὸ ἐφ' οἷς μηδὲ γενόμενον VB[1]: ἐλλείψει B[2]a Sp. 8 διαχύσει Vict. (ubique restituit): διαλύσει libri 9 ὁ om. a Sp. αὐτῇ Sp.: αὐτῆς libri διάλυσις V 10. 11 τῇ τοιαύτῃ ἡδονῇ Sp.: τῆς τοιαύτης ἡδονῆς libri 13 ἐναντία V: ἐναντίον Ba 14 διαλύσει V 19 τῇ ἡδονῇ B[2] Sp: τῆς ἡδονῆς libri bis 21 ὅσαι B[2]a Sp.: ὅσα libri 22 αὐταῖς] υ in lit. V 23 διό coni. Sp. 31 post τῶν add. ἐνεργειῶν, εἰ δὲ τῶν B[2]a: τῶν ⟨ἐνεργειῶν ἡδονῶν⟩ coni. Sp.

VII. Διὰ τί, εἰ ἡ λύπη πᾶσα κακὸν τῇ ἑαυτῆς φύσει, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθὸν ἔσται τῇ ἑαυτῆς φύσει. 243

Ἢ γὰρ πᾶσαν ἔδει καὶ τὴν ἡδονὴν κακὸν εἶναι οὖσαν ἐναντίον τῇ λύπῃ ὡς κακὸν κακῷ, ἢ εἰ μὴ ὡς φευκτὸν μηδὲ κακὸν ἡ ἡδονή, ἀλλ' ὡς ἀγαθὸν κακῷ ἀντίκειται, πᾶσαν ἀγαθὸν εἶναι. εἰ γὰρ εἴη τις ἡδονὴ κακόν, εἴη ἂν τῶν λυπῶν κακῶν οὐσῶν πασῶν ἡ ἡδονή, ἐναντία οὖσα τῇ λύπῃ, ἡ μὲν ὡς κακὸν κακῷ ἐναντία, ἡ δὲ ὡς ἀγαθὸν κακῷ, ὅτι δεῖται λόγου. ἢ οὐδὲ λύπη πᾶσα κακόν, εἴ γε καὶ ἐν τούτοις ἡ ἀρετὴ τοῦ μέσου στοχαστική, καί εἰσιν οἰκεῖαι τῷ σπουδαίῳ καὶ λῦπαι τινὲς καὶ πόνοι. εἴη δ' ἂν κοινότερον ὁ πόνος τῆς λύπης. τὶς γὰρ πόνος ἡ λύπη. καὶ γὰρ ὥσπερ ἡ ἡδονὴ ταῖς ἐνεργείαις ἑπομένη καὶ μέρος πως ἢ τέλος οὖσα αὐτῶν παρ' ἐκείνων ἔχει τὸ αἱρετόν τε καὶ φευκτόν (αἱρεταὶ μὲν γὰρ αἱ ἐπὶ ταῖς αἱρεταῖς ἐνεργείαις, φευκταὶ δ' αἱ ἐπὶ ταῖς μὴ τοιαύταις), οὕτως εὔλογον καὶ τὰς λύπας ὑπολαμβάνειν ἐπὶ ἐνεργείαις τισὶ γινομένας παρ' ἐκείνων καὶ αὐτὰς ἔχειν τὸ αἱρετόν τε καὶ φευκτὸν ἔμπαλιν τῶν ἡδονῶν. τὰς μὲν γὰρ ἐπὶ ταῖς καλαῖς γινομένας ἐνεργείαις φευκτὰς εἶναι, | τὰς δ' ἐπὶ ταῖς αἰσχραῖς αἱρετάς. 244 εἰ δέ εἰσιν λῦπαί τινες αἱρεταὶ καὶ πόνοι, εἶεν ἂν καὶ ἡδοναὶ φευκταὶ αἱ ταῖς λύπαις ταύταις ἐναντίαι. ἐναντίαι δὲ ἡδοναὶ λύπαις αἱ γινόμεναι ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις. καὶ διὰ τοῦτο οὐ πᾶσα ἀγαθὸν ἡδονή, ὅτι μηδὲ πᾶσα λύπη κακόν. ἐλέγετο δέ τι καὶ τοιοῦτον, ὅτι οὐδὲ τοῖς ὑποθεμένοις πᾶσαν εἶναι λύπην κακὸν ἀκολουθεῖν ἀνάγκη τὸ ἢ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι ἢ πᾶσαν κακόν, κειμένου τοῦ τὴν λύπην ἐναντίαν εἶναι τῇ ἡδονῇ. ἐφ' ὧν γὰρ ἡδονῶν ὑπερβολαί τινές εἰσιν, ἐν τούτοις εἰσὶ καὶ αἱρεταί τινες ἡδοναὶ καὶ φευκταί. αἱ μὲν γὰρ μέσαι αἱρεταί, αἱ δὲ κατὰ τὰς ὑπερβολὰς φαῦλαι, εἰσὶ δὲ τοῦτο ἔχουσαι αἱ σωματικαὶ τῶν ἡδονῶν. ἐφ' ὧν δὲ μή εἰσιν ὑπερβολαὶ τῷ καὶ τὰς ἐπὶ πλέον αὐτῶν γινομένας ἐν ἐν τῷ αἱρετῷ μένειν, αὗται πᾶσαι αἱρεταί, οἷαί εἰσιν αἱ ἐπὶ ταῖς κατὰ θεωρίαν ἐνεργείαις. εἰσὶ δέ τινες καὶ παρὰ φύσιν ἡδοναί, ὁποῖαί εἰσιν αἱ θηριώδεις τε καὶ νοσηματώδεις, περὶ ὧν εἴρηται ἐν τῷ ἑβδόμῳ τῶν Ἠθικῶν, αἳ οὔτε κυρίως ἀνθρώπου λέγοιντο ἂν ἡδοναί, ὅτι μὴ κατὰ φύσιν, οὔτε αἱρεταί. οὕτως δὲ ἐχουσῶν τῶν ἡδονῶν πάσαις μὲν αὐταῖς ἔσται λύπη ἐναντίον ὡς κακὸν τῷ κεῖσθαι πᾶσαν εἶναι λύπην κακόν, τῶν δὲ ἡδονῶν ὅσαι μέν εἰσι παρὰ φύσιν, αὗται ὡς κακὸν κακῷ τῇ λύπῃ ἔσονται ἐναντίαι, εἴ τις καὶ ταύτας ἐν ταῖς | ἡδοναῖς καταλέγοι, ὅσαι δὲ ἔχουσιν ὑπερ- 245 βολήν, ἐπὶ τούτων αἱ μὲν ὡς ἀγαθὸν ἔσονται τῇ λύπῃ ἐναντίαι, αἱ ἐν μεσότητι καὶ ὡρισμέναι τῷ ὀρθῷ λόγῳ, αἱ δὲ καθ' ὑπερβολήν, ἐν αἷς καὶ

2 ἐστι Ba Sp. 3 ante ἢ titulum iterat Ba Sp. 5 πᾶσαν B²a Sp.: πῶς ἂν VB 6 πασῶν. ⟨ἢ⟩ ἡ Vict. Sp. 7 ὅτι—λόγου punctis notat B² (in mg.: λύσις οὐ μέντοι ἀκριβής): om. a 8 οὐδὲ Sp.: οὔτε libri 14 λύπας] υ in lit. V 29 ὧν] ν s. v. V 29. 30 ἑβδόμῳ τῶν Ἠθικῶν] Eth. Nic. VII, 1. 1145ᵃ15 sqq. 31. 32 ἐναντίον ἔσται λύπη Ba Sp. 36 αἷς Sp.: οἷς libri

αἱ τῶν ἀκολάστων, αὗται δὲ ὡς κακὸν κακῷ, ὧν δὲ οὐκ ἔστιν ὑπερβολή, αὗται ἂν εἶεν πᾶσαι ὡς ἀγαθὸν κακῷ τῇ λύπῃ ἐναντίαι.

VIII. Ὅτι ἡ ἀρετὴ οὔτε γένος οὔτε ὅλον.

Οὔτε γένος μέν, ὅτι τὸ γένος οὐ συναναιρεῖται ἑνὶ τῶν εἰδῶν ἀναιρουμένῳ, ἡ δὲ ἀρετὴ συναναιρεῖται μιᾷ (εἴτε γὰρ ἀντακολουθοῦσιν αἱ ἀρεταὶ ἀλλήλαις, ἡστινοσοῦν ἀναιρουμένης ἀναιρεῖται καὶ ἡ ἀρετή, ἔσται γε οὕτως καὶ ἕν τι τῶν εἰδῶν τἆλλα εἴδη συναναιροῦν, ὃ οὐδὲ αὐτὸ ὑγιὲς εἶναι δοκεῖ, εἴτε μὴ ἀντακολουθοῦσι, φρονήσεως ἀναιρουμένης ἀναιροῖτο ἂν ἡ ἀρετὴ τῷ κατὰ τὸν ὀρθὸν λόγον ἐν πάσαις αὐταῖς τὸ εἶναι, ὁ δ' ὀρθὸς λόγος ἀπὸ φρονήσεως), ὅλον δὲ οὐκ ἂν εἴη ἡ ἀρετή, ὅτι τὸ μέρος οὐκ ἐπιδέχεται τὸν τοῦ ὅλου λόγον ἐν τοῖς ἀνομοιομερέσιν, διαφέρουσι δὲ ἀλλήλων αἱ ἀρεταὶ καὶ τὸν τῆς ἀρετῆς ἐπιδέχονται λόγον. ἢ ἐν οἷς τὸ μὲν πρῶτόν ἐστι, τὸ δὲ δεύτερον, ὡς ἀναιρουμένου τοῦ πρώτου | ἀναιρεῖ- 246
σθαι τό τε κοινὸν καὶ τὰ ἄλλα τὰ μετ' αὐτό, ταῦτα τῶν πολλαχῶς λεγομένων ἐστὶ τῶν ἀφ' ἑνὸς ἢ πρὸς ἓν λεγομένων, ὥστ' εἰ καὶ ἡ ἀρετὴ μιᾶς τινος ἀναιρουμένης ἀναιροῖτο, εἴη ἂν καὶ αὕτη τῶν οὕτως λεγομένων. ἢ μᾶλλον ῥητέον τὸν δοκοῦντα συνωνύμως τῶν ἀρετῶν ὅρον τῆς ἀρετῆς κατηγορεῖσθαι κοινότερον εἶναι καὶ οὐκ ἴδιον τῆς ὅλης ἀρετῆς ἧς αὗται μέρη. εἴη δ' ἂν ἐκείνῃ λόγος ἡ πάσης λογικῆς ψυχῆς ἕξις ἀρίστη, ὃς λόγος οὐ καθεκάστῃ τῶν ἀρετῶν ἐφαρμόζει. δοκεῖ δὲ καὶ Ἀριστοτέλης ὅλον τι λέγειν τὴν τέλειον ἀρετὴν ἀλλ' οὐ γένος.

[Περὶ τῆς ἀπορίας ταύτης καὶ ἐν τοῖς ὑστέροις εἴρηταί τι·]

IX. Ὅτι μὴ πάντες οἱ ἁμαρτάνοντες ἀγνοίᾳ τοῦ κακὰ εἶναι καὶ βλαβερὰ ἃ πράττουσιν, ἁμαρτάνουσιν.

⟨Ὅτι μὴ πάντες οἱ ἁμαρτάνοντες ἀγνοίᾳ τοῦ κακὰ εἶναι καὶ βλαβερά, ἃ πράττουσιν,⟩ ἁμαρτάνουσι, δῆλον ἐκ τῶν πεπεισμένων ὅτι ἁμαρτάνουσι, καὶ μὴ ἀντεχόντων αὐτοῖς διὰ μαλακίαν καὶ ἀνασκησίαν. ὧν εἰσι καὶ οἱ νοσοῦντες καὶ τὰ βλάπτοντα αὑτοὺς πράττοντες, οὐκ ἀγνοοῦν|τες ὁποῖά 247
ἐστιν· ὅτι γὰρ οὐκ ἀγνοοῦσιν, αὐτοῖς ἐπικαλοῦσι, τοὺς μὴ τὰ ὅμοια ἁμαρτάνοντας ἐπικαλοῦνται, εὔχονται τοῖς θεοῖς ὑπὲρ τοῦ κάλλιον φρονῆσαι. ἐν

---

1 alt. δὲ V[1] in mg. 3 οὔτε γένος Ba Sp.: οὐ γένος V 4 ante οὔτε titulum iterat Ba Sp. οὔτε] οὐ B²a Sp. 6. 7 γε οὕτωσ V: τε Ba Sp.: fortasse δὲ οὕτως 7 εἰδῶν οὕτως τἆλλα Ba Sp. 8 ἀναιρουμένης] ης s. v. in lit. V 9 ἕν] εἶναι coni. Sp. bene 10 ἀποφρονήσεωσ V οὐκ ἂν] υκ ἂν in lit. V εἴη] η add. v. c. V 17 τῆς ἀρετῆς coll. post κατηγορεῖσθαι Ba Sp. 19 εἴη] η add. v. c. V ἐκείνη a 20 οὐ punctis notat B: om. a 21 τελείαν Sp. 22 τι a Sp.: τισ (ι in lit.) V 25. 26 ὅτι—πράττουσιν add. Ba Sp. 27 ἀνασκησίαν] ἀναισθησίαν Vict. Sp. 28 αὐτοὺς Sp. 30 ἐπικαλοῦνται B²a Sp.: ἐπικαλοῦσιν V ἔχονται a

οἷς εἰσι καὶ οἱ ἐρῶντες, οἳ εἰ τὸ ἐρασθῆναι ἐπ' αὐτοῖς ⟨ὡς⟩ τὸ ἐρῶσιν παύσασθαι, ἑκόντες ἂν εἶεν τὰ κατὰ τὸν ἔρωτα πράττοντες. ἀλλὰ καὶ ἐκ τῶν ἀρχομένων ἁμαρτάνειν δῆλον. οὐδεὶς γὰρ αὐτῶν ἀγνοῶν τὰ κακὰ ὅτι κακά ἐστιν ἐπ' αὐτὰ τὴν ἀρχὴν ἔρχεται. πάντες γοῦν ἀρχόμενοι αἰδοῦνται καὶ λανθάνειν σπεύδουσιν, καὶ ὡς μὴ καὶ δεύτερον πράξοντες τὰ ὅμοια εἴσιν ἐπ' αὐτά, πεπεισμένοι βλαβήσεσθαί τι ἀπ' αὐτῶν, εἴκοντες τῇ ἡδονῇ, οὐ πίστει τοῦ αἱρετωτέραν αὐτοῖς εἶναι, ἀλλὰ τῷ μὴ βούλεσθαι πονήσαντες ὀλίγον ἀντισχεῖν πρὸς αὐτήν. τοῦ δὲ ταύτην περὶ τῶν κακῶν ἔχειν τὴν πρόληψιν ὡς ἔννοιαν αὐτῶν ἔχειν ὁποῖά ἐστιν αἰτίαν πρώτην μὲν τὴν φύσιν ἔχουσιν (οὐ γὰρ ἀνεννόητοι τῶν βελτιόνων οἱ μηδέπω παντάπασιν διεστραμμένοι, ἀλλὰ τάς τε κοινὰς τε καὶ φυσικὰς σῴζοντες ἐννοίας· ὅτι γὰρ πρὸς τὰ βελτίω νένευκεν ἡ φύσις ἑκάστου, δῆλόν ἐστιν ἐκ τοῦ καὶ τοὺς ἐν ἁμαρτήμασιν ὄντας ἤδη ἐπαινεῖν ἔτι τοὺς οὐχ ἁμαρτάνοντας, καὶ τοὺς ἁμαρτάνοντας τοὺς αὑτῶν παῖδας μὴ ἐπὶ τὰ αὐτὰ ἄγειν), ἱκανὴ δὲ καὶ ἡ κοινὴ φήμη τε καὶ πρόληψις τῶν ἀνθρώπων τὴν τῶν κακῶν ἀτοπίαν ὁποία τίς ἐστι διδάξαι. ἀλλὰ καὶ οἱ νόμοι ταῦτα κηρύττοντες | ἱκανοὶ τὰ βελ- 248 τίω διδάσκειν. πρὸς δὲ τούτοις διδάσκαλοί τε καὶ παιδαγωγοὶ πάντες κοινῶς τὰ κακὰ φεύγειν παραινοῦντες οὐκ ἀνεννοήτους τῶν βελτιόνων τοὺς νέους ἐῶσιν εἶναι. καὶ ὅτι μὲν οὐκ ἀγνοίᾳ τῶν κακῶν τὰ ἁμαρτήματα, δῆλον ἐκ τούτων τε καὶ τῶν τοιούτων. ὅτι δὲ μὴ βίᾳ πράττουσιν τὰ φαῦλα, δῆλον ἐκ τοῦ αὐτοὺς εἶναι τοὺς πράττοντας αὐτά, καὶ κατὰ τὴν ἐξ αὐτῶν ὁρμὴν κινεῖν ἐπὶ τὰς τοιαύτας πράξεις τὰ ὀργανικὰ μέρη καὶ βουλευομένους περὶ αὐτῶν καὶ προαιρουμένους αὐτά. εἰ γὰρ οἱ προαιρούμενοι βιάζονται, τίνες ἂν εἶεν οἱ μὴ βιαζόμενοι; εἰ δὲ ἐν ἕξει τῶν ἁμαρτανομένων γενόμενοι μήτε αἰδοῦνται αὑτοὺς * * * τῶν κακῶν φρονοῦσιν, οὐδὲν τοῦτο πρὸς τὸ εἶναι αὐτὰ ἀκούσια. τοῦ γὰρ ἐν ταύτῃ τῇ ἕξει γενέσθαι, ὡς τὰ κακὰ μὴ ὑπολαμβάνειν καὶ αὑτοῖς εἶναι κακά. αὐτοὶ αἴτιοι, ὅτε γ' ἦν ἐπ' αὐτοῖς μὴ πράττειν ταῦτα δι' ἃ γεγόνασιν τοιοῦτοι μὴ φυλαξάμενοι. εἰ δὲ ἀρχομένοις μὲν αὐτοῖς τῶν ἁμαρτημάτων οὐκ ἐφαίνετο τὰ κακὰ ὠφέλιμά τε καὶ αἱρετά, προελθοῦσιν δὲ ἐν αὐτοῖς καὶ δι' ἀμέλειαν αὐτῶν ἐν ἕξει γενομένοις μοχθηρᾷ [τὰ] τοιαῦτα φαίνεται, ἑαυτοῖς ἂν εἶεν τῆς ἀπ' αὐ-

1 ἐρῶντες B^2a Sp.: ἐρωτῶντες sic V: ἐρωτῶντες B^1 ὡς addidi: ἐστὶ καὶ add. B^2a Sp. 6 εἴσιν (εἰσιν V)] ἴασιν coni. Sp. fortasse recte πεπεισμένοι μὲν βλαβήσεσθαι B^2a Sp. εἴκοντες δὲ τῇ a Sp. 8 αὐτήν] ην in lit. V 9 ἔννοιαν] εὔνοιαν a Sp. 10 ἀ|νεννόητοι (νεν in lit.) V οἱ μηδέπω B Sp.: οἱ μὴ δέπω (μὴ s. v.) V: ὅρμη δέπω a 15 κοινὴ] ἡ in lit. V 17 τούτοις Sp.: τούτους libri 19 ἁμαρτήματα] tert. α in lit. V 20 ὅτι] o in lit. V δὲ μὴ corr. ex μὴ δὲ V: δὲ μὴ δὲ Ba Sp. βίᾳ] β in lit. V 21 αὐτοὺς ⟨αἰτίους⟩ Diels 22 ὀργ|ικὰ (κὰ in lit.) sic V 23 προαιρουμένους] pr. υ in lit. V 24 εἶεν] ν in lit. V εἰ] οἱ Vict. 25 αὑτοὺς Sp.: αὐτοὺς V: om. a τῶν κακῶν φρονοῦσιν VFB^1S^1: ⟨μήτε περὶ τῶν κακῶν ὡς αὐτοῖς ὄν⟩των κ. φρ. Schwartz: τὰ κακὰ πράττοντες, τῶν δὲ (τε Sp.) νόμων καταφρονοῦσιν, τὰ κακὰ οὐχ ἡγούμενοι εἶναι κακά B^2S^2a Sp. 27 αὐτοῖσ V αὐτοὶ Ba Sp.: αὐτοῖσ V: αὐτοῖς FS ὅτε γ' ἦν Schwartz: ὅτε μὴν $VBFS^1$: εἴ γε B^2a Sp. 28 τὸ μὴ πράττειν B^2a Sp. δι' ἃ γεγόνασιν scripsi: διαγεγόνασιν VB^1S^1F: ὃν διαγεγόνασιν B^2S^2a Sp. 31 μοχθηρᾷ Schwartz: μοχθηρὰ VFB^1S^1: αἱρετὰ B^2S^2a Sp. τὰ delevi

τῶν τοιαύτης φαντασίας αἴτιοι, ὄντες αὐτοῖς τῆς τοιαύτης ἕξεως αἴτιοι. δι' ἣν φαντασίας περὶ τῶν κακῶν τοιαύτας ἔχουσιν. τούτοις δὲ μαρτυρεῖ καὶ τὸ μισεῖσθαι καὶ κολάζεσθαι τοὺς οὕ|τως ἁμαρτάνοντας, ὡς ἑκουσίως καὶ 249 αὐτοῖς αἰτίους ὄντας τῶν τοιούτων πράξεων, τῶν ἀκουσίως τοιοῦτόν τι πραττόντων συγγνώμης τυγχανόντων. διὰ τί γάρ, εἰ πάντα ἀκούσια, τὰ μὲν αὐτῶν συγγινώσκεται, τὰ δ' οὔ; εἰ γάρ, ὅτε ἐπ' αὐτοῖς ἦν τὸ μαθοῦσιν ὁποῖά ἐστιν ἀπέχεσθαι αὐτῶν, εἰ μὲν εἰδότες τοῦτο ἠμέλουν αὐτοῦ, αὐτοὶ αἴτιοι πάλιν καὶ ἑκόντες τοιοῦτοι, εἰ δὲ κἀκεῖνο ἠγνόουν, πῶς οὐ καὶ αὐτοὶ συγγνώμης ἄξιοι; ἱκανὴ δὲ πίστις τοῦ μήτε βίᾳ μήτε δι' ἄγνοιαν τῶν βελτιόνων τινὰς ἁμαρτάνειν τῶν ἁμαρτανόντων καὶ τὸ μήτε λυπεῖσθαι μήτε μεταγινώσκειν ἐπὶ τοῖς ἁμαρτήμασιν· τὰ γὰρ ἀκουσίως πραττόμενα ἐπίλυπά τέ ἐστι καὶ ἐν μεταμελείᾳ. ὅτι δὲ εἰ ἀκούσια τὰ ἁμαρτήματα, οὐδὲ ἐφ' ἡμῖν ἂν εἴη, δῆλον ἐκ τοῦ ἀκούσια μὲν εἶναι τὰ βίᾳ ἢ δι' ἄγνοιαν γινόμενα, οὔτε δὲ ἃ βιαζόμενοι ποιοῦμεν ἐφ' ἡμῖν μὴ ποιεῖν (ἃ γὰρ μὴ ἐφ' ἡμῖν καὶ ποιῆσαι καὶ μὴ ποιῆσαι, ταῦτα [οὐ] βίᾳ), τὰ δὲ διὰ θυμὸν ἢ ἐπιθυμίαν ἁμαρτανόμενα βίᾳ φασὶν ποιεῖν τοὺς ποιοῦντας, ὥστε ⟨τὰ⟩ διὰ θυμὸν ἢ ἐπιθυμίαν ἁμαρτανόμενα οὐκ ἐφ' ἡμῖν. εἰ δὴ αἱ κολάσεις ἐπὶ τοῖς ἐφ' ἡμῖν, οἱ διὰ θυμὸν ἢ δι' ἐπιθυμίαν ἁμαρτάνοντες οὐκ ἂν εὐλόγως κολάζοιντο. ὅσα δὲ δι' ἄγνοιαν ἁμαρτάνεται, ταῦτα εἰ μὲν τῆς ἀγνοίας αὐτοῖς οἱ ἁμαρτάνοντες αἴτιοι, εἶεν ἂν ἐπ' αὐτοῖς· εἶεν δ' ἂν αὐτοῖς αἴτιοι τῆς ἀγνοίας, εἰ ἐνὸν αὐτοῖς ἐπὶ τὰ βελτίω τραπομένοις μὴ γενέσθαι ἐν ἕξει τοιαύτῃ, δι' ἣν ἀγνοήσουσι τὰ ἀγαθά, οἱ δὲ ἠμέλησαν τοῦ τοιούτου. ἀλλὰ μὴν οὐκ ἄλλως | ἐνῆν αὐτοῖς ἐπὶ τὰ βελτίω τραπέσθαι, εἰ μὴ εἶχόν ποτε 250 ὑπολήψεις τινὰς περὶ τῶν ἀγαθῶν ὡς ὄντων τοιούτων. εἰ γὰρ ἀεὶ τὰ κακὰ αὐτοῖς ἀγαθῶν φαντασίαν ἐπέστελλεν, οὐκ ἦν ἐπ' αὐτοῖς τὸ μὴ αἱρεῖσθαι αὐτά. ἀλλὰ μὴν οἱ ἔχοντες ὑπολήψεις περὶ τῶν ἀγαθῶν ὡς ἀγαθῶν ἔπειτα μὴ αἱρούμενοι αὐτὰ ἑκόντες ἡμάρτανον. οὔτε γὰρ διὰ βίαν οὔτε δι' ἄγνοιαν παρεώρων τὴν τῶν βελτιόνων αἵρεσιν, ὥστε ὡς ἐπ' αὐτοῖς τὸ ἁμαρτάνειν, οὕτως καὶ ἑκούσιον. εἰ δὲ μὴ αὐτοῖς τῆς ἀγνοίας αἴτιοι, οὐδ' ἂν ἐπ' αὐτοῖς εἴη τὸ δι' ἄγνοιαν ἁμαρτάνειν, οὕτως δὲ οὐδεὶς ἂν εὐλόγως κολάζοιτο τῶν ἁμαρτανόντων, εἴ γε αἱ κολάσεις μὲν ἐπὶ τοῖς ἐφ' ἡμῖν, οὐδὲν δὲ τῶν ἁμαρτανομένων ἐφ' ἡμῖν, εἴ γε ἀκούσιον, πᾶν δὲ ἀκούσιον ἢ δι' ἄγνοιαν ἢ βίᾳ.

X. Ὅτι ὁ ἄνθρωπος τῶν ἀρετῶν χάριν, ἀλλ' οὐκ ἔμπαλιν.

Εἰ ἐν τοῖς φύσει γινομένοις ἐστίν τι, οὗ χάριν τὰ οὕτως γινόμενα γί-

---

1. 2 δι' ἣν] δ' ἣν a 6 εἰ] fortasse καὶ ὅτε Diels, cf. 129,27: ὅτι libri ἠμέλλουν V 13 ἢ δι'—οὐ βίᾳ (15)] om. Ba Sp. del. S² 14 fortasse ⟨ποιοῦμεν οὔθ' ἃ δι' ἄγνοιαν⟩ ποιοῦμεν 15 οὐ del. v. c. V βίᾳ—ἁμαρτανόμενα (16) V¹ in mg. 16 τὰ add. B²SFa Sp. 17 ἁμαρτανόμενα] ἁμαρτανόμεν̄ | V 20 αὐτοῖσ V εἶεν] εἴη Sp. 22 ἀγαθα V οἱ δὲ] εἰ δὲ V 24 ὑπολήψεις] ει in lit. V ἀεὶ] δὴ a 27 ἐπεὶ τὰ a 30 αὐτοῖς VB: αὐτοὶ a Sp. 32 ἀκού|σίον V 35 γινόμενα] ινο in lit. V

νεται, τὸ δέ, οὗ χάριν γίνεταί τινα, τέλος ἐκείνων, ἐν τοῖς φύσει γινομένοις τέλος τί ἐστιν. ἀλλὰ μὴν τὸ τέλος τῶν τοῦ τέλους χάριν γινομένων ἄμεινον, ὥστε καὶ τῶν φύσει γινομένων τὰ τέλη τῶν ἐκείνων γινομένων χάριν ἀμείνω. ἔστι δὲ καὶ ὁ ἄνθρωπος τῶν φύσει γινομένων, ὥστε ἐστίν τι καὶ τούτῳ | τέλος, καὶ τοῦτο τῶν ἐφ' οἷς τοῦτο βέλτιον. τέλος δὲ τοῦ ἀν- 251 θρώπου τὸ σπουδαῖον ἄνθρωπον γενέσθαι, τούτου χάριν ὁ ἄνθρωπος, τὸ δὲ σπουδαῖον γενέσθαι ἐστὶ τὸ ἔχειν τὰς ἀνθρώπου ἀρετάς. ἀλλὰ μὴν οὐχ οἷόν τε σχεῖν τῷ ἀνθρώπῳ τὰς ἀρετάς, εἰ μὴ πρῶτον ἄνθρωπος γένοιτο. ὁ ἄνθρωπος ἄρα τῆς τῶν ἀρετῶν κτήσεως χάριν, ἀλλ' οὐχ αἱ ἀρεταὶ τοῦ ἀνθρώπου. διὸ καὶ ἀμείνων ὁ κεκτημένος τὰς ἀρετὰς ἄνθρωπος τοῦ χωρὶς τούτων ἀνθρώπου. οὐ γὰρ αἱ ἀρεταὶ γίνονται. οὐ γὰρ ἡμεῖς αὐτὰς κτώμεθα ὡς χωρίον ἢ ἀνδράποδον ἢ οἰκίαν, ἀλλ' ἡ τῶν ἑκάστου ἀρετῶν γένεσις ἐν τῇ κτήσει αὐτῶν. εἰ δὲ ἡ γένεσις αὐτῶν ἐν τῇ κτήσει, καὶ τὸ εἶναι αὐταῖς ἐν τούτῳ, ἔστι δὲ τὸ τέλος ἡμῖν ἡ κτῆσις αὐτῶν, εἶεν ἂν καὶ αἱ ἀρεταὶ τέλη ἡμῶν καὶ τούτων χάριν ἡμεῖς. διὸ καὶ ἀμείνους ἡμῶν αἱ ἀρεταί, διότι καὶ τὸ τέλος ἡμῶν ἐν τῇ τῶν ἀρετῶν παρουσίᾳ τε καὶ κτήσει.

XI. Ὅτι μὴ πολλαχῶς τὸ ἀκούσιον, ἐπεὶ καὶ βίᾳ καὶ δι' ἄγνοιαν.

Ὥσπερ οὐ λέγεται πολλαχῶς τὸ ζῷον, ἐπεὶ τὸ μέν ἐστιν αὐτοῦ λογικὸν τὸ δ' ἄλογον, ἀλλ' οὐδὲ ἡ κακία πολλαχῶς, ἐπεὶ ἡ μὲν καθ' ὑπερβολήν, ἡ δὲ κατὰ ἔνδειαν, οὕτως οὐδὲ τὸ ἀκού|σιον πολλαχῶς, ἐπεὶ τὸ μὲν αὐτοῦ βίᾳ, τὸ δὲ δι' ἄγνοιαν. μέρη γὰρ ἢ εἴδη τοῦ ἀκουσίου ταῦτα. 252 εἰ δὲ μὴ πολλαχῶς τὸ ἀκούσιον, οὐδ' ἂν ὁ τόπος ἔτι διὰ τοῦτο διαβάλλοιτο ὁ ἀξιῶν 'εἰ τὸ ἕτερον τῶν ἐναντίων πολλαχῶς, καὶ τὸ ἕτερον πολλαχῶς· οὐ πολλαχῶς δὲ τὸ ἑκούσιον τοῦ ἀκουσίου τοῦ ἐναντίου αὐτῷ πολλαχῶς λεγομένου'; οὐδὲ γὰρ ἡ κακία πολλαχῶς, ἐπεὶ ἡ μέν ἐστιν ἐν ὑπερβολῇ ἡ δὲ ἐν ἐνδείᾳ. γένος γάρ τι ἡ κακία ἐπὶ εἴδεσιν τῇ τε ὑπερβολῇ καὶ τῇ ἐνδείᾳ, καὶ ὥσπερ κακία μὲν ἑκατέρα, καὶ ἡ ἐν ὑπερβολῇ καὶ ἡ ἐν ἐνδείᾳ (οὐδὲ γὰρ οἷόν τε ἅμα τὸν κακὸν κατ' ἄμφω κακὸν εἶναι, οὐ μέντοι καὶ ἡ ἀρετὴ ἤδη διπλῇ ἑκατέρᾳ τῶν κακιῶν ἰδίᾳ τις ἀντικειμένη· οὐ γὰρ αὔταρκες πρὸς ἀρετὴν τὸ μὴ εἶναι ἐν ὑπερβολῇ, ἢ πάλιν τὸ μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ δεῖ, εἰ ἀρετὴ ἔσοιτο, ἐν μηδετέρῳ ἐκείνων εἶναι) οὕτως καὶ τὸ ἑκούσιον ἐν τῇ ἑκατέρου τῶν ἐν οἷς τῷ ἀκουσίῳ τὸ εἶναί ἐστιν ἀντιθέσει ἅμα τὸ εἶναι ἔχει. δεῖ γὰρ τὸν ἑκουσίως τι ποιοῦντα ἐν αὐτῷ

---

6 γὰρ χάριν B[2] coni. Sp. 7 αρετάσ V τ' ἔχειν coni. Sp. 9 ἄρα (in mg. m[1]) VB: ὁ γὰρ ἄνθρωπος GFS (S[2] in mg. ἄρα) MNL: ὁ ἄνθρωπος ἄρα a Sp. 11 οὐ — γίνονται] sententia aut manca (ἀρεταὶ ⟨χωρὶς⟩ Diels) aut delenda 12. 13 ἑκάστου ἀρετῶν] υ ἀρ in lit. V 21 οὐδὲ coni. Sp.: οὔτε libri 22 ἢ] ἡ V 24 post ὁ litura V 26 οὐδὲ Sp.: οὔτε libri 27 γένος] τινὸς a 29 ἐν Sa Sp.: ἐπὶ VB 30 ἡ om. a Sp. διπλῇ a Sp. ἑκατέρα corr. in ἑκατέραι v. c. V 31 ἢ add. v. c. V 32 δεῖ] δὴ a 34 δεῖ S[2]B (in lit.) a: διὰ VS[1] αὐτῷ V

τε τὴν ἀρχὴν ἔχειν τῶν πραττομένων καὶ ἔτι εἰδέναι τὰ καθ' ἕκαστα, ὧν τὸ μὲν τοῦ βίᾳ ἀναιρετικόν ἐστι, τὸ δὲ τοῦ δι' ἄγνοιαν. διὸ ἅμα ἀμφοτέροις τοῖς τοῦ ἀκουσίου μέρεσιν ἀντίκειται τὸ ἑκούσιον ἐκείνων μηδὲ συνυπάρχειν ἤδη δυναμένων. οὐ γὰρ οἷόν τε τὸν βίᾳ τι ποιοῦντα ἢ πάσχοντα καὶ ἀγνοοῦντα τὰ καθ' ἕκαστα ἁμαρτάνειν. οὐδὲν γὰρ | πρὸς τὸ ἀκουσίως 253 ποιεῖν τοὺς βιαζομένους ὑπό τινων συντελεῖ ἡ ἄγνοια ἢ γνῶσις τῶν καθέκαστα. οὐκ ἀναιρεῖται δὲ ὁ τόπος οὐδὲ ὑπὸ τοῦ τὸ μὲν φιλεῖν πολλαχῶς λέγεσθαι, τὸ δὲ μισεῖν ἐναντίον ὂν αὐτῷ μηκέτι λέγεσθαι πολλαχῶς. εἰ μὲν γὰρ ἦν τὸ μισεῖν παντὶ τῷ φιλεῖν ἐναντίον, καὶ μὴ πολλαχῶς ἐλέγετο, ἀνῃρεῖτο ἂν ὁ τόπος· εἰ δὲ τὸ μισεῖν μόνῳ ἐστὶν ἐναντίον τῷ φιλεῖν τῷ κατὰ διάθεσιν, οὐκέτι δὲ καὶ τῷ καταφιλεῖν, οὐ διαβάλλεται ὁ τόπος. τότε γὰρ διαβάλλοιτο ἄν, εἰ παντὶ τῷ σημαινομένῳ ὑπὸ τοῦ πολλαχῶς λεγομένου ὂν ἐναντίον τι μὴ εἴη καὶ αὐτὸ πολλαχῶς λεγόμενον. τῷ γὰρ λευκῷ πολλαχῶς λεγομένῳ τὸ μέλαν ἐναντίον ὂν πολλαχῶς λέγεται, ὅτι πᾶσι τοῖς σημαινομένοις ὑπὸ τοῦ λευκοῦ ἐναντίον ἐστίν· καὶ γὰρ τῷ ἐν χρώματι λευκῷ καὶ τῷ ἐν φωνῇ ἐναντίον τὸ μέλαν, ὡς εἴ γε μόνον ἦν τῷ ἑτέρῳ αὐτῶν ἐναντίον, οὐδ' αὐτὸ ἂν ἐλέγετο πολλαχῶς.

XII. Ἡ λέξις ἐκ τοῦ τρίτου τῶν Νικομαχείων.

"Ἔοικεν δὴ τὸ βίαιον εἶναι, οὗ ἔξωθεν ἡ ἀρχή, μηδὲν συμβαλλομένου τοῦ βιασθέντος".

Ὅτι τὸ ἐν ᾗ μηδὲν συμβάλλε|ται ὁ πράττων ἢ ὁ πάσχων 254 εἶπεν ἐν τοῖς ἔμπροσθεν ἀντὶ τοῦ ὁ βιασθείς, διὰ τοῦ νῦν εἰρημένου ἔδειξεν μεταλαβὼν καὶ μηκέτι εἰπὼν 'μηδὲν συμβαλλομένου τοῦ πράττοντος ἢ πάσχοντος', ἀλλὰ ἀντὶ τούτων εἰπὼν τοῦ βιασθέντος. ποτὲ μὲν πράττειν λέγομεν, ποτὲ δὲ πάσχειν· καὶ γὰρ 'βιασθεὶς ἔπραξεν' καὶ 'βίᾳ ἔπαθεν' λέγομεν. ἀρχὴν δ' ἂν λέγοι ἔξωθεν εἶναι ἐπὶ τῶν βιαζομένων τὴν ποιητικήν. ἡ μὲν γὰρ τελικὴ καὶ οὗ ἕνεκεν αἰτία οὖσα ἔξωθέν ἐστιν ἐπὶ πάντων τῶν πρασσομένων, εἴ γε πᾶς ὁ πράττων ἕνεκά του πράττει ὃ πράττει, ὅ ἐστιν ἐκτὸς αὐτοῦ. ἔτι τε οὐδ' ἂν εἴη ἐν τοῖς βίᾳ τι πράττουσιν ἢ πάσχουσιν ἡ ὡς τέλος αἰτία. οὐ γὰρ ὁ βιαζόμενος ὑπό τινος τέλος τι ἔχει προκείμενον αὐτῷ, οὗ χάριν ὑπὸ τοῦ βιαζομένου βιάζεται. τῷ μὲν γὰρ βιαζομένῳ τινὰ † καὶ τοῦτο πράττον ἢ τέλος τι πρόκειται, καὶ διὰ τοῦτο τοῦτον, ὃν βιάζεται, ⟨βιάζεται⟩, αὐτῷ δὲ οὐδέν. οἱ δὲ

---

2. 3 ἀμφοτέροις] ἀμφοτέρας a 7 ὑπὸ] ἐπὶ a Sp. 10 τῷ B²S²a Sp.: τοῦ VB¹S¹ 14 ὂν om. a Sp. 16 τῷ] τὸ a 18 titulum ea forma reddunt Vict. et Sp. qua exstat in tabula ἐκ τοῦ τρίτου] Eth. Nic. III, 1. 1110ᵇ15 21 ἐν ᾗ B²: in lit. Vict.?: ἓν ἢ VB¹a Sp. 22 ἐν τοῖς ἔμπροσθεν] Eth. Nic. III, 1. 1110ᵃ2 23 μεταβαλὼν „vir doctus in exemplo bibl. univ. Monac." Sp. 24. 25 μὲν γὰρ πράττειν a Sp. 25 λεγο|μεν (υ sive ου supra ν v. c.?) V 28 τοῦ sic V 29 πράττει ὃ B² Vict.? Sp.: πράττειν ὃ VFa αὐτοῦ V 30 ἢ ὡς a 31 αὐτῷ a Sp. 32 πράττον ἢ V: πράττοντι SB (ante τέλος rasura) a Sp.: fortasse καὶ ⟨τοῦ⟩ τοῦτο πράττειν τέλος 23 ὃν om. a Sp. βιάζεται addidi

πάσχοντες τὰ βίαιά εἰσιν, ὧν ἔξωθέν ἐστιν ἡ ἀρχὴ ἡ ποιητική, μηδὲν εἰς τὸ γινόμενον τοῦ πάσχοντος συμβαλλομένου τε καὶ συμπράττοντος, ὡς ἔδειξεν γινόμενον ἐπὶ τῶν πλεόντων, ὅταν ὑπὸ πνεύματός τινος ἐξωσθῶσιν. καὶ ὑπὸ τῶν κυρίων ὄντων καὶ ἀγόντων τοὺς ἡττημένους, ὅπῃ ἂν αὐτοῖς δοκῇ. οὐχ εἴ τις δὲ βιαζόμενος ὑπό τινος κινῆσαι | τι τῶν ὀργανικῶν 255 μορίων κίνησίν τινα, ἢ συντελεῖ πρὸς τὸ γινόμενον βίᾳ, οὗτος ἤδη συμβάλλοιτο ἂν [ἢ τοῦ] πρὸς τὸ γινόμενον βίᾳ (οὐ γὰρ εἰ ἀπωσθεὶς ὑπό τινος κινήσας τὰ σκέλη ἐμπέσοι τινὶ ἢ καταβάλοι τι, ἤδη ἂν λέγοιτο συντελεῖν πρὸς τὸ γινόμενον), ἀλλ' εἰ μὲν κατὰ τὴν οἰκείαν ὁρμὴν καὶ πρόθεσιν ποιήσαι τοῦτο, εἴη ἂν συντελῶν· εἰ δὲ κατὰ συνήθη τινὰ καὶ φυσικὴν μεταφορὰν τῶν σκελῶν κινηθείη, οὐκέτι. ὅπερ εἶπεν καὶ Ἀριστοτέλης διὰ τοῦ καὶ γὰρ ἡ ἀρχὴ τοῦ κινεῖν τὰ ὀργανικὰ μέρη ἐν ταῖς τοιαύταις πράξεσιν ἐν αὐτῷ ἐστιν. ὁ γὰρ ἐκ τῆς νεὼς τὰ φορτία ταῖς αὑτοῦ χερσὶν ἐκβάλλων εἰς τὴν θάλασσαν διὰ τὸν κίνδυνον, οὐχ ὅτι κινεῖ τὰς χεῖρας ἑκὼν ποιεῖ, ἀλλ' ὅτι προελόμενος τοῦτο ποιῆσαι, οὕτως αὐτὸ ποιεῖ, οὐκέτι ⟨δὲ⟩ οἱ δι' ἡδονῆς τι ποιοῦντες βίᾳ, ὅτι αὐτοὶ ποιοῦσιν ἃ ποιοῦσιν διὰ τὴν ἡδονήν, ἀλλ' οὐκ ἔξωθεν τὸ ποιοῦν ἔχουσιν· τὸ γὰρ ἡδὺ ὡς τέλος καὶ σκοπὸς αἴτιον, ἀλλ' οὐχ ὡς τὸ ποιοῦν.

XIII. Περὶ ἡδονῆς.

Ὅτι οἰκεία ἡ ἡδονὴ τῇ ἐνεργείᾳ, ἐφ' ᾗ γίνεται, καὶ οὐκ ἔστιν ἡ μὲν ἡδονὴ ὁμοειδὴς πᾶσα, | κατὰ τὸν ἀριθμὸν μόνον ἄλλη ἄλλης διαφέρουσα, 256 τὰ δὲ ποιητικὰ τῶν ἡδονῶν διαφέρει, ἀλλ' εἰσὶν καὶ αἱ ἡδοναὶ ὁμοίως ἀλλήλων διαφέρουσαι, ὥσπερ καὶ τὰ ποιητικὰ αὐτῶν, ἐναργῶς ἔδειξεν Ἀριστοτέλης διὰ τοῦ δεῖξαι τὰς οἰκείας ταῖς ἐνεργείαις ἡδονὰς συναυξούσας τὰς ἐνεργείας, ἐφ' αἷς γίνονται. ἡ γὰρ ἐπὶ τῷ γεωμετρεῖν ἡδονὴ συναύξει τὰς κατὰ γεωμετρίαν ἐνεργείας, καὶ ⟨ἡ⟩ ἐπὶ τῷ κιθαρίζειν τὰς κατὰ τὴν κιθαριστικήν, ὡς ἔχουσαι πρὸς αὐτὰς οἰκειότητα καὶ διαφέρουσαι ἀλλήλων κατὰ ταὐτὰ ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται. εἰ γὰρ ἦσαν αἱ ἡδοναὶ αἱ αὐταί, οὐκ ἂν ἥδε μὲν τάσδε, ἥδε δὲ τάσδε τὰς ἐνεργείας συνηῦξεν. οἷς μὲν γὰρ ἀθροίζειν χρήματα πρόκειται, δι' ὧν ἐνεργειῶν ἡγοῦνται δύνασθαι τοῦτ' αὐτοῖς περιγενέσθαι, ταύτας ἐνεργοῦσιν, καὶ δι' ὧν πλεῖον, μᾶλλον, ὡς ὄν-

---

3 ἔδειξεν] cf. l. c. 1110^{a}3 ὑπὸ] ὁ in lit. V 4 ὑπὸ] ἐπὶ Sp. 6 οὗτος a Sp.: οὕτως libri 7 ἢ τοῦ om. a Sp.: δι' αὐτοῦ Diels καταβάλοι Diels: καταβάλλοι libri 8 κηνήσας V 10 ποιήσαι Diels: ποιήσει a Sp.: ποιήσῃ V συνήθῆ sic V 11 εἶπεν] Nic. Eth. III, 1. 1110^{a}15 14 κινεῖ] ι in lit. V 16 δὲ add. B^2S^2a Sp. δι' ἡδονῆς] διὰ ἡδονὴν a Sp. 19 titulum ea forma qua exstat in tabula reddunt B^2 Vict. Sp. 21 κτὰ sic V 23 ἔδειξεν] Eth. Nic. X, 5. 1175^{a}20 sqq. 24 ἐφ' αἷς γίνονται add. ante ἡδονὰς FSa Sp. συναυξομένας FS^1 25 τὰς ἐνεργείας S^2B^2a Sp.: ταῖς ἐνεργείαις VB^1 26 ἡ addidi τὰς — (28) γίνονται om. S^1F 28 ταὐτὰ B Vict. Sp.: τ'αὐτὰ V: ταῦτα SFa ἐνεργείαις] ἡδοναῖς Vict. 31 περιγίνεσθαι a Sp.

τος τινὸς ἑνὸς καὶ τοῦ αὐτοῦ τῶν ἀδιαφόρων ἐνεργειῶν περιγινομένου. διὸ οἱ αὐτοὶ διὰ τῶν διαφόρων κτῶνται τὰ χρήματα, καὶ οὐδὲν μᾶλλον διὰ τῶνδε ἢ τῶνδε, ἅ ἐστι κτημάτων τε καὶ πλούτου περιποιητικά. ἐπὶ δὲ τῶν ἡδονῶν οὐχ οὕτως. οὐ γὰρ ὡς ἀπὸ πάντων τῶν ποιητικῶν ἡδονῆς τῆς αὐτῆς περιγινομένης ἡδονῆς, δι' ὧν μάλιστα γίνεται ταῦτα, ζητοῦσιν, ἀλλ' ὡς ἄλλων οὐσῶν τῶν ἐπὶ διαφόροις γινομένων ἐνεργείαις τὰς ἐπὶ ταῖσδε γινομένας | 257 αἱροῦνται, καὶ λυποῦνταί γε καὶ ἄχθονται ταῖς ἀπαγούσαις αὐτοὺς ἀπὸ τῶνδε τῶν ἐνεργειῶν ἐνεργείαις τε καὶ ἡδοναῖς, ὡς ἐμποδὼν γινομέναις ταῖς προκειμέναις αὐτοῖς ἡδοναῖς διὰ τοῦ τὰς ἐνεργείας ἐμποδίζειν, ἐφ' αἷς γίνονται. φθαρτικαὶ γὰρ ἀλλήλων, ὥσπερ ἐνέργειαι, ἐφ' αἷς ἡδοναί, οὕτως δὲ καὶ αἱ ἐπ' αὐταῖς ἡδοναί. καίτοι, εἰ ἦσαν ὁμοειδεῖς αἱ ἡδοναὶ πᾶσαι, καὶ τὰς ἐνεργείας ᾑρούμεθα τῶν ἡδονῶν χάριν, ἦσαν ⟨ἂν⟩ αἱρετώταται ἐνέργειαι αἱ μάλιστα ποιοῦσαι τὴν ἡδονήν. εἰ δ' οὐκ ἀπὸ τῆς γινομένης ἡδονῆς ἡ τῶν ἐνεργειῶν τῶν ποιητικῶν αὐτῶν κρίσις, ἔμπαλιν δὲ ἀπὸ τῶν ἐνεργειῶν τὰς ἡδονὰς κρίνομεν, οὔτ' ἂν διὰ τὰς ἡδονὰς αἱ ἐνέργειαι τὸ αἱρετὸν ἔχοιεν, οὔτε ὁμοειδεῖς ἂν εἶεν ἀλλήλαις. ἔτι δέ, εἰ ὃ ποιοῦμεν ἐφ' αἷς λυπούμεθα ἐνεργείαις (παυόμεθα γὰρ τοῦ ἐνεργεῖν αὐτάς), τοῦτο ποιοῦμεν εἰς αὐτάς, ὅταν ἡδώμεθά τισιν ἄλλαις ἐνεργείαις, δῆλον ὡς οἰκεῖαι ταῖς ἐνεργείαις αἱ γινόμεναι ἐπ' αὐταῖς ἡδοναί. ἔτι ⟨εἰ⟩ τοῖς μὲν σώφροσιν αἱ αἰσχραὶ ἐνέργειαι λύπην φέρουσιν, ἡδονὴν δὲ αἱ σωφρονικαί τε καὶ καλαί, τοῖς δὲ ἀκολάστοις ἔμπαλιν, οὐκ ἂν εἶεν αἱ ἀπὸ τῶν αἰσχρῶν ὁμοειδεῖς ταῖς ἀπὸ τῶν καλῶν. οὐχ ὅμοιον τὸ ἐπὶ τῶν χρημάτων· οὐ γὰρ τοῖς φρονίμοις τε καὶ σώφροσιν ἡ πορνοβοσκία πενίας αἰτία, τοῖς δὲ μο|258 χθηροῖς περιουσίας, ἀλλὰ καὶ τοῖς σώφροσιν τῆς αὐτῆς εὐπορίας ἂν αἰτία γίνοιτο, εἰ φέροιεν αὐτὰς ἐνεργεῖν. ἐπὶ γὰρ τῶν ἡδονῶν οὐ μόνον αἱ αἰσχραὶ ἐνέργειαι φευκταί, ἀλλὰ καὶ πρὸς τῷ μηδεμίαν αὐτοῖς ἡδονὴν φέρειν καὶ λύπης αὐτοῖς εἰσιν αἰτίαι.

XIV. Πῶς σωθήσεται τὸ εἶναί τι μεταξὺ ἡδονῆς καὶ λύπης.

Πῶς, εἰ ἡδονὴ ἐνέργειά ἐστι τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, ὡς εἴρηκεν ἐν τῷ ἑβδόμῳ τῶν Νικομαχείων, αἱ δὲ ἐμποδιζόμεναι λυπηραί, δυνήσεται χωρίζεσθαι τῆς ἡδονῆς ἡ ἀλυπία; ἐν ποίαις γὰρ ἐνεργείαις ἔσται; οὔτε

---

1 ἀδιαφόρων GFS[1]: ἀ̣διαφόρων sic V: διαφόρων B[2]S[2]a Sp.: διαφορῶν B[1]: fortasse αὐτοῦ τοῦ ἀπὸ τῶν διαφόρων 2 αὐτοί] οἱ in lit. V διαφορῶν V 3 ἢ] ἡ V περιποιητικά] ε in lit. V 7 γε] τε coni. Sp. 10 post ὥσπερ add. αἱ a Sp. 11 post αἷς add. αἱ a Sp. 13 ἂν add. Sp. αἱρετώτεραι GFS[1] ποιοῦσαι v. c. VS[2]Ba Sp.: ποιῆσαι V[1]: ποιήσασαι GFS[1] 14 αὐτῆς coni. Sp. 17 post ὃ paululum erasum V 20 εἰ add. a Sp. αἱ om. a Sp. 25 αἰτία γίνοιτο Sp.: αἴτιοι γίνοιντο libri φέροιεν Sa Sp.: φέροι| sic V[1]: εν in mg. add. v. c. V: φέροι B[1]GF: φέροι ἐν B[2] 26 τοῖς σώφροσι add. ante φευκταί B[2] 27 αἴτιαι a Sp. 29 ἐνέργειά i. e. ἐνεργεία V 30 ἐν τῷ ἑβδόμῳ] Eth. Nic. VII, 13. 1153a14 30. 31 δυνήσονται a 31 χωρίζεσθαι V Sp.: χωρήσεσθαι SFG Vict.: χωρήσεται a: χωρίσεται Vict.? ἐνεργείαις] ante αις 2 litt. erasae V

γὰρ ἐν ταῖς ἀνεμποδίστοις, οὔτε ἐν ταῖς ἃς ἐνεργοῦμεν ἐμποδιζόμενοι. ἡ δὲ αὐτὴ ἀπορία ἕπεται καὶ τοῖς εἰρημένοις περὶ ἡδονῆς αὐτῷ ἐν τῷ τελευταίῳ, δι' ὧν λέγει αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν· τοιοῦτον γὰρ μάλιστα εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια (αὐτὴν δὲ | λέγειν ἐνεργεῖν ἢ ἐν ᾧ ἐστι μηδὲν διαφερέτω), 259 καθ' ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια τοῦ ἄριστα διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑπ' αὐτήν. αὕτη δ' ἂν τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δ' ἡ τελειοτάτη, τελειοτάτη δ' ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑπ' αὐτήν. καὶ γὰρ ἐκ τούτων καὶ τῶν τούτοις ἐφεξῆς λεγομένων ἡ αὐτὴ ἀπορία συνίσταταί τε καὶ μένει. ἀλλὰ μὴν δοκεῖ αὐτοῖς μέση τις εἶναι κατάστασις ἡδονῆς τε καὶ λύπης. ἢ πρῶτον μέν, εἰ ἐν ταῖς ἐνεργείαις αἱ ἡδοναί τε καὶ λῦπαι ταῖς τῶν αἰσθήσεων καὶ ταῖς τῆς διανοίας τε καὶ θεωρίας, δῆλον ὡς ἐν ταῖς ἀνενεργησίαις ταῖς κατὰ ταῦτα ἐν οὐδετέρῳ τούτων ἐσόμεθα. ἔστιν δὲ ὅτε οὔτε κατὰ τὰς αἰσθήσεις οὔτε κατὰ θεωρίαν ἐνεργοῦμεν, ὡς ἔν τε τοῖς ὕπνοις καὶ ἐν ταῖς χωρὶς ὕπνων ἀναπαύσεσιν. ἔπειτα εἰ ἐν ταῖς βελτίσταις ἐνεργείαις τὸ ἥδιστον, βέλτισται δὲ ἐνέργειαι αἱ τῶν ἄριστα διακειμένων ἕξεων, ὅταν γίγνωνται περὶ τὰ κράτιστα τῶν ὑπ' αὐτάς, δῆλον ὡς εἰ μὴ οὕτως ἄμφω ἔχοι, οὐκέτ' ἂν ἥδισται γίνοιντο αἱ ἐνέργειαι. ὀλίγης μὲν οὖν παραβάσεως καὶ ἀνέσεως τοῦ ἐν ἑκατέρῳ κρατίστου γινομένης | ἔτι ἂν μένοιεν ἡδεῖαι, εἰ καὶ μὴ ἥδισται. 260 εἰ δ' ἔτι μᾶλλον ἀνεθεῖεν (δῆλον αἱ εἰς τὸ χωρὶς ἡδονῆς τε καὶ λύπης ἐνεργεῖσθαι· † αἰτίαι τοῦ χρησίμου χάριν γινόμεναι ὄψεις τε καὶ ἀκοαὶ καὶ ὀσφρήσεις καὶ ἁφαί, οἷον τοῦ φυλάξασθαί τι ἢ τοῦ γνωρίσαι), δῆλαί εἰσιν οὔτε τὸ λυπηρὸν ἔχουσαι οὔτε τὸ ἡδύ, εἰ αὐτὸς εἶπεν, ποῖαί εἰσιν ἐνέργειαι μέσαι, δι' ὧν προσέθηκεν, λέγων πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. οὐ γίνεται οὖν οὐδὲ ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ. ἔνια δὲ τέρπει καινὰ ὄντα, ὕστερον δὲ οὐχ ὁμοίως διὰ ταὐτό· τὸ μὲν γὰρ πρῶτον παρακέκληται ἡ διάνοια, καὶ διατεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ

---

2. 3 ἐν τῷ τελευταίῳ] Eth. Nic. X, 4. 1174^{b}14   3 δὲ καὶ a Sp.   5 post αἴσθησιν add. κειμένων Vict.   τοιοῦτον Vict.? B^2 Sp.: τοιούτων VBSa   6 ᾧ] ante ᾧ lit. 1 litt. V: in lit. B   7 ἑκάστην B^2 Sp.   8 ὑφ' αὐτὴν a Sp. ex Arist.   11 εὖ ἔχοντος B^2 Vict. Sp.: περιέχοντος VB^1Sa 11. 12 ὑφ' αὐτὴν a Sp. ex Arist. (ὑπ' αὐ. Arist. K^b)   14 ἡ a   μὲν εἰ] μένει a   15 τε καὶ ταῖς a Sp.   20 αἱ om. a Sp.   ἄρστα (ι supra) sic V   22 ἑκατέρῳ Fa Sp.: ἑκατέρου V   23 μη V   24 δῆλον αἱ εἰς VS^1B^1F: δ. ὡς εἰς B^2: δ. ὡς S^2a Sp.: fortasse δηλονότι εἰς   25 αἰτίαι VS^1BF: οἷαι αἱ B^2S^2a Sp.: fortasse αὗται δ' ⟨αἱ⟩   26 ἄφαι V   27 εἰ VS^1F: ὅς B^2a: ὡς S^2 Vict.? Sp.: εἴ γε Schwartz   post εἶπεν add. δηλῶν a Sp.   ἐνέργείαι sic V   28 λέγων] Eth. Nic. X, 10. 1175^{a}3   οὐδεῖς V   29 ἀνθρώπεια corr. ex ἀνθρώπια V   30 καινὰ B^2S^2a Sp.: κενὰ VB^1S^1F 32 διανοια V   31. 32 παρακέκλιται Sa: παρακέκλισται F

κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες, μετέπειτα δ' οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη, διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται. ἐν γὰρ ταῖς τοιαύταις ἀνέσεσίν τε καὶ ἠμελημέναις ἐνεργείαις καὶ ἀμαυρώσεσιν τῆς ἡδονῆς τὸ χωρὶς ἡδονῆς ἄλυπόν ἐστιν εὑρεῖν. ὅτι δέ τινων αἰσθανόμεθα οὔτε ἡδόμενοι οὔτε λυπούμενοι, λέγει καὶ ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς. περὶ γὰρ ὀσφρήσεως καὶ τῶν ὀσφρητῶν ἐν αὐτῷ λέγων εἶπεν· φαύ|λως 261 γὰρ ἄνθρωπος ὀσμᾶται καὶ οὐδενὸς αἰσθάνεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος. εἰ γὰρ φαύλως, διότι μόνων τῶν ἡδέων τε καὶ λυπηρῶν αἰσθάνεται, δῆλον ὡς ταῖς ἄλλαις αἰσθήσεσιν, αἷς οὐ φαύλως αἰσθανόμεθα, αἰσθανοίμεθ' ἂν καὶ οὔτε ἡδέων οὔτε λυπηρῶν. ἀλλ' εἰ καὶ τῶν στερήσεων τῶν αἰσθητῶν ἑκάστῃ αἰσθήσει τῶν οἰκείων αἰσθανόμεθα, δῆλον ὡς ἡ τούτων αἴσθησις οὔτε μεθ' ἡδονῆς οὔτε μετὰ λύπης γίνοιτο.

XV. Ὅτι ἡ ἀφροσύνη τούτων ἔσται ἄγνοια, ὧν ἡ φρόνησις ἐπιστήμη.

Εἰ ἡ φρόνησις ἐπιστήμη ἐστὶ ποιητέων τε καὶ οὐ ποιητέων, εἴη ἂν καὶ ἡ ἀφροσύνη ἄγνοια τῶν αὐτῶν, καὶ ἄφρονες οἱ τούτων τι ἀγνοοῦντες καὶ περὶ ταῦτα διεψευσμένοι. εἰ δὲ τοῦτο, οὐ πάντες οἱ ψευδόμενοί τι τῷ ἠπατῆσθαι ἄφρονες ἂν εἶεν. οὐ γὰρ πᾶσα γνῶσις ἢ ἀπάτη περὶ τῶν ποιητέων οὐ ποιητέων ἐστίν. οὔτε γὰρ ἡ περὶ τοῦ τὸν κόσμον εἶναι τοῦδέ τινος σχήματος γνῶσις ἢ ἀπάτη περὶ ποιητέων ἐστίν, οὔτε περὶ τοῦ γενητὸν ἢ ἀγένητον αὐτὸν εἶναι, ἢ πεπερασμένον ἢ ἄπειρον, ἢ ἕνα ἢ ἀπείρους, οὔτε τὸν τῶν ἄστρων ἀριθμὸν ἢ περιττὸν εἶναι ἢ ἄρτιον, οὔτε τὸ εἶναι τοῦ κόσμου τὸ μὲν ἄνω τὸ δὲ κάτω, οὐθ' ὅλως | τι τῶν εἰς γνῶσίν τε καὶ θεωρίαν συντελούντων μόνην. ἀλλ' εἰ ἔστιν ἡ περὶ ταῦτα ἐπιστήμη 262 ἄλλης ἀρετῆς, ἀλλ' οὐ φρονήσεως, ὁμοίως καὶ ἡ ἀπάτη περὶ αὐτὰ οὐκ ἀφροσύνη, ἀλλὰ κακία τις ἄλλη.

XVI. Πῶς εἰ ἡ λύπη κακὸν πᾶσα, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθόν.

Εἰ ἡ λύπη κακὸν πᾶσα, ἐναντίον δὲ τῇ λύπῃ ἡ ἡδονή, πῶς οὐχὶ καὶ αὐτὴ πᾶσα ἀγαθὸν ἢ πᾶσα κακόν, εἴ γε τῷ κακῷ τὸ ἐναντίον ἀνάγκη ἢ

---

1 ἐμβλέποντες B²S²a Sp.: ἐκβλέποντες VB¹S¹F γίνεται om. Arist. vulg. 2 ἐνέργεια] α s. v. V 3 τοιαύταις] ς in lit. V τοιαύταις — ἠμελημέναις om. a (ἀνέσεσι — ἠμελημέναις add. Vict., qui τοιαύταις delere videtur, quod om. Sp.) 4 τὸ] ὁ in lit. V: τοῦ Vict. 5 ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς] de an. II, 9. 421a10 17 ἡ om. a Sp. 20 τοῦ τὸν B² Vict.?: τοῦτον libri τοῦδέ] τοιοῦδέ a Sp. 21 περὶ] πρὸ a 23 ⟨τοῦ⟩ τὸν coni. Sp. τὸ] το V: τοῦ coni. Sp. 26 καὶ coni. Sp.: δὲ καὶ V: δὲ καὶ a ἀπατη V 27 ἀφροσύνης a Sp. κακίας τινος ἄλλης coni. Sp: 28 κακὸν πᾶσα] πᾶσα κακόν coni. Sp. item v. 30

ἀγαθὸν ἢ κακὸν εἶναι; ἢ εἰ μὲν μονοειδὴς ἦν πᾶσα ἡδονή, πᾶσα ἦν ἂν ἢ ἀγαθὸν ἢ κακόν, εἰ δὲ μὴ οὕτως ἔχει, ἀλλὰ συνδιαιρεῖται ταῖς ἐνεργείαις ἐφ' αἷς γίνεται (αἱ μὲν γὰρ ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινόμεναι ἀγαθαί, αἱ δὲ ἐπὶ ταῖς μοχθηραῖς κακαί, ὥσπερ καὶ αἱ ἐπιθυμίαι· καὶ γὰρ τῶν ἐπιθυμιῶν αἱ μὲν τῶν ἀγαθῶν ἀγαθαί, κακαὶ δὲ αἱ τῶν φαύλων), οὐδὲν κωλύσει τῇ λύπῃ οὔσῃ κακῷ ἐναντίας εἶναι τῶν ἡδονῶν τὰς μὲν ὡς ἀγαθάς, τὰς δὲ ὡς κακάς, τὰς μὲν κατὰ λόγον τε καὶ ἐπὶ τοῖς ἀγαθοῖς γινομένας ὡς ἀγαθάς, τὰς δὲ παρὰ τὸν ὀρθὸν γινομένας λόγον καὶ ἐπὶ τοῖς φαύλοις ὡς κακάς. ἦν γὰρ τῷ κακῷ τὸ ἐναντίον ἢ ἀγαθὸν ἢ κα|κόν, ὁ 263 δὲ πόνος οὐ πᾶς κακόν· ὁ γὰρ τῶν καλῶν χάριν γινόμενος αἱρετός. ἢ χρὴ ὁμοίως καὶ τὴν ἡδονὴν ἀγαθὸν λέγειν καὶ τὴν λύπην κακόν. καὶ γὰρ ἡδονὴν εἴποι ἄν τις πᾶσαν ἀγαθόν, ἀλλὰ τὴν μὲν καὶ ἁπλῶς καὶ τῇ οἰκείᾳ φύσει, ἥτις ἐστὶν ἡ τῶν σπουδαίων (τὰ γὰρ τοῖς σπουδαίοις ἀγαθὰ καὶ κακὰ καὶ τῇ αὑτῶν φύσει τοιαῦτα), τὴν δὲ τῷδε ἀγαθὸν τῷ οὕτως ἔχοντι, ἀλλ' οὐχ ἁπλῶς ἀγαθόν· τοιαῦται αἱ τῶν μοχθηρῶν ἡδοναί. ἐκείνοις γὰρ ἀγαθαὶ καὶ αἱρεταί, οὐχ ἁπλῶς. καὶ λῦπαι δὲ αἱ μὲν ἐπὶ τοῖς ὄντως κακοῖς γινόμεναι ἁπλῶς ἂν εἶεν κακαί, αἱ δ' ἐπὶ τοῖς μὴ τοιούτοις ἐκείνοις κακαί, οὐ μὴν καὶ ἁπλῶς ἔτι· ἔσται δέ ποτε καὶ ὁ ἀγαθὸς ἐν τούτῳ τῷ κακῷ, ὡς καὶ ἐν πενίᾳ καὶ νόσῳ· τὰ γὰρ ἐφ' οἷς ὁ σπουδαῖος λυπήσεται κακά.

XVII. Ὑπὸ τί τῶν ἀγαθῶν ἡ ἡδονὴ ἂν εἴη.

Ἐπεὶ τῶν ἀγαθῶν τὰ μὲν τίμια, τὰ δὲ ἐπαινετά, τὰ δὲ δυνάμεις, τὰ δὲ ὠφέλιμα, ἐζητήθη ὑπὸ τί τούτων χρὴ εἶναι τὴν ἡδονήν. εἰ μὲν πᾶσαι ἀγαθὸν καὶ πᾶσαι ὁμοειδεῖς αἱ ἡδοναί, περὶ πάσης τε χρὴ ζητεῖν καὶ ὑπὸ τί εἶεν τῶν ἀγαθῶν πᾶσαι, εἰ δὲ οὐ πᾶσαι ἀγαθόν, ἀλλ' ἑπόμεναι ταῖς αἱρεταῖς ἐνεργείαις (οὐ γάρ ἐστιν ἡ ἡδονὴ αὐτὴ καθ' αὑτήν, ἀλλ' ἐπί τινι ἐνεργείᾳ γίνεται, καὶ γίνεται κατ' οἰκειότητα τὴν | πρὸς τὴν ἐνέργειαν· οὐ 264 γάρ ἐστιν ἡ ἀπ' ἄλλης ἐνεργείας ἡδονὴ ἡ αὐτὴ τῇ ἀπ' ἄλλης· φθείρουσιν γοῦν πολλάκις αἱ ἀπ' ἄλλων ἐνεργειῶν ἡδοναὶ τὰς ἀπ' ἄλλων· ὁ γὰρ χαίρων τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ σφόδρα, κἂν τύχῃ τινὰ ἐνέργειαν ἡδέως ἐνεργῶν, ἀκούσας αὐλῶν καταλιπὼν τήν τε ἐνέργειαν τὴν ἐν ποσὶν καὶ τὴν ἡδονὴν τὴν ἐπ' αὐτῇ τῷ αὐλοῦντι προσέχει, ὡς τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ χαίρων ἄλλῃ οὔσῃ τῆς ἐπὶ τῶν πρὸ τοῦ ἐνεργουμένων), εἰ δὲ ἄλλαι ἐπ' ἄλλαις καὶ διαφερούσαις ἐνεργείαις γινόμεναι, καί εἰσιν οἰκεῖαι ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται, δῆλον ὡς συνδιαιροῖντο ἂν αὐταῖς, ὡς τῶν μὲν αἱρετῶν αἱρεταὶ εἶναι, φευκταὶ δὲ τῶν φευκτῶν. συνδιαιρούμεναι δὲ ἐκεί-

---

5 alt. αἱ om. a Sp. 7 ἀγαθάς] pars superior litt. θ in lit. V 10 χάριν] χα in lit. V 14 alt. καὶ om. a Sp. 16 δὲ V²B: δεῖ V¹: δὴ SFGa Sp. 18 ἔτι om. a Sp. 20 λυπήσεσθαι a 22 ἐπεὶ] εἰ in lit. V δυνάμεις SFa Sp.: δύναμις VB 23 ἢ εἰ Vict. 25 εἶεν ⟨ἂν⟩ Schwartz 29 γοῦν SFa Sp.: οὖν VB 33 δὲ] fortasse δὴ 34 ἐνέργειαις V 36 φευκτάς B²a δὲ om. a

ναις δῆλον ὡς καὶ ὑπὸ τὸ εἶδος τῶν ἀγαθῶν εἶεν ἂν ἐκεῖνο, ὑφ' ὃ καὶ αἱ ἐνέργειαι αἷς εἰσιν οἰκεῖαι. εἰ μὲν γὰρ εἶεν αἱ ἐνέργειαι τῶν ἐπαινετῶν, ὧν εἰσιν αἱ κατ' ἀρετήν, ἔσονται καὶ αὗται τοιαῦται, εἰ δὲ τῶν ὡς δυνάμεων εἶεν ἀγαθῶν, ὁποῖαί εἰσιν αἱ περὶ τροφήν τε καὶ τὰ ἀφροδίσια, καὶ αὗται ἐν ταύτῃ τῇ χώρᾳ τῶν ἀγαθῶν ἔσονται.

XVIII. Διὰ τί φορτικωτάτους εἶπεν τοὺς ἐν ἡδονῇ τὸ τέλος τιθεμένους ἐν τῷ πρώτῳ τῶν Ἠθικῶν Νικομαχείων.

Ἢ διότι τὴν εὐδαιμονίαν ἐν ταῖς σωματικαῖς | ἀπολαύσεσι τίθενται, 265 ἐν αἷς καὶ τὰ ἀνδράποδα καὶ τὰ βοσκήματα, εἰσὶ φορτικοί, ⟨ἢ⟩ διότι καθ' οὓς ἡ μόνη ἡδονὴ αἱρετὴ καὶ ὁ πόνος δι' αὑτὸν φευκτός, οὔτε τὸ καλὸν δι' αὑτὸ αἱρετὸν οὔτε τὸ αἰσχρὸν δι' αὑτὸ φευκτόν. ἔτι εἰ μόνον ἡ ἡδονὴ αἱρετή, ⟨αἱρετὰ⟩ πάντα τὰ ἡδονῆς ποιητικά, ὥστε ἔσται καὶ ἐκεῖνα ἀγαθά· καὶ εἰ τὰ πόνου ποιητικὰ φευκτά, ἔστι δέ ποτε καλὰ πόνου ποιητικά, ἔσται καλά τινα φευκτά, ὁποῖαί εἰσιν καὶ αἱ κατ' ἀνδρίαν ἐνέργειαι. ἔτι καθ' οὓς μηδὲν τῇ αὑτοῦ φύσει καλόν ἐστιν μηδὲ αἰσχρόν, φαίνεται δέ τινα τοιαῦτα διὰ τὰς προλήψεις τὰς τῶν ἀνθρώπων, δι' ἃς οὐκ ὂν τῇ ἑαυτοῦ φύσει ⟨αἰσχρὸν⟩ τὸ αἰσχρὸν ὡς κακὸν φυλασσόμεθα, εἴημεν ἂν ζημιούμενοι εἰς τὰς ἡδονὰς τὰ μέγιστα τῷ φυλασσόμενοι τὸ αἰσχρὸν ἀπέχεσθαι αὐτῶν, ὃ οὐδὲ ἓν τῶν ἀλόγων ποιεῖ, ὥστε εἴη ἂν ἡμῖν πρὸς κακοῦ τὸ λογικοῖς εἶναι. τὸ δὲ λέγειν, ὅτι μηδ' αὐτοὶ τὰς αἰσχρὰς ἡδονὰς ἀξιοῦμεν αἱρεῖσθαι, εἰ μὲν οὕτως καὶ διὰ τοῦτο λέγοιεν, διότι τὸ αἰσχρὸν δι' αὑτὸ φευκτόν ἐστι, καλῶς μὲν ἂν λέγοιεν, οὐκέτι μέντοι φυλάσσοιεν ⟨ἂν⟩ τὸ μόνον τὸν πόνον εἶναι φευκτὸν δι' αὑτόν, εἰ δὲ μὴ διὰ τὸ αἰσχρὸν αὐτό, ἀλλ' ὅτι ἐπὶ τοῖς τοιούτοις [αἱ] ζημίαι τινὲς ὑπὸ τῶν νομοθετῶν ὁρίζονται, εἰ μὲν καλῶς, εἶεν ἂν τῇ αὑτῶν πάλιν φύσει τὰ αἰσχρὰ κακά, εἰ δὲ μὴ κα-|λῶς, τοῦτ' ἐστὶ τὸ λέγειν ζημίαν εἶναι τοῖς ἀνθρώποις τὸ λογικοῖς εἶναι, 266 εἴ γε διὰ τὸν λόγον τὰ μὴ κακὰ κακὰ ὑπολαμβάνοντες ἀποστεροῦνται δι' αὐτὰ τῶν ὡς ἀληθῶς ἀγαθῶν. τὸ δὲ λέγειν πᾶν ὃ αἱρούμεθα ὡς ἡδὺ ἡμᾶς αἱρεῖσθαι, καὶ τούτῳ χρῆσθαι εἰς πίστιν τοῦ τὴν ἡδονὴν εἶναι τὸ μέγιστον ἀγαθόν, οὐκ ἀληθές, εἴ γε αἱρούμεθα ἕκαστον ὧν αἱρούμεθα ἢ ὡς καλὸν ἢ ὡς συμφέρον ἢ ὡς ἡδύ. τὸ δὲ λέγειν καὶ τὸ συμφέρον ἡδὺ

---

2 οικεῖαι V 3 αὗται a Sp. 4 τὰ om. a Sp. 5 αὗται a Sp. 7 ἐν τῷ πρώτῳ] Eth. Nic. I, 3. 1095 b 16 8 titulum iterat B ante ἢ διά τι a 9 ⟨ἢ⟩ διότι scripsi 10 ἡδονὴ μόνη B^2 αὑτὸν V^2Sa Sp.: αὐτὸν V^1: αὐτῶν G 11 αὑτὸ V^2 Sp.: αὐτὸ V^1: αὐτὸν Sa αὐτὸ V μόνον] μόνη a Sp. 12 αἱρετὸν GFS^1 αἱρετὰ addidi: καὶ add. V^2?BSGFa Sp. ἔσται coll. post ἐκεῖνα GSFa Sp. 14 ἀνδρίαν sic V 17 αἰσχρὸν addidi: post τὸ αἰσχρὸν add. S^2B^2a Sp. εἴη μὲν a κακὸν S^2B^2a Sp.: καλὸν V 18 φυλασσόμενοι B^2S^2a Sp.: φυλασσομένῳ V 19 οὐδὲ V ἂν om. a Sp. 21 αὐτὸ V^1 22 ἂν addidi 23. 24 ἄλλοτι V 24 αἱ del. (sive corr. in εἰ) V^2 25 εἴη coni. Sp. 26 τουτ' V^1 27 γε in ras. BSFG a Sp.: δὲ V 28 αὐτὰς a Sp. 31 καλὸν ἢ] ν ἢ in lit. V

εἶναι ψεῦδος. πολλάκις γὰρ φανερῶς αὐτὸ ὂν ἀηδὲς αἱρούμεθα, καὶ εἰ συμβέβηκεν δὲ καὶ τῷ καλῷ, ᾗ καλόν ἐστι, καὶ ἡδεῖ εἶναι, ἀλλ' οὐ διότι ἡδὺ αὐτὸ αἱρεῖται. τὸ γοῦν αἰσχρὸν πολλάκις ὂν ἡδὺ ἀποστρεφόμεθα καὶ φεύγομεν. εἰ δὲ τοῦτο διὰ τὸ αἰσχρὸν φεύγομεν, καὶ αἱροίμεθα ἂν διὰ τὸ καλὸν τὸ ἡδύ. ἀλλὰ καὶ τὸ λέγειν μηδὲν εἶναι τῇ αὑτοῦ φύσει καλὸν μηδὲ αἰσχρόν, ἀλλὰ πρὸς ἰδίας προλήψεις λέγεσθαι ταῦτα, καὶ ἀπαιτεῖν διὰ λόγου τινὸς δειχθῆναι τὸ καλὸν αὐτοῖς, ὅμοιον τῷ ἀπαιτεῖν λόγον τοῦ εἶναί τι λευκόν. οὐδὲν γὰρ τῶν ἐναργῶν τῇ αὑτῶν φύσει δεῖται τῆς ἐκ τῶν λόγων πίστεως, ἐναργὲς δὲ πᾶσιν τοῖς μὴ πεπηρωμένοις τὸ ὄμμα τοῦτο τῆς ψυχῆς, ᾧ ταῦτα γνωρίζεται, τὸ εἶναί τι καλὸν καὶ αἰσχρόν. ὅτι δὲ ἐκ φύσεως ἡμῖν τὸ γνωρίζειν τά τε αἰσχρὰ καὶ τὰ καλά, δῆλον τῷ ἐπὶ τοῖς αἰσχροῖς οὐ γινο|μένοις μόνον, ἀλλὰ καὶ λεγομένοις ἐρυθαίνεσθαι ὥς 267 τι πάσχοντας, καὶ τοῦτο ἔστιν ἰδεῖν καὶ ἐν τοῖς μικροῖς ἔτι γινόμενον παιδίοις. καὶ γὰρ ταῦτα ἐρυθριᾷ πολλάκις ὡς ἐπὶ αἰσχροῖς τισίν.

XIX. Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί.

Τὰ ὁμοειδῆ ἀλλήλοις οὐκ ἔστιν ἀλλήλων φθαρτικά. οὔτε γὰρ λευκὸν ὑπὸ λευκοῦ καθὸ λευκὸν φθείρεται, οὔτε μέλαν ὑπὸ μέλανος, οὔτε θερμὸν ὑπὸ θερμοῦ, ἡδονὴ δὲ ὑπὸ ἡδονῆς ἐστι φθαρτική. αἱ γοῦν ἀπὸ τῶν σφόδρα σπουδαζομένων ἡδοναὶ φθείρουσι τὰς ἀπὸ τῶν σπουδαζομένων ἔλαττον. ἐν γοῦν τοῖς θεάτροις ἡ ἀπὸ τοῦ ἀκούειν τινὸς κωμῳδοῦντος καλῶς φθείρει τὴν ἀπὸ τοῦ τραγηματίζειν. εἰ δέ, ὃ ἡ ἐναντία λύπη ποιεῖ τῇ ἡδονῇ, τοῦτο ποιεῖ ἡ ἀπό τινος ἄλλου ἡδονή, οὐκ ἂν εἴη ὁμοειδὴς αὕτη, ὡς τῷ ἀριθμῷ διαφέρειν μόνον. ἔτι ⟨εἰ⟩ αἱ ἡδοναὶ οἰκεῖαι ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται, τέλη οὖσαι αὐτῶν τῶν κατ' εἶδος διαφερουσῶν ἀλλήλων ἐνεργειῶν, εἶεν ἂν καὶ αἱ ἡδοναὶ ἕτεραι τῷ εἴδει ἀλλήλων. ἔτι εἰ τὴν τοῦ ἀκολάστου ἡδονὴν μὴ οἷόν τε ἡσθῆναι τὸν σώφρονα, μηδὲ τὴν τοῦ σώφρονος τὸν ἀκόλαστον, οὐκ ἂν εἶεν ὁμοειδεῖς ἀλλήλαις αἱ ἡδοναὶ πᾶσαι. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον. |

XX. Ὅτι μὴ χρὴ πανταχοῦ τὸ χρήσιμον ζητεῖν. 268

Ὁ ἐν πάσῃ πράξει καὶ παντὶ μαθήματι τὸ χρήσιμον ἀπαιτῶν καὶ μηδὲν ἀξιῶν μανθάνειν ἢ ποιεῖν, ὃ μὴ ἔστι χρήσιμον, οὗτος ἀναιρεῖ τὸ

---

2 ᾗ SFa Sp.: εἰ VB   3 αισχρὸν V   5 post ἡδὺ add. ὃ a   8 αὑτῶν V: αὐτοῦ B[1]: αὑτοῦ B[2]a Sp.: ἑαυτοῦ S[2]   10 ᾧ Vict.? Sp.: ὡς libri   δὲ om. a   11 τῷ Vict.? Sp.: τὸ libri   12 ἐρυθαίνεσθαι V[2]GSFB: ἐρυθένεσθαι V[1]: ἐρυθραίνεσθαι a Sp.   13 γινόμενον ἔτι a Sp.   19 τῶν ἧττον σπ. Vict.?   20 κωμωδοῦντος V   21 τραγηματίζειν] μα in lit. V   ὃ ἡ Diels: δὴ VS[1]B[1]GF: δὴ ὅπερ S[2]B[2]a Sp.   λύπει V[1] (corr. V[2])   23 αὕτη V: αὐτὴ a Sp.: αὐτῆς SF   ἔτι in lit. V   εἰ add. Schwartz   25 εἶεν οὖν ἂν V[2]B Vict. Sp.   26 ἀκολάστου] κ in lit. V   ἠσθῆναι V[1] (corr. V[2])   30 χρήσιμον] σι add. V[2]   31 ἡ V   ἀναιρεῖ τὸ] ἀναιρεῖτο V

εἶναί τι δι' αὑτὸ ἀγαθόν τε καὶ αἱρετόν, εἴ γε τὸ μὲν χρήσιμον ἄλλου τινὸς χάριν γίγνεται, πρὸς ὃ χρήσιμόν ἐστι, τὸ ⟨δὲ⟩ ἄλλου τινὸς γινόμενον χάριν παρ' ἐκείνου τὸ αἱρετὸν ἔχον ἔχοι ἂν παρ' ἐκείνου καὶ τὸ ἀγαθὸν εἶναι, πᾶν δὲ χρήσιμόν ἐστι τὸ ἀγαθοῦ τινος ποιητικὸν καὶ γινόμενον, διότι ἐκείνου ἐστὶ ποιητικόν. ἀλλ' εἰ τὸ δι' αὑτὸ ἀγαθόν τε καὶ αἱρετὸν μᾶλλον ἀγαθὸν τοῦ παρ' ἄλλου τὸ ἀγαθὸν ἔχοντος, ὁ τὸ χρήσιμον ἐν πᾶσιν ἀπαιτῶν ἀναιρεῖ τὸ εἶναί τι ἀγαθὸν κυρίως τε καὶ καθ' αὑτό. ἔτι ὁ τὸ χρήσιμον μόνον ἀγαθὸν εἶναι λέγων καὶ αἱρετὸν ἀναιρεῖ τὸ εἶναί τι χρήσιμον. εἰ γὰρ τὸ χρήσιμον ὡς ἀγαθοῦ ποιητικόν ἐστιν αἱρετὸν καὶ τὸ εἶναι ἀγαθὸν ἔχει παρὰ τοῦ γινομένου πρὸς αὐτοῦ, μηδὲν δέ ἐστι τοιοῦτο καθ' οὓς μόνον αἱρετόν ἐστιν τὸ χρήσιμον * * * ἀναιρουμένου τοῦ δι' ὃ γινόμενον ὑπ' αὐτοῦ τὸ χρήσιμον τὸ αἱρετὸν ἔχει. εἰ γὰρ εἴη τὸ χρήσιμον χρήσιμον, διότι χρησίμου τινός ἐστιν ἀγαθοῦ ποιητικόν, ἔσται πᾶν τὸ ὑπὸ τοῦ χρησίμου γινόμενον χρήσιμον, ὃ τῷ | εἶναι χρήσιμον ἐπ' ἄλλο πάλιν 269 ἕξει τὴν ἀναφοράν. οὕτως δὲ ἐπ' ἄπειρον προελεύσεται, ἀεὶ μὲν τοῦ χρησίμου, διότι ποιεῖ τι, ὄντος χρησίμου, παντὸς δὲ τοῦ ὑπὸ τοῦ χρησίμου γινομένου ὄντος καὶ αὐτοῦ χρησίμου. τούτου δ' οὕτως ἔχοντος οὐδ' ἂν τὸ χρήσιμον ἔτι μένοι χρήσιμον, οὐκ ὄντος ἐσχάτου τινός, ὃ τῷ δι' αὑτὸ αἱρετόν τε καὶ ἀγαθὸν εἶναι καὶ τοῖς εἰς αὐτὸ συντελοῦσιν καὶ οὖσι πρὸς αὐτὸ χρησίμοις τὸ εἶναι τοῖς τοιούτοις παρεῖχεν. ὡς γὰρ μὴ ὄντος αἱρετοῦ τοῦ γινομένου οὐδὲ τὸ πρὸς τοῦτο χρήσιμον ἔχοι ἂν ⟨τὸ⟩ αἱρετόν, οὕτως οὐδὲ τῶν πρὸς χρήσιμόν τι χρησίμων ἔχοι ἂν τὸ αἱρετὸν τῷ μηδὲν τῶν γινομένων ὑπ' αὐτῶν αἱρετὸν εἶναι δι' αὑτό. εἰ δὴ ἄτοπον τὸ ἀναιρεῖν τό γε εἶναί τι ἀγαθόν (ἀναιρεῖται γὰρ κατὰ τοὺς λέγοντας μόνον δεῖν σπουδάζεσθαι τὸ χρήσιμον, ὡς δέδεικται), ἄτοπον δὲ καὶ τὸ λέγειν μηδὲν εἶναι χρήσιμον, ὃ καὶ αὐτὸ ἀναιροῦσιν οἱ τὸ χρήσιμον μόνον σπουδάζεσθαι λέγοντες, ἄτοπος ἂν ἥδε ἡ δόξα εἴη. πρὸς δὲ τούτοις εἰ τὰ μὲν χρήσιμα ἡμῖν συναίρεται πρὸς τὰς ἐνδείας τε καὶ ἐνοχλήσεις καὶ περιστάσεις τὰς κατὰ τὸν βίον, τέλος δὲ οὐ τὸ ⟨μὴ⟩ ἐνοχλεῖσθαι, ἀλλὰ τὸ μηδὲν ἐνοχλουμένους ἐνεργεῖν τινας ἐνεργείας, αἱ οἰκεῖαί τε τοῖς ἀνθρώποις καὶ ἐλευθέρων ἐνέργειαι * * *. ἀνδραπόδων γὰρ τὸ πάντα ποιήσαντας πρὸς τὸ | μὴ 270

---

1 αὐτὸ V 2 δὲ add. V^2BS^2a Sp. 4 πᾶν δὲ V^2BS^2a Sp.: ἐᾶσαι V^1FS^1: ὥστε G 5 ποιητικόν] ό in lit. V 7 τι] ι in lit. V 9 αγαθοῦ (θ in lit.) V^1 10 αυτοῦ V 11 οὓς B^2Sa Sp.: ὃ VB^1F Vict. post μόνον add. τὸ χρήσιμον Vict. Sp. τὸ V^1GF: οὐκ ἔσται τὸ V^2BSa Sp.: fortasse τὸ χρήσιμον, ⟨ἀναιρεθήσεται τὸ χρήσιμον⟩ ἀναιρουμένου 12 ὑπ'] ἐπ' a post ἔχει add. ἀναιρεῖται τὸ χρήσιμον GF 13 χρήσιμον in lit. V διότι χρησίμου] διότι χρη in mg. V^1 ⟨ὡς⟩ ἀγαθοῦ Schwartz 14 ὃ V^2 corr. ex ὁ 17 χρησιμου V 18 ὅτῳ V 20 τοῖς om. SFa 21 τοῦτο] τούτου a Sp. ἔχοι ἂν τὸ scripsi: ἔχοι ἂν VFS^1B^1: ἂν τὸ S^2a: ἂν τὸ (εἴη, quod ante ἂν scripserat, del.) B^2: ἂν εἴη τὸ coni. Sp. 22 οὐδὲ VS^1B^1F: οὐδὲν S^2B^2a fortasse recte: δὲ οὐδὲν Vict. Sp. 23 δὴ] δὲ Vict. Sp. 24 τό γε] τὸ vel τότε coni. Sp. 27 εἰ om. F del. Sp. „nisi apodosis excidit“ 28 συναίρεται V^2B Vict. Sp.: συναναιρεῖται VFGa 29 τὸ ⟨μὴ⟩ F Sp.: τὸ VBSa 30 ἐνεργείας] α in lit. V 31 lacunam indicavi πάντα] τα add. V^2

ἐνοχλεῖσθαι ἐν παιδιᾷ τοῦ λοιποῦ καταζῆν μηδεμίαν ἐνέργειαν σπουδῆς ἀξίαν ἐνεργοῦντας. ὡς γὰρ ἄτοπον τὰς τῶν θεῶν ἐνεργείας ἢ πρὸς τὸ χρήσιμον αὐτοῖς γίνεσθαι λέγειν τοῖς μηδενὸς τοιούτου δεομένοις, ἀλλὰ ἔξω πάσης ἐνδείας καὶ παντὸς πάθους οὖσιν, ἢ ἐν παιδιᾷ τὸ τέλος αὐτοῖς τίθεσθαι, οὕτως ἄτοπον καὶ τὸ τοῖς ἀνθρώποις λέγειν τέλος εἶναι τῶν σπουδαίων ἐνεργειῶν καὶ παντὸς τοῦ βίου παιδιάν. καὶ γὰρ εἰ πάντες τῶν ἄλλων ἁπάντων ζῴων διαφέρομεν τῷ ἐπιστήμης τε εἶναι δεκτικοὶ καὶ αἴσθησιν ἀληθείας ἔχειν, δῆλον ὡς καὶ τὸ τέλος ἂν ἡμῖν εἴη ἐν ταῖς κατ' αὐτὰ ἐνεργείαις ταῖς γινομέναις καθ' ὅ ἐσμεν ἄνθρωποι, ἐσμὲν δὲ ἄνθρωποι μάλιστα, καθ' ἃ διαφέρομεν τῶν ἄλλων ζῴων ἁπάντων, ταῦτα δ' ἦν ἐπιστήμη τε καὶ ἀλήθεια, ⟨ἃ⟩ οὔτε ἐν παιδιᾷ κεῖται, οὔτε ἐν τοῖς διὰ τὸ χρήσιμον αἱρετοῖς.

XXI. Περὶ αἰδοῦς.

Εἴρηκεν μὲν καὶ ἐν τῷ δευτέρῳ τῶν Νικομαχείων, ὅτι πάθος ἐστίν, ἀλλ' οὐχ ἕξις οὐδὲ ἀρετή, λέγει δὲ καὶ ἐν τῷ τετάρτῳ, καὶ δεικνυσίν γε ὅτι πάθος διά τε τοῦ ὁρισμοῦ τῆς αἰδοῦς καὶ διὰ τῶν τοῖς αἰδουμένοις συμβαινόντων. ἀλλ' ἐκεῖ μὲν ἐπαινετὸν | αὐτὸ πάθος εἶπεν, ἐνταῦθα δὲ τοῖς μὲν νέοις 271 φησὶν εἶναι αἱρετὸν αὐτό, διότι τῆς ἡλικίας ἐχούσης εὐεμπτώτως πρὸς τὰ ἁμαρτήματα ἡ αἰδὼς πολλοῖς αὐτῶν ἐμποδὼν γίνεται, τοῖς δὲ κατὰ τὴν ἡλικίαν προβεβηκόσιν ἀλλότριόν φησιν αὐτὸ λοιπὸν εἶναι τῷ εἶναι μὲν δὴ τὴν αἰδῶ φόβον ἀδοξίας, τὸν δὲ φόβον τῆς ἀδοξίας ἢ ἐπὶ γεγονόσιν αἰσχροῖς ἢ ἐπὶ μέλλουσιν γίνεσθαι ἢ ἐπὶ δοκοῦσιν, ὧν οὐκέτι οἱ προβεβηκότες κατὰ τὴν ἡλικίαν καὶ τὰς ἀρετὰς ἔχοντες πρακτικοί. ῥᾴδιον γὰρ αὐτοῖς φυλάττεσθαι καὶ ὅσα οὐκ ἔστι μὲν αἰσχρά, δοκεῖ δὲ γίνεσθαι καὶ αὐτὰ ἀδοξίας αἴτια. ἄξιον δὴ περὶ τούτου διαλαβεῖν καὶ μάλιστα, ἐπεὶ σύνισμεν αὐτοῖς ἤδη ταύτην ⟨τὴν⟩ ἡλικίαν γεγονόσιν αἰδουμένοις πολλὰ καὶ πολλάκις. εἰ μὲν οὖν ἦν λεγόμενον τὸ δεῖν καταφρονεῖν τῆς ἀδοξίας, οὐκ ἂν ἡμῖν ἔδει λόγων. ἐπεὶ δ' οὐ τοῦτ' ἐστὶν τὸ λεγόμενον, ἀλλὰ κεῖται μὲν ὅτι δεῖ φυλάττεσθαι τὴν ἀδοξίαν, εἴ γε ἡ δόξα καὶ τιμὴ μέγιστον τῶν ἐκτὸς ἀγαθῶν, λέγεται δὲ ὅτι μηκέτι ἐν ἀδοξίᾳ γίνονται οἱ μήτε ποιοῦντές τι αἰσχρὸν μήτε ποιήσαντες, λέγοιμεν ἄν τι πρὸς τὰ εἰρημένα, ἐφ' οἷς σύνισμεν αὐτοῖς αἰδουμένοις. οὐ γὰρ ἔοικεν ἡ ἀδοξία ἐπὶ τοῖς πραττο-

---

1 παιδιᾷ Vict.?: παιδείᾳ libri item v. 6. 17 καταζῆν scripsi: κατὰ τὴν VB[1]S[1]: ⟨εἶναι⟩ κατὰ S[2]B[2]a Sp. σπουδῆς] ς in lit. V 6 παιδιάν Vict.?: παιδείαν libri 7 τε Sp.: γε libri, quod S[1]F coll. ante ἐπιστήμης 8 εἴη ἡμῖν a Sp. 11 ⟨ἃ⟩ οὔτε B[2] Sp.: οὔτε VS[2]B Vict.: οὔτε ἃ S[1]a ἐν τοῖς om. a 13 περὶ αἰδοῦς in lit. V 14 ἐν τῷ δευτέρῳ] Eth. Nic. II, 7. 1108a30 15 ἐν τῷ τετάρτῳ] Eth. Nic. IV, 15. 1128b10 19 αἰδὼς] ante ς una lit. erasa V 20 λοιπὸν αὐτό φησιν εἶναι a Sp. δὴ V[2]: διὰ V[1]a: om. B[3] Vict. Sp. 26 συνίσμεν V[1] (et v. 32) αὐτοῖσ V τὴν add. Sp. αἰδομένοις a Sp. 32 αὐτοῖς V[2]B[2]: αὐτεῖς VFB[1]: αὐτοῖς αὐτοῖς a: αὐτοὶ αὐτοῖς Vict.? Sp.

μένοις μὴ καλῶς γίνεσθαι μόνοις, ἀλλὰ καὶ τοῖς ὑποπτευομένοις καὶ τοῖς
διαβληθῆναι δυναμένοις, ἃ μάλιστα ἰσχύει παρὰ | τοῖς ἀγνοοῦσιν. εἰ δὲ 272
γίνεταί τις καὶ ἐπὶ τοῖς τοιούτοις ἀδοξία, οὐκ ἀποκέκλεισται ὁ μηδὲν αἰ-
σχρὸν ποιήσας τοῦ ἐν ἀδοξίᾳ δύνασθαι γενέσθαι. ἣν ἀδοξίαν εἰ δεῖ φοβεῖ-
σθαι, ἣ οὐδὲν ἔλαττον ἐκ διαβολῶν ἢ ἐκ πράξεων γίνεται [ὁ δὲ τῆς ἀδο-
ξίας φόβος αἰδώς], οὐκ ἀλλότριον τοῦτο ⟨τὸ⟩ πάθος οὐδὲ τῶν ἐπιεικῶν εἴη
ἂν καὶ κατὰ τὴν ἡλικίαν προβεβηκότων, οὐδὲ κατ' αὐτόν, εἴ γε δεῖ μὲν
φυλάττεσθαι καὶ φοβεῖσθαι τὴν ἀδοξίαν, τοῦτο δ' ἐστιν αἰδώς. ἔτι τοῖς
καλῶς τε καὶ σεμνῶς βιοῦσιν τῷ πάντα αἰσχρὰ † πάντα διαβεβλῆσθαι μεί-
ζων ὁ τῆς ἐπ' αὐτοῖς ἀδοξίας φόβος, καὶ μειζόνως αὐτὸν φυλάττονται, διὸ
καὶ συμβέβηκεν τούτοις αἰδεῖσθαι μάλιστα, οἷς σφόδρα ἐστὶ τὰ αἰσχρὰ μι-
σητά. ἡ γὰρ αἰδὼς οὐκ ἔοικεν ἁπλῶς εἶναι φόβος ἀδοξίας, ἀλλὰ πολὺ
πρότερον ἀλλοτριότης πρὸς τὰ αἰσχρά, δι' ἣν οἱ οὕτως ἔχοντες φοβοῦνται
τὴν ἐπ' αὐτοῖς ἀδοξίαν. εἰ δ' ἐστὶν τοιοῦτον ἡ αἰδώς, οὐκέτ' ἂν οὐδὲ
πάθος ἁπλῶς εἴη, ἀλλ' ἕξις τις καὶ διάθεσις, ᾗ τὸ προειρημένον ἕπεται
πάθος. τῶν γοῦν κατὰ τὴν ἡλικίαν προβεβηκότων τοὺς μὲν οὐ φυλασσο-
μένους τὰ αἰσχρὰ οὐδ' ὅλως ἂν ἴδοι τις αἰδουμένους· διὰ γὰρ συνήθειαν
τῶν πραττομένων αὐτοῖς καταπεφρονήκασιν τῆς ἐπ' αὐτοῖς ἀδοξίας. οἱ δὲ
καθαρεύοντες ἀπὸ τῶν τοιούτων μᾶλλον αἰδοῦνται τότε, ὅσῳ | πεπείκασιν 273
καὶ αὑτοὺς αἰσχρότερον εἶναι τοῖς ταύτην τὴν ἡλικίαν γεγονόσιν τὴν ἐπὶ
τοῖς αἰσχροῖς ἀδοξίαν ἢ τοῖς νέοις.

XXII. Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί.

Ὅτι ἀντακολουθοῦσιν αἱ ἠθικαὶ ἀρεταί, δεικτέον καὶ ἀπὸ τῆς προαιρέσεως. εἰ γὰρ ἡ ἀρετὴ μάλιστα τῇ προαιρέσει κρίνεται, ἡ δὲ ὀρθὴ προαίρεσις ἔκ τε φρονήσεως † εἵπετο βουλεύεσθαι τῆς φρονήσεως καὶ ἠθικῆς ἀρετῆς, εἴ γε δεῖ μὲν τῷ καλῶς βουλευομένῳ τὸν σκοπὸν ὀρθὸν κεῖσθαι, εἰς ὃν περὶ τῶν συντελούντων εἰς αὐτὸν βουλεύεται, ὁρίζεται δὲ ὁ σκοπὸς ὑπὸ τῆς ἠθικῆς ἀρετῆς (οὗ γὰρ ἐφιέμεθα, περὶ τούτου βουλευόμεθα, ἡ δὲ τῶν προσηκόντων ἔφεσις ἀπὸ τῆς ἠθικῆς ἀρετῆς, ὥσπερ εἶπεν Ἀριστοτέλης), οὐκ ἔστιν ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως οὐδ' ἄνευ ἀρετῆς. ἡ μὲν γὰρ τὸ τέλος, ἡ δὲ τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἔτι εἰ ἀνάγκη

---

3 ἀποκέκλεισται B[2]S[1] Vict.? Sp.: ἀποκέκληται VFB[1]: ἀποκέκλειται G: ἀποκέκλεισθαι S[1]a 4 εἰ δεῖ V[2] Vict. Sp.: εἴδει V[1]: ἔδει Fa 5 ἣ V[2] corr. ex ἢ 5. 6 ὁ—αἰδώς circumscripsi 6 τοῦτο ⟨τὸ⟩ coni. Sp.: τοῦ Vict. πάθους Vict. οὐδὲ] fortasse οὐδενὶ 7 αὐτὸν (in mg. οἶμαι Ἀριστοτέλη V[1]) V[1]FS[1]B[1]G: αὐτὸν τὸν Ἀριστοτέλη λέγοντα (δηλοῦντα B[2]) B[2]S[2]a Sp. 8 ἐστιν] στ in lit. V 9 αἰσχρὰ πάντα VFB[1]S[1]: τὰ αἰσχρὰ παρ' αὐτοῖς S[2]B[2]a Sp. 10 τῆς] ς in lit. V 23 ἠθικαὶ] θι s. v. V 25 τε VSB[1]FML: del. B[2]: om. a Sp. εἵπετο VB[1]: ἔκ τε τοῦ S[1]FLM (τοῦ corr. ex τὸ): εἵπετο (ἕπετο a: ἕπεται Sp.) τὸ γὰρ S[2]B[2]a Sp. fortasse φρονήσεως ⟨καὶ ἠθικῆς ἀρετῆς⟩ εἴ γε τὸ 26 σκοπὸν] inter ο et π paull. eras. V αὐτὸν] αὐτὴν a Sp. 28 ἐφιέμεθα] ι s. v. V 29 ex gr. Eth. Nic. II, 9. 1109[a]20 sqq.

μὲν ἡντινοῦν ἀρετὴν ἠθικὴν ἔχοντα φρόνησιν ἔχειν, εἴ γέ ἐστιν ἡ ἠθικὴ ἀρετὴ πρακτικὴ τῶν ὡρισμένων φρονήσει τε καὶ τῷ ὀρθῷ λόγῳ, ἀνάγκη δὲ καὶ τὸν φρόνησιν ἔχοντα ἔχειν ἠθικὴν ἀρετήν, εἴ γε οἰκεῖον τῇ φρονήσει τὸ ζητεῖν, πῶς οἷόν τε τυχεῖν τοῦ δέοντος σκοποῦ, ὃν τῆς ἠθικῆς ἀρετῆς ὁρίσαι· αὕτη γὰρ τῆς ὀρεκτικῆς δυνάμεως ἀρετή· | ταύτῃ γὰρ φρόνησίς τε καὶ δεινότης διαφέρουσιν, ᾗ ἡ μὲν φρόνησις τῶν πρὸς τὸν 274 ὀρθὸν σκοπὸν φερόντων ἐστὶν εὑρετική τε καὶ ζητητική, ἡ δὲ δεινότης τῶν πρὸς τὸν τυχόντα * * *

XXIII. Πῶς εἰ ⟨ἡ⟩ ἡδονή ἐστι κατὰ Ἀριστοτέλη ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, οὐκ ἔσται καὶ ἡ εὐδαιμονία κατ' αὐτὸν ἡδονή.

Εἰ οὖν ἐστιν ἡ κατὰ φύσιν ἑκάστῳ ἐνέργεια ἀνεμπόδιστος ἡδονή, ταύτης δὲ πάντα ἐφίεται, ⟨οὐ⟩ διὰ τοῦτο ἤδη καὶ τέλος ἡ ἡδονὴ καὶ τὸ ζῆν οὕτως. παρ' οὗ γὰρ καὶ τὸ ἀνεμποδίστως, ἐκεῖνο αἴτιον τοῦ ζῆν οὕτως. εἰ μὲν οὖν ἡδονὴ τοῦ κατ' ἀρετὴν ἀνεμποδίστως ἐνεργεῖν αἰτία, ἐν ἐκείνῃ ἂν ἦν τὸ κυριώτατον ἀγαθόν, εἰ δὲ μὴ ἡδονή, ἄλλο δέ τι, ἐκεῖνο ἂν ἦν τοῦ τοιούτου βίου, ὥστ' εἰ τοῦ οὕτως ἐνεργεῖν τοῖς ἀνθρώποις αἰτία μάλιστα ἡ ἀρετή (συντελεῖν γάρ τι δόξει πρὸς τὸ ἀνεμποδίστως καὶ τὰ ἀπὸ τῆς τύχης), ἐκείνη ἂν τὴν αἰτίαν ἔχοι μάλιστα ἐν τοῖς ἀνθρώποις τοῦ τοιούτου βίου. διὸ εἰ καὶ τὸ εὐδαιμονεῖν τῷ ἀνθρώπῳ τεθείη ἐν ταῖς κατὰ φύσιν αὐτῷ, καθ' ἣν εἰ ἄνθρωπός ἐστι, κεῖσθαι ἐνεργείαις, εἰ ἀνεμποδίστως γίγνοιντο, ἡ ἀρετὴ ἂν καὶ μάλιστα | γίνοιτο τῆς εὐδαιμονίας αἰτία, καὶ 275 τοῦ τὰς οἰκείας ἐνεργεῖν ἐνεργείας τοῦ ἀνθρώπου οὖσα αἰτία καὶ τοῦ ἀνεμποδίστως. ἔτι ⟨εἰ⟩ ἡ ἡδονὴ ἐνέργεια ὡς ἑπομένη τῇ τοῦτον γινομένῃ τὸν τρόπον ἐνεργείᾳ, ὡς ἔδειξεν ἐν τῷ τελευταίῳ τῶν Ἠθικῶν, ἑπομένη δὲ ἡ ἡδονὴ τῇ τοῦτον γινομένῃ τὸν τρόπον ἐνεργείᾳ, σημεῖον ἂν μᾶλλον εἴη τοῦ παρεῖναι τὸ εὐδαιμονεῖν τοῖς οὕτως ἐνεργοῦσιν, ἀλλ' οὐκ εὐδαιμονία. ἐνέργεια γὰρ ἡ ἡδονὴ λέγεται ὑπ' Ἀριστοτέλους, οὐχ ὡς αὐτὴ κατὰ τὸν οἰκεῖον λόγον οὖσα ἐνέργεια, ἀλλ' ὡς ἐπ' ἐνεργείᾳ τὸ εἶναι ἔχουσα καὶ μὴ δυναμένη χωρὶς ταύτης γίνεσθαι. διὸ ὡς τὸ ἐνέργεια εἶναι ἀνεμπόδιστος ἔχει, οὕτως ἂν ἔχοι καὶ τὸ εἶναι εὐδαιμονία. ἐνέργεια δέ ἐστιν ἀνεμπόδιστος τῷ τοιαύτῃ παρακολουθεῖν ἐνεργείᾳ, καὶ εὐδαιμονία ἐστὶ τῷ παρα-

---

1 ἡντινοῦν] pr. ν in lit. V ἡ om. a Sp. 5 αὕτη M: αὐτὴ (erat αὕτη) V: αυτη L: αὐτὴ a Sp. 8 δοκεῖ μοι ἐλλιπὲς εἶναι G in mg. 9 εἰ ἡ Vict.? Sp.: εἰ V: ἡ Sa ἐνεργεία a 12 εἰ οὖν ἐστιν a Sp.: ἢ οὐκ ἔτι VB: ἢ οὐκ ἔστιν FS φυσιν V 14 ἐφιεται V οὐ add. Schwartz 15 αιτιον V 16 ⟨ἦν⟩, ἐν coni. Sp. 18 fortasse ⟨αἴτιον⟩ τοῦ 21 καὶ om. a Sp. 22 fortasse ⟨καὶ⟩ καθὸ ἄνθρωπός ἐστι, οἰκείαις ἐν. εἰ om. a Sp. 23 γίνοιτο a 25 ἔτι ⟨εἰ⟩ ἡ Vict. Sp.: ἔτι ἡ VSFB²a: ἔτι εἰ B¹ ἐνέργεια] α s. v. V 26 τρόπον] ν in lit. V ἐν τῷ τελευταίῳ] Eth. Nic. X, 4. 5. 1174b14 sq. ἡ om. a Sp. 27 εἴη] εἴ in lit. V ἐνεργείᾳ B²a Sp.: ἐνεργείας VB¹ 29 ἡδονη V αὐτη V 31 ἐνεργείᾳ a

κολουθεῖν τῇ εὐδαιμονίᾳ καὶ εἶναι σημεῖον τῆς παρουσίας αὐτῆς. ὅσον δὲ πρὸς τὸ ἀνεμποδίστως ἐνεργεῖν δεόμεθα πρὸς τὰς ἀρετάς, καθ' ἃς τὰς τοιαύτας ⟨δεῖ⟩ ἐνεργεῖν ἐνεργείας, τοσοῦτον ἀπολείπεται καὶ ἡ κατ' ἀρετὴν ἐνέργεια τοῦ τὸ πλέον ἔχειν ἐν αὑτῇ. ὅτι μὲν ἀνδραποδῶδες τὸ τὴν εὐδαιμονίαν τίθεσθαι ἐν ταῖς σωματικαῖς ἡδοναῖς καὶ τῷ ἀπολαυστικῷ βίῳ, ἱκανῶς αὐτὸς ἐνεδείξατο διὰ τοῦ τά τε ἀνδράποδα καὶ τὰ βοσκήματα τὸν τοιοῦτον βίον κρίνειν, καὶ ἔτι διὰ τοῦ Σαρδαναπάλου· ὅτι δὲ μηδὲ ἐν ταῖς | κατὰ ψυχὴν ἐνεργείαις αἱ ἐνέργειαι τῆς ἡδονῆς χάριν, ἀλλὰ ἡ ἡδονὴ τῶν ἐνεργειῶν, δῆλον. εἰ γὰρ καὶ ὅτι μάλιστα ἡδεῖαι αἱ κατ' ἀρετὴν ἐνέργειαι, ἀλλ' οὐ τῆς γε ἡδονῆς ἕνεκα σπουδάζονται, ἀλλ' ἔμπαλιν. τὰς μὲν γὰρ κατ' ἀρετὴν ἐνεργείας αἱρούμεθα, κἂν λύπης καὶ πόνων αἰτίαι γίνωνταί ποτε, ὡς ἐπὶ τῶν κατὰ τὴν ἀνδρείαν ἐνεργειῶν γίνεται, ἡδονὰς δὲ αἰσχρὰς οὐδέποτε αἱρεῖσθαι εὔλογον, ὥστε εἰ αἱ μὲν κατ' ἀρετὴν ἐνέργειαι αἱρεταί, κἂν μετὰ λύπης ὦσιν, ὃ ἐναντίον ἐστὶ τῇ ἡδονῇ, αἱ δὲ ἡδοναὶ οὐδέποτε αἱρεταὶ μετὰ τοῦ ἐναντίου τῇ ἀρετῇ τε καὶ τῷ καλῷ, δῆλον ὡς τὰς ἡδονὰς διὰ τὰς ἐπὶ ταῖς κατ' ἀρετὴν γινομένας ἐνεργείαις αἱρούμεθα, καὶ διὰ τὰς τοιαύτας ἐνεργείας. μάλιστα δ' ἂν διακριθείη τοῦτο, εἰ τῇ φύσει ἐπακολουθήσαντες κατανοήσαιμέν τε καὶ λάβοιμεν, πότερον ποτέρου χάριν ἡ φύσις ἡμῖν εὐθὺς γινομένοις ἔδωκεν τὴν ἐνέργειαν διὰ τὴν ἡδονήν, ἢ τὴν ἡδονὴν διὰ τὰς ἐνεργείας. ἀλλὰ μὴν γνώριμον τὸ τὴν ἡδονὴν τοῖς ζῴοις διὰ τὰς ἐνεργείας ὑπὸ τῆς φύσεως δεδόσθαι, εἰ μέλλοι σῴζεσθαι· ἀδύνατον γὰρ αὐτοῖς μὴ τρεφομένοις. τούτῳ τὴν ἐπὶ ταῖς τροφαῖς ἡδονὴν ἔχομεν παρ' αὐτῆς, δι' ἣν ἡδονὴν ζητοῦμέν τε τὴν τροφὴν μὴ παροῦσαν καὶ παρούσῃ χρώμεθα, τὴν ἀπὸ τῶν βελτιόνων ἀσχολίαν γινομένην ποτὲ διὰ ταύτης παραμυθούμενοι. παντάπασιν γὰρ ἄτοπον τὸ λέγειν τρέφεσθαι ἡμᾶς μὴ ὡς σωθησομένους διὰ τούτου, ἀλλ' ὑπὲρ τῆς ἡδονῆς τῆς ἐπ' αὐτῷ. ἀλλὰ καὶ τὴν ἐπιγινομένην τοῖς ἀφροδισίοις ἡδονήν, εἴ τις φυσικῶς ἐξετάζοι, οὐκ ἄλλου χάριν εὑρήσει παρεσπαρμένην ἢ τῆς τεκνοποιίας, ὅπως ὑπὸ τῆς ἡδονῆς παραπεμπόμενα τὰ ζῷα μὴ ὀκνῇ πρὸς τὸν συνδυασμόν, ὃς αἴτιος τῆς κατ' εἶδος τοῖς ζῴοις ἀιδιότητος, δι' ἣν καὶ αὐτὸν συμβαίνει τὸν κόσμον ὅμοιον ἀεὶ μένειν ἑαυτῷ. εἰ δὲ φανερῶς ἐπὶ τούτων αἱ ἡδοναὶ τοῖς ζῴοις γίνονται τῶν ἐνεργειῶν χάριν, καὶ ἐπὶ τῶν ἄλλων ἐνεργειῶν τῶν κατὰ φύσιν οὕτως ἔχειν εὔλογον. ὅτι δὲ ἐφ' ὧν συνυπάρχει τό τε καλὸν καὶ ἡ ἡδονή, οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετόν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ, δῆλον (ὡς ἐμνήσθημεν ἤδη) ἐκ τοῦ, εἰ ἦν τῆς ἡδονῆς χάριν

---

2 ταῖς ἀρεταῖς Schwartz 3 δεῖ add. S²B²a Sp. 4 τοῦ τὸ B²a Sp.: τοῦτο VFB¹ πλεῖον a Sp.: τέλεον Schwartz αὐτῇ V μὲν οὖν V²B Vict. Sp. 6 ἐνεδείξατο] Eth. Nic. I, 3. 1095ᵇ14 sqq. 7 Σαρδανάπαλου V 8 χάριν coll. ante τῆς FSa 9 ἤδειαι V¹ 10 γε Diels: τε libri: om. a Sp. 16 διὰ τὰς om. a ἐπὶ] ἐν a Sp. γινομένας (ας in lit. B) Ba Sp.: γινομέναις VF 22 τούτῳ VB¹: τούτων S¹F: ζῆν. διὸ S²B²a Sp.: fortasse τοῦτό τοι cf. de an. 8,25. 97,1 25 παραμυθούμενος V¹ (corr. V²) 30 αὐτὴν V¹ (corr. V²) συμβαίνει] μβ in lit. V 33 συνυπάρχει] υ pr. in lit. 4—5 litt. V 34 τὸ ζήτημα τοῦτο γέγραπται αὐτολεξὶ δι' ὅλου τοῦ κς κεφαλαίου V mg. cf. infra 151,17 sq.

αἱρετὸν τὸ καλόν, ὡς ἐκείνης μὲν οὔσης τέλους τε καὶ δι' αὑτὴν αἱρετοῦ, ὡς ποιητικοῦ δὲ τῆς ἡδονῆς τοῦ καλοῦ τὸ αἱρετὸν ἔχοντος, ὁμοίως τῷ καλῷ τὸ αἰσχρὸν αἱρετὸν γίνεσθαι, ἐπεὶ καὶ τοῦτο ποιητικὸν ἡδονῆς. οἷς γὰρ τὸ αἱρετὸν ὡς ποιητικοῖς, τούτοις τὸ γινόμενον ὑπ' αὐτῶν τῆς αἱρέσεως μέτρον. ἢ γὰρ οὐ χρὴ λέγειν γίνεσθαί τινας καὶ ἐπ' αἰσχραῖς πράξεσιν ἡδονάς, ἀλλ' ἐπὶ μόναις ταῖς καλαῖς, ἢ εἰ μὴ τοῦτο, ἀληθῶς αἱρετὸν ἔσται καὶ τὸ αἰσχρὸν ὁμοίως τῷ καλῷ, εἰ ἡ γινομένη ὑπ' αὐτῶν ἡδονὴ τῆς αἱρέσεως αὐτῶν | αἰτία. εἰ δὲ τοῦτο ἄτοπον, προξενοῦν ἡμῖν πᾶσαν 278 πρᾶξιν αἰσχρὰν ὡς οὐδὲν ἔλαττον τῆς καλῆς αἱρετὴν ⟨ἢ καὶ μᾶλλον⟩, εἰ καὶ μᾶλλον αὕτη καὶ πλείοσι παρασκευάζει τὰς ἡδονάς, οὐδ' ἂν τὸ καλὸν εἴη διὰ τὴν ἡδονὴν αἱρετὸν ὡς ἐκείνης ποιητικόν. εἰ δὲ δεῖ μὲν εἶναι ἢ διὰ τὴν ἡδονὴν τὸ καλὸν αἱρετόν, ἢ διὰ τὸ καλὸν τὴν ἡδονήν, μὴ ἔστι δὲ τὸ καλὸν διὰ τὴν ἡδονήν, εἴη ἂν ἡ ἡδονὴ τὸ αἱρετὸν παρὰ τοῦ καλοῦ λαμβάνουσα. οὐ γὰρ δὴ ταὐτὸν οἷόν τε λέγειν εἶναι τὸ καλόν τε καὶ τὴν ἡδονήν, ἐφ' ὧν συνυπάρχει τε καὶ ἅμα ἐστὶν ἀλλήλοις. εἰ γὰρ εἴη ταὐτὸν αὐτοῖς τὸ εἶναι, καὶ ἀντιστρέφειν αὐτὰ ἀλλήλοις ἀνάγκη, ὡς πᾶν τὸ καλὸν ἐν τῷ καλὸν εἶναι καὶ τὸ ἡδὺ εἶναι ἔχειν καὶ πᾶν τὸ ἡδὺ ἅμα τε ἡδὺ εἶναι καὶ καλόν. εἰ δὲ ψεῦδος τὸ λέγειν πᾶσαν ἡδονὴν εἶναι καλὸν τῷ μηδὲν ἔλαττον ὁρᾶν τὰς ἡδονὰς γινομένας ἐπ' αἰσχραῖς ἐνεργείαις, οὐδ' ἂν ⟨αἱ⟩ ἐπὶ ταῖς καλαῖς ἐνεργείαις ἡδοναὶ γινόμεναι αἱ αὐταὶ εἶεν ταῖς ἐφ' αἷς γίνονται ἐνεργείαις. τὸ γὰρ ὁμοῦ μὲν λέγειν τὰς ἡδονὰς μόνας εἶναι δι' αὑτὰς αἱρετάς, τῶν δ' ἄλλων αἱρετῶν ἕκαστον ἐφ' ὅσον εἰς ἡδονήν τι συντελεῖ, ἐπὶ τοσοῦτον καὶ τὸ αἱρετὸν ἔχειν, ὁμοῦ δὲ τὸ μὲν καλὸν αἱρετὸν εἶναι λέγειν ὡς ποιητικὸν ἡδονῆς, μηκέτι δὲ καὶ τὸ αἰσχρὸν φάσκειν αἱρετὸν γίνεσθαι διὰ τὴν γινομένην ἡδονὴν ὑπ' αὐτοῦ, οὐχ ὁμολογούμενα | λεγόντων, ἀλλ' ἀπιθάνως ἀρνουμένων οἷς συγχωροῦσι διὰ τῶν αἱρέσεων 279 οὕτως ἔχειν. οὐδεὶς γὰρ μὴ τοῦτον παρεσκευασμένος τὸν τρόπον οὕτως ἀτόπου προΐσταται δόξης. τὸ γὰρ λέγειν τὰς μὲν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις γινομένας ἡδονὰς εἰλικρινεῖς τε εἶναι καὶ ἀμίκτους ταῖς ἐναντίαις λύπαις, καὶ διὰ τοῦτο καὶ τὰς ποιητικὰς αὐτῶν ἐνεργείας ἔχειν τὸ αἱρετόν, τὰς δ' ἐπὶ ταῖς αἰσχραῖς ὀλίγον ἐχούσας τὸ τέρπον πολλὰ ἔχειν καὶ πλείω τὰ λυποῦντα, διὸ μηδὲ τὰς ἐνεργείας εἶναι τὰς τοιαύτας αἱρετὰς οὔσας ποιητικὰς λύπης μᾶλλον ἢ ἡδονῆς, πῶς οὐ συνδιαιρούντων ἐστὶ ταῖς ἐνεργείαις ἐφ' αἷς γίνονται τὰς ἡδονὰς καὶ οὐχ' ὁμοειδεῖς φυλασσόντων; εἰ

1 το καλον V   μενούσης a   δι' αὑτὴν a Sp.: δι' αὑτῆς S^{1}F: διὰ αὐτὴν V   2 ἔχοντες a   3 αἱρετὸν om. a Sp.   4 ὑπ' in lit. V   6 ἢ εἰ μὴ V^{2}SBFa Sp.: εἴη μὴ V^1 ἀληθὲς a Sp.   9 ἢ καὶ μᾶλλον add. B^2, recte cf. 151,29   9. 10 εἰ καὶ] ἢ καὶ a: εἰ infra   10 αὕτη V^{2}B: αυτη V^1: αὐτῇ Sa Sp.: αὐτῆ F   παρασκευάζει (παρασκευάζοι V^{2}B^2 infra) τὰς S^{2}V^{2}B^{2}a infra: παρασκευάζοντας V^{1}S^{1}F   11 καὶ ἡ a Sp.   12 ἡ V   13 ἡ om. a Sp.   ἡδονὴ] ἡ s. v. V   16 alt. τὸ Fa Sp.: τε VB infra   20 αἱ ante ἐπὶ add. V^{2}B infra   ἡδοναὶ] αι in lit. V   αἱ αὐταὶ V^{2}SFBa Sp. infra: αὗται V   εἶεν] ιε in lit. V   22 αὐτὰσ V   26 ἐστιν, ἀλλ' Vict.   ἀλλ' ἀπιθάνως Sp.: ἀλλὰ πιθανῶς V(et infra)FB: ἀλλ' ἀπιθανῶς Sa   31 τερπνὸν a Sp.   33 πῶς οὐ συνδιαιρούντων in lit. B^2 Vict. Sp. infra: ὁπωσοῦν διαιρούντων libri   ἐστι] ἐπὶ Sp.

γὰρ αἱ μὲν ἐπὶ τοῖς καλοῖς τοιαῦται, αἱ δ' ἐπὶ τοῖς αἰσχροῖς τοιαῦται, εἴη ἂν τὰ καλὰ καὶ τὰ αἰσχρὰ αἴτια τῆς τῶν ἡδονῶν διαφορᾶς. οὐ γὰρ ἀπὸ τῶν ἡδονῶν ταῖς ἐνεργείαις ἐστὶ τὸ αἱρετόν, ἀλλὰ ἀπὸ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, καὶ εἶεν ἂν ἄλλαι μὲν τῷ εἴδει αἱ ἀπὸ τῶν καλῶν, ἄλλαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν, εἴ γε πᾶσαι μὲν αἱ ἀπὸ τῶν καλῶν καθαραί τε καὶ ἄμικτοι καὶ μηδεμιᾶς μετανοίας ἢ λύπης αἴτιαι εἰδοποιούμεναι ταῖς τοιαύταις ἐνεργείαις, πᾶσαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν μικταί τε καὶ ἐν μεταμελείᾳ. οὕτως δὲ ἐχουσῶν | 280 τῶν ἡδονῶν πρὸς τὰς ἐνεργείας πρόδηλον, ὅτι μὴ παρὰ τῶν ἡδονῶν ταῖς ἐνεργείαις τὸ αἱρετόν, ἀλλὰ παρὰ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, ταῖς μὲν τὸ αἱρετόν, ταῖς δὲ τὸ φευκτόν, εἴ γε φευκταὶ αἱ πλέον τοῦ ἥδοντος τὸ λυποῦν ἔχουσαι, τοιαῦται δὲ πᾶσαι αἱ ἐπὶ ταῖς αἰσχραῖς ἐνεργείαις.

XXIV. Πῶς αἱ ἀρεταὶ δι' αὑτὰς αἱρεταί.

Καὶ πῶς τις ἂν τὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας δι' αὑτὰς αἱρετὰς εἶναι λέγοι, εἴ γέ εἰσιν ἡμῖν αἱρεταὶ διὰ τὴν τῶν ἀμέτρων παθῶν ἀποσκευήν; (καὶ γὰρ τὴν μὲν ἀνδρίαν αἱρούμεθα, ὅπως μετρεῖν δυνώμεθα τούς τε φόβους καὶ τὰ θάρρη, τὴν δὲ σωφροσύνην, ὅπως τὰς δι' ἁφῆς λύπας τε καὶ ἡδονάς· αἱρούμεθα δὲ καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστην ἢ ἐπὶ παθῶν τινων μέτρον ἢ ἐπὶ πράξεων· τὴν μὲν γὰρ ἐλευθεριότητα καὶ τὴν μεγαλοπρέπειαν ἐπὶ τῷ μετρεῖν δύνασθαι τὰς πράξεις, ἃς διὰ δόσεώς τε καὶ λήψεως χρημάτων ἐνεργοῦμεν, τὴν δὲ μεγαλοψυχίαν τε καὶ φιλοτιμίαν ἐπὶ τῇ συμμέτρῳ καὶ κατ' ἀξίαν τῶν τιμῶν αἱρέσει, τήν τε πραότητα ἐπὶ τῷ περὶ τὰς ὀργὰς συμμέτρῳ, αἱρούμεθα δὲ καὶ τὴν δικαιοσύνην, διότι ἐστὶ σωστικὴ τῆς κοινωνίας οὔσης ἡμῖν κατὰ φύσιν, εἴ γέ ἐσμεν φύσει κοινωνικοί τε καὶ πολιτικοί). ὡς γὰρ οὐ δι' αὑτὴν | 281 αἱρετὴ ἡ οἰκοδομική, ὅτι ἐστὶν αἱρετὰ τὰ γινόμενα ἀπ' αὐτῆς, οὐδὲ ἡ παλαιστικὴ δι' αὑτήν ἐστιν αἱρετὴ διὰ τὸ τοῦ καλῶς παλαίειν εἶναι ποιητική, οὐδὲ τῶν ἀρετῶν εἴη τις ἂν δι' αὑτὴν αἱρετή, εἰ τὸ αἱρετόν ἐστιν αὐταῖς παρὰ τῶν γινομένων δι' αὐτῶν. ἢ εἰ μὲν ἦν ἄλλο μὲν τὸ δι' ὃ φαμεν ἑκάστην τῶν ἀρετῶν εἶναι αἱρετήν, ἄλλο δὲ αὐτὴ ἡ ἀρετή, εὐλόγως ⟨ἂν⟩ ἀνῃρεῖτο τὸ εἶναι αὐτῶν ἑκάστην δι' αὑτὴν αἱρετήν, εἰ δέ ἐστιν ἑκάστῃ τῶν ἀρετῶν τὸ εἶναι ἐν τούτῳ δι' ὅ ἐστιν αἱρετή, εἴη ἂν εὐλόγως λεγόμενον τὸ εἶναι τὰς ἀρε-

---

7 αἰσχρῶν] κακῶν S^{1}F   μικταὶ] λυπηραὶ Sa   14 δι' αὐτὰς V   15 αἱρεταὶ FB^{2}a Sp.: ἀρεταὶ VB^1 16 καὶ B^2: εἰ libri   δυνώμεθα om. a   19 μέτρον B^2 Sp.: μέτρων libri   20 τὴν om. SFa   ἃς διὰ V: αἳ διὰ Vict. Sp.: διὰ SFMLa   22 τε] δὲ coni. Sp.   24 κοινωνίας coll. post φύσιν a Sp. (⟨τῆς⟩ οὔσης Schwartz)   26 αἱρετὴ V^1 (corr. V^2)   27 αὐτὴν V   αἱρετη V   28 ἐν αὐταῖς a Sp.   29 δι' αὑτῶν V^{1}FS^{1}M^2 (sed αὐτῶν) L: δι' αὑτάς V^{2}B^1: δι' αὐτάς B^{2}S^{2}a Sp.: ὑπ' αὐτῶν M^1 ἑκάστην V^{2}BS^{2}a Sp.: ἑκάστης V^{1}FS^{1}ML   30 αἱρετήν V^{2}B^{2}S^{2}a Sp.: αἱρετή V^1: ἀρετή FS^{1}ML   ἂν addidi   31 δι' αὑτὴν V^1 in mg.   ἑκάστῃ] ι adscripsit V^2 τῶν] ν s. v. V   τὸ] τῷ Vict.? Sp.

τὰς δι' αὑτὰς αἱρετάς. ὡς γὰρ εἰ ἦν ἡ οἰκοδομικὴ οἰκία, δι' ἣν ἔστιν αἱρετή, ἦν ἂν δι' αὑτὴν αἱρετή, οὕτως καὶ τῶν ἀρετῶν ἑκάστη, εἰ ἔστιν ἡ αὐτὴ τούτῳ δι' ὅ ἐστιν αἱρετή, εἴη ἂν δι' αὑτὴν αἱρετή, καὶ ἔτι μᾶλλον καὶ φανερώτερον, εἰ ἕκαστον τῶν κατ' αὐτὰς ἔχοι τὸ αἱρετὸν ἐν αὑτῷ καὶ μὴ διὰ τὴν ἐπ' ἄλλο τι ἀναφοράν, ὡς ἡ οἰκία, δι' ἣν ἡ οἰκοδομικὴ ἔχει τὸ αἱρετόν, διὰ γὰρ τὴν γινομένην ἀπ' αὐτῆς σκέπην χειμῶνός τε καὶ θέρους. ὅτι δὲ αἱ ἀρεταὶ αἱ αὐταὶ τούτοις δι' ἃ αἱρετὰς αὐτάς εἶναί φαμεν, δῆλον ἐκ τοῦ εἶναι μὲν αὐτὰς μεσότητας παθῶν τε καὶ πράξεων, τὴν μὲν ἀνδρίαν φόβου τε καὶ θάρρους, τὴν δὲ σωφροσύνην λύπης τε καὶ ἡδονῆς τῶν δι' ἁφῆς, τὴν δὲ ἐλευθεριότητα δόσεως καὶ λήψεως χρημάτων, ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος, | 282 ὥστε εἰ ἐν τούτοις τὸ εἶναι αὐταῖς, δι' ἅ εἰσιν αἱρεταί, εἶεν [δ'] ἂν δι' αὑτὰς αἱρεταί, καὶ ἔτι μᾶλλον δι' αὑτάς, ὅτι μὴ δι' ἄλλο τι ἡμῖν αἱρεταὶ αἱ μεσότητες αἱ περὶ φόβους τε καὶ θάρρη, ἀλλὰ δι' αὑτὴν ἑκάστη. τὸ γὰρ ἐν αὑτῷ καὶ τῇ αὑτοῦ φύσει τὸ αἱρετὸν ἔχον, τοῦτο δι' αὑτὸ αἱρετόν, τοιαῦται δὲ αἱ μεσότητες αἱ περὶ τὰς κατὰ φύσιν ἡμῖν πράξεις. τούτων δὲ οὕτως ἐχόντων, εἰ μὲν τοῖς ἀνθρώποις ἡ σωτηρία τῆς τε πολιτικῆς κοινωνίας καὶ τῆς οἰκονομικῆς μὴ δι' αὑτὰ αἱρετά, ἀλλὰ δι' ἄλλο τι, οὐδ' ἂν ἡ δικαιοσύνη, οὖσα μεσότης τούτων ἐν οἷς ἐστι ἡ σωτηρία τῶν προειρημένων, εἴη ἂν δι' αὑτὴν αἱρετή, καθ' οὓς τοῦτ' ἐστὶν ἡ δικαιοσύνη. εἰ δέ ἐστιν ἡ κοινωνία καὶ ἡ σωτηρία ταύτης δι' αὑτὴν τοῖς ἀνθρώποις αἱρετή, εἴη ἂν καὶ ἡ δικαιοσύνη δεικνυμένη δι' αὑτὴν αἱρετή, καθό ἐστι μεσότης καὶ ἰσότης τοῦ τε ἐν ταῖς νομαῖς καὶ τοῦ ἐν τοῖς συναλλάγμασιν ἴσου, ἐν οἷς ἡ σωτηρία τῆς πολιτικῆς τε καὶ πρώτης κοινωνίας. ἀλλὰ μὴν ὅτι δι' αὑτὸ τοῖς ἀνθρώποις αἱρετὸν ἡ κοινωνία, γνῶναι πρόχειρον ἀπό τε τοῦ κατὰ φύσιν αὐτοῖς εἶναι τὴν κοινωνίαν, οὗ σημεῖον φανερώτατον τὸ τούτῳ μάλιστα τῶν ἄλλων ζῴων τὸν ἄνθρωπον διαφέρειν, ὃ μόνον ἐστὶν αὐτῷ χρήσιμον ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ. ἴδιον μὲν γὰρ ὁ λόγος αὐτοῦ, τούτου δὲ χρεία πρὸς μήνυσιν τοῖς πλησίον τῶν ἰδίων νοημάτων τε καὶ παθῶν. ἐναργὲς | 283 δὲ τοῦτο καὶ ἐκ τοῦ μηδὲ ἐπ' ὀλίγον δύνασθαι ζῆν ἄνθρωπον μόνον γενόμενον. διότι δὲ ἐν κοινωνίᾳ τῷ ἀνθρώπῳ τὸ εἶναι καὶ ὁ λόγος τούτου χάριν, ἀρίστη δὲ καὶ τελειοτάτη τῶν κατὰ λόγον γινομένων κοινωνιῶν ἡ

---

1 αυτάς V   ὡς] ς in lit. V   εἰ ἦν ἡ scripsi: εἰ ἦν ἡ V^2: εἴην V^1: εἰ ἦν BS^2a Sp.: ἦν FS^1ML 3 αυτη V^1 (corr. V^2)   αιρετὴ V^1 (corr. V^2)   αυτὴν V^1 (corr. V^2)   4 αἱρετὴν Sp.   ἐν αὑτῷ V^2: ἐν αὐτῷ V^1BSF: ἐπ' αὐτῷ (ἐφ' αὑτῷ coni. Sp.) MLSFa Sp.   6 τὴν] ν in lit. V   7 pr. αἱ in lit. V   ἃ Sp.: ὃ libri   10 τῶν] ῶν in lit. V   καὶ in lit. V   11 αὐτὸς] ὁ in lit. V   ὥστε] ὥσ in lit. V   12 δ' del. B^2 Sp.   13 αυτας V^1 (corr. V^2)   αἱρεταὶ V^2S^2a Sp.: αἱρετὸν V^1FS^1ML 14 αυτὴν V^1 (corr. V^2)   τὸ γὰρ s. v. V   αὐτῷ V   αὐτοῦ V   15 αυτὸ V^1 (corr. V^2)   17 σωτηρία] ante α una litt. erasa V   18 αὑτὰ (αυτὰ V^1) αἱρετά] αὑτὴν αἱρετή B^2S^2a Sp.   19 ἡ om. a Sp.   αυτὴν V   21 αυτὴν V^1 (corr. V^2)   εἴη] εἴ in lit. V   22 αυτὴν V^1 (corr. V^2)   τοῦ τε VB: τουτέστιν SFMLa Sp.   23 νόμοις a   26 τούτῳ B^2 (in lit.) SFMa Sp.: τούτων (των s. v.) VF^2: τοῦτο L   26. 27 ἄλλων] ἄ in lit. V

πολιτική, ἀπὸ δὲ τῶν ἀρίστων ἡ τῶν κατὰ φύσιν ἑκάστῳ κρίσις, εἴη ἂν ὁ ἄνθρωπος λογικόν, οὕτως δὲ καὶ πολιτικόν, καὶ τὸ σώζειν δὲ τὴν τοιαύτην κοινωνίαν εἴη ἂν αὐτῷ μάλιστα κατὰ φύσιν τε καὶ αἱρετὸν δι' αὑτό, τοιοῦτον δὲ ἡ δικαιοσύνη.

XXV. Ἐπιδρομή, πόθεν ἡ τῶν ἀρετῶν εὕρεσίς τε καὶ σύστασις.

Ἐπεὶ ἡ εὐδαιμονία τοῖς ἀνθρώποις σκοπός, καὶ δεῖ πάντα πράττειν, ὅπως ταύτην κτησαίμεθα ὡς τέλος τε καὶ μέγιστον τῶν ἡμετέρων ἀγαθῶν, ἀδύνατον δὲ τὸ πράττειν τινὰ ὡς εἴς τι συντελοῦντα ἢ ὅλως γνωρίζειν τὰ δι' ὧν οἷόν τε τυχεῖν τινος σκοποῦ ἀγνοουμένου τοῦ σκοποῦ (ἀρχὴ γὰρ τῆς εὑρέσεως τῶν εἰς τὸν σκοπὸν συντελούντων καὶ τῶν ἐκείνου χάριν γινομένων πράξεων ⟨ἡ⟩ γνῶσις τοῦ σκοποῦ, διὸ καὶ τῆς ἠθικῆς φιλοσοφίας ἀρχὴ τὸ γνῶναι, τί ποτ' ἐστὶν εὐδαιμονία, ἧς χάριν ἡμᾶς δεῖ πάντα πράττειν), ἐζητήσαμεν, τί ποτέ ἐστιν εὐδαιμονία, καὶ εὑρόντες ἑκάστου τῶν ὄντων τὸ ἀγαθὸν ὂν ἐν τῇ οἰκείᾳ | ἐνεργείᾳ τῇ καθ' ὅ ἐστιν αὐτῷ τὸ εἶναι 284
τούτῳ ὅ ἐστιν, εἰ εὖ γίνοιτο· ἐπί τε γὰρ τῶν φύσει συνεστώτων τοῦτον ἔχει τὸν τρόπον, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ τέχνην, μιμεῖται τὴν φύσιν· τοῦ τε γὰρ ἵππου τὸ ἀγαθὸν τοιοῦτον, εἴ γέ ἐστιν μὲν οἰκεῖον ἔργον αὐτῷ καθὸ ἵππος ἐστὶ τὸ τρέχειν, ἀγαθὸν δὲ αὐτῷ τὸ εὖ τρέχειν, ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ κυνός· εἴτε γὰρ τὸ φυλάττειν, εἴτε τὸ θηρᾶν ἔργον κυνός, εἴτε τῶν μὲν τοῦτο, τῶν δὲ ἐκεῖνο, καὶ τὸ ἀγαθὸν αὐτοῖς ἐν τῷ εὖ ταῦτα ποιεῖν· ἀλλὰ καὶ τῷ οἰκοδόμῳ τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐν τῷ εὖ οἰκοδομεῖν, ἐπεὶ καὶ ἔργον τὸ οἰκοδομεῖν αὐτῷ, καὶ ἐπεὶ ἐφ' ἑκάστῳ τὸ ⟨τέλος⟩ τῇ ἐνεργείᾳ καὶ τῷ ἔργῳ παρὰ τῆς οἰκείας ἀρετῆς περιγίνεται, ἑκάστου τὸ τέλος ἐν τῷ τὸ οἰκεῖον ἔργον ποιεῖν κατ' ἀρετήν. εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τὸ τοῦ ἀνθρώπου ἀγαθόν τε καὶ τέλος ἐν τῷ κατ' ἀρετὴν [καὶ] οἰκείαν τὰς καθὸ ἄνθρωπός ἐστιν ἐνεργείας ἐνεργεῖν. ἀλλὰ μὴν οἰκεῖαι ἐνέργειαι ἀνθρώπου αἱ γινόμεναι κατὰ ψυχὴν λογικήν· τὸ γὰρ ἀνθρώπῳ εἶναί ἐστιν ἐν τῷ ζῆν τε καὶ κατὰ λογικὴν ψυχὴν ἐνεργεῖν. εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τὸ τέλος αὐτῷ ἐν τῷ κατ' ἀρετὴν ψυχῆς λογικῆς ἐνεργεῖν, ὥστε εἴη ἂν ἡ εὐδαιμονία, ἐπειδὴ αὐτὴ τὸ τοῦ ἀνθρώπου ἀγαθόν τε καὶ τέλος, ἐνέργεια κατ' ἀρετὴν ψυχῆς λογικῆς, προσκει|μένου τοῦ 285
γε ἐν βίῳ τελείῳ (οὐδὲν γὰρ τέλειον ἐν ἀτελεῖ) καὶ ἔτι τοῦ ἐν προηγουμένοις διὰ τὸ δεῖσθαι ὀργάνων τὰς προηγουμένας τε καὶ βουλευτὰς ἐνεργείας. ὄντος δὲ τούτου σκοποῦ, δῆλον ἐκ τῆς εὑρέσεως αὐτοῦ καὶ

---

3 εἴη ἂν om. a   αὐτὸ (αυτὸ V[1])] αὐτὸν a   8 δὲ τὸ FSa Sp.: δέ τι VB   10 ἡ add. V[2]M   13 αὐτῷ a Sp.   14 τούτῳ] τοῦτο B[2]   15 εἴ γε ἡ τέχνη ante μιμεῖται add. S[2]B[2]a Sp. fortasse recte   21 τέλος add. V[2]BS[2]a Sp.   22 παραγίνεται Vict.? Sp.   23 ἔσται ἐν a Sp.   24 καὶ del. V[2]   τὰς οἰκείας [τὰς] Diels   24. 25 οἰκεῖον a Sp.   25 ἐνεργεῖν] γ in lit. 2 litt. V   26 τῷ γὰρ B coni. Sp.   ἀνθρώπῳ VBM coni. Sp.: ἄνθρωπον FL: ἀνθρώπου Sa   29 ἂν καὶ ἡ Vict. Sp.   αὕτη Diels   31 γε] τε a Sp.   τελείῳ SFa Sp.: τελείου VB   32 βουλευτὰς Sp.: βουλητὰς libri

γνώσεως τὸ δεῖσθαι πρὸς τὴν κτῆσιν τῆς εὐδαιμονίας τῶν τῆς λογικῆς ψυχῆς ἀρετῶν, ζητοῦντες ⟨δὲ⟩ τίνες εἰσίν, εὐλόγως πρῶτον ἤλθομεν ἐπὶ τὸ ἰδεῖν, τίς ποτ' ἐστὶν ἡ λογικὴ ψυχή, ἐπεὶ τὴν ταύτης ζητοῦμεν ἀρετήν. διττὴ δὴ ἡ λογικὴ δύναμις εὑρέθη, ἡ μέν τις ἄλογος μὲν καθ' αὑτήν, λογικὴ δὲ τῷ πείθεσθαί τε δύνασθαι λόγῳ καὶ ὑπὸ λόγου ῥυθμίζεσθαι (τοιαύτη γάρ ἐστιν ἡ ἐν ἡμῖν ὀρεκτικὴ ψυχή), ἡ δέ τίς ἐστι λογικὴ τῷ αὐτὴν λόγον ἔχειν ἐν αὑτῇ, καὶ ἔστιν ἑκατέρας τῶν προειρημένων δυνάμεων οἰκεία τις ἐνέργεια καὶ ἀρετή, καθ' ἣν τὸ εὖ ἐν τῇ οἰκείᾳ ἐνεργείᾳ γίγνεται, τῆς μὲν ὀρεκτικῆς αἵ τε πράξεις καὶ αἱ κατὰ πάθη κινήσεις, ἀρεταὶ δὲ ἃς ἠθικὰς καλοῦμεν ἀπὸ τοῦ διὰ ἐθῶν τινων ἐγγίγνεσθαι, τῆς δὲ διανοητικῆς ἐνέργειαι μὲν αἱ γνώσεις τῆς φύσεως τῶν γενητῶν καὶ ὅλως τῶν ἐνδεχομένων ἄλλως ἔχειν, ἀρετὴ δὲ καθ' ἣν ἡ γνῶσις τῆς ἐν τούτοις ἀληθείας, τῆς δὲ νοητικῆς ἐνέργεια μὲν ἡ γνῶσις τῶν ἀιδίων οὐσιῶν, ἀρετὴ δὲ καθ' ἣν ἡ τούτων | ἀληθὴς γίνεται γνῶσις. 286
οὕτως δὲ τῶν ἀρετῶν διῃρημένων, τίς ἐστιν ἑκάστη καὶ τί ἔργον αὐτῆς καὶ τίς ἡ εἰς εὐδαιμονίαν συντέλεια, ἀπὸ τῶν ἔργων τε καὶ ἐνεργειῶν τῶν ἑκατέρας τῆς λογικῆς δυνάμεως εὑρίσκεται. ἔργον τοίνυν τῆς μὲν ὀρεκτικῆς δυνάμεως αἱ πράξεις αἱ περὶ ἡδονάς τε καὶ λύπας, τὰς μὲν αἱρουμένης τε καὶ διωκούσης, τὰς δὲ ἀποστρεφομένης, καὶ ἐπεὶ πέφυκεν ἐν τοῖς τοιούτοις πᾶσιν, ἐν οἷς ἐστιν ὑπερβολή τε καὶ ἔλλειψις, ἡ μὲν ἀμετρία φθαρτικὴ εἶναι τοῦ ἐν ἑκάστοις αὐτῶν εὖ, τοιοῦτον δὲ ἥ τε ὑπερβολὴ καὶ ἡ ἔλλειψις, ἡ δὲ συμμετρία σωστικόν τε τοῦ εὖ καὶ ποιητικόν (ὡς δῆλον ἐπί τε τῶν γυμνασίων καὶ τῶν τροφῶν· καὶ γὰρ αἱ τῶν γυμνασίων ὑπερβολαί τε καὶ ἔνδειαι τῆς εὐεξίας, ἥ τίς ἐστιν ἀρετὴ τοῦ σώματος, φθαρτικά, ἡ δὲ συμμετρία αὐτῶν καὶ ἡ μεσότης καὶ ποιητικὰ αὐτῆς καὶ τηρητικά, ὅ ἐστι τὸ ἐν τούτοις εὖ· ἀλλὰ καὶ τῶν σιτίων πάλιν αἱ μὲν ὑπερβολαὶ καὶ ἔνδειαι τῆς ὑγείας εἰσὶ φθαρτικαί, αἱ δὲ συμμετρίαι ποιητικαί τε καὶ τηρητικαί· οὕτως δὲ καὶ ἐπὶ τῶν παθῶν ἔχει καὶ τῶν περὶ ταῦτα πράξεων), αἱ μὲν ὑπερβολαὶ αὐτῶν καὶ αἱ ἔνδειαι τοῦ εὖ τοῦ ἐν τούτοις εἰσὶ φθαρτικαί, αἱ δὲ συμμετρίαι ποιητικαί τε καὶ τηρητικαί, καὶ ἐπεὶ ἔστι τὸ εὖ ἐν πᾶσιν ἡ οἰκεία ἀρετὴ καὶ πᾶν τὸ γινόμενον κατ' ἀρετήν, συμβαίνει τὰς περὶ ταῦτα ἀρετὰς συνίστασθαι συμμετρίᾳ πράξεών τε καὶ παθῶν. ἥ τε 287
γὰρ σωφροσύνη φθείρεται μὲν ὑπὸ [τε] τῆς τῶν ἡδονῶν ὑπερβολῆς τε καὶ ἐνδείας τούτων, περὶ ἃς πέφυκεν ἀρετὴ μὲν γίνεσθαι σωφροσύνη, κακία

2 δὲ add. S²B²a Sp. 4 διττὴ] ἡ in lit. V δὴ (in lit.) VB: δὲ GSa Sp. 5 πείθεσθαι] ἐπιδέχεσθαι a Sp. λόγῳ] λόγον a Sp. λόγου] λόγον Vict.? Sp. 6 ὀρεκτικὴ] κτ in lit. V 7 αὐτῇ V 9 ἐνεργείᾳ] εί add. V² post ὀρεκτικῆς add. ἐνέργειαι μὲν V² 10. 11 ἐγγίγνεσθαι] ἐγγί in lit. V 12 ἀρετὴ M Vict.? Sp.: ἀρετὴν Va 13 ἐνέργεια M: ἐνέργειαι Sp.: ἐνεργείαι Vict.?: ἐνέργειας (σ corr. fortasse in ι) V: ἐνεργείας LFa 14 γίνεται] νεται in lit. V 15 αρετῶν V ἑκάστη Ba Sp.: ἑκάστου (ά s. v.) VF τί ⟨τὸ⟩ coni. Sp. 18 δυναμεως V αἱρουμένης] η in lit. V 21 τε καὶ a Sp. 22 τε τοῦ] μὲν τοῦ a Sp. 29 alt. αἱ s. v. VB: om. SFa Sp. 32 ταύτας a ἀρετὰς] ὰς in lit. V συνίστασθαι] συν in lit. V 33 pr. τε del. Schwartz: alt. Sp.

δὲ ἀκολασία τε καὶ ἀναισθησία, σώζεται δὲ καὶ συνίσταται ὑπὸ τῆς τῶν αὐτῶν τούτων μεσότητός τε καὶ συμμετρίας, ἀλλὰ καὶ ἡ ἀνδρία συνίσταται μὲν ἐκ τῆς περὶ φόβους τε καὶ θάρρη μεσότητός τε καὶ συμμετρίας, ὑπὸ δὲ τῆς ὑπερβολῆς τε καὶ ἐνδείας τῶν αὐτῶν τούτων φθείρεται. ὡς δὲ ἐπὶ τούτων, οὕτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἔχει, ὥστε εἰ τὸ ἐν τούτοις εὖ ἐν μεσότητί ἐστι παθῶν τε καὶ πράξεων, τὸ δὲ εὖ ἐν ἑκάστῳ κατὰ τὴν οἰκείαν ἀρετήν, εἶεν ἂν καὶ αἱ περὶ ταῦτα ἀρεταὶ ἐν μεσότητι τῶν προειρημένων, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν τοῦ ἐν τούτοις μέσου λαμβανομένου, ἀλλ' ὡς δέδεικται ὡρισμένου κατὰ τὸν ἐκ φρονήσεώς τε καὶ ὀρθὸν λόγον, καὶ εἴη ἂν τὸ κατὰ τὴν ὀρεκτικὴν ψυχὴν εὐδαιμονίας μέρος κείμενον ἐν ταῖς ἀπὸ τῶν ἀρετῶν περὶ τὰ πάθη τε καὶ τὰς πράξεις εὖ γινομέναις ἐνεργείαις. ἔτι δέ, εἰ ἡ τοῦ ἀνθρώπου ἀρετή ἐστιν, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται (καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἁπάντων ἕκαστον ἀγαθόν ἐστί τε καὶ γίνεται κατὰ τὴν ἀρετὴν ἑαυτοῦ), ἀγαθὸς δὲ ἄνθρωπος γίνεταί τε καὶ ἔστιν ὁ μήτε ἐν τοῖς πάθεσιν ἄμετρος μήτε ἐν ταῖς περὶ ταῦτα πράξεσιν, εἴη ἂν καὶ ἐκ | τούτου δεικνύμενον τὸ τὴν ἀρετὴν τὴν ἠθικὴν ἐν μεσότητι 288 εἶναι τῶν προειρημένων. αἱ γὰρ ἐνέργειαι αἱ περὶ πάθη τε καὶ τὰς πράξεις, ὅταν διὰ τῶν ἐθῶν παιδαγωγηθῶσιν οὕτως, ὡς τοὺς ἐθιζομένους ἥδεσθαι μὲν ἐπὶ ταῖς ἐνεργείαις ταῖς καλαῖς, ἄχθεσθαι δὲ ἐπὶ ταῖς ἐναντίαις, ὃ γίνεται ἐν τῇ αἱρέσει τε καὶ εὑρέσει τοῦ ἐν αὐτοῖς μέσου, τῆς ἀρετῆς εἰσιν ποιητικαί. διὸ καὶ λέγομεν τὰς ἠθικὰς ἀρετὰς ἕξεις ἐν μεσότητι οὔσας παθῶν τε καὶ πράξεων ὡρισμένας τῷ ὀρθῷ λόγῳ.

Καὶ τοιαύτη μὲν περὶ ταῦτα ἡ σύστασις τῶν ἠθικῶν ἀρετῶν. τῆς δὲ διανοητικῆς τε καὶ οὕτως λογικῆς ψυχῆς, ἐπεὶ ἡ μέν ἐστι περὶ τὴν γνῶσιν τῶν ἀιδίων τε καὶ ἀεὶ ὁμοίως ἐχόντων, ἡ δὲ περὶ τὴν τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, ὧν τὸ μὲν πρῶτον ἐπιστημονικόν, τὸ δὲ δεύτερον λογιστικόν τε καλοῦμεν καὶ βουλευτικόν, ἔσται καὶ περὶ ἑκατέραν ἐνέργειαν τῶν εἰρημένων τό τε εὖ καὶ τὸ κατ' ἀρετήν. ἔστι δὲ ἀρετὴ γνώσεως ἀλήθεια, ἡ δὲ καθ' ἑκατέραν δύναμιν τῆς λογικῆς ψυχῆς ἀρετὴ περὶ τὴν τῆς ἀληθείας γνῶσιν ἔσται τῶν θεωρουμένων ὑπ' αὐτῆς, ἡ μὲν περὶ τὰ βουλευτά τε καὶ ἐνδεχόμενα ἄλλως ἔχειν ἑπομένη τῇ ὀρθῇ ὀρέξει (ἡ γὰρ εὕρεσίς τε καὶ γνῶσις τῶν συντελούντων πρὸς τὰ ὀρεκτὰ τῇ ὀρθῇ ὀρέξει αἱρετή· τὴν τοιαύτην ἕξιν τε καὶ ἀρετὴν καλοῦμεν φρόνησιν· ἡ γὰρ φρόνησις εὑρετικὴ τῶν πρὸς τὸν | ὀρθὸν σκοπὸν συντελουσῶν 289 πράξεων, διὸ καὶ τὴν φρόνησιν πρακτικὴν ἀρετήν φαμεν, ἐπεὶ ἡ γνῶσις αὐτῇ περὶ τῶν εἰς ὀρθότητα πράξεων συντελούντων), ἡ δὲ περὶ τὴν γνῶσιν τῶν ἀιδίων ἐνεργοῦσα ἔχει μὲν τὸ εὖ ἐν τῇ τῶν ἐν τούτοις ἀλη-

2 τούτων s. v. V 5 alt. δὲ om. a Sp. 8 μέσου sic V 9 δέδεικται VB Vict. Sp.: ἔτυχεν MLSFa 10 εἴη] εἴ V^1 (corr. V^2) 11 τῶν in lit. V 12 ἡ om. a Sp. 17 αἱ περὶ V^2 Vict. Sp.: περὶ V^1SFa 26 μὲν om. a Sp. 29 ἡ δὲ B Vict. Sp.: ἢ δὲ V^2: ἡ οὐ V^1F: ἢ οὐ S^1M: ἢ δὲ S^2a: ἢ οὐ L 30 περὶ scripsi: ἐπὶ libri 33 τὴν δὲ τοιαύτην V^2 36 αὐτῇ Schwartz: αὐτη V^1: αὕτη V^2: αὐτὴ a Sp. 37 ante pr. τῶν 2—3 litt. erasae V

θῶν εὑρέσει τε καὶ γνώσει οὖσα θεωρητική, ἀλλ' οὐ πρακτική. οὐδὲν γὰρ τῶν ἐν τούτοις ἀληθῶν εἰς πρᾶξίν τινα τὴν ἀναφορὰν ἔχει, διό ἐστιν αὐτοῖς τέλος ἡ γνῶσις τῶν ἐν τοῖς ἀιδίοις ἀληθῶν, καὶ ἔστιν ἐν τούτοις τὸ μὲν εὖ τε καὶ ἀγαθὸν καὶ ἀληθές, ψεῦδος δὲ τὸ ἐν αὐτοῖς κακόν, ἣν ἀρετὴν ἐπιστήμην καλοῦμεν οὖσαν ἕξιν ἀποδεικτικήν. καὶ ἐπεὶ ἡ ἀπόδειξις διά τινων πρώτων τοῦ δεικνυμένου καὶ οἰκείων καὶ ἀληθῶν καὶ οὐκ ἐπ' ἄπειρον ἐν αὐτοῖς τὸ πρῶτον, ἀλλ' ἔστιν τι καὶ κυρίως ἐν αὐτοῖς πρῶτον, ἡ τοῦ οὕτως πρώτου γνῶσίς τε καὶ εὕρεσις νοῦς καλεῖται, σοφία δὲ ἡ ἄμφω ἔχουσα τήν τε τῶν ἀρχῶν εὕρεσιν καὶ τὴν διὰ τῶν ἀρχῶν τῶν μετ' αὐτὰς εὕρεσίν τε καὶ δεῖξιν (ὥστ' εἶεν ἂν πάλιν αἱ διανοητικαὶ ἀρεταί, οὖσαι τοῦ εὖ τοῦ ἐν ταῖς προειρημέναις ἐνεργείαις εὑρετικαί τε καὶ ζητητικαί, τὸ κυριώτατον τῆς εἰς εὐδαιμονίαν συντελείας ἔχουσαι τῷ τῶν κυριωτάτων δυνάμεων τῆς λογικῆς ψυχῆς τὰς ἐνεργείας τὸ εὖ παρὰ τούτων ἔχειν), τὴν μὲν ἀρχὴν λαμβάνουσα ἀπὸ τῆς εἰς εὐδαιμονίαν συντελείας, τὸ δὲ εἶναι ἔχουσα ἐν ταῖς καθ' ἑκατέραν λογικὴν δύναμιν ψυχῆς 290 ἐνεργείαις, τοῦ εὖ τοῦ ἐν ταύταις οὖσα εὑρετική τε καὶ ἀποδεικτική.

XXVI. Ὅτι οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετόν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ.

⟨Ὅτι⟩ οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετόν, ἀλλ' ⟨ἡ⟩ ἡδονὴ τοῦ καλοῦ, δῆλον ἐκ τοῦ, εἰ ἦν τῆς ἡδονῆς χάριν αἱρετὸν τὸ καλόν, ὡς ἐκείνης μὲν οὔσης τέλους τε καὶ δι' αὐτὴν αἱρετοῦ, ὡς ποιητικοῦ δὲ τῆς ἡδονῆς τοῦ καλοῦ τὸ αἱρετὸν ἔχοντος, ὁμοίως τῷ καλῷ τὸ αἰσχρὸν αἱρετὸν γίνεσθαι, ἐπεὶ καὶ τοῦτο ποιητικὸν ἡδονῆς. οἷς γὰρ τὸ αἱρετὸν ὡς ποιητικοῖς, τούτοις τὸ γινόμενον ὑπ' αὐτῶν τῆς αἱρέσεως μέτρον. ἢ γὰρ οὐ χρὴ λέγειν γίνεσθαί τινας καὶ ἐπ' αἰσχραῖς πράξεσιν ἡδονάς, ἀλλ' ἐπὶ μόναις ταῖς καλαῖς, ἢ εἰ μὴ τοῦτο ἀληθές, αἱρετὸν ἔσται καὶ τὸ αἰσχρὸν ὁμοίως τῷ καλῷ, εἰ ἡ γινομένη ὑπ' αὐτῶν ἡδονὴ τῆς αἱρέσεως αὐτῶν αἰτία. εἰ δὲ τοῦτο ἄτοπον, προξενοῦν ἡμῖν πᾶσαν πρᾶξιν αἰσχρὰν ὡς οὐδὲν ἔλαττον τῆς καλῆς αἱρετὸν ἢ καὶ μᾶλλον, εἰ μᾶλλον αὕτη καὶ πλείοσι παρασκευάζει τὰς ἡδονάς, οὐδ' ἂν τὸ καλὸν εἴη διὰ τὴν ἡδονὴν αἱρετὸν ὡς ἐκείνης ποιητικόν. εἰ δὲ δεῖ μὲν εἶναι ἢ διὰ | τὴν ἡδονὴν τὸ καλὸν αἱρε- 291 τὸν ἢ διὰ τὸ καλὸν τὴν ἡδονήν, μὴ ἔστι δὲ τὸ καλὸν διὰ τὴν ἡδονήν, εἴη ἂν ἡ ἡδονὴ τὸ αἱρετὸν παρὰ τοῦ καλοῦ λαμβάνουσα. οὐ γὰρ δὴ ταύ-

4 καὶ ἀληθές VB¹L: καὶ ἀληθὲς τὸ Ma: ἀληθές, τὸ Vict.? Sp.: τὸ ἀληθὲς τὸ B² 6 δια V 7 τι] τισ V¹ (corr. V²) 14 εἴη ἂν οὖν ἡ ἀρετὴ add. ante τὴν S²B²a cf. 144,34 sqq. 19 ὅτι add. ante οὐ B Vict. Sp. ἡ add. BSFa Sp. supra τοῦ] τούτου Vict. 20 χάριν] χάρ in lit. V 22 καλοῦ το// sic V 24 μέτρον (ον in lit.) BS² Vict.? Sp. supra: μέτριον VS¹Fa χρὴ add. V²S²Ba Sp. supra: om. V¹FS¹ 27 ἢ εἰ a αἱρεσεωσ V 29 ἢ καὶ μᾶλλον om. Vict. Sp. εἰ] εἰ καὶ Vict. Sp. αὕτη scripsi: αυτη V: αὐτὴ Sp. cf. 145, 10 29. 30 παρασκευάζει Sp.: παρασκευάζοι libri cf. supra 30 οὐδ' ἂν] οὐδὲν a ἡδονὴν] ονη in lit. V 31 εἶναι καὶ ἢ Vict.

τὸν οἷόν τε λέγειν εἶναι τὸ καλόν τε καὶ τὴν ἡδονήν, ἐφ᾽ ὧν συνυπάρχει τε καὶ ἅμα ἐστὶν ἀλλήλοις. εἰ γὰρ εἴη ταὐτὸν αὐτοῖς τὸ εἶναι, ἀντιστρέφειν αὐτὰ ἀλλήλοις ἀνάγκη, ὡς πᾶν τὸ καλὸν ἐν τῷ καλὸν εἶναι καὶ τὸ ἡδὺ εἶναι ἔχειν, καὶ πᾶν τὸ ἡδὺ ἅμα τε ἡδὺ εἶναι καὶ καλόν. εἰ δὲ ψεῦδος τὸ λέγειν πᾶσαν ἡδονὴν εἶναι καλὸν τῷ μηδὲν ἔλαττον ὁρᾶν τὰς ἡδονὰς γινομένας ἐπ᾽ αἰσχραῖς ἐνεργείαις, οὐδ᾽ ἂν αἱ ἐπὶ ταῖς καλαῖς ἐνεργείαις ἡδοναὶ γινόμεναι αἱ αὐταὶ εἶεν ταῖς ἐφ᾽ αἷς γίνονται ἐνεργείαις. τὸ γὰρ ὁμοῦ μὲν λέγειν τὰς ἡδονὰς εἶναι μόνας δι᾽ αὑτὰς αἱρετάς, τῶν δ᾽ ἄλλων αἱρετῶν ἕκαστον ἐφ᾽ ὅσον εἰς ἡδονήν τι συντελεῖ, ἐπὶ τοσοῦτον καὶ τὸ αἱρετὸν ἔχειν, ὁμοῦ δὲ τὸ μὲν καλὸν αἱρετὸν εἶναι λέγειν ὡς ποιητικὸν ἡδονῆς, μηκέτι δὲ καὶ τὸ αἰσχρὸν φάσκειν αἱρετὸν γίνεσθαι διὰ τὴν γινομένην ἡδονὴν ὑπ᾽ αὐτοῦ, οὐχ ὁμολογούμενα λεγόντων, ἀλλ᾽ ἀπιθάνως ἀρνουμένων, οἷς συγχωροῦσιν διὰ τῶν αἱρέσεων οὕτως ἔχειν. οὐδεὶς γὰρ μὴ τοῦτον παρεσκευασμένος τὸν τρόπον οὕτως ἀτόπου προΐσταται δόξης· τὸ γὰρ λέγειν τὰς μὲν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις γινομένας ἡδονὰς εἰλικρινεῖς τε | εἶναι καὶ ἀμίκτους ταῖς ἐναντίαις λύπαις, καὶ διὰ τοῦτο καὶ 292 τὰς ποιητικὰς αὐτῶν ἐνεργείας ἔχειν τὸ αἱρετόν, τὰς δὲ ἐπὶ ταῖς αἰσχραῖς ὀλίγον ἐχούσας τὸ τέρπον πολλὰ ἔχειν καὶ πλείω τὰ λυποῦντα, διὸ μηδὲ τὰς ἐνεργείας εἶναι τὰς τοιαύτας αἱρετὰς οὔσας ποιητικὰς λύπης μᾶλλον ἢ ἡδονῆς, πῶς οὐ συνδιαιρούντων ἐπὶ ταῖς ἐνεργείαις ἐφ᾽ αἷς γίνονται τὰς ἡδονὰς καὶ οὐχ ὁμοειδεῖς φυλασσόντων; εἰ γὰρ αἱ μὲν ἐπὶ τοῖς καλοῖς τοιαῦται, αἱ δὲ ἐπὶ τοῖς αἰσχροῖς τοιαῦται, εἴη ἂν τὰ καλὰ καὶ τὰ αἰσχρὰ τῆς τῶν ἡδονῶν διαφορᾶς αἴτια· οὐ γὰρ ἀπὸ τῶν ἡδονῶν ταῖς ἐνεργείαις ἐστὶ τὸ αἱρετόν, ἀλλὰ ἀπὸ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, αἷς γε διὰ ταύτας καὶ τὸ εἶναι τοιαύταις, καὶ εἶεν ἂν ἄλλαι μὲν τῷ εἴδει αἱ ἀπὸ τῶν καλῶν, ἄλλαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν, εἴ γε πᾶσαι μὲν αἱ ἀπὸ τῶν καλῶν καθαραί τε καὶ ἄμικτοι καὶ μηδεμιᾶς μετανοίας ἢ λύπης αἴτιαι εἰδοποιούμεναι ταῖς τοιαύταις ἐνεργείαις, πᾶσαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν μικταί τε καὶ ἐν μεταμελείᾳ. οὕτως δὲ ἐχουσῶν τῶν ἡδονῶν πρὸς τὰς ἐνεργείας πρόδηλον, ὅτι μὴ παρὰ τῶν ἡδονῶν ταῖς ἐνεργείαις τὸ αἱρετόν, ἀλλὰ παρὰ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς ταῖς μὲν τὸ αἱρετόν, ταῖς δὲ τὸ φευκτόν, εἴ γε φευκταὶ αἱ πλέον τοῦ ἥδοντος τὸ λυποῦν ἔχουσαι, τοιαῦται δὲ πᾶσαι αἱ ἐπὶ ταῖς αἰσχραῖς ἐνεργείαις. |

XXVII. Διὰ τί αἱ ἠθικαὶ ἀρεταὶ μεσότητες. 293

Ἢ ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν. ἥ τε γὰρ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλ-

---

1 ὧν B^2a Sp. supra: ᾧ V 3 pr. τὸ Sp.: τε libri 4 ἅμα] alt. α in lit. V 6 αἱ om. a Sp. 8 αἱρετάς s. v. (ἱρετὰς in lit.) V 9 αἱρετῶν] αἱρετὸν a Sp. συντελεῖν a 10 μὲν] μ in lit. V 12 ἀλλ᾽ ἀπιθάνως SFa Sp.: ἀλλὰ πιθανῶς VB 18 τερπνόν a Sp. 19 οὔσας BS^1a Sp.: οὔσης VS^2F 20 ἐνεργείαις] ις in lit. ς s. v. V 23 αἰτία a Sp. 27 αἰτιαι V 29 ἐνεργειασ (σ in lit.) V 33 ἐνέργειαι a Sp. 35 αὐτό τε] τότε a 36 αὑτοῦ Sp.

μὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων μορίων τοῦ σώματος. ἀλλὰ καὶ ἡ τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ καὶ ἀγαθὸν δραμεῖν καὶ ἐνεγκεῖν ἐπιβάτην καὶ μεῖναι τοὺς πολεμίους· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ζῴων ἑκάστου. ἀλλὰ καὶ ἐπὶ τῶν τεχνῶν τε καὶ ἐπιστημῶν οὕτως ἔχει· τῇ γὰρ τῆς γυμναστικῆς ἀρετῇ τό τε σῶμα τῶν ἀνθρώπων εὖ ἔχον γίνεται καὶ τὰς οἰκείας ἐνεργείας εὖ ἀποδίδωσιν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ ἰατρικῆς· τῇ γὰρ ταύτης ἀρετῇ ὑγιαίνομέν τε τὰ σώματα καὶ τὰς ὑγιεινὰς ἐνεργείας ἐνεργοῦμεν. ὁμοίως ὁ λόγος καὶ ἐπὶ οἰκοδομικῆς καὶ ἐπὶ πλαστικῆς καὶ ἐπὶ τεκτονικῆς καὶ ἐπὶ πασῶν τῶν τεχνῶν. ὄντος δὲ ἀληθοῦς τοῦ πᾶσαν ἀρετήν, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖν καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδιδόναι, δῆλον ὡς καὶ τοῦ ἀνθρώπου ἡ ἀρετὴ εἴη ἄν, ἀφ' ἧς αὐτός τε ὁ ἄνθρωπος εὖ ἕξει καὶ τὸ ἔργον τὸ οἰκεῖον ὡς ὅτι ἄριστον ἀποδίδωσιν. τί | ποτ' οὖν ἐστι τοιοῦτον, ἐφεξῆς 294 ἰδεῖν· τὸ γὰρ εὑρεθὲν εἴη ἂν ἡ ἀρετή. ἐπεὶ τοίνυν ὁρῶμεν ἐν παντὶ ποσῷ καὶ πρόσθεσιν καὶ ἀφαίρεσιν δεχομένῳ τὸ μὲν ὑπερβάλλον καὶ τὸ ἐλλεῖπον ἐν αὐτοῖς φευκτέα ὄντα, τὸ δ' ἴσον καὶ τὸ σύμμετρον καὶ μέσον αἱρετά τε καὶ ἐν αὑτῷ τὴν οἰκείαν ἀρετὴν ἔχοντα (ἐπί τε γὰρ τῆς τῶν σωμάτων εὐεξίας τε καὶ ἀρετῆς τοῦ σώματος τὰ μὲν ὑπερβάλλοντα καὶ ἐνδέοντα γυμνάσια καὶ γενέσθαι κωλύει τὴν εὐεξίαν καὶ φθείρει γενομένην, τὰ δὲ σύμμετρά τε καὶ μέσα καὶ σώζει καὶ ποιεῖ· ἀλλὰ καὶ τὴν ὑγείαν τὰ μὲν ὑπερβάλλοντά τε καὶ ἐνδέοντα σιτία διαφθείρει, σώζει δὲ οὖσαν καὶ μὴ οὖσαν ποιεῖ τὰ μέσα τε καὶ σύμμετρα· ἀλλὰ καὶ ἐπὶ πλαστικῆς ἰδεῖν ἔστιν ἐν τῇ φυλακῇ τῆς ὑπερβολῆς τε καὶ ἐλλείψεως ὂν τὸ γινόμενον κατ' ἀρετὴν ὑπ' αὐτῆς· ὡς δὲ ἐπὶ τούτων, οὕτως δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων ἔχει, ἔστιν δὲ καὶ ἡ ἠθικὴ ἀρετὴ περὶ πάθη τε καὶ πράξεις, ἃ καὶ πρόσθεσιν καὶ ἀφαίρεσιν δέχεται), δῆλον οὖν ὡς εἴη ἂν κατὰ τὰ αὐτὰ καὶ ἡ περὶ αὐτὰ ἀρετὴ ἐν μεσότητι τούτων. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων τὸ μέσον ὡρίζετο ὑπὸ τοῦ κατὰ τὴν τέχνην λόγου, οὕτως καὶ ἐπὶ τῶν παθῶν τε καὶ τῶν πράξεων εἴη ἂν ὁριζόμενον τὸ μέσον τε καὶ σύμμετρον ὑπὸ φρονήσεώς τε καὶ τοῦ ὀρθοῦ λόγου, καθ' | ὃν ὁρισθέντα τε καὶ πραττόμενα τὸ 295 ἐν τῷ εὖ ἄκρον ἔχοι. διὸ καί φαμεν εἶναι λόγον τῆς ἠθικῆς ἀρετῆς ἕξιν προαιρετικὴν τῆς μεσότητος τῆς πρὸς ἡμᾶς. τῆς περὶ τὰ πάθη

1 αὐτοῦ Sp. 4 ἐπιβάτην] supra η lit. V καὶ ἐπὶ — 5 ἀλλὰ om. a (Vict. suppl., sed falso post λόγος (8), quod perspexit Sp.) 5 ζῴων ἄλλων Vict. Sp. 9 ὁμοίως] ὅμοιος Sp.: ὁμοίοις a: ὁμοῖος Vict.? 9. 10 οἰκοδομικῆς] κ in lit. V 10 pr. ἐπὶ om. a Sp. 11 τε om. a Sp. 13 ἀφ' ὧν B[1] 14 ἀποδίδωσιν V[1]SFa Sp.: ἀποδώσει B: ἀποδώσειν V[2] 16 δεχομένων V[1] (corr. V[2]) 17 ἐν] ὂν Sp. φευκταῖα V[1] (corr. V[2]) τὸ μέσον a Sp. 18 αὑτῷ Sp.: αὐτῷ V[2]: τῷ V[1]Sa: "ἴσως εὖ aut potius ἐν αὐτῷ" Vict. 20 τὴν] τ in lit. V γενομένην Sp.: γινομένην libri 25 alt. δὲ om. a Sp. 26 pr. καὶ om. a ἠθικὴ] ἡ s. v. V ἃ Vict.?: ὃ libri 27. 28 κατὰ ταῦτα καὶ περὶ ταῦτα coni. Sp. 28 τὰ αὐτὰ SFa Sp. 31 τὸ post εὖ coll. Sp. falso, cf. 155,22 et Arist. Nic. Eth. II, 6. 1107a8 33 προαιρετικὴν Vict.?: διαιρετικὴν διὰ libri cf. l. c. 1106b36

τε καὶ τὰς πράξεις, τῆς ὡρισμένης τῷ ὀρθῷ λόγῳ, τοῦ ἐν τοῖς ἄκροις εὖ τε καὶ καλοῦ τυγχάνουσαν. ὅτι δὲ οὕτως ἔχει, δῆλον ἑκάστην τῶν ἠθικῶν ἀρετῶν προχειριζομένοις. ἥ τε γὰρ ἀνδρεία τὰς ὑπερβολὰς τοῦ τε θάρρους καὶ τῶν φόβων, ὁμοίως δὲ καὶ τὰς ἐλλείψεις φυλασσομένη τοῦ ἐν τούτοις εὖ τυγχάνει· τῶν δὲ περὶ τὰς ὑπερβολάς τε τούτων καὶ τὰς ἐνδείας ἕξεων ἡ μέν ἐστι θρασύτης, ἡ δὲ δειλία, κακία οὖσα αὐτῶν ἑκατέρα. ἀλλὰ καὶ ἡ σωφροσύνη τοῦ αὐτοῦ περὶ τὰς σωματικάς τε καὶ δι' ἁφῆς γινομένας ἡδονάς τε καὶ λύπας τυγχάνει, φυλαττομένη μὲν τὰς κατὰ ταῦτα ὑπερβολάς τε καὶ ἐνδείας, αἱρουμένη δέ τι κατὰ τὸν ὀρθὸν λόγον μέσον ἐν αὐταῖς, τῶν δὲ ἐν ταῖς ὑπερβολαῖς τούτων καὶ ἐνδείαις ἕξεων ἡ μὲν κατὰ τὴν ὑπερβολὴν ἀσωτία, ἡ δὲ κατὰ τὴν ἔνδειαν ἀναισθησία. ὁμοίως δὲ καὶ ταῖς ἕξεσιν ταύταις ἔχουσιν καὶ περὶ τὰς ἄλλας πράξεις καὶ τὰ ἐν αὐταῖς πάθη αἵ τε ἀρεταὶ μεσότητες οὖσαι καὶ αἱ κατὰ τὰς ὑπερβολάς τε καὶ τὰς ἐνδείας κακίαι. |

Τῶν δὲ οὐ φασκόντων τὰς ἀρετὰς εἶναι μεσότητας ἢ δι' ἄγνοιαν 296
τῶν εἰρημένων ἢ διὰ φιλοτιμίαν τοῦ καὶ πρὸς τοῦτο δοκεῖν τι λέγειν οἱ μὲν οὐ φάσκοντες δύνασθαι μεσότητα τὴν ἀρετὴν εἶναι διὰ τὸ δεῖν μὲν τὸ μέσον ὁρίζεσθαι τοῖς ἄκροις καὶ ἀπὸ τούτων ἴσον ἀφεστάναι, μὴ εἶναι δὲ μήτε ἐν τοῖς πάθεσιν μήτε ἐν ταῖς πράξεσιν μήτε τὰς ὑπερβολὰς μήτε τὰς ἐνδείας ὡρισμένας, οὔτε γὰρ ἡ τοῦ θαρρεῖν ἀμετρία μέχρι τίνος πρόεισιν, ἐστὶν ὡρισμένον, οὔτε ἡ τοῦ φοβεῖσθαι· πρὸς δὴ τούτους λέγοιτο ἄν, ὅτι μὴ ἐνόησαν τὸ ἐν τῷ ὁρισμῷ προσκείμενον τῇ μεσότητι, ἔστι δὲ τοῦτο τὸ 'πρὸς ἡμᾶς', καίτοι σαφῶς αὐτὸ διορίσαντος Ἀριστοτέλους καὶ δείξαντος, ὅτι τὸ μὲν πρὸς τὸ πρᾶγμα μέσον δεῖται τοῦ τῶν ἄκρων ὅρου, εἴ γε τὸ οὕτως μέσον ἴσον ἀπέχει τῶν ἄκρων, τὸ δὲ πρὸς ἡμᾶς μέσον οὔτε ἓν ἦν καὶ τὸ αὐτὸ πᾶσιν οὔτε εὑρίσκεται ἐν τῇ ἴσῃ τῶν ἄκρων ἀποστάσει. τοὐναντίον γὰρ ἡ εὕρεσις τοῦ οὕτω μέσου γνωρίμους ἐποίει καὶ τὰς ἐφ' ἑκάτερα ἐκβάσεις τοῦ μέσου. ὡς γὰρ ἐπὶ τῶν τεχνῶν ὁρισθὲν τὸ καθ' ἕκαστον τῶν εἰρημένων μέσον τε καὶ σύμμετρον τῷ τῆς τέχνης λόγῳ τὰς ἐκτροπὰς καὶ παραβάσεις δείκνυσιν τὰς ἐφ' ἑκάτερα τοῦ μέσου, οὕτως δὲ | ἔχει καὶ ἐπὶ τῶν παθῶν τε καὶ πράξεων. ὁρισθὲν γὰρ τὸ κατ' αὐτὴν 297

---

1 τοῖς] αὐτοῖς V[1] (corr. V[2]) 2 ἔχοι a 3 προχειριζομένοις FSa Sp.: προχειριζομένη (οι supra η lit.) V: προχειριζομένης sic B[1] 4. 5 φυλασσομένη V[2] Vict.? Sp.: φυλασσομένης V[1]SL (ex corr.) Fa 5 ἐν VBL Vict.?: ἐκ S[2]: εὐ GFMS[1] a Sp. εὖ τυγχάνει V: ἐντυγχάνει G[1]FLMS[1]a Sp.: εὐτυγχάνει G[2]S[2]: τυγχάνει Vict.? 6 ἕξεων B[2] Vict. Sp.: ἐξ ὧν libri δειλία in lit. V 8 φυλάττομεν ἡ a 9 κατ' αὐτὰ a ἐνδείας] ἀνδρείας B[1] αἱροῦμεν ἡ a 11 ἕξεων] ἐξ ὧν a 12 pr. καὶ om. a Sp. 16 τοῦ Vict.? Sp.: τῷ VS[1]B[1]FG: τούτῳ S[2]B[2]a τι corr. ex τε V[2] 21 τούτοις a 25 ἓν ἦν V[2]BFM Vict.?: ἐνῆν V[1]: ἐνην G: ἔνην L: εὖ ἦν Sa: ἦν Vict.: ἓν Sp., qui confert Arist. Eth. Nic. 1106a30 26 ἴσῃ] ισ in lit. V 26. 27 τοὐ|ναντίον (ante ν pr. lit. 1 litt.) V 27 γνωρίμους S[2]: γνωρίμου VFLMS[2]: γνωρίμου γεγονότος man. rec. VBS[1]a Sp. 28 ὁρισθὲν τὸ V[2]S[2]Ba Sp.: ὁρισθέντος V[1]FGS[1]ML 31 πράξεων] ων in lit. V

σύμμετρον ἑκάστῳ ὑπὸ τῆς φρονήσεως καὶ τοῦ κατ' αὐτὴν λόγου πάσας τὰς τούτου παραβάσεις ποιεῖ γνωρίμους, οὐδὲν δεομένη τῆς προσόδου τῆς ἐπὶ τὰ πέρατα αὐτῶν, ἀλλ' αὐτόθεν κωλύουσα αὐτὰς τῷ ταῖς πρώταις αὐτῶν ἐκτροπαῖς ἐνίστασθαι ταῖς γινομέναις παρὰ τὸ μέσον τε καὶ σύμμετρον.

Ἀλλὰ καὶ ὁ λέγων μὴ εἶναι τὴν ἀρετὴν μέσην δύο κακιῶν τῶν ἑκατέρωθεν αὐτῆς, μὴ γὰρ ἕπεσθαι αὐτῇ κακίαν ἐναντίαν τῷ τὸ μὲν μέσον μηδετέρου τῶν ἐφ' ἑκάτερα τῶν ἄκρων πλεῖστον ἀφεστάναι, ἐναντία δὲ εἶναι τὰ ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διεστῶτα, οὐδὲ οὗτος εἴη ἂν κινῶν τι τῶν κειμένων. εἰ μὲν γὰρ ἦν ἡ ἀρετὴ αὐτὰ τὰ μέσα πάθη καὶ αὐταὶ αἱ μέσαι πράξεις, ἔλεγον ἄν τι, νῦν δ' οὐ ταῦτα ἡ ἀρετή, ἀλλὰ περὶ ταῦτα. τὸ δὲ εἶναι αὐτῇ ἀρετῇ ἐν τῷ ὡρίσθαι τῷ ὀρθῷ λόγῳ καὶ συμμετρίᾳ τὸ εἶναι ἔχειν, ταῖς δὲ ὑπερβολαῖς καὶ ἐνδείαις τὸ κακίαις εἶναι παρά τε τοῦ ἡμαρτημένου λόγου καὶ τῆς ἀσυμμετρίας, καθ' ὅσον ἡ μὲν κατὰ τὸν ὀρθὸν λόγον ἃ πράττει πράττει, καὶ ἔστιν ἐν συμμετρίᾳ, ἡ δὲ κατὰ τὸν ἡμαρτημένον λόγον, καὶ ἐν ἀσυμμετρίᾳ ἡ ἐναντίωσις αὐταῖς, ἐπεὶ κατά γε αὐτὰ τὰ πάθη καὶ τὰς πράξεις καὶ τὸ ἐν τούτοις ποσὸν αἱ ἔνδειαι ταῖς ὑπερβολαῖς εἴρηνται ὑπ' αὐτοῦ εἶναι ἐναντίαι. |

Καὶ ὁ λέγων δὲ μὴ εἶναι τὴν ἀρετὴν μεσότητα, δεήσειν γὰρ τὸν τὴν 298 ἀρετὴν ἔχοντα τὸ μέσως εὖ μετιέναι, ἀλλ' οὐ τὸ ἄκρως, οὐδ' οὗτος δὴ νοήσας τὰ εἰρημένα λέγει. εἴρηται γάρ, ὅτι ἐστὶν ἡ περὶ τὰ πάθη καὶ τὰς πράξεις μεσότης κατὰ τὸν προειρημένον τρόπον ἐν τῷ εὖ ἀκρότης. ἄκρως γὰρ εὖ ἔχει τὸ γινόμενον ἐν ἐκείνοις μέσως τε καὶ συμμέτρως. οὐδὲν γὰρ κωλύει τὸ ἄκρων τινῶν ἐν μεσότητι ἄκρον τινῶν εἶναι. διὸ ἄτοπος καὶ ὁ λέγων, εἰ ἡ ἀρετὴ ἀκρότης ἐστὶ ψυχῆς λογικῆς, μὴ δύνασθαι αὐτὴν εἶναι μεσότητα τῷ μὴ οἷόν τε εἶναι ταὐτὸν ἅμα ἄκρον τε εἶναι καὶ μέσον. εἰ μὲν γὰρ τοῦ αὐτοῦ τις ἠξίου, ἔλεγον ἄν τι, ἐπεὶ δὲ οὐ τοῦτο λέγεται, εἶεν ἂν αἰτιώμενοι τὰ ἀναίτια.

Ἀλλ' οὐδὲ ὁ λέγων, εἰ ἡ ἀρετὴ μέση δύο κακιῶν, εἴη ἂν καὶ συγκειμένη ἐκ τούτων τῷ τὰ μέσα τῶν ἐναντίων ἐκ τῆς μίξεως τῶν ἐναντίων ἔχειν τὴν σύστασιν, ὡς ἐπὶ χρωμάτων καὶ ὀσμῶν καὶ χυμῶν αὐτὸς ἐν τῷ Περὶ αἰσθήσεως εἴρηκεν, οὐδ' οὗτος δὴ ἅπτεταί τινος τῶν κειμένων. οὐ γὰρ εἰ τὰ προειρημένα τοιαῦτα, ἤδη καὶ πάντα μέσα ἐναντίων τινῶν ἐκ τῆς ἐκείνων μίξεως τὸ εἶναι ἔχει. οὐδὲ γὰρ τὸ κατὰ ποσότητά τινα μέσον ἐκ τῶν ἐναντίων ἔχει τὴν σύστασιν. ἀλλὰ | πᾶν τοὐναντίον ἐν τῇ πρὸς τὰ

---

1 ἕκαστον coni. Sp. 2 προόδου V 8 alt. τῶν del. V[2] 11 αὐταὶ B[2]Sa Sp.: αὗται VFB ἔλεγεν coni. Sp. νῦν B[2]MS[2]a Sp.: εἰ VB[1]S[1]FL 12 αὕτη ἀρετή a 13 συμμετρία V 15 ἐν om. a 18 ἐναντίαι a: ἐναντία V 19 δεήσει a Sp. 20 τὸ μέσως Schwartz: τῷ μέσῳ libri (⟨οὐ⟩ τῷ μέσῳ ⟨τὸ⟩ εὖ μ., ἀλλὰ τῷ ἄκρῳ coni. Sp.) τῷ ἄκρως B[2] Vict.? M[1] οὐδ'] ἀλλ' a μὴ δὴ a: μὲν δὴ Sp. 22 τὰς s. v. V 23 ἃ μέσως a: ἀμέσως FLM 24 ἄκρων] ἄκρον a Sp. ἄκρον] ἄκρων V[1] (corr. V[2]) a 26 ταὐτὸν εἶναι a Sp. alt. εἶναι om. a Sp. 31 αὐτὸς] τοῖς S[1]F: οἷς S[2]a 31. 32 ἐν τῷ Περὶ αἰσθήσεως] De sensu c. 4. 441 b 14 34 οὐδὲ V[2]B: οὐδὲν V[1]F a Sp.

ἄκρα ἀποστάσει τὸ εἶναι αὐτοῖς μέσοις. ἐπί τε γὰρ τῶν κατὰ τὰς τέχνας 299 γινομένων τὸ μέσον τε καὶ σύμμετρον οὐκ ἐκ τῆς συνθέσεως τοῦ τε ὑπερβάλλοντος καὶ τοῦ ἐνδέοντος, ἀλλ' ἐν τῇ φυγῇ τούτων. οὐ γὰρ ἐκ μίξεως τῶν ὑπερβαλλόντων καὶ ἐνδεόντων γυμνασίων εὐεξία, καίτοι οὖσα ἐν μεσότητι αὐτῶν· ἀλλ' οὐδὲ ἡ ὑγεία τοῦτον γίνεται τὸν τρόπον· ἀλλ' οὐδὲ ἡ πλαστικὴ τὰς ὑπερβολὰς καὶ τὰς ἐνδείας συντίθησιν. οὐδὲ τὸ κέντρον δὲ τοῦ κύκλου ἐκ μίξεως τούτων ἐστὶν ὧν ἀφέστηκε πλεῖστον, ἀλλ' οὐδὲ τὰ μεταξὺ τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν ἐξ ἐκείνων μέμικται. ἀλλ' οὐδὲ τὸν προκόπτοντα συγκεῖσθαι ἐκ κακίας τε καὶ ἀρετῆς φήσαι τις ἄν.

Οὐδὲ ἐκεῖνο ὑγιὲς τὸ λέγειν, εἰ μεσότης ἡ ἀρετή, δεήσει ἀπὸ τῆς ἐνδείας εἰς τὴν ὑπερβολὴν προϊόντα πρῶτον ἐν ἀρετῇ γενέσθαι. εἰ μὲν γὰρ ἦν τὰ μέσα πάθη καὶ αἱ μέσαι πράξεις αἱ ἀρεταί, ἴσως ἄν τι ἦν λεγόμενον, εἰ δ' ἐστὶν ἡ ἀρετὴ ἐν τῷ ὡρίσθαι ταῦτα τῷ ὀρθῷ λόγῳ, οὐ πάντως ὁ ἐν μέσῳ πάθει τινὶ γενόμενος ἤδη γίνεται ἐν αὐτῷ ὡς κατὰ τὸν ὀρθὸν λόγον αὐτὸ πάσχειν ἢ τὴν μέσην πρᾶξιν πράττειν ὁμοίως. οὐδὲ ἄλλως δὲ τοῦτο τοῦτον ἐπὶ πάντων συμβαίνει τὸν τρόπον. οὐ γὰρ ἐκ τοῦ δι' ὑπερβολήν τινος τῶν μερῶν αἴσχους εἰς τὸ κατ' ἔνδειάν τε καὶ ἔλλειψιν μεταβάλλον πρῶτον γίνεται κάλλος.

Ἄτοπον δὲ καὶ τὸ λέγειν, καθ' οὓς μεσότητες | αἱ ἀρεταί, κατὰ 300 τούτους γίνεσθαι καὶ κακίας μέρος ἀρετήν· τῆς γὰρ θρασύτητος εἰ τὸ ὑπερβάλλον ἀφαιρεθείη, τὸ καταλειπόμενον αὐτῆς μέρος ἀνδρεία ἂν εἴη· ἀλλὰ καὶ τῆς ἀνδρείας εἰ ἀφαιρεθείη μέρος τι, καθ' ὃ τῆς δειλίας ὑπερέχει, γίνεσθαι τὸ καταλειπόμενον αὐτῆς μέρος δειλίαν. ἱκανῶς γὰρ περὶ τούτων καὶ αὐτὸς εἶπεν, δεικνὺς ὅτι πᾶν τὸ τῆς κακίας μέρος κακία, καὶ πᾶν ἀρετὴ τὸ τῆς ἀρετῆς. ἢ γὰρ οὐ ταῦτα ἦν τὰ λυόμενα διὰ τῆς λέξεως τῆς· οὐ πᾶσα δὲ ἐπιδέχεται πρᾶξις οὐδὲ πᾶν πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνειλημμένα μετὰ τῆς φαυλότητος, οἷον ἐπιχαιρεκακία ἀναισχυντία φθόνος, καὶ ἐπὶ τῶν πράξεων μοιχεία κλοπὴ ἀνδροφονία. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα ψέγεται τῷ φαῦλα εἶναι, ἀλλ' οὐχ αἱ ὑπερβολαὶ αὐτῶν οὐδὲ ἐλλείψεις. οὐκ ἔστιν οὖν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν, οὐδέ ἐστι τὸ εὖ ἢ μὴ εὖ περὶ [τε] τὰ τοιαῦτα ἐν τῷ ἣν δεῖ καὶ ὅτε καὶ ὡς μοιχεύειν, ἀλλ' ἁπλῶς ποιεῖν ὁτιοῦν τούτων ἁμαρτάνειν ἐστίν. ὅμοιον | καὶ τὸ ἀξιοῦν περὶ τὸ ἀδικεῖν 301 καὶ δειλαίνειν καὶ ἀκολασταίνειν μεσότητα εἶναι καὶ ὑπερβολὴν

---

9 φήσει V[1] (corr. V[2]) 10 δεήσειν Schwartz 13 ἡ om. a Sp. ὡρίσθαι] αι in lit. V 14 γινόμενος a Sp. 17 ἔνδειαν] α in lit. V 19 αἱ ἀρεταί] αἱρεταί a 20 εἰς τὸ a 21 ἀφαιρεθείη] εί in lit. V καταλιπόμενον V[1] (corr. V[2]) item v. 23 25 τὰ del. Sp. λυόμενα] λεγόμενα Vict.? M λέξεως] Eth. Nic. II, 6. 1107a8 28 ἐπιχαιρεκακίαι V 29 πάντα (ά in lit.) V 30 ψέγεται scripsi cum Arist. vulg.: λέγεται libri τῷ αὐτὰ φαῦλα Vict. ex Arist. vulg. οὐχ αἱ Vict.? ex Arist.: οὐ καὶ libri: οὐ καὶ ⟨αἱ⟩ Schwartz οὐδὲ VM: ἀλλ' οὐδὲ LSa: οὐδὲ αἱ Vict. ex Arist. 32 ἁμαρτάνει a ἢ μὴ V[2]B Vict.? Sp.: εἰ μὴ S[2]a: μὴ VS[1]LM τε del. V[2]: om. B Arist. 33 ἣν B[2] in lit. Vict.? ἦν libri ἁπλῶς τὸ ποιεῖν Vict. ex Arist. 34 ὅμοιον οὖν Vict. Sp. ex Arist. καὶ περὶ Arist. εἶναι μεσ. Arist.

καὶ ἔλλειψιν· ἔσται γὰρ οὕτως γε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης καὶ ὑπερβολῆς ὑπερβολὴ καὶ ἔλλειψις ἐλλείψεως. ὥσπερ δὲ σωφροσύνης καὶ ἀνδρείας οὐκ ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις διὰ τὸ τὸ μέσον εἶναί πως ἄκρον, οὕτως οὐδὲ ἐκείνων μεσότης οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' ὡς ἂν πράττηται ἁμαρτάνεται. ὅλως γὰρ οὔτε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης ἐστίν, οὔτε μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις. διὰ γὰρ τούτων οὐ μόνον τὴν προειρημένην λέλυκεν ἀπορίαν, ἀλλὰ καὶ πάντα τὰ πρὸς τὴν δόξαν ἀπορεῖσθαι δυνάμενα.

XXVIII. Πότερον ὡς γένος ἢ ὡς ὅλον τῶν ἀρετῶν ἡ ἀρετή.

Ἐπεὶ τοῖς μὲν ὡς γένος τῶν ἀρετῶν τὴν ἀρετὴν κατηγορεῖσθαι λέγουσιν εἵπετο ἄτοπον τὸ μιᾶς ἀναιρουμένης ἀναιρεῖσθαι πάσας (τῆς γὰρ φρονήσεως ἀναιρεθείσης οὐδ' ἄλλην οἷόν τε ἔχειν ἀρετήν, οὐχ οὕτως δὲ τὸ γένος ἔχει πρὸς | [302] τὰ εἴδη, ὡς ἑνὸς εἴδους ἀναιρέσει συναναιρεῖσθαι αὐτό τε καὶ τἆλλα εἴδη), τοῖς δὲ ὡς ὅλον μερῶν εἵπετο τὸ μὲν ὅλον τῶν μὴ ὁμοιομερῶν αὐτῷ μερῶν μὴ κατηγορεῖσθαι συνωνύμως (οὐ γὰρ κατὰ τῆς κεφαλῆς τοῦ ἀνδριάντος ὁ ἀνδριὰς καὶ ὁ λόγος αὐτοῦ· οὐσῶν δέ γε τῶν ἀρετῶν διαφερουσῶν ἀλλήλων ἡ ἀρετὴ κατὰ πασῶν συνωνύμως κατηγορεῖται) * * * ἢ εἰ τὸ ὅλον τὸ ὁμοιομερὲς τῶν μερῶν συνωνύμως κατηγορεῖται, πᾶσαι δὲ αἱ ἀρεταὶ ὅμοιαι ἀλλήλαις, εἴ γε ἣν ἂν λάβῃς ὡς τελείαν, ὁμοίως ἐκ πασῶν μέμικται, εἴη ἂν ὡς ὁμοιομερὴς ὅλη κατηγορουμένη· ἑκάστης συνωνύμως. ὁ γὰρ ἔχων τὴν τελείαν ἀρετὴν ὁμοίως πάσας ἔχει, ἔχων δὲ ὁμοίως πάσας λέγεταί ποτε μὲν κατ' ἀνδρείαν, ποτὲ δὲ κατὰ σωφροσύνην ἐνεργεῖν τῷ περὶ ἃ ἰδίως ἐστὶν ἡ σωφροσύνη, περὶ ταῦτα ἁπάσαις ὁμοίως ἐνεργεῖν. ὡς γὰρ ἐν τοῖς σώμασιν τοῖς ἐκ διαφερόντων μιγνυμένοις τινῶν τὸ μιχθὲν ὁμοιομερὲς πάντῃ γίνεται, οὕτως καὶ ἐπὶ τῶν ἕξεων τε καὶ τῶν ἀρετῶν γίνεται. αἱ γὰρ διαφέρουσαι ἀλλήλων ἀρεταὶ τῷ τήνδε μὲν αὐτῶν περὶ τάδε τινὰ εἶναι, τήνδε δὲ περὶ τάδε (ὡς ἔχον ἐπὶ τῶν φυσικῶν ἀρετῶν ὁρῶμεν· αὗται γὰρ ἐν τῇ τελειώσει, ᾗ γίνεται ἐν τῇ ἑκάστης αὐτῶν πρὸς τὰς ἄλλας μίξει), τὸ πᾶν | [303] ὁμοιομερὲς ποιοῦσιν, ὡς γίνεσθαι μὲν δοκεῖν καθ' ἑκάστην αὐτῶν ἐνέργειαν, ὅταν περὶ ταῦτα γίνηται, περὶ ἃ ἦν τῇ ἀτελεῖ τε καὶ φυσικῇ ἀνδρείᾳ φέρ' εἰπεῖν τὸ εἶναι· οὐ μὴν κατ' ἐκείνην μόνην ἐνεργεῖ περὶ αὐτά, ὧν διὰ τὴν τοιαύτην μῖξιν

1 ἐλλείψειν V 4 τὸ τὸ] τὸ a Sp. 5 καὶ] οὐδὲ a Sp. 6 ἐλλείψεως καὶ ὑπερβολῆς a Sp. 7 οὐ] ὐ in lit. V 10 ⟨ἢ⟩ ὡς γένος a Sp. 11 ante ἐπεὶ titulum iterat B, cui B² verba praemittit εἰκότως ζητεῖται 14 ἔχει πρὸς] ἔχειν πρὸς a Sp. 15 ὡς ὅλον VBS (scil. τὴν ἀρετήν): τὸ ὡς ὅλον F: τὸ ὡς ὅλων a Sp. εἵπετο τῶν μὲν a 19 fortasse ⟨μήτε ὡς γένος μήτε ὡς ὅλον δεῖ κατηγορεῖσθαι⟩. ἢ εἰ 20 τελείαν B²: τελείων VFB¹: τελειῶν a: τελεία coni. Sp. 21 μέμικται (μέμειχται?) Schwartz: δέδειχται VFB¹S¹ Vict.: σύγκειται S²B²a Sp. 22 ἔχει SBFa Sp.: ἔχειν V 24 πάσαις a Sp. 26 παντὶ a Sp. 27 τήνδε (τὴν δε V)] τὴν a Sp. 28 τάδε V²F Vict. Sp.: τὴν δὲ V¹Sa τήνδε δὲ] τὴν δὲ δὴ Vict. Sp. 29. 30 ἑκάστης] ἑκάστῃ a Sp. 30 μίξει scripsi: μίξεις libri

ὁμοίων οὐσῶν ἀλλήλαις εἰκότως ἡ ἀρετὴ συνωνύμως κατηγορεῖται· ταύτας γὰρ καὶ κυρίως ἀρετάς φαμεν.

XXIX. Ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου τῶν Νικομαχείων Ἠθικῶν Ἀριστοτέλους, δι' ἧς δείκνυται, ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν.

"Εἰ δέ τις λέγοι ὅτι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐ κύριοι, ἀλλ' οἷός ποθ' ἕκαστός ἐστι, τοιοῦτον καὶ τὸ τέλος φαίνεται αὐτῷ· εἰ μὲν οὖν ἕκαστος τῆς ἕξεως αὑτῷ ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος, εἰ δὲ μηδεὶς αὑτῷ αἴτιος τοῦ κακὰ ποιεῖν, ἀλλ' ἢ δι' ἄγνοιαν τοῦ τέλους ταῦτα πράττει, διὰ τούτων οἰόμενος αὑτῷ τὸ ἄριστον ἔσεσθαι. ἡ δὲ | τοῦ τέλους ἔφεσις οὐκ αὐθαίρετος, 304 ἀλλὰ φῦναι δεῖ ὥσπερ ὄψιν ἔχοντα, ᾗ κρινεῖ καλῶς καὶ τὸ κατ' ἀλήθειαν ἀγαθὸν αἱρήσεται, καὶ ἔστιν εὐφυὴς ᾧ τοῦτο καλῶς πέφυκεν· τὸ γὰρ μέγιστον καὶ κάλλιστον, καὶ ὃ παρ' ἑτέρων μὴ οἷόν τε λαβεῖν μηδὲ μαθεῖν, ἀλλ' οἷον ἔφυ τοιοῦτον ἕξει, καὶ εὖ καὶ καλῶς τοῦτο πεφυκέναι ἡ τελεία καὶ ἀληθινὴ εἴη ἂν εὐφυΐα."

Ἢ τὸ μὲν πάντας ἐφίεσθαι τοῦ φαινομένου αὐτοῖς ἀγαθοῦ ἀληθές, οὐκ ἀληθὲς δὲ τὸ τῆς φαντασίας μὴ κυρίους ἡμᾶς πως εἶναι. οἷος μὲν γάρ ποτε ἕκαστός ἐστι, τοιοῦτον αὐτῷ καὶ τὸ τέλος φαίνεται, τῆς δὲ ἕξεως, καθ' ἣν ἕκαστος ἡμῶν ἐστι τοιοῦτος, αὐτοῖς ἐσμεν συναίτιοι, εἴ γε ἐκ μὲν τῶν ἐνεργειῶν αἱ ἕξεις, ἐφ' ἡμῖν δὲ αἱ ἐνέργειαι. εἰ γὰρ ἀκούσιον † μὲν τό τε βίᾳ καὶ τὸ διὰ τὴν τῶν καθ' ἕκαστα ἄγνοιαν γινόμενον (δέδεικται γὰρ ὅτι ⟨ἃ⟩ ἀγνοοῦντες πράττουσίν τε καὶ ἁμαρτάνουσιν ὡς ἀγνοίας αὐτοὶ αἴτιοι, ταῦτα οὔτε ἀκούσια οὔτε τὴν ἀρχὴν δι' ἄγνοιαν γίνεται· διὰ ταύτην γοῦν τὴν αἰτίαν οὐδὲ τὰ παρὰ τὰς μέθας ἁμαρτανόμενα ἀκούσια, καίτοι ὑπὸ ἀγνοούντων γίνεται, ἀλλ' ἐπεὶ αὐτοῖς οἱ μεθύοντες αἴτιοι τῆς ἀγνοίας τῆς παρὰ τὴν μέθην, οὐκ ἐν | τοῖς ἀκουσίοις ἁμαρτανομένοις ταῦτα 305 τίθεται· Πιττακὸς γοῦν ὁ Μιτυληναῖος διπλᾶ ἐπιτίμια ὥρισεν τῶν παρὰ τὴν

3 ἐκ τοῦ τρίτου] Eth. Nic. III, 7. 1114a31 6 post φαινομένου add. αὐτοῖς V[2] in mg. 7 post κύριοι add. ὑπάρχουσιν Vict. ὁποῖος Arist. 7. 8 τοιοῦτο a Sp. 8. 9 αὑτῷ τῆς ἕ. Arist. τῆς s. v. V 10 μηδεὶς] μή, οὐθεὶς Arist. vulg. αὑτῷ Vict. Sp.: αὐτῷ V: αὐτοῦ SFMLa ἀλλὰ δι' Arist. 11 τέλους] supra ς lit. V 12 ἔσεσθαι] εσ s. v. V 13 ᾗ κρινεῖ B[2] Arist.: η κρινει ὁ V[1]: ἣ κρινεῖ V[2]B[2]: ἢ εἰ (ἤει G ἢ εἰ Vict. ἡ εἰ L): κρίνει GMLSF Vict. a: ἣ κρίνει Sp. 14 ᾧ] ὡς a τοῦτο] τοῦ s. v. V 15 ἑτέρου Arist. καὶ τὸ Arist. 17 καὶ (pr.) VB: καὶ τὸ Vict. Sp. ex Arist.: καὶ τὸ om. SFMLa 19 πάντα a Sp. 22 αὐτοῖς V 23 ἐφ' ἡμῖν coll. post ἐνέργειαι a Sp. αἱ δὲ a Sp. μὲν] om. a Sp.: fortasse μόνον, nisi exciderunt nonnulla post γινόμενον (24) 24 βία V τὸ διὰ V[2]B: διὰ τὸ V[1]: διὰ SFa Sp. S[2]B[2] in mg.: ἴσως οὕτως ὀφείλει λέγειν: τὸ γὰρ δι' ἑκούσιον ἄγνοιαν οὐ βίᾳ οὐδὲ ἀκούσιον 25 ⟨ἃ⟩ ἀγνοοῦντες scripsi: ἀγνοοῦντες ⟨ἃ⟩ Vict. 27 περὶ a Sp. 28 ἐπεὶ corr. ex ἐπὶ V[1] αὐτοῖς V[1] 29 παρὰ] περὶ coni. Sp.

μέθην ἁμαρτανομένων), ἃ γὰρ αἰτίαν ἔχει τῶν ἁμαρτανομένων [ἑκούσιόν τε καὶ ἐφ' ἡμῖν], εἴη ἂν ταῦτα καὶ αὐτὰ ἑκούσιά τε καὶ ἐφ' ἡμῖν. ὡς δὲ τῶν παρὰ τὴν μέθην ἀγνοουμένων οἱ μεθύοντες αἴτιοι, οὕτως καὶ τῶν δι' ἄγνοιαν τῶν καλῶν τε καὶ αἰσχρῶν ἁμαρτανομένων οἱ ἀγνοοῦντες αἴτιοι, εἴ γε ἐφ' ἡμῖν ἡ γνῶσις τῶν βελτιόνων τε καὶ χειρόνων. οἱ γὰρ δι' ἀμέλειαν ἀγνοοῦντες τά τε ὑπὸ τῶν νόμων ὡρισμένα καὶ τὰ ὑπὸ τῶν ἐπαινουμένων ἀνδρῶν γινόμενα τῆς ἀγνοίας αὑτοῖς αἴτιοι, εἴ γε τὸ ἀμελεῖν ἐφ' ἡμῖν. ἡ γὰρ τῶν καλῶν τε καὶ συμφερόντων ἄγνοια καθόλου οὐ τοῦ ἀκουσίου, ἀλλὰ τῆς μοχθηρίας αἰτία. ἐφ' οἷς γὰρ οἱ ψόγοι τε καὶ αἱ κολάσεις, ταῦτα ἑκούσια, ἐπὶ δὲ τῇ τῶν τοιούτων ἀγνοίᾳ ἀφίενταί τε καὶ ζημιοῦνται. οὔτ' οὖν ταῦτα τῶν ἀγνοουμένων ἀκούσια οὔτε τῶν βίᾳ γίνεσθαι λεγομένων, ⟨ὧν⟩ ἐν ἡμῖν ἡ ἀρχή. ὁ γὰρ ὑφ' ἡδονῆς βιαζόμενός τε καὶ ἡττώμενος, ἐν αὑτῷ τὴν ἀρχὴν ἔχων τοῦ ἐπὶ ταῦτα κινεῖσθαι, ⟨ἃ⟩ διὰ τὴν ἡδονὴν ποιεῖ, οὐκ ἔξωθεν ποιεῖ τῆς τοιαύτης βίας τὴν αἰτίαν ζήσας ἀνειμένως καὶ διὰ τῆς τῶν καθ' ἕκαστα ἐνεργείας ἐθίσας αὑτὸν ἡττᾶσθαι τῆς ἡδονῆς, εἴ γε βίᾳ γίνεται ὧν ἡ ἀρχὴ καὶ ἡ αἰτία ἔξω|θεν, μηδὲν 306 ἡμῶν πρὸς τὰ δι' αὐτὴν γινόμενα συντελούντων, ὁ δὲ ἐν αὑτῷ γε τὴν ἀρχὴν τοῦ πράττειν ἔχων ἃ πράττει καὶ τοῦ βουλεύεσθαι περὶ αὐτῶν ἐξουσίαν ἔχων, οὗτος οὐκ ἔχει τῶν οὕτως ἁμαρτανομένων βίαιον αἰτίαν. ὄντος δὴ ὡς ἐρρέθη ἀκουσίου τοῦ προειρημένου τὸ ἑκούσιον γίνεται, οὗ ἡ ἀρχὴ ἐν ἡμῖν εἰδόσιν τὰ καθ' ἕκαστα, περὶ ἃ ἡ πρᾶξις. οὔτε γὰρ ὁ τὴν ἀρχήν τε καὶ αἰτίαν τῶν πραττομένων ἔχων ἐν αὑτῷ βίᾳ ταῦτα πράττει, οὔτε ὁ εἰδὼς τὰ καθ' ἕκαστα, περὶ ἃ καὶ δι' ὧν ἡ πρᾶξις, δι' ἄγνοιαν αὐτὰ ποιεῖ, ὥστε εἰ ἀκούσια τὰ βίᾳ ἢ δι' ἄγνοιαν, ὧν δὲ πραττομένων ἡ ἀρχή τε ἐν ἡμῖν καὶ γνωρίζεται τὰ καθ' ἕκαστα, ταῦτα οὔτε βίᾳ οὔτε δι' ἄγνοιαν, οὐδ' ἂν ἀκούσια εἴη, εἰ δὲ μὴ τοῦτο, ἑκούσια. διὸ καὶ τὰ διὰ θυμόν τε καὶ ἐπιθυμίαν πραττόμενα ἑκούσια. ἐν ἡμῖν γὰρ ἡ ἀρχὴ τῶν τοῦτον γινομένων τὸν τρόπον. προσέτι τε εἰ τὰ διὰ ταῦτα γινόμενα ἀκούσια, οὐδὲν ἂν οὔτε τῶν ἀλόγων ζῴων οὔτε τῶν παιδίων ἑκουσίως τι ποιοῖ· διὰ γάρ τι τούτων τὰ γινόμενα ὑπ' αὐτῶν γίνεται πάντα. ἔτι τε πολλὰ καὶ τῶν καλῶν διὰ ταῦτα γίνεται. ἔτι δ' εἰ ἄτοπον ἀκούσια λέγειν τὰ γινόμενα κατὰ λόγον τε καὶ εὐλόγως, κατὰ λόγον δὲ ὀρεγόμεθά τινων καὶ ὀργιζόμεθά τισιν, οὐκ ἂν εἴη ἀκούσια τὰ γινόμενα διὰ ταῦτα. | ὄν- 307 των δὴ πάντων τῶν οὕτως γινομένων ἑκουσίων, τῶν ἑκουσίων ταῦτα τὸ

---

1 ἃ γὰρ] fortasse ἅπερ ἑκούσιον L^{2}BS^{2}a Sp.: ἀκούσιον VS^{1}FML^1 1. 2 ἑκούσιον—ἡμῖν del. Sp. 2 pr. καὶ V^{2}S^{2}Ba Sp.: ἡ V^1: ἢ S^1 ἀκούσια a alt. ἡμῖν] ἡ in lit. V 12 λεγομένων] ω in lit. V ὧν add. B^2 13 αὐτῷ V ⟨ἃ⟩ διὰ scripsi 14 ποιεῖ ante τῆς om. a Sp. fortasse αἰτίαν ⟨ἔχων⟩, 14. 15 ζήσας ἀνειμένως FML: ζήσασαν εἰ μὲν ὡς V: ζησας ἀνειμέν ὡς S^{1}B^1: ζητήσας ὡς S^{2}B^{2}a Sp. 16 βία V 16. 17 μηδὲν μὲν ἡμῶν Vict. 17 αὐτῷ V 18 τε καὶ a Sp. 21 εἴδοσιν V οὔτε γὰρ] ε γὰρ in lit. V 22 αὐτῷ V ταῦτα] τι ML 23 οὔτε V^1 in mg. τὰ] τὰς a 24 τὰ scripsi: η τε sic V^1: οἵ τε V^2: ἥ τε FS^{1}ML: ἡ τὰ S^2: τὰ ἢ B in lit. a Sp. βία V 28 ταυτὰ a 30 ὑπ' αὐτῶν Sp.: ὑφ' αὐτῶν libri 31 ακούσια V 34 τὸ B^{2}S^{2}a Sp.: τὰ VB^1: om. S^{1}FML

ἐφ' ἡμῖν ἔχει, ὅσα ἐστὶ προαιρετά τε καὶ κατὰ προαίρεσιν γινόμενα, πᾶν τε τὸ κατὰ προαίρεσιν γινόμενον μετὰ λόγου τε καὶ προαιρέσεως γίνεται, διὸ καὶ δοκεῖ ἡ προαίρεσις εἶναι ἑκούσιον προβεβουλευμένον. περὶ γὰρ τὰ βουλευτὰ ἡ προαίρεσις, βουλευτὰ δέ ἐστιν περὶ ὧν ἐστι βουλή τε καὶ τὸ βουλεύεσθαι, βουλεύεται δὲ οὐδὲν ζῷον ἄλλο παρὰ τὸν ἄνθρωπον, βουλευόμεθα δὲ οὔτε περὶ τῶν ἀιδίων καὶ ἀεὶ ὁμοίως ἐχόντων, οὔτε περὶ τῶν γινομένων μέν, ἀεὶ δὲ γινομένων ὁμοίως τε καὶ κατὰ τάξιν ὡρισμένην, ὧν εἰσιν ἀνατολαί τε καὶ δύσεις καὶ τροπαί, ἀλλ' οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων καὶ γινομένων, οἷον αὐχμῶν τε καὶ ὄμβρων, ἀλλ' οὐδὲ περὶ τῶν γινομένων ἀπὸ τύχης, ἀλλ' οὐδὲ περὶ τῶν ὑπ' ἀνθρώπων γινομένων ἁπάντων· οὐδεὶς γὰρ τῶν Ἀθήνησιν ὄντων βουλεύεται, πῶς ἂν Σκύθαι ἄριστα πολιτεύοιντο. περὶ γὰρ τούτων βουλευόμεθα, ἃ οἷά τέ ἐστιν δι' ἡμῶν γίνεσθαι· ἔστι γὰρ ἡ βουλὴ περὶ τῶν ἡμῖν τοῖς βουλευομένοις πρακτῶν. οἱ γὰρ βουλευόμενοι βουλεύονται περὶ τῶν δι' αὑτοὺς πρακτῶν, ἔστι δὲ τοιαῦτα, ἃ ἄλλοτε ἄλλως οἷοί τε ποιεῖν ἐσμεν τῷ μὴ ἔχειν ὡρισμένα τὰ ἐφ' οἷς γίνεται, τοιαῦτα δὲ περὶ ὧν δοξάζομεν. ἔτι γίνεται ἡ βουλὴ οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη. ὧν γὰρ τὰ τέλη βουλητά ἐστιν, ὄντων πρακτῶν τούτων, ἐστὶ βουλευτὰ τὰ ἄγοντα ἐπ' αὐτά· βουλευόμεθα γάρ, | δι' ὧν δυνησόμεθα αὐτῶν τυχεῖν. ὄντων δὴ τῶν βουλευτῶν τοιούτων τὸ 308 προαιρετόν ἐστι τὸ ἐκ τῶν βουλευτῶν προκριθὲν ὡς μᾶλλον τῶν ἄλλων συντελοῦν τε καὶ ἄγον πρὸς τὸ προκείμενον τέλος, αἵ εἰσιν αἱ κατὰ τὰ προκριθέντα ἐκ τῶν βουλευτῶν γινόμεναι πράξεις προαιρεταί, αἳ γίνονται μετὰ ὀρέξεως τοῦ προκριθέντος. οὐ γὰρ αὐτάρκης ἡ κρίσις πρὸς τὴν πρᾶξιν τῶν κριθέντων, ἀλλὰ δεῖ καὶ ὀρέξεως, διὸ καὶ ἡ προαίρεσις εἶναι λέγεται ὄρεξις βουλευτική. ὄντων δὲ τῶν κατὰ προαίρεσιν γινομένων ἑκουσίων τε καὶ ἐφ' ἡμῖν, κειμένου δὲ καὶ τοῦ τὰς ἕξεις τὰς περὶ τὰ πρακτὰ ἐκ τῶν ἐνεργειῶν τῶν περὶ [τὰ] αὐτὰ γίνεσθαι κατὰ προαίρεσιν ἐνεργουμένων, εἴη ἂν διὰ τούτων κείμενον καὶ τὸ τὰς ἕξεις τὰς περὶ τὰ πρακτὰ ἑκουσίους τε εἶναι καὶ ἐφ' ἡμῖν· ὡς γὰρ τὰς κατὰ τὰς τέχνας ἕξεις ἐκ τῶν κατ' αὐτὰς ἐνεργειῶν κτώμεθα, οὕτως δὲ καὶ τὰς κατὰ τὰς ἀρετὰς ἕξεις κτώμεθα· ἐθιζόμενοι γὰρ τὰ καλὰ πράττειν ἐν ἕξει γινόμεθα τοῦ πράττειν αὐτά, ὡς καὶ τὰ τεκτονικὰ οἱ σπουδάζοντες γενέσθαι τέκτονες. ὥσπερ ἐπὶ τῶν τεχνῶν ἄλλος μὲν ἄλλου ἀμείνων πέφυκεν πρὸς τὸ τὴν ἕξιν κτήσασθαι τῆς προκειμένης τέχνης, οὐ μὴν τῶν κατὰ φύσιν ἐχόντων πεπήρωταί τις πρὸς τὴν ἀνάληψίν τε καὶ κτῆσιν αὐτῆς, οὕτως ἔχει πολὺ μᾶλλον ἐπὶ τῶν ἀρετῶν, ὅσῳ καὶ κατὰ φύσιν | τοῖς ἀνθρώποις μᾶλλον ἡ τῶν ἀρετῶν 309 κτῆσις τῆς τῶν τεχνῶν. ⟨εἰ⟩ δὲ ἡ τῶν ἀρετῶν, δῆλον ὡς καὶ ἡ τῶν

---

2 μετὰ λόγου] μεγαλόι οὐτέ V^1 (corr. V^2) 15 οἷόν V^1 (corr. V^2) 17 βουλευτὰ a Sp. 18 βουλεύτὰ sic V 21 αἳ] fortasse καὶ αἱ s. v. V 23 ὀρέξεως] infra ἐξ lit. V 25 ἡ ὄρεξις a Sp. τῶν s. v. V 27 τὰ om. a Sp. 29 κατὰ τέχνας a Sp. 31 ἐκτώμεθα a γὰρ om. a τὰ in lit. V 32 ὥσπερ ⟨δ'⟩ V^2S^2Ba Sp.: ὡς γὰρ S^1FML 35 ἀνάληψ(ιν] ante ψ una littera erasa V 36 ὅσω V 37 εἰ add. V^2a Sp.

κακιῶν, εἴ γε διὰ μὲν τῶν ἀντικειμένων ἐθῶν αἱ κακίαι ταῖς ἀρεταῖς συνιστανται, οἷς δὲ τὰ ἀντικείμενα † τί δεῖν ἐφ' αὐτοῖς, ἐπ' ἐκείνοις καὶ τὰ οἷς ἐκεῖνα ἀντίκειται, ὥστε ἀληθὲς συνημμένον τὸ λέγον· εἰ ἕκαστος τῆς ἕξεως ἑαυτῷ ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος. ⟨εἰ⟩ ἀληθὲς δὲ καὶ τὸ αἴτιον τῆς ἕξεως αἴτιον εἶναί πως ἑαυτῷ, ἀληθὲς ἔσται καὶ τὸ τῆς φαντασίας τῆς γινομένης περί τε τῶν ἀγαθῶν καὶ τῶν κακῶν ἕκαστον εἶναί πως αἴτιον ἑαυτῷ. τούτου δὲ τοῦτον ἔχοντος τὸν τρόπον καὶ τοῖς κακοῖς, τῆς τοιαύτης ἕξεως ἑαυτοῖς πως οὖσιν αἰτίοις, ἕπεται τὸ ἐπ' αὐτοῖς εἶναί πως καὶ τὰ ἀγαθὰ αὐτοῖς κακὰ φαίνεσθαι. οὐ γὰρ εἰ ἀγνοοῦντες τὸ τέλος οἱ κακοὶ τὰ κακὰ πράττουσιν, ἤδη καὶ δι' ἄγνοιαν αὐτὰ πράττουσιν. ἐδείχθη γὰρ ἡ τούτων ἄγνοια ἑκούσιος οὖσα, οἳ καὶ τοῦ ἀγνοεῖν αὐτοῖς αἴτιοι. τὸ γὰρ οἴεσθαι τεύξεσθαι [τε] καὶ διὰ τοῦ τὰ φαῦλα πράττειν τοῦ τέλους παρ' αὐτοῖς, εἴ γε ἐπ' αὐτοῖς τὸ γνῶναι τὰ ἀγαθὰ καὶ τὸ πράττειν, δι' ὧν ταῦτα περιγίνεται. φῦναι μὲν γὰρ δεῖ πως τὸν μέλλοντα ἀρετὴν ἢ κακίαν δέχεσθαι, εἴ γε μὴ πᾶν ζῷόν ἐστι τούτων δεκτικόν, ἀλλ' ἄνθρωπος μόνον· οὐ μὴν εἰ ποιᾶς φύσεως τῷ ταῦτα ἕξοντι | ζῴῳ, ἤδη δεῖ καὶ ἔχειν αὐτὸν φύσει τὸ ὄμμα τοῦτο, ᾧ κρινεῖ τὰ κρινό- 310
μενα καλῶς καὶ τὸ κατ' ἀλήθειαν ἀγαθὸν αἱρήσεται, ὅπερ ἐστὶν ἀρετή. οὐ γὰρ ὁμοίως αἵ τε αἰσθήσεις καὶ ἀρεταὶ φύσει, ἀλλ' αἱ μὲν αἰσθήσεις αὐταὶ φύσει, ἡ δὲ ἀρετὴ οὐκ αὐτὴ φύσει, ἀλλ' ἡ μὲν τοῦ δέξασθαι δύναμις αὐτὴν φύσει, αὐτὴ δὲ οὐ φύσει. διὸ μᾶλλον ἡ ἀρετὴ ὁμοίως φύσει ταῖς τέχναις, οὐ ταῖς αἰσθήσεσιν. ὡς γὰρ τῶν τεχνῶν τὸ μὲν εἶναι δεκτικοῖς ἡμῖν αὐτῶν ὑπάρχει φύσει, οὐδεὶς δὲ γίνεται τεχνίτης φύσει, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει. διὸ καὶ τὴν μὲν αἰσθητικὴν ὄψιν, εἰ μὴ φύσει τις ἔχοι, οὐδ' ἂν κτήσαιτο αὐτήν ποτε, ἐπὶ δὲ τῆς κατὰ τὴν ἀρετὴν ὄψεως οὐ φῦναι ἔχοντα δεῖ τήνδε τὴν ὄψιν, ἀλλὰ φῦναι δεῖ δέξασθαι δύνασθαι αὐτήν, τὸ δὲ ἔχειν αὐτοὺς παρ' αὐτῶν πειρᾶσθαι λαμβάνειν, καὶ ἔστιν εὐφυὴς οὐχ ὁ ἤδη τὴν ἀρετὴν ἔχων καὶ τὸ ὄμμα τοῦτο, ἀλλ' ὁ ῥᾷον ἄλλου λαβεῖν αὐτὴν δυνάμενος, ὃν τρόπον καὶ ἐπὶ τῶν τεχνῶν ἔχον ἐδείχθη.

XXX. Πῶς εἰ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίνεται, οὐκ ἔσται 311
ἐκ μὲν δικαιοσύνης ἀδικία, ἐκ δὲ ἀδικίας δικαιοσύνη, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν τε καὶ κακιῶν ὁ αὐτὸς λόγος.

Ἢ καὶ ταῦτα οὕτως γίνεται. ὁ γὰρ δίκαιος γινόμενος ἤτοι ἐξ ἀδικίας

2 τί δεῖν om. S²B²a Sp.: fortasse ποιεῖν ἐφ' αὐτοῖς] ἐπ' αὐτοῖς a Sp. ἐπ del. Sp. 4 αὐτὸς] inter ο et ς lit. V εἰ add. V²B Vict. 5 αἴτιον] ἕκαστον a Sp.: αὐτὸν Schwartz ἕξεως V²SBa Sp.: λέξεως V¹FLM 6 τῶν ἀγαθῶν] ῶ et pr. ά in lit. V 9 κακά] κακοὶ a Sp. 11 οἳ καὶ scripsi: οἷς libri: οἳ coni. Sp. 12 αὐτοῖς V τε delevi 16 εἰ om. a ποιᾶς Diels: ποίας libri ⟨δεῖ⟩ τῷ a Sp. ἕξοντι V 17 κρίνει a Sp. 19 καὶ αἱ ἀρεταὶ a Sp. 20 αὐταὶ] αυται V¹ (corr. V²): αὗται a 21 ὁμοίως ⟨ἔχει⟩ sive ὁμοία coni. Sp. 22 fortasse ⟨ἐπὶ⟩ τῶν 26 fortasse δυνάμενον 27 αὐτοὺς] αὐτὴν a λαμβάνειν] β in lit. V: λαμβάνει a Sp. 33 ante ἢ B iterat titulum usque ad δικαιοσύνη (31)

μεταβάλλει εἰς δικαιοσύνην, ἥ ἐστιν ἐναντία τῇ δικαιοσύνῃ ἕξις, ἢ ἐκ τῆς μεταξὺ καταστάσεως, καὶ τὰ ἐκ τῶν μεταξὺ δὲ μεταβάλλοντα εἰς τὸ ἕτερον ἄκρον ὡς ἐξ ἐναντίου τοῦ μεταξὺ μεταβάλλει. τῷ γὰρ τὸ μεταξὺ τῷ ἀμφοτέρων πως μετέχειν τῶν ἄκρων καὶ τὰ μηδετέρου ὁλοκλήρως ἔχειν εἶναι αὐτῶν μεταξὺ τούτων, καὶ ὅταν εἰς τὸ ἕτερον αὐτῶν μεταβάλλῃ, ὡς ἐξ ἐναντίου αὐτοῦ μεταβάλλει τῷ ἐκ τούτων μεταβάλλειν, ἃ ὄντα τῶν μεταξὺ ἐκώλυεν αὐτὸ ἤδη εἶναι ἐν τούτῳ εἰς ὃ μεταβάλλει. εἰ ⟨δὲ⟩ πᾶν τὸ μεταβάλλον εἴς τινα ἕξιν ἐκ τῆς στερήσεως τῆς ἕξεως ἐκείνης μεταβάλλει, ἐναντίον δὲ ἡ τοιαύτη στέρησις τῇ ἕξει, εἰς ἣν ἡ μεταβολή, καὶ ἡ δικαιοσύνη ἂν καὶ ἡ ἀδικία ἐξ ἐναντίων γίγνοιντο. ἐκ γὰρ τῶν στερήσεων· τό τε γὰρ δίκαιον γινόμενον ἐν στερήσει τοῦ δικαίου, καὶ τὸ ἄδικον ὁμοίως τοῦ ἀδίκου. εἰ μὲν οὖν ἡ ὕλη, ἐξ ἧς ἡ κυρίως γένεσις, αὕτη δέ ἐστιν ἡ τῶν | οὐσιῶν, 312
καθ' αὑτὴν ἦν ὑφεστῶσα ἄνευ τοῦ εἶναι σὺν εἴδει τινί, ἁπλῶς ἂν γινόμενα κυρίως ἐκ τῆς ὕλης ἂν ἐγίνετο καὶ τῆς στερήσεως, τῆς μὲν ὕλης ὡς ὑποκειμένου τε καὶ ὑπομένοντος, ἐκ δὲ τῆς στερήσεως ὡς ἐναντίου τε καὶ μὴ ὑπομένοντος· ἐπεὶ δὲ ἀδύνατον εἶναι τὴν ὕλην ἐν ὑποστάσει χωρὶς εἴδους τινός (οὐ γὰρ οἷόν τε ὕλην τινὰ χωρὶς εἴδους εἶναί τινος· τῷ γὰρ λόγῳ χωριστὴ τῶν εἰδῶν καὶ τῷ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία, ἐπεὶ ἥ γε ὑπόστασις αὐτῆς ἀεὶ μετά τινος τούτων, εἰς ἃ μεταβάλλει παρὰ μέρος, ὅταν εἴς τι εἶδος μεταβάλλῃ), δῆλον μὲν ὅτι ἐν στερήσει οὖσα αὐτοῦ εἰς αὐτὸ μεταβάλλει, ἐπεὶ δὲ ἡ οὖσα ἐν στερήσει τούτου, εἰς ὃ μεταβάλλει, ἀπ' ἄλλου τινὸς εἴδους ἐστί, δηλονότι τούτῳ εἰς ὃ μεταβάλλει, ἐναντίον εἶδος ἔχει, καθ' ὃ καὶ αὐτῷ ἡ μεταβολὴ αὕτη γίνεται. ἐν ᾧ γὰρ ἀδύνατον μένειν μεταβάλλουσαν, εἰς ὃ μεταβάλλει, κατὰ τοῦτο μεταβάλλει τε καὶ ἀμείβει τὸ εἶδος. τοιαῦτα δὲ τὰ ἐναντία εἴδη, ἐφ' οἷς ἔστι τε καὶ εἶναι δύναται τὸ ὄν τινων ἐν στερήσει, καὶ διὰ τοῦτο προηγουμένως μὲν ἐκ τῆς στερήσεως καὶ τῆς ὡς στερήσεως ἐναντιώσεως ἡ κυρίως γένεσις, ἤδη δὲ καὶ ἐκ τῶν ἐναντίων εἰδῶν, ἐφ' οἷς οὖσα πρὸ τῆς εἰς τὰ ἐναντία αὐτοῖς μεταβολῆς οὐ δύναται μὴ μεταβάλλουσα ἐξ | αὐτῶν μεταβάλλειν εἰς τὸ εἶδος, 313

---

1 ἥ] ἡ Sp. ἢ B^2N: καὶ Va Sp.: ἢ καὶ F 3 τῷ scripsi: τῶν libri 4 τὰ] τοῦ Vict.: om. N 4. 5 ἔχειν — τούτων (τούτῶν V)] οἷον ἐναντίον ἐστὶ τῶν ὧν ἐστι μεταξύ S^2B^2a Sp., sed praemissis verbis λείπεται ῥῆμα λείπει (?) ἤ τι τοιοῦτον B^2 6 ἃ ὄντα VB Vict. Sp.: ἠδόντα FG^1: ἰδόντα Sa: ἀεὶ ὄντα N: ἢ εἰ οὐδὲν τὰ G^1 et S^1 in mg. τῶν a Sp.: τῷ libri 7 εἰ δὲ πᾶν S^2B^2a Sp.: εἰ πᾶν VB^1: εἴη ἂν S^1F: ἢ εἰ πᾶν N 9 alt. ἡ om. a Sp. 10 γίγνοιτο a Sp. 11 ἐν τῇ N ἦν, καὶ a Sp. 13 καθ' αὑτὴν B^2 Sp.: κατ' αὐτὴν libri σὺν εἴδει S^2Ba Sp.: συνείδει V: ἐν εἴδει S^1F τινι τὰ a Sp. ἁπλῶς τὰ N 14 καὶ ἐκ τῆς στ. a Sp. 15 ἐκ δὲ τῆς] τῆς δὲ S^2B^2a Sp. 15. 16 τε καὶ μὴ ὑπομένοντος VFS^1N: τῇ ἕξει εἰς ἣν ἡ μεταβολή S^2B^2a Sp. ἐκ δὲ — ὑπομένοντος om. B^1 (B^2 supplet lectionem, quam exhibent S^2a) 16 εἶντα a 17 οὐ — τινος om. SFa οἴονται V 18 χωριστὴ VB Sp.: χωρὶς τῆς SFa: χωριστὰ Vict. τῷ] τὸ Vict. 20 μεταβάλλῃ] ῃ in lit. V 21. 22 ἀπ' — εἴδους] ἐν ἄλλῳ τινὶ εἴδει B^2S^2a Sp. ὁ V 23 αὕτη V: αὐτῇ a Sp. 24 μεταβάλλουσα a Sp. ἀμείβει] βει s. v. V 25 τὰ] τὰ τα V

⟨εἰς⟩ ὃ μεταβάλλει. ὅταν μὲν οὖν ὦσιν αἱ ἕξεις εὐμετάβολοι καὶ αἱ ἐναντιότητες εἰς ἀλλήλας, καὶ ἐκ τῶν ἐναντίων εἰδῶν ἡ μεταβολὴ γίνεται τοῖς εἴς τι μεταβάλλουσιν ὥσπερ καὶ ἐκ τῆς στερήσεως τοῦ εἰς ὃ μεταβάλλει. ὅταν δὲ ᾖ τὰ ἐναντία τοιαῦτα, ὡς μόνιμά τε εἶναι καὶ μὴ ῥᾳδίως μεταβάλλειν, αἱ γενέσεις τοῖς τοιούτοις ἔκ τε τῶν στερήσεων γίνονται καὶ ἐκ τῶν μεταξύ, ἀφ' ὧν ὡς ἀπ' ἐναντίων καὶ αὐτῶν τοῖς εἴδεσιν, εἰς ἃ ἡ μεταβολὴ γίνεται, μεταβάλλει τὰ γινόμενα, ἡ μὲν τῶν κατ' ἀλλοίωσιν καὶ αὔξησιν καὶ μείωσιν καὶ κατὰ τόπον μεταβολῇ γινομένη γένεσις, οὖσά τις γένεσις, ἀλλ' οὐχ ἁπλῶς γένεσις ἐξ ἐναντίων, ἡ δὲ κατ' οὐσίαν οὐκέτι ἐξ ἐναντίων, ἀλλ' ἐκ τῆς κατὰ ἀντίφασιν ἀντιθέσεως, ὅτι μηδέ ἐστι τῇ οὐσίᾳ τι ἐναντίον.

---

1 εἰς add. a Sp. αἱ om. a Sp. 5 τῆς στερήσεως a Sp. 6 ἀφ' ὧν S[1]FN: ἀφῶν V: ἀμφοῖν S[2]B[2]a Sp.: ἀφῶν B[1] ἡ om. a Sp. 7 δὲ τὰ a Sp. 9 μεταβολῇ scripsi: μεταβολὴ SFGa Sp.: μεταβολὴν VB 11 μηδέν a Sp. 12 τι om. a Sp.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΚΡΑΤΟΡΑΣ ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ.

Ed. Orelli p. 2

I Ἦν μὲν δι' εὐχῆς μοι, μέγιστοι αὐτοκράτορες Σεβῆρε καὶ Ἀντωνῖνε, αὐτῷ γενομένῳ παρ' ὑμῖν ἰδεῖν τε ὑμᾶς καὶ προσειπεῖν καὶ καθομολογῆσαι χάριν ἀνθ' ὧν ἔπαθον εὖ παρ' ὑμῶν πολλάκις, αἰεὶ τυχὼν πάντων ὧν ἠξίωσα μετὰ μαρτυρίας † ἧς δίκαιος εἶναι τυγχάνειν τοιαῦτα αἰτούμενος. ἐπεὶ δὲ ἐφεῖται, καὶ εἰ μὴ παρών τις τοῖς ἱεροῖς θύειν δύναται, τὸ θύειν αὐτοῖς πανταχόθεν τε καὶ πανταχοῦ καὶ πέμπειν ἀναθήματα, ἃ μὴ κομίζειν αὐτὸς οἷόν τε, ἐθάρσησα πρὸς ὑμᾶς τῇ πρὸς τὸ θεῖον ἐξουσίᾳ, καί τινα ἀπαρχὴν ὑμῖν τῶν ἡμετέρων καρπῶν ἀνάθημα πέμψαι οἰκειότατον ὑμῖν ἀναθημάτων ἁπάντων. τί γὰρ ἂν οἰκειότερον τοῖς γνησίως φιλοσοφίαν τιμῶσίν τε καὶ προάγουσιν ἀνάθημα γένοιτο βιβλίου ὑπισχνουμένου θεωρίαν φιλόσοφον; περιέχει τε τὸ βιβλίον τὴν δόξαν τὴν Ἀριστοτέλους, ἣν ἔχει περί τε εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν, οὗ τῆς φιλοσοφίας προΐσταμαι ὑπὸ τῆς ὑμετέρας μαρτυρίας διδάσκαλος αὐτῆς κεκηρυγμένος. ἔστι δὲ οὐδενὸς δεύτερον τῶν κατὰ φιλοσοφίαν δογμάτων τουτὶ τὸ δόγμα· ἥ τε γὰρ ἀπ' αὐτοῦ χρεία πανταχοῦ | 4 τε καὶ ἐπὶ πάντα διατείνει (οὐ γὰρ ὁμοίως περὶ τὰς πράξεις ἔχουσιν οἵ τε πάντα ἐξ ἀνάγκης καὶ καθ' εἱμαρμένην γίγνεσθαι πεπιστευκότες καὶ οἷς δοκεῖ γίνεσθαί τινα καὶ μὴ τοῦ πάντως ἔσεσθαι προκαταβεβλημένας αἰτίας ἔχοντα), ἥ τε εὕρεσις τῆς ἀληθείας τῆς ἐν αὐτῇ χαλεπωτάτη τῷ δοκεῖν τῶν δοξῶν ἑκατέρᾳ πολλὰ ἀντιμαρτυρεῖν τῶν ἐν-

---

4 αὐτῷ V   ὑμῖν ἰδεῖν τε om. O   4. 5 χάριν καθομολογῆσαι a^{2} 5 πολλακισ V   6 ἧς Va^{1}: ὧν a^{2}: ὧν E mg.: ὡς Lond. Diels: τῆς B^{2}: ὡς ὧν coni. O: fortasse del. εἶναι] εἴην coni. O   7 ἐφεῖται in mg. ἐντέλλεται V   τοῖς θεοῖς δύναται Cas. O   8 ἀναθύματα a^{1} 9 τε ἦν ἐθάρσησα Cas. O   ἡμᾶς a^{1} ἐξουσίᾳ] μιμήσει B^{2} τινας Lond.   9. 10 ἀπαρχὴν HESO Cas. B^{2}: ἀπαρχῆς Va^{12}: ἀπ' ἀρχῆς K: ἀπαρχὰς Lond.   10 καὶ ἀνάθημα B^{2} ἡμῖν a^{2} 13 περιέχει B^{2}: περισχεῖν a^{2}: περιέχειν Va^{1} τε] δὲ coni. O: γὰρ Diels   τε τὸ βιβλίον] καὶ Lond. O   13. 14 τε περί τε a^{2} 14 προίσταται a^{2} 16. 17 ἀπ' αὐτοῦ] ἀπανταχοῦ a^{1} 18 τε καὶ καθ' a^{2} 19 alt. καὶ] ἃ καὶ a^{2}O   20 ἔχοντα a^{1}: ἔχοντες V^{2}: ἔχουσιν $V^{1}a^{2}$O   εὕρεσιν a^{2} ἐν αὐτῷ coni. Casp. O   21 τῷ δοκεῖν Va^{1}: ἐστιν (ἐστιν del.) δοκεῖ τῷ δοκεῖν E: δοκεῖ τῷ δοκεῖν a^{2} ἑκατέρα a^{12}

αργῶν. ἐπεὶ δὲ ἐνίων δογμάτων ⟨ἡ⟩ κατασκευὴ διὰ τὴν πρὸς τοὺς μὴ ὁμοίως λέγοντας ἀντιλογίαν γίνεται φανερωτέρα (ὧν ἐν τοῖς μάλιστα κατ' αὐτοῦ * * * τε εἶεν μείζω ἢ κατὰ τὴν Ἀριστοτέλους δόξαν εἰπεῖν), ποιήσομαι τὸν λόγον πρὸς τοὺς οὐχ ὁμοίως ἐκείνῳ περὶ τούτων εἰρηκότας, ὅπως ἐν τῇ τῶν λεγομένων παραθέσει φανερώτερον ὑμῖν τἀληθὲς γένηται. ἔστι δὲ ἡ τῶν λόγων τῶν ἡμετέρων προαίρεσις οὐ πρὸς ἐπίδειξιν νενευκυῖα, ἀλλὰ πρὸς ἐξέτασίν τε καὶ διδασκαλίαν τῶν προκειμένων ἀκριβεστέραν, ἣν καὶ ὑμᾶς πᾶσιν οἷς πράσσετε ὁρᾶν ἔνεστιν ἐζηλωκότας. οὐδεμίαν γοῦν πρᾶξιν ὑμῶν ἔστιν εὑρεῖν, ἣ τὴν φαντασίαν πρὸ τῆς ἀληθείας σκοπὸν πεποίηται. εἰ δέ τι κατὰ σχολὴν ἐντυγχάνουσιν ὑμῖν τῷ βιβλίῳ δεῖσθαι δόξει ῥηθῆναι γνωριμώτερον, ἀξιῶ τιμηθῆναι καὶ ταύτῃ τῇ τιμῇ πρὸς ὑμῶν καὶ γραφῆναί μοι περὶ τῶν ζητουμένων· οὐδὲ γὰρ ῥᾴδιον πάντα γνώριμα ποιῆσαι δι' ἑνὸς βιβλίου αὐτά τε τὰ προκείμενα καὶ οἷς τις χρῆται πρὸς τὴν μήνυσιν αὐτῶν.

Τὸ μὲν οὖν εἶναί τι τὴν εἱμαρμένην καὶ αἰτίαν εἶναι τοῦ γίνεσθαί II τινα κατ' αὐτὴν ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησιν πρόληψις (οὐ γὰρ κενὸν οὐδ' ἄστοχον τἀληθοῦς ἡ κοινὴ τῶν ἀνθρώπων φύσις, καθ' ἣν περί τινων ὁμοδοξοῦσιν ἀλλήλοις, ὅσοι γε αὐτῶν μὴ διά τινας προκαταβεβλημένας δόξας ὑφ' | αὐτῶν διὰ τὸ σώζειν βούλεσθαι τὴν πρὸς αὐτὰς ἀκολουθίαν ἄλλως ἀναγκάζονται λέγειν· δι' ἣν αἰτίαν οὐδὲ Ἀναξαγόρας ὁ Κλαζομένιος, καίτοι τἆλλα ὢν ἐν τοῖς τὴν φυσικὴν φιλοσοφίαν φιλοσοφήσασιν οὐκ ἀπερριμμένος, οὐκ ἀξιόπιστος ἀντιμαρτυρῶν τῇ κοινῇ τῶν ἀνθρώπων πίστει περὶ εἱμαρμένης· λέγει γὰρ οὗτός γε μηδὲν τῶν γινομένων γίνεσθαι καθ' εἱμαρμένην, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα), τί δέ ποτ' ἐστὶν ἡ εἱμαρμένη καὶ ἐν τίσιν, οὐκέθ' [οὐ γὰρ μόνον οὐκ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ] ἡ τῶν ἀνθρώπων κοινὴ πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι. οὔτε γὰρ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ αὐτὸς αὑτῷ τις περὶ αὐτῆς αἰεὶ [αὑτῷ] τὰ αὐτὰ δοξάζει. πρὸς γὰρ τοὺς καιρούς τε καὶ τὰς περιεστώσας τύχας καὶ

6

1 ἡ add. Diels μὴ V^2a^{12}: om. V^1: in lit. B 2 ἀντιλογια sic V^1 (corr. V^2): ἐν ἀντιλογίαν B μάλιστα] pr. α in lit. V lacunam indicavi 3 τε] τει ειεν (in mg. τι ut videtur v. c.) V: τει ειεν sic B: τί εἶεν HSa^2: εἶεν (in mg. εἰρηκότες) E: τί εἴη? K: τί εἴη ἂν Cas. O: οὐδὲν οἶμαι a^1 Lond. μεῖζον Cas. ἢ a^{12}: ει (sic) VH τε—ἢ om. C vacuo relicto 10 litt. τὴν om. O 4 εἰρηκότας] ας in lit. V 5 ἡμῖν a^{12} 6 νευνευκυῖα V 8 πράσσεται a^2 γοῦν] οὖν E: γὰρ O ἔστιν V 9 ἣ V (infra versum) a^1: ἐν ᾗ a^2O πεποίησθε Cas. O τι om. a^2 10 ἡμῖν a^2 δεῖσθαι om. a^2 δόξει V^2a^{12}: δόξαι V^1: δόξει ⟨τινὰ⟩ coni. O ῥηθῆναι δεῖν Cas. 11 πρὸς Va^1: παρ' a^2 12 ῥάδιων V^1 (corr. V^2) 14 ad sequentia cf. Alex. De anima II, 179,25 sq. τι] τε coni. O 20 τἆλλα ὢν ἐν τοῖς V^2a^{12}O: ἄλλα ων αυτοῖς V^1: ἄλλα ὢν αὐτοῖς ES^2 (sed τἆλλα S^2) 21 ἀπεριμμένος Va^1: ἀπερριμένος a^2 οὐκ] ἀλλ' H: del. Casp. O 22 τῶν γινομένων μηδὲν a^2 23 δή ποτ' οὖν a^2 24 οὐκέθ' V: οὐ καθόλου ES: οὐκέτι a^{12}O οὐ γὰρ—οὐδὲ (25) delevi 25 μηνύσαι V 26 αὑτῷ om. a^2O

τὴν περὶ τῆς εἱμαρμένης δόξαν μεταφέρουσιν. ὅσοι μὲν γὰρ αὐτῶν πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσιν, τὴν εἱμαρμένην ὑπολαμβάνουσιν ἀπαράβατόν τινα αἰτίαν εἶναι καὶ ἀναπόδραστον, εἰσὶ δ' οἷς οὐ πάντα τὰ γινόμενα γίνεσθαι δοκεῖ καθ' εἱμαρμένην, ἀλλ' εἶναί τινας ὑπολαμβάνουσιν τῶν γινομένων καὶ ἄλλας αἰτίας· ἀλλ' οὐδὲ τὴν εἱμαρμένην αὐτὴν τὸ πάγιόν τε καὶ ἀπαράβατον ἔχειν τίθενται, ἀλλὰ γίνεσθαί τινα καὶ τῶν καθ' εἱμαρμένην γίνεσθαι πεφυκότων οὐ κατ' αὐτήν, ἀλλὰ παρὰ μοῖραν, ὥς οἱ ποιηταί φασιν, καὶ παρὰ τὴν εἱμαρμένην. ἔστι δ' οἷς ποτὲ πάντα γίνεσθαι τὰ γινόμενα δοκεῖ καθ' εἱμαρμένην καὶ μάλιστ' ἂν αὐτοῖς τὰ τῆς τύχης ἀντιπίπτῃ, κατορθοῦντες δὲ ἐν τοῖς προκειμένοις αὐτοὺς αἰτίους εἶναι τῶν κατορθωμάτων ὑπολαμβάνουσιν, ὡς οὐκ ἂν ἀπαντησάντων τῶν ἀπηντηκότων, εἰ μὴ αὐτοὶ τάδε μᾶλλον ἔπραξαν ἀντὶ τῶνδε, ὡς ἔχοντες καὶ τοῦ μὴ πράττειν αὐτὰ τὴν ἐξουσίαν. δι' ἣν διαφωνίαν ἀναγκαία τοῖς φιλοσοφοῦσιν ἡ ζήτησις ἡ περὶ τῆς εἱμαρμένης, οὐκ εἰ ἔστιν, ἀλλὰ τί ποτ' ἐστὶν καὶ ἐν τίσιν τῶν γινομένων τε καὶ ὄντων ἐστὶν ἡ τοιαύτη φύσις. ὅτι μὲν οὖν 8 III αἰτίαν τινὰ τὴν εἱμαρμένην τοῖς γινομένοις [ὧν] εἶναι λέγουσιν πάντες οἱ περὶ εἱμαρμένης λέγοντές τι, γνώριμον (ταύτην γὰρ ἀποδιδόασίν τε καί φασιν αἰτίαν εἶναι τοῦ γίνεσθαι τὰ γινόμενα ὃν τρόπον γίνεται), ἐπεὶ δὲ πλεοναχῶς λέγεται τὰ αἴτια, ἀναγκαῖον τοῖς ἐν τάξει τὸ πρόβλημα μετιοῦσιν πρῶτον λαβεῖν, ὑπὸ τίνα τρόπον τῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην· οὐδὲν γὰρ τῶν πολλαχῶς λεγομένων γνώριμον χωρὶς τῆς οἰκείας διαιρέσεως λεγόμενον. διαιρεῖται δὴ τὰ τῶν γινομένων αἴτια εἰς τρόπους αἰτίων τέσσαρας, καθὼς [αἰτίας] Ἀριστοτέλης δέδειχεν. τῶν γὰρ αἰτίων τὰ μέν ἐστι ποιητικά, τὰ δὲ ὕλης ἐπέχει λόγον, ἔστι δέ τις ἐν αὐτοῖς καὶ ἡ κατὰ τὸ εἶδος αἰτία· παρὰ δὲ τὰς τρεῖς ταύτας αἰτίας ἐστὶν αἴτιον ἐν αὐτοῖς καὶ τὸ τέλος, οὗ χάριν καὶ τὸ γινόμενον γίνεται. καὶ τοσαῦται μὲν αἱ τῶν αἰτίων διαφοραί. ὅτι γὰρ ἂν αἴτιον ᾖ τινος, ὑπὸ τούτων τι τῶν αἰτίων ὂν εὑρεθήσεται. καὶ γὰρ εἰ μὴ πάντα τὰ γινόμενα τοσούτων αἰτίων δεῖται, ἀλλὰ τά γε πλείστων δεόμενα οὐχ ὑπερβαίνει τὸν ἀριθμὸν τὸν εἰρημένον. γνωριμωτέρα

---

4 δοκεῖ γίνεσθαι a[1] 5 οὐδὲ a[1]O: οὐ a[2]: οὐδὲ sic V 7 κατ' αὐτὴν Va[1]: κατὰ ταύτην a[2] 9 εἱμαρμένη[ν]] ην in lit. V τύχης (supra τυ lit.) V: ψυχῆς a[2]: ψυχοῖς K 12 ἔπραξαν om. a[1] 14 ἡ om. a[2] 15 τε καὶ ὄντων om. O τοιάδε a[1] οὖν om. O 16 ὧν del. V[2] 17 τε] τι V[1] (corr. V[2]) 18 γίνεται V[2]a[1]: γίνεσθαι V[1]a[2] 19 τὰ αἴτια om. a[1] πρῶτον V[2]a[1]: πρώτην V[1]a[2] 22 δὴ] δὲ Eusebii vulg. O διαιρεῖται — τιθέναι τὴν εἱμαρμένην (169,3)] Euseb. praep. ev. VI, 9. 1—16 268a—270b τόπους Cas. Lond. αἰτιῶν Eusebius Lond. O 23 καθὼς V[2]a[1]: καθὼσ αἰτίασ V[1]: καθ' ἃς αἰτίας a[2]: καθὼς ὁ θεῖος Eusebius Lond. O fortasse recte: καθὼς θεῖος Cas. δέδειχεν] cf. Arist. Metaph. I, 3. 983a23 sqq. ποιητὰ Eusebii pars librorum 24 ἐπέχοντα Eusebii vulg. τὸ om. Eusebii p. l. 25 τὰς om. Cas. ἐν αὐτοῖς αἴτιον Eusebius 25 et 26 τὸ om. Eusebius 26 αἱ τῶν om. Eusebii p. l. 27 τι τούτων Eusebius ὃν a[2] 28 μὴ] καὶ B[2] γινόμενά τις σκέψαιτο, εὑρήσει οὐχ B[2] 28. 29 τοσούτων — δεόμενα Eusebius (τὰ δὲ p. l.): om. (signo in mg. adposito V) codd. a[12] 29 τὸν εἰρ. ἀρ. Eusebius

δ' ἂν αὐτῶν ἡ διαφορὰ γίγνοιτο, εἰ ἐπὶ παραδείγματός τινος τῶν γινομένων ὁραθείη. ἔστω δὴ ἐπ' ἀνδριάντος ἡμῖν ἡ τῶν αἰτίων δεικνυμένη διαίρεσις. τοῦ δὲ ἀνδριάντος ὡς μὲν ποιητικὸν αἴτιον ὁ ποιήσας τεχνίτης, ὃν ἀνδριαντοποιὸν καλοῦμεν, ὡς δὲ ἡ ὕλη ὁ ὑποκείμενος χαλκὸς ἢ λίθος ἢ ὅτι ἂν ᾖ τὸ ὑπὸ τοῦ τεχνίτου σχηματιζόμενον κατὰ τὴν τέχνην· αἴτιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδριάντα. ἔστι δὲ καὶ τὸ εἶδος τὸ ἐν τῷ ὑποκειμένῳ τούτῳ γενόμενον ὑπὸ τοῦ τεχνίτου καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον, δι' ὅ ἐστιν εἶδος δισκεύων ἢ ἀκοντίζων ἢ ἐπ' ἄλλου τινὸς ὡρισμένου σχήματος. οὐ μόνα δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος γενέσεως αἴτιά ἐστιν· οὐδενὸς γὰρ τῶν αἰτίων τῆς γενέσεως αὐτοῦ δεύτερον τὸ τέλος, οὗ χάριν γεγονός ἐστι, ἢ τιμή τινος ἢ εἰς θεοὺς εὐσέβειά τις. ἄνευ γὰρ τοιαύτης αἰτίας οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. ὄντων τοίνυν τοσούτων τῶν αἰτίων καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων γνώριμον τὴν εἱμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δικαίως ἂν καταριθμοῖμεν ἀναλογίαν σώζουσαν πρὸς τὰ γινόμενα κατ' αὐτὴν τῷ τοῦ ἀνδριάντος δημιουργῷ τεχνίτῃ. τούτου δ' οὕτως ἔχοντος ἀκόλουθον ἂν εἴη περὶ τῶν ποιητικῶν IV αἰτίων ποιήσασθαι τὸν λόγον. οὕτως γὰρ ἔσται γνώριμον, εἴ τε πάντων τῶν γινομένων χρὴ τὴν εἱμαρμένην αἰτιᾶσθαι, εἴ τε δεῖ καὶ ἄλλοις τισὶν παρὰ τήνδε συγχωρεῖν ὡς οὖσιν ποιητικοῖς τινων αἰτίοις. ἁπάντων δὴ τῶν γινομένων Ἀριστοτέλης ποιούμενος τὴν διαίρεσιν τὰ μὲν αὐτῶν τινος χάριν γίνεσθαι λέγει σκοπόν τινα καὶ τέλος τῶν γινομένων προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτά, τὰ δὲ οὐδενός. ὅσα γὰρ οὐ κατὰ πρόθεσίν τινα ὑπὸ τοῦ ποιοῦντος γίνεται οὐδ' ἐπὶ τέλος ὡρισμένον ἔχει τὴν ἀναφοράν, τοιαῦτα (ὁποῖά ἐστι καρφῶν τέ τινων διακρατήσεις καὶ περιστροφαὶ καὶ τριχῶν ἐπαφαί τε καὶ ἐκτάσεις καὶ ὅσα τούτοις ὁμοίως γίνεται), [ἃ] ὅτι μὲν γίνεται καὶ αὐτὰ γνώριμον, οὐ μὴν ἔχει τὴν κατὰ τὸ τέλος καὶ τίνος χάριν αἰτίαν.

1 δ' Eusebius B[2] Lond. O: γὰρ Va[12] γένοιτο Eusebius 1. 2 γινομένων] εἰρημένων a[1] δὴ Eusebius O: γὰρ libri 3 δὲ Eusebii p. l. Cas.: δὴ libri ὡς om. Cas. 5 τὸ om. a[2] 7 τούτῳ γενόμενον om. a[2] γινόμενον Lond. O
8 εἶδός ἐστιν Eusebius δισκεῦον a[1] Eusebius ἀκοντίζον a[1] Eusebius 9 μόνον Eusebius 10 γὰρ supra versum V ἐστιν—τῶν] ἀλλ' ἔστιν οὐδενὸς τῶν Eusebius δευτερεῦον Eusebii p. l. 10. 11 τέλος] γένος Eusebii p. l. 11 γεγονός ἐστι Va[12]: γέγονε τουτέστιν Eusebius (γεγονέναι τ. D) εἰς] εἴ Cas.: del. B[2] θεοὺς scripsi: θεὸν Eusebius O: τινος libri 12 τῆς τοιαύτης Eusebius οὐδ' ἂν] οὐ γὰρ V[1] (corr. V[2]) 13 αἰτίων τῶν τοσούτων a[2]: τούτων τῶν αἰτίων τοσούτων Lond.
14 ποιητικοῖς V[1] γρ. a[12]: τοιούτοις V[1] 15 σώζουσαν] ωζ in lit. V τῇ τοῦ Eusebius 16 τέχνῃ Eusebius 17 τὸν om. a[1] 18 δεῖ] δὴ Eusebius ἄλλως Eusebii cod. B 19 δὲ Cas. 21 λέγειν V[1] (corr. V[2]) καὶ τέλος om. a[2]
22 γὰρ om. Eusebius: γε coni. O οὐ om. Eusebii cod. B πρόθεσιν] προαίρεσιν Eusebii cod. S ὑπὸ om. Eusebius 23 ἐπὶ] ἐπεὶ a[2] 23. 24 τοιαῦτα ὁποῖα] τοιαῦτα οἷον Eusebius: ὁποῖα B[2] 24 καρφῶν Eusebius a[2]: καρπῶν Va[1]
25 ὁμοίως γίνεται Eusebius: ὁμοίως (ὅμοια γρ. H) γίνεται ἃ VHa[1] Lond.: ὅμοια a[2]: ὅμοια ἃ K: ὁμοίως γίνεται ἃ ⟨γὰρ⟩ O διότι Diels (cf. Ind. Arist. p. 200b49; Doxogr. p. 742) μὲν οὖν a[2]: μὲν γὰρ Eusebius 26 τὸ om. O τίνος Va[1]: τινὸς a[2]: τὴν οὗ Eusebius

τὰ μὲν οὖν οὕτως γινόμενα ἀσκόπως τε καὶ ἁπλῶς γινόμενα οὐδεμίαν εὔλογον ἔχει διαίρεσιν, τῶν δὲ ἐπί τι τὴν ἀναφορὰν ἐχόντων καί τινος γινομένων χάριν τὰ μὲν κατὰ τὴν φύσιν, τὰ δὲ κατὰ τὸν λόγον γίνεται. τά τε γὰρ φύσιν αἰτίαν ἔχοντα τῆς γενέσεως κατά τινας ἀριθμοὺς καὶ τάξιν ὡρισμένην πρόεισιν εἴς τι τέλος, ἐν ᾧ γενόμενα τοῦ γίνεσθαι παύεται, εἰ μή τι αὐτοῖς ἐνστὰν ἐμποδὼν γένοιτο τῇ κατὰ φύσιν αὐτῶν ἐπὶ τὸ προχείμενον 12 τέλος ὁδῷ, ἀλλὰ καὶ τὰ κατὰ λόγον γινόμενα ἔχει τι τέλος. οὐδὲν γὰρ ὡς ἔτυχεν τῶν κατὰ λόγον γινομένων γίνεται, ἀλλ' ἐπί τινα σκοπὸν ἡ ἀναφορὰ πᾶσιν αὐτοῖς. ἔστι δὲ κατὰ λόγον γινόμενα, ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίνεται λογιζομένων τε περὶ αὐτῶν καὶ συντιθέντων καθ' ὃν ἂν τρόπον γένοιντο. οὕτως γίνεται τά τε κατὰ τὰς τέχνας γινόμενα πάντα καὶ κατὰ προαίρεσιν, ἃ διαφέρει τῶν γινομένων φύσει τῷ τὰ μὲν φύσει γινόμενα ἐν αὐτοῖς ἔχειν τὴν ἀρχήν τε καὶ αἰτίαν τῆς τοιαύτης γενέσεως (τοιοῦτον γὰρ ἡ φύσις· καὶ γίνεται μὲν κατὰ τάξιν τινά, οὐ μὴν τῆς ποιούσης αὐτὰ φύσεως ὁμοίως ταῖς τέχναις λογισμῷ περὶ αὐτῶν χρωμένης), τὰ δὲ γινόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν ἔξωθεν ἔχει τὴν ἀρχὴν τῆς κινήσεως καὶ τὴν αἰτίαν τὴν ποιοῦσαν, ἀλλ' οὐκ ἐν αὐτοῖς καὶ τῆς γενέσεως αὐτῶν τοῦ ποιοῦντος γίνεται περὶ αὐτῶν λογισμός. τρίτον δέ ἐστιν ἐν τοῖς ἕνεκά του γινομένοις καὶ τὰ ἀπὸ τύχης τε καὶ ταὐτομάτου γίνεσθαι πεπιστευμένα ταύτῃ τῶν προηγουμένως ἕνεκά του γινομένων διαφέροντα, ᾗ ἐπ' ἐκείνων μὲν πᾶν τὸ πρὸ τοῦ τέλους γινόμενον τοῦ τέλους χάριν γίνεται, ἐπὶ δὲ τούτων τὰ μὲν γινόμενα πρὸ τοῦ τέλους ἄλλου χάριν γίνεται, ἀπαντᾷ δ' αὐτοῖς ἄλλου χάριν γινομένοις ὡς τέλος τὸ αὐτομάτως τε καὶ ἀπὸ τύχης γίνεσθαι λεγόμενον. τούτων δ' οὕτως ἐχόντων καὶ πάντων τῶν V γινομένων εἰς τούτους τοὺς τρόπους νενεμημένων ἀκόλουθον ἐπὶ τούτοις ἰδεῖν, ἐν ποίῳ τῶν ποιητικῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην. ἆρά γε ἐν τοῖς οὐδενὸς γινομένοις χάριν; ἢ τοῦτο μὲν παντάπασιν ἄλογον· αἰεὶ

---

1 τε om. Eusebius 3 τὴν om. Eusebius a^1 τὸν om. Eusebius a^1 4 τὴν γενέσεως Eusebii cod. I 5 εἰς] ἐπί Eusebius τι om. a^2 γινόμενα Eusebius γενέσθαι a^2 παύονται Eusebii vulg. 6 ἐνστὰν Eusebius a^2: ἐστ' ἂν V^1: del. V^2: om. a^1O γίνοιτο Eusebii vulg. 7 pr. τέλος om. Eusebius τὰ om. a^1 8 σκοπὸν] φορὰν Eusebii p. l. 11 γένοιτο Eusebius O γίνεται] γίνοιτο a^2 τε om. Eusebii p. l. a^2 12 τὰ κατὰ Eusebius ἃ om. Eusebii cod. I τῷ in lit. 6 litt. V 13 τὰς αἰτίας Eusebius 14 γίνεται a^2: γίνεσθαι V Eusebius a^1O (ὡς γίνεσθαι Schwartz) μὲν om. Lond. 15 χρωμένοις vel χρωμένως Eusebii p. l. 16 τῆς om. O 17 ποιοῦσαν] α in lit. V καὶ τὴν ποιοῦσαν αἰτίαν Eusebii p. l. 18 pr. αὐτῶν] αὐτοῖς a^2 ὁ τοῦ Eusebius O ποιοῦνται Eusebii cod. B γίνεται (γ in lit.) Va^{12}: ἡγεῖται Eusebius τρίτον δέ ἐστιν Eusebius: ἔστιν libri 19 οὖν ἐν τοῖς a^2: οὖν τοῖς Lond. Cas. καὶ ἀπὸ ταὐτομάτου a^2: καὶ τοῦ αὐτομάτου Eusebius 20 πεπιστευμένα] πε supra versum V προηγουμένως B^2 Eusebii vulg. Lond. O: προηγουμένων V Eusebii cod. C 21 μὲν ὅτι πᾶν τὸ πρὸ a^2: μὲν δῆλον ὅτι πᾶν τὸ πρὸ E: μὲν τὰ πρὸ (πρὸς cod. BC) Eusebius γινόμενον om. Eusebius alt. τοῦ τέλους om. Eusebii cod. BC 23 τε om. a^2 25 τρόπους] σκοποὺς a^1 26 ποίῳ] τίνι Eusebius τῶν] τ in lit. V 27 γενομένοις O ἡ O

γὰρ ἐπὶ τέλους τινὸς τῷ τῆς εἱμαρμένης ὀνόματι χρώμεθα καθ' εἱμαρμένην
αὐτὸ λέγοντες γεγονέναι. διὸ ἐν τοῖς ἕνεκά του γινομένοις ἀναγκαῖον τιθέναι 14
τὴν εἱμαρμένην· καὶ ἐπεὶ τῶν ἕνεκά του γινομένων τὰ μὲν γίνεται κατὰ
λόγον, τὰ δὲ κατὰ φύσιν, ἢ ἐν ἀμφοτέροις αὐτοῖς τὴν εἱμαρμένην ἀναγκαῖον
εἶναι τίθεσθαι, ὡς πάντα τὰ γιγνόμενα καθ' εἱμαρμένην γίνεσθαι λέγειν,
ἢ ἐν θατέρῳ. ἀλλὰ τὰ μὲν κατὰ λόγον γινόμενα τούτῳ δοκεῖ γίνεσθαι κατὰ
λόγον τῷ τὸν ποιοῦντα αὐτὰ καὶ τοῦ μὴ ποιεῖν ἔχειν ἐξουσίαν. τά τε γὰρ
ὑπὸ τῶν τεχνιτῶν γινόμενα κατὰ τέχνην οὐκ ἐξ ἀνάγκης ὑπ' αὐτῶν γίνε-
σθαι δοκεῖ (οὕτως γοῦν ἕκαστον ποιοῦσιν αὐτῶν ὡς καὶ τοῦ μὴ ποιεῖν
αὐτὰ τὴν ἴσην ἔχοντες ἐξουσίαν· ἔτι τε πῶς οὐκ ἄτοπον τὴν οἰκίαν καὶ τὴν
κλίνην καθ' εἱμαρμένην λέγειν γεγονέναι ἢ τὴν λύραν ἡρμόσθαι καθ' εἱ-
μαρμένην;), ἀλλὰ μὴν καὶ ὧν προαίρεσις κυρία (ταῦτα δ' ἐστὶν ὅσα κατ'
ἀρετήν τε καὶ κακίαν πράττεται) καὶ ταῦτα ἐφ' ἡμῖν εἶναι δοκεῖ. εἰ ἐφ'
ἡμῖν δὲ ταῦτα, ὧν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι ἡμεῖς εἶναι
δοκοῦμεν κύριοι, τούτων δὲ οὐχ οἷόν τε λέγειν αἰτίαν τὴν εἱμαρμένην οὐδὲ
ἀρχάς εἶναί τινας καὶ αἰτίας ἔξωθεν προκαταβεβλημένας τοῦ πάντως ἢ
γενέσθαι τι αὐτῶν ἢ μὴ γενέσθαι (οὐκέτι γὰρ ἂν εἴη τι τούτων ἐφ' ἡμῖν,
εἰ γένοιτο τοῦτον τὸν τρόπον), λείπεται δὴ λοιπὸν τὴν εἱμαρμένην ἐν τοῖς VI
φύσει γινομένοις εἶναι λέγειν, ὡς εἶναι ταὐτὸν εἱμαρμένην τε καὶ φύσιν.
τό τε γὰρ εἱμαρμένον κατὰ φύσιν καὶ τὸ κατὰ φύσιν εἱμαρμένον. οὐ γὰρ
κατὰ φύσιν μέν ἐστιν ἄνθρωπον ἐξ ἀνθρώπου καὶ ἵππον ἐξ ἵππου γίνεσθαι,
οὐ καθ' εἱμαρμένην δέ, ἀλλὰ συνοδεύει τὰ αἴτια ταῦτα ἀλλήλοις ὡς ἂν
ἔχοντα κατὰ τοὔνομα μόνον τὴν διαφοράν. διὸ καὶ τὰ πρῶτα τῆς κατὰ
φύσιν ἑκάστοις γενέσεως αἴτια (ἔστιν δὲ ταῦτα ⟨τὰ⟩ θεῖα καὶ ἡ τούτων
εὔτακτος περιφορὰ) καὶ τῆς εἱμαρμένης αἴτια λέγουσιν. πάσης γὰρ γενέ-
σεως ἀρχὴ ἡ τῶν θείων κατὰ τὴν κίνησιν ποιὰ σχέσις πρὸς τὰ τῇδε. οὔ-
σης δὲ τῆς εἱμαρμένης ἐν τούτοις τε καὶ τοιαύτης ἀναγκαῖον ὡς ἂν ἔχῃ 16
τὰ γινόμενα κατὰ φύσιν οὕτως ἔχειν καὶ τὰ καθ' εἱμαρμένην. ἀλλὰ μὴν
τὰ γινόμενα κατὰ φύσιν οὐκ ἐξ ἀνάγκης γίνεται, ἀλλ' ἔστιν ἡ γένεσις τῶν
οὕτω γινομένων ἐμποδιζομένη † διὸ ποτὲ μὲν ὡς ἐπὶ τὸ πλεῖστον μὲν γι-
νεται τὰ γινόμενα κατὰ φύσιν, οὐ μὴν ἐξ ἀνάγκης [ἔχει]. χώραν γὰρ ἐν

---

2 τε αὐτὸ Eusebius   του γινομένων γινομένοις a²   ἀνάγκη a²   5 εἶναι om. a¹O   6 λόγον γινόμενα] ον γ in lit. V   7 ποιεῖ Cas.   9 γοῦν] γὰρ Lond. O   αὐτῶν Va¹: αὐτοὶ a²   10 τε] δὲ EO   11 ἢ] καὶ O   11. 12 καθ' εἱμαρμένην om. a²   14 ἡμεῖς om. a²   15 οὐχ a¹   18 εἰ] ἢ a²   20 κατὰ φύσιν καὶ—εἱμαρμένον add. V²   21 καὶ om. Cas.   22 οὐ—δέ] καθ' εἱμαρμένην δὲ οὔ a²O   24 αἴτια (ἔστιν δὲ ταῦτα ⟨τὰ⟩ scripsi: αἴτιασ ἔστι οὐδὲ ταῦτα V¹: αἴτια τάτε V²Ba¹: αἴτια H: αἰτιά ἐστιν· οἱ δὲ αὐτὰ τὰ KE (pro οἱ δὲ: ἤτοι E²) Sa² Lond. (sed hic οἳ δ') Cas.: αἴτια τὰ O   ἡ] τὴν a²   25 εὔτακτον περιφορὰν a²   δὲ αἴτια λέγουσιν τὰ αὐτά V²a¹   26 τὴν om. a¹   τῇδε sic V   27 τε om. a²   30 ἐμποδιζομένη ποτέ. διὸ [μὲν] ὡς Diels   ποτὲ μὲν] περ B   μὲν om. a²O: post γίνεται coll. H   31 ἔχει del. V²: om. a¹O

αὐτοῖς ἔχει καὶ τὸ παρὰ φύσιν καὶ γίνεται, ὑπό τινος αἰτίας ἔξωθεν ἐμποδισθείσης τῆς φύσεως εἰς τὸ ἔργον τὸ ἑαυτῆς. διὸ οὔτε ἐξ ἀνάγκης ἄνθρωπος ἐξ ἀνθρώπου ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον, ὥστε καὶ κατὰ τὴν ὡρίσθαι δοκοῦσαν προθεσμίαν τοῖς γινομένοις κατὰ φύσιν ἕκαστον τῶν οὕτως γινομένων ἀεὶ γίνεται. ὄντος δὲ ἐν τοῖς γινομένοις κατὰ φύσιν καὶ ⟨τοῦ⟩ παρὰ φύσιν, ὥσπερ καὶ ἐν τοῖς κατὰ τέχνην, χώραν ἂν ἔχοι καὶ ἐν τοῖς κατὰ τὴν εἱμαρμένην γινομένοις τὸ παρὰ τὴν εἱμαρμένην, ὥστ' εἰ χώραν ἔχει τὸ παρὰ φύσιν καὶ μὴ κενόν ἐστιν ὄνομα, ἔχοι ἂν ἐν τοῖς γινομένοις χώραν καὶ τὸ παρὰ τὴν εἱμαρμένην. διὸ καὶ λέγοι τις ἂν εὐλόγως τὴν οἰκείαν φύσιν ἀρχὴν ἑκάστου καὶ αἰτίαν εἶναι τῆς τῶν γινομένων ἐν αὐτῷ κατὰ φύσιν τάξεως. ἀπὸ ταύτης γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἵ τε βίοι τῶν ἀνθρώπων τὴν τάξιν καὶ αἱ καταστροφαὶ λαμβάνουσιν. ὁρῶμεν γοῦν ὅτι καὶ τὸ σῶμα τῷ τοῖον ἢ τοῖον εἶναι τὴν φύσιν καὶ ἐν νόσοις καὶ ἐν φθοραῖς ἀκολούθως τῇ φυσικῇ συστάσει γίνεται, οὐ μὴν ἐξ ἀνάγκης· ἱκαναὶ γὰρ ἐκκροῦσαι τὴν τοιάνδε τάξιν ἐπιμέλειαί τε καὶ ἀέρων ὑπαλλαγαὶ καὶ προστάξεις ἰατρῶν καὶ συμβουλαὶ θεῶν. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν παρὰ τὴν φυσικὴν κατασκευὴν διαφόρους γινομένας ἑκάστῳ τάς τε προαιρέσεις καὶ τὰς πράξεις καὶ τοὺς βίους. ἦθος γὰρ ἀνθρώπων δαίμων κατὰ τὸν Ἡράκλειτον, τουτέστι φύσις. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσιν τάς τε πράξεις καὶ τοὺς βίους καὶ τὰς καταστροφὰς αὐτῶν ἀκολούθως ἰδεῖν ἔστι. τῷ μὲν γὰρ φιλοκινδύνῳ 18 καὶ θρασεῖ φύσει βίαιός τις καὶ ὁ θάνατος ὡς ἐπὶ τὸ πλεῖστον (αὕτη γὰρ ἡ τῆς φύσεως εἱμαρμένη), τῷ δέ γε ἀκολάστῳ τὴν φύσιν τό τε ἐν ἡδοναῖς τοιαύταις καταζῆν καὶ ὁ τῶν ἀκρατῶν βίος, ἂν μή τι κάλλιον ἐν αὐτῷ γενόμενον ἐμποδίζῃ, ⟨τῷ δὲ καρτερικῷ⟩ κατὰ φύσιν αἱ τῶν πόνων ὑπομοναὶ καὶ αἱ κακοπάθειαι καὶ ⟨αἱ⟩ ἐν τοῖς τοιούτοις τοῦ βίου καταστροφαὶ

---

1 alt. καὶ infra versum V 1. 2 παρεμποδισθείσης a² 2 οὔτε] fortasse οὐδὲ 3 ἐξ s. v. V: om. a¹ ὡς V²a¹²: οὐχ V¹ ὥστε] ὅθεν a¹ καὶ del. Diels 5 οὐκ ἀεὶ Schultess O τοῦ add. Lond. O 6 τέχνην ⟨τοῦ παρὰ τέχνην⟩ coni. O 7 ἔχοι a² 12 τὴν καταστροφὴν a²: αἱ ἀναστροφαὶ B² γοῦν] οὖν a² ὁρῶμεν — βίους (18)] Eus. pr. ev. VI, 9. 270c — 270d 13 τοῖον bis scripsi cf Al. De an. 169,36: τοιὸν bis libri: τοιόνδε bis Eusebius ἐν ante φθοραῖς om. Eusebius a² 14 καταστάσει Eusebii p. l. ὁμοίως ἐπὶ πάντων οὐδὲ ἐξ ἀνάγκης Eusebius 15 πολλάκις τὴν Eusebius τοιάνδε a¹: τοιάνδε sic V: τοιὰν δὲ Lond.: τοιαύτην Eusebii p. l. a² τάξιν] ἕξιν Eusebius τε om. Eusebius ἀέρων] βίων Eusebius 16 συμβουλίαι Eusebius κατὰ — τρόπον] οὕτως Eusebii p. l. 17 κατὰ O γινομένας] ἐν Eusebius 17. 18 τάς τε om. Eusebius 18 τὰς om. Eusebius τοὺς om. Eusebius βίους ἐξ ἀσκήσεως καὶ ἀπὸ μαθημάτων καὶ ἀπὸ λόγων κρειττόνων βελτιουμένων Eusebius ἀνθρώπῳ Lond. O 21 ἀκολούθους Lond. Cas. O φιλοκινδύνῃ a¹ 22 τὸ om. a² 23 γε om. Lond. O 24 καταγῆν a² ἂν μή] ἀλλ' εἰ a²O αυτῷ V 25 γενόμενον ἐμποδίζῃ scripsi coll. de an. 185,16: γενόμενον ἐκσείσῃ τῆς ⟨ἀκολασίας⟩ Diels: γενόμενος ἐκπισητησ sic V: γενόμενος ἐκ πίσῃ τῆς a¹: γενόμενος ἐκπέσῃ τῆς H: γενόμενον ἐκστῇ τῆς H γρ. ESKa² (sed γενώμενον a²) Lond. Cas. O (sed τοῦ pro τῆς Cas. O) τῷ δὲ καρτερικῷ addidi coll. de an. 185,29 (similiter O in adn.) 26 αἱ ἐν τοῖς ES: ἐν τοῖς a²O: μεν τοισ V¹: μεν τι τοῖς V²: μέντοι τοῖς Ha¹

πάλιν εἰσὶ καθ' εἱμαρμένην. καὶ τοῖς ἀνελευθέροις δὲ τὴν φύσιν καὶ ἀπλήστοις περὶ κτῆσιν χρημάτων καὶ τὰ τῆς εἱμαρμένης συνῳδά· ἐν ἀδικίαις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ὁ τῶν τοιούτων βίος, καὶ ἡ τοῦ βίου δὲ καταστροφὴ τοῖς κατ' αὐτὰ πράττουσιν ἀκόλουθος τούτοις. καὶ ἐπιλέγειν εἰώθασιν τοῖς τοιούτοις, ὅταν ἐν ταῖς ἀκολούθοις τε τοῦ βίου ⟨καὶ⟩ καθ' εἱμαρμένην περιστάσεσιν ὦσιν, ὡς ἑαυτοῖς γεγονόσιν αἰτίοις τῶν παρόντων αὐτοῖς κακῶν. καὶ τοῦτ' ἄν τις παρίστασθαι βουλόμενος τοῖς τὰς μαντείας ἐπαγγελλομένοις τοῦ μὴ πάντως αὐτοὺς ἐπιτυγχάνειν φέροι τὸ αἴτιον, μὴ πάντα τὴν φύσιν ἑκάστου καὶ τὴν εἱμαρμένην εὐοδεῖν, ἀλλὰ γίνεσθαί τινα καὶ παρ' αὐτήν, εἶναι δὲ τοὺς μάντεις μηνυτὰς τῶν γινομένων καθ' εἱμαρμένην, ὥσπερ οὖν καὶ τοὺς φυσιογνώμονας. εἰπόντος γοῦν Ζωπύρου τοῦ φυσιογνώμονος περὶ Σωκράτους τοῦ φιλοσόφου ἄτοπά τινα καὶ πλεῖστον ἀφεστῶτα τῆς προαιρέσεως αὐτοῦ τῆς κατὰ τὸν βίον καὶ ἐπὶ τούτοις ὑπὸ τῶν περὶ τὸν Σωκράτη καταγελωμένου οὐδὲν εἶπεν ὁ Σωκράτης ἐψεῦσθαι τὸν Ζώπυρον· ἦν γὰρ ἂν τοιοῦτος ὅσον ἐπὶ τῇ φύσει, εἰ μὴ διὰ τὴν ἐκ φιλοσοφίας ἄσκησιν ἀμείνων τῆς φύσεως ἐγένετο. καὶ αὕτη μὲν ἡ περὶ εἱμαρμένης ὡς ἐπὶ κεφαλαίων εἰπεῖν κατὰ τοὺς ἀπὸ τοῦ Περιπάτου δόξα.

Ἡ δὲ κατασκευὴ τῶν εἰρημένων ἔσται φανερωτέρα παρατιθέντων ἡμῶν VII ταῖς προηγουμέναις τῶν κειμένων ἀποδείξεσιν τὰ ἑπόμενα ἄτοπα τοῖς πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσιν· μιγνύντες γὰρ οὕτω τὸν λόγον τῇ [τε] τῶν δοξῶν παρ' ἀλλήλας θέσει γνωριμώτερον τἀληθὲς ποιήσομεν καὶ πρὸς τούτῳ οὐχ ἕξομεν ἀνάγκην μεμνῆσθαι τῶν αὐτῶν πολλάκις. εὐλόγως γὰρ ἄν τις ἀπορήσαι, πῶς φιλοσοφεῖν τινες λέγοντες καὶ τὴν ἀλήθειαν τὴν ἐν τοῖς οὖσιν μετέρχεσθαι καὶ ταύτῃ τῶν ἄλλων ἀνθρώπων πλέον ἔχειν [τοὺς φιλοσοφοῦντας] ὑπολαμβάνοντες καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἐπὶ τοῦτο προτρέποντες ἐπέδοσαν αὑτοὺς τῇ δόξῃ τῇ πάντα ἐξ ἀνάγκης τε καὶ καθ' εἱμαρμένην γίνεσθαι λεγούσῃ, ἐφ' ἣν μόνους ὁρῶμεν καταφεύγοντας τῶν ἰδιωτῶν τοὺς οὐδὲν αὑτοῖς συνειδότας δεξιὸν ἐπὶ τὴν εἱμαρμένην ἀφ' αὑ-

---

1 εἰσὶ in lit. V 2 ἀπλείστοισ V^1 (corr. V^2): ἀπληστοῖς a^1 σύνωδα Va^2 4 κατ' αὐτὰ] fortasse κατὰ ταῦτα τούτοις ES: τούτοις διὸ a^2 Cas.: τούτουσ V^1: διὸ V^2Ha^1 Lond. O: τοῦτο οὖν Schwartz 5 ταῖς] τοῖς Lond. ἀκολούθοισ τε V^1a^1: ἀκολουθοῖσ γε V^2: ἀκολουθίαις τε a^2 καὶ add. $V^2a^{12}O$ 5. 6 εἱμαρμένην H Lond. O: εἱμαρμέναις V: εἱμαρμένας ES: εἱμαρμένης a^{12} Cas. 6 γεγόνοσιν V^1 αἴτιοι a^2 8 πάντως αὐτοὺς Va^1: πάντα αὐτοὺς a^2: πάντα αὐτοῖς O φέρει a^1 10 μηνυτὰς om. Lond. 11 εἰπόντος—ἐγένετο (16) Eus. praep. ev. VI, 9. 270c—271a Ζωπύρου] ποτε Eusebius 12 περὶ τοῦ Eusebii vulg. 14 Σωκράτην a^1 Eusebius εἶπεν] εἶ in lit. V ἐσφάλθαι Eusebius 16 ἡ om. a^2 17 ἐν κεφαλαίῳ a^2O ἡ κατὰ a^2 δόξας a^1 20 τῇ τὸν λόγον τε O τε om. Cas. 21 παραλλήλας Va^1: παράλληλα a^2: παραλλήλῳ Lond. Cas. O 22 τοῦτο a^2 οὐχ a^2 23 ἀπορῆσαι V^1: ἀπορήσειε V^2a^{12} λέγοντες Schwartz: λέγονται (λεγονται V) libri 24 ταύτῃ a^2 fortasse recte ἄλλων] prius λ in lit. V 24. 25 τοὺς φιλοσοφοῦντας delevi 25 ὑπολαμβάνοντες a^2: υπολαμβάνοντες (supra: υσιν) sic V: ὑπολαμβάνουσι a^1O 26 προτρέποντες] ε post ρ in lit. 2 litt. V τῇ δόξῃ] utrumque ῃ in lit. V

τῶν τὴν αἰτίαν τῶν περιεστώτων αὐτοὺς κακῶν μεταφέροντας, δόξῃ οὔτε τοῖς ἐναργέσι συναδούσῃ οὔτε τινὰς πιστὰς ἀποδείξεις τοῦ οὕτως ἔχειν ἐχούσῃ προσέτι τε ἀναιρούσῃ τὸ εἶναί τι ἐφ' ἡμῖν, οὗ πιστευθέντος τίς ἂν ἄλλη μείζων ἐκ λόγων γένοιτο ζημία; ὅτι μὲν γὰρ παρὰ τὰ ἐναργῆ, δῆλον ἐκ τοῦ πεπιστεῦσθαι μὲν σχεδὸν ὑπὸ πάντων ἰδιωτῶν τε καὶ φιλοσόφων τὸ γίνεσθαί τινα καὶ αὐτομάτως καὶ ἀπὸ τύχης, εἶναι δέ τινα τῶν γινομένων καὶ ἐνδεχομένως γινόμενα καὶ ἔχειν τινὰ χώραν ἐν τοῖς οὖσιν καὶ τὸ μηδὲν μᾶλλον τόδε τοῦδε, τούτων δὲ μηδὲν σώζεσθαι κατὰ τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας, εἴ γε σώζει μὲν αὐτὰ τὸ ἐφ' οἷς σημαινομένοις τὰ ὀνόματα ταῦτα κεῖσθαι πεπίστευται, ταῦτα μὴ κινεῖν· οὐ γὰρ τὸ ἄλλα τινὰ ὑποβάλλοντα σημαινόμενα τοῖς ὀνόμασιν διὰ τοῦ μένειν ἐκεῖνα μένειν ἡγεῖσθαι καὶ τὰ προειρημένα σωζόντων ἐστὶ τὰ κείμενα. οὐ γὰρ σώζεται τὸ γίνεσθαί τινα ἀπὸ τύχης, ⟨ἂν⟩ ἀνελών τις τὴν τῶν οὕτως γινομένων φύσιν ὄνομα θῆται τοῖς γινομένοις ἐξ ἀνάγκης τὴν τύχην, ἀλλ' αὐτὰ δεῖξαι δυνάμενα σώζεσθαι, ἐφ' ὧν τὸ τῆς τύχης ὄνομα κατηγορεῖσθαι πεπίστευται. 22

VIII Λέγεται δὴ πρὸς ἁπάντων ἀνθρώπων κοιναῖς τε καὶ φυσικαῖς ἐννοίαις ἐμμενόντων ταῦτα ἀπὸ τύχης τε καὶ τοῦ αὐτομάτου γίνεσθαι, ἃ αἰτίαις ἄλλων τινῶν ποιητικαῖς προηγουμέναις ἐπιγίνεται. ὅταν γὰρ ἄλλου τινὸς χάριν γινομένῳ τινὶ μὴ τοῦτο ἀπαντήσῃ οὗ χάριν ἐγένετο, ἄλλο δέ, ὃ τὴν ἀρχὴν μηδὲ ἠλπίζετο, τοῦτ' ἀπὸ τύχης λέγεται γεγονέναι καθ' αὑτὸ μὲν γεγονὸς ἀναιτίως, κατὰ συμβεβηκὸς δ' ἐσχηκὸς αἴτιον τὸ γενόμενον ἐπ' ἄλλου γενέσει τινός. καὶ ὅτι τοιοῦτόν τι λέγουσιν πάντες τὸ γινόμενον ἀπὸ τύχης δῆλον ἐξ ὧν ὑποβάλλουσιν σημαινομένων οἷς ἀπὸ τύχης φασὶν γίνεσθαι. θησαυρόν τε γάρ φασιν ἀπὸ τύχης εὑρηκέναι τινά, κἂν ἄλλου χάριν ὀρύσσων τίς τινος, ἀλλ' οὐ τοῦ θησαυρὸν εὑρεῖν θησαυρῷ περιπέσῃ (ὁ μὲν γὰρ τούτου χάριν ὀρύσσων οὐκ ἀπὸ τύχης· οὗ γὰρ χάριν ὤρυσσεν, τοῦτο ἀπήντησεν αὐτῷ, ᾧ δὲ μηδὲν τῆς εὑρέσεως τοῦ θησαυροῦ ἔμελε, ποιοῦντι δὲ ἄλλου τινὸς χάριν ἡ εὕρεσις ἀπήντησεν ὡς τέλος ἐκείνου, τοῦτον ἀπὸ τύχης τὸν θησαυρὸν εὑρηκέναι πάντες λέγουσιν), ἀλλὰ καὶ τὸ ἀργύ-

---

1 αὐτοῖς H δόξῃ del. Diels ἀναφέροντας in mg. μεταφέροντας H 3 τι om. a^1 4 γίνοιτο O 5 μὲν om. a^2 9 σώζει Lond.: σώζειν sic V: σώζειν a^{12} αὐτὰ (supra τὰ m^2 scripsit η ut videtur) V: αὐτά ἐστι a^{12} 10 ταῦτα om. O 11 ἄλλας τινας V^1 (corr. V^2) 13 σώζεται V^2a^{12}: σώζεσθαι V^1 ἂν V^2a^1O: om. V^1a^2 ανελών sic V 14 θοῖτο B^2 ἀλλ'] ἀλλ' ἂν V^2a^1 14. 15 αὐτὰ δεῖξαι] ἂν ἀποδείξῃ Schwartz bene 15 δυνάμενα a^2: δυνάμεναι sic V^1: δυνηθῇ V^2a^1O κατηγορεῖσθαι V^2a^{12}: κατηγορεῖται V^1 19 προηγουμέναις V^2a^1O: προηγουμένως V^1a^2, expectas προηγουμένως ποιητικαῖς ὅταν — περιπεσεῖν (173, 10)] Eus. praep. ev. VI, 9. 271a — 271b τὰ δὲ ἀπὸ τύχης τοιαῦτα, ὅταν κ.τ.λ. 20 γινομένου V^1 (corr. v. c.): γενομένῳ Eusebius δέ τι ὅπερ Eusebius 21 οὐδὲ Eusebius τοῦτ' — γίνεσθαι (24. 25) om. Eusebius 24 σημαινομένου a^2 25 φησιν Eusebius τινας a^2 ἂν V^2a^1: κἂν V^1a^2: ὅταν Eusebius 26 τινος om. a^1 τίς τινος om. Eusebius οὐ] μὴ Eusebius 27 ὁ μὲν — ἀλλὰ (30) om. Eusebius ὤρισσε a^1 28 ἔμελε V^2O: ἔμελλε a^{12}: πάλιν V^1

ριον ἀπὸ τύχης κεκομίσθαι τινὰ λέγουσιν, ὅταν εἰς τὴν ἀγορὰν προελθὼν ἄλλου τινὸς χάριν ἀργύριον ἔχοντι περιπεσὼν τῷ χρεώστῃ τὸ ὀφειλόμενον αὐτῷ λάβῃ. τῷ γὰρ ⟨τοῦ⟩ προελθεῖν εἰς τὴν ἀγορὰν ἄλλο τι προηγούμενον τέλος ἔχοντι τὸ τὸ προσοφειλόμενον λαβεῖν ἀπήντησεν ὡς τέλος κατὰ συμβεβηκὸς αὐτῷ γενόμενον· [τὸ μὲν ποιητικὸν αἴτιον τὸ δὲ τούτου τέλος·] οὐ γὰρ ἀπὸ τύχης ἔτι λέγεταί τις τὸ ὀφειλόμενον εἰληφέναι, εἰ τούτου χάριν εἰς τὴν ἀγορὰν προῆλθεν, ὅτι τὸ προκείμενον αὐτῷ τέλος ἡ πρόοδος ἔσχεν. καὶ ὁ ἵππος δὲ αὐτομάτως τισὶν λέγεται σεσῶσθαι, ὅταν τροφῆς μὲν ἐλπίδι ἢ ἄλλου τινὸς χάριν ἀποφύγῃ τοὺς κατέχοντας αὐτόν, ἀπαντήσῃ δὲ αὐτοῦ τῇ φυγῇ καὶ τῷ δρόμῳ τὸ τοῖς δεσπόταις περιπεσεῖν. καὶ τί δεῖ ὑμῖν πλείω παραδείγματα κατατίθεσθαι ἢ ἀκριβολογεῖσθαι περὶ τῶν προειρημένων; 24 ἱκανὸν γὰρ ὡς πρὸς τὰ προκείμενα τὸ δεῖξαι ἐφ' ὧν σημαινομένων τὰ ὀνόματα κατηγορεῖται τὰ εἰρημένα. ὄντων δὴ τῶν ἀπὸ τύχης τε καὶ αὐτομάτως γινομένων τοιούτων, ὡς μὴ γίνεσθαι κατὰ προηγουμένην αἰτίαν (τῶν γὰρ σπανίως ἐπὶ τοῖς πρὸ αὐτῶν γεγονόσιν ἀπαντώντων τό τε αὐτόματον καὶ ἡ τύχη), πῶς ἂν σώζοιτό τι τῶν προειρημένων καθ' οὓς πάντα προηγησαμένοις τισὶν αἰτίοις καὶ προηγουμένοις ἐξ ἀνάγκης ἔστι τε τὰ ὄντα καὶ τὰ γινόμενα γίνεται ἑκάστου τῶν γινομένων αἰτιόν τι προκαταβεβλημένον ἔχοντος, οὗ ὄντος ἢ γεγονότος ἀνάγκη καὶ αὐτὸ ἢ εἶναι ἢ γενέσθαι, [τὸ] μηδὲν μὲν σώζοντας τῶν προειρημένων, κατ' ἄλλου δέ τινος τὸ τῆς τύχης νομοθετήσαντας ὄνομα; ⟨τὸ⟩ γὰρ τῷ μὴ ἀναιρεῖσθαι ἐκεῖνο ὑπὸ τοῦ πάντα ἐξ ἀνάγκης γίνεσθαι τιθεμένου μηδὲ τὴν τύχην ἀναιρεῖσθαι λέγειν, σοφιζομένων ἐστὶν ὁμοίως αὐτούς τε καὶ τοὺς ἀκούοντας αὐτῶν· οὕτως μὲν γὰρ οὐδὲν κωλύσει λέγειν ταὐτὸν εἱμαρμένην τε εἶναι καὶ τύχην καὶ τοσοῦτον ἀποδεῖν τοῦ τὴν τύχην ἀναιρεῖν, ὡς καὶ πάντα τὰ γινόμενα γίνεσθαι λέγειν [οὐχ] ἀπὸ τύχης. ἀλλ' οὐκ ἐπὶ τῷ τοὔνομα σώζειν τὸ τῆς τύχης εἶχον τὴν αἰτίαν, ἀλλ' ἐπὶ τῷ ἀναιρεῖν τὸ οὕτως γίνεσθαί τινα, ὧν τὸ ἀπὸ τύχης

---

2 χρεωστῇ a^2 3 αὐτῷ V αὐτῷ λάβῃ] λήψαιτο Eusebii vulg.: αὐτὸ λάβῃ Eusebii p. l. τοῦ addidi 4 τὸ τὸ a^1: τ̇ο τ̇ο (sic) add. v. c. V: τὸ a^{2}O προσοφειλόμενον a^2: προφειλόμενον a^1 5 αὐτῷ V^{1}a^{12}: αὐτῶν v. c. V γινόμενον Lond. O τέλος] τ in lit. V: ⟨οὐ⟩ τέλος O τὸ — τέλος] aut multa exciderunt ante haec verba, aut interpretamentum sunt sequentis enuntiati 9 ἀπαντήσῃ a^{12} Eusebius: ἀπαντήσει V 10 τὸ] τῷ δὲ Eusebii p. l. περιπεσεῖν. ὧν οὕτως ἐχόντων οὐδὲ ταῦτα ἂν εἴη καθ' εἱμαρμένην Eusebius δεῖ a^2: δεῖν Va^1 11 παραδείγματι a^1 15 τῶν a^2: τῶν corr. m^1 ut videtur in τὸν V: τὸν γρ. τῶν H: τὸ a^1 τοῖς v. c. Va^{12}: τῶν V^1 ἀπαντώντων τό τε a^2: ἀπαντῶν, τό, τε m^2? corr. ex ἀπαντῶν το τε V: ἀπαντῶν τότε a^1 τό γε Cas. 19 ἔχοντα a^1 γίνεσθαι O 20 τὸ delevi: τὸ V^1: τωι ut videtur v. c. infra vers. V: τῷ a^1: τοὺς a^{2}O 21 νομοθετήσαντος a^1: νομοθετήσαντες O ⟨τὸ⟩ γὰρ τῷ scripsi: τῷ γὰρ v. c. Va^{12}: τῷ V^1: τὸ γὰρ O ἐκεῖνα Lond. O 22 τύχην καὶ Lond. O 22. 23 σοφιζομένων] alt. ο in lit. V: σωφιζωμένων a^1 23 αὐτοὺς O: αὑτοὺς V καὶ om. a^2 24 κωλύσει V^{2}a^1: κωλύσαντες (post υ lit. 1 litt.) V^{1}a^2: κωλύσαντας E Cas. 26 ἀπὸ V^{2}a^{12}: οὐχ ἀπὸ V^1 ἀλλ' (ἀλλὰ a^2) οὐκ ἐπὶ τῷ B^{2}a^2: ἀλλ' ἐπὶ V^1: ἀλλ' οὐκ ἐπὶ τὸ V^2: ἀλλ' οὐκ ἐπὶ a^{1}B^1: ἀλλὰ ES 27 ἀλλ' sic V τῷ] m^1 corr. ex τῶν V

τε καὶ τὸ αὐτόματον γίνεσθαι κατηγορεῖται. τί γὰρ ἄλλο ποιοῦσιν οἱ τὴν τύχην καὶ τὸ αὐτόματον ὁριζόμενοι αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ, ⟨ἢ⟩ τύχης τι σημαινόμενον ἴδιον εἰσάγουσίν τε καὶ νομοθετοῦσιν; τὸ γὰρ εἰς τὴν τούτου σύστασιν χρήσασθαι τῷ λέγειν τινὰς αὐτομάτως νοσεῖν, ὅταν ἄδηλος ᾖ αὐτοῖς ἡ αἰτία τῆς νόσου, ψεῦδος. οὐ γὰρ ὡς οὔσης μέν τινος αἰτίας, ἀδήλου δὲ αὐτοῖς οὕτω λέγουσιν, ἀλλ' ἐφ' ὧν ἀναιτίως γεγονέναι πείθουσιν αὑτούς, ἐπὶ τούτων τὸ αὐτόματον κατηγοροῦσιν· οὐδεὶς γοῦν, ἐφ' οὗ ζητοῦσιν τὴν αἰτίαν ὡς οὔσης, αὐτομάτως αὐτὸ γεγονέναι λέγει, ἀλλ' οὐδ' ὃ πέπεισταί τις αὐτομάτως γεγονέναι τούτου ζητεῖ τὴν αἰτίαν. διὸ οὐκέθ' 26 οἱ ἰατροὶ περὶ τούτων οὕτω λέγουσιν, κἂν τυγχάνωσιν αὐτῶν ἔτι τὰς αἰτίας ἀγνοοῦντες. οὐ γὰρ ἐφ' ὧν προειρήκαμεν ὡς ἐπὶ πάντων ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἀλλ' ἐπ' ἄλλων τινῶν κυριώτερος ὁ τοιοῦτος λόγος τῆς τύχης ἂν κατηγοροῖτο, περὶ ὧν οὐδεὶς ὡς ἀπὸ τύχης γινομένων εἶπέν ποτε. τῆς μὲν γὰρ εὑρέσεως τοῦ θησαυροῦ καὶ τοῦ τὸ ὀφειλόμενον λαβεῖν οὐκ ἄδηλα ἀνθρωπίνῳ λογισμῷ τὰ αἴτια, ἀλλὰ φανερὰ καὶ πρόδηλα. τῆς μὲν γὰρ εὑρέσεως τὸ ὀρύξαι, τοῦ δὲ τὸ ὀφειλόμενον λαβεῖν τὸ εἰς τὴν ἀγορὰν προελθεῖν. οὔτε γὰρ ἂν ἐκεῖνος μὴ ὀρύσσων εὗρεν οὔτε οὗτος μὴ προελθὼν τὸ ὀφειλόμενον ἔλαβεν, ἀλλ' ὅτι μὴ προηγούμενα τούτων αἴτια ⟨τὰ⟩ προειρημένα, ἀλλὰ ἄλλου τινὸς χάριν ἐγίνετο, διὰ τοῦτο ἀπὸ τύχης γίνεσθαι προείληπται. ἄδηλα δὲ τὰ αἴτια ἀνθρωπίνῳ λογισμῷ ἐκείνων μᾶλλον ἃ κατά τινας ἀντιπαθείας γίνεσθαι πεπίστευται ἀγνοουμένης τῆς αἰτίας δι' ἣν γίνεται, ὁποῖα περίαπτά τέ τινα προσείληπται οὐδεμίαν εὔλογον καὶ πιθανὴν αἰτίαν τοῦ ταῦτα ποιεῖν ἔχοντα, ἔτι δὲ ἐπαοιδαὶ καί τινες τοιαῦται μαγγανεῖαι. τούτων γὰρ ὁμολογεῖται μὲν ὑπὸ πάντων ἄδηλος εἶναι ἡ αἰτία, διὸ καὶ ἀναιτιολόγητα λέγουσιν αὐτά. οὐδεὶς δὲ ἀπὸ τύχης τούτων ⟨τι⟩ ποιεῖν λέγει, ὅτι πεπίστευται κατά τινα ὡρισμένην αἰτίαν ἃ ποιεῖ ποιεῖν, ὡς τῶν ἀπὸ τύχης οὐ διὰ τὸ τῆς αἰτίας ἄδηλον οὕτως γίνεσθαι λεγομένων, ἀλλὰ διὰ τὸ ἀναίτιον τῆς προηγουμένης τε καὶ κυρίως αἰτίας.

Καὶ τοιαῦτα μὲν τὰ περὶ τῆς τύχης ὑπ' αὐτῶν λεγόμενα καὶ οὕτως IX τοῖς κειμένοις συνᾴδοντα· ὅτι δὲ καὶ τὸ ἐνδεχόμενόν τε καὶ τὸ ὁπότερ'

---

1 τὸ om. a^2 2 ἢ add. V^2 4 τῷ m^1 corr. ex τοῦ V 6 αὐτοῖς sic V 7 αὐτοὺς V οὐδεὶς γοῦν Va^1: οὐ δεῖ γὰρ a^2 8 λέγει Va^1: λέγειν a^2 οὐδ' om. a^2 9 ζητεῖ B^2: ζητεῖν Va^{1}O: μὴ ζητεῖν a^2 οὐκέτι a^{12} 12 ἀπ' O κυριωτέρως coni. O 13 ἂν a^{2}O: ///ν sic V: ὧν a^1 14 μὲν om. a^2 τοῦτο a^1 16 τοῦ δὲ] τοῦδε a^2: τοῦτο δὲ a^1 18 προηγουμένως a^2 τὰ add. a^2 20 ἄδηλα κτλ.—λέγουσιν αὐτά (25)] cf. Eus. pr. ev. VI, 9. 271^b—271^c καὶ ἄδηλα δέ ἐστί τινα Eusebius ἐκεῖνα a^2 ἐκείνων μᾶλλον om. Eusebius

22 ὁποῖα περίαπτά Eusebius coni. O: οἷα περίαπτα a^2: ὅμοια π|απτά sic V: ὅμοια περὶ ἀπτά H: ὅμοια περίαπτά a^1 τέ τινα] τινα ποιεῖν Eusebius προεῖληπται Eusebii vulg. 23 ἔτι δὲ V Eusebius a^1: ἔτι τε a^2: ὅτι τε E τοιαῦταί τινες Eusebius 24 μαγγανεῖαι] μαντεῖαι Eusebii p. l. 25 τύχης om. a^2 τούτων τι Cas. (sed ante ἀπὸ Cas.) Lond. O: τούτων Va^{12}: οὐδὲν τούτων B^2 26 ποιεῖ om. a^2 (ποιεῖν ἃ ποιεῖ Cas.) 27 οὐ om. a^2 29 περὶ a^2: ἐπὶ Va^1 30 τε om. a^2

ἔτυχεν γίνεσθαί τινα ὑπὸ τῶν πάντα ἐξ ἀνάγκης γίνεσθαι λεγόντων ἀναιρεῖται, αὐτόθεν πρόδηλον, εἴ γε ταῦτα μὲν κυρίως ἐνδεχομένως γίνεσθαι λέγεται, ἐφ' ὧν καὶ τὸ ἐνδέχεσθαι μὴ γενέσθαι χώραν ἔχει, ὡς καὶ αὐτὸ τὸ ὁπότερ' ἔτυχεν λεγόμενον ποιεῖ γνώριμον, τὰ δ' ἐξ ἀνάγκης γινόμενα οὐκ ἐνδέχεται μὴ γενέσθαι. λέγω δὲ τὸ ἀναγκαῖον οὐκ ἐπὶ τοῦ βίᾳ γινομένου μηδὲ κατὰ τούτου τις εὐθυνέτω τοὔνομα, ἀλλ' ἐπὶ τῶν φύσει γινομένων ὑπό τινων, ὧν τὰ ἀντικείμενα ἀδύνατον ⟨ἂν⟩ εἴη γίνεσθαι. καίτοι πῶς οὐκ ἄτοπα καὶ παρὰ τὰ ἐναργῆ καὶ μέχρι τούτων τὴν ἀνάγκην προεληλυθέναι λέγειν, ὡς μήτε κινηθῆναί τινα δύνασθαι κίνησίν τινα μήτε κινῆσαί τι τῶν αὑτοῦ μερῶν, ἣν κίνησιν καὶ μὴ κινεῖσθαι τότε οἷόν τε ἦν, ἀλλὰ τὴν τυχοῦσαν τοῦ τραχήλου περιστροφὴν καὶ τὴν δακτύλου τινὸς ἔκτασιν καὶ τὸ ἐπᾶραι τὰ βλέφαρα ἤ τι τῶν τοιούτων προηγουμέναις τισὶν αἰτίαις ἑπόμενον ἄλλως ὑφ' ἡμῶν μὴ δύνασθαι γίνεσθαί ποτε, καὶ ταῦτα ὁρῶντας ἐν τοῖς οὖσίν τε καὶ γινομένοις πολλὴν οὖσαν διαφορὰν τῶν πραγμάτων, ἐξ ἧς ῥᾴδιον ἦν μαθεῖν ὅτι μὴ πάντα ἐνδέδεται ταῖς τοιαύταις αἰτίαις; ὁρῶμεν γοῦν τῶν ὄντων τὰ μέν τινα οὐδεμίαν ἔχοντα δύναμιν τῆς εἰς τὸ ἀντικείμενον τοῦ ἐν ᾧ ἐστι μεταβολῆς, τὰ δ' οὐδὲν μᾶλλον αὐτῶν ἐν τῷ ἀντικειμένῳ ἢ ἐν ᾧ ἐστιν εἶναι δυνάμενα. πῦρ μὲν γὰρ οὐχ οἷόν τε δέξασθαι ψυχρότητα, ἥτις ἐστὶν ἐναντία αὐτοῦ τῇ συμφύτῳ θερμότητι, ἀλλ' οὐδὲ χιὼν δέξαιτ' ἂν θερμότητα χιὼν μένουσα, ὕδωρ δὲ κἂν ᾖ ψυχρὸν οὐκ ἀδύνατον ἀποβαλὸν ταύτην δέξασθαι τὴν ἐναντίαν αὐτῇ θερμότητα· ὁμοίως δὲ καὶ τούτῳ δυνατὸν καὶ τὸν καθεζόμενον στῆναι καὶ τὸν κινούμενον ἠρεμῆσαι καὶ τὸν λαλοῦντα σιγῆσαι καὶ ἐπὶ μυρίων εὕροι τις ἂν δύναμίν τινα ἐνυπάρχουσαν τῶν ἐναντίων δεκτικήν, ὧν, εἰ τὰ ἐξ ἀνάγκης ὄντα ἐν θατέρῳ οὐκ ἔχει δύναμιν τοῦ δέξασθαι τοῦ ἐν ᾧ ἐστι τὸ ἐναντίον, οὐκ ἐξ ἀνάγκης ἂν εἴη ἐν οἷς ἐστι τὰ καὶ τοῦ ἐναντίου αὐτοῖς δεκτικά. εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἐνδεχομένως. τὰ δὲ ἐνδεχομένως ἔν τινι οὕτως ἐστὶν ἐν αὐτῷ ὡς οὐκ ἐξ ἀνάγκης ἀλλ' ὡς ἐνδεχομένως ἐν αὐτῷ

---

3 ἐφ' ὧν—δεκτικὴν (24)] cf. Eus. l. c. VI, 9. 271[c] λέγεται δὲ ἐνδεχομένως γίνεσθαι ταῦτα ἐφ' ὧν κτλ. ἐνδέχεσθαι om. Eusebius γίνεσθαι Eusebii p. l. 4 τὰ δ'—τινα μήτε (9)] οἷον τὸ Eusebius 4 γινόμενα om. a[1] 5 γίνεσθαι O δὴ a[2] 6 τῶν] τοῦ a[2] 6. 7 γινομένου a[2] 7 οὐκ ἀδύνατον B[2] ⟨ἂν⟩ εἴη scripsi: εἴη Lond. O: εϊῂ μῆ (sic i. e. ηει) V: εἴη μὴ a[12]: μὴ ESH γρ. γίνεσθαι V: γενέσθαι a[12] 8 fortasse ἄτοπον ἀνάγκης O 10 αὐτοῦ V: αὑτοῦ a[12]: αὐτῷ Lond. τότε Va[1]: ποτὲ a[2]: πότε Lond. ἣν—ἀλλὰ] καὶ Eusebius 11 τὴν (alt.) B[2] Cas. Lond. O: τὸ Va[12]: τὴν τοῦ Eusebius τινος om. Eusebius 12 ἤ τι—τούτῳ δυνατὸν (22) om. Eusebius 13 ἄλλως Schwartz: ἀλλ' ὡς libri 15 ἐνδέδοται a[2]: ἐνδέχεται a[1] 16 γοῦν ὅτι a[1]: γοῦν τὰ Lond. 18 ἢ V[2]a[12]: τῷ V[1]: τι ES 19 αὐτοῦ om. O τῆς συμφύτου θερμότητος a[2] 20 δέξετ' V[1] (corr. V[2]) 21 ἀποβάλλον a[2]O: ἀποβαλλὸν a[1] 22 pr. καὶ del. B[2] τούτῳ] τῷ αὐτῷ Lond. O: fortasse τοῦτο στῆσαι Eusebius (?) 24 ὧν εἰ τὰ] εἰ οὖν B[2] δεκτικήν, ἃ οὐκ ἂν γένοιτο ἐξ εἱμαρμένης. τὰ γὰρ ἐξ αὐτῆς οὐ δέχεται τοῦ ἐν ᾧ ἐστι τὸ ἐναντίον Eusebius 27 τὰ Va[1]: τὸ a[2] τὰ—ἐνδεχομένως om. ES fortasse ⟨ὄντα⟩ ἔν τινι

γεγονότα. τὸ δὲ ἐνδεχομένως γεγονὸς ἔν τινι καὶ μὴ γεγονέναι ἐν αὐτῷ οἷόν τε ἦν. ἔστι μὲν γὰρ ἕκαστον καὶ τούτων ἐν ᾧ ὂν τυγχάνει, διότι ἦν ἐν θατέρῳ αὐτῷ ἀντικειμένῳ εἶναι, ἐν ᾧ δ' ἐστὶ νῦν, οὐκ ἐξ ἀνάγκης ἁπλῶς ἐστιν ἐν τούτῳ διὰ τὴν πρὸς τὰ ἀντικείμενα δύναμιν. ἀλλὰ μὴν τὰ οὕτως ὄντα ἔν τισιν οὐ δι' αἰτίας τινὰς προκαταβεβλημένας [τε] ἐξ ἀνάγκης εἰς ταῦτα ἀγούσας ἐστὶν ἐν αὐτοῖς. ὥστ' εἰ πάντα τὰ ὁμοίως τῶν ἀντικειμένων ὄντα δεκτικὰ ἐνδεχομένως τέ ἐστιν ἐν οἷς ἐστιν καὶ οὐκ ἔστιν ἐν οἷς οὐκ ἔστι, μυρία ἂν εἴη τὰ ἐνδεχομένως ὄντα τε καὶ γινόμενα. ἄτοπον γὰρ ὁμοίως ἐξ ἀνάγκης εἶναι λέγειν ἔν τινι τά τε ἀνεπίδεκτα τῶν ἐναντίων τούτοις ἐν οἷς ἐστι καὶ τὰ μηδὲν μᾶλλον καθ' ὁντινοῦν χρόνον τούτων ἢ τῶν ἐναντίων αὐτοῖς δεκτικά. εἰ γὰρ τὰ ἐξ ἀνάγκης ὄντα ἔν τινι ἀνεπίδεκτα τοῦ ἐναντίου αὐτῷ, τὰ ἐπιδεκτικὰ τοῦ ἐναντίου οὐκ ἐξ ἀνάγκης ἂν ἐν ᾧ ἐστιν εἴη.

Τὸ δὲ λέγειν μὴ ἀναιρεῖσθαι πάντων γινομένων καθ' εἱμαρμένην τὸ X
δυνατόν τε καὶ ἐνδεχόμενον τῷ δυνατὸν μὲν εἶναι γενέσθαι τοῦτο ὃ ὑπ' οὐδενὸς κωλύεται γενέσθαι, κἂν μὴ γένηται (τῶν δὲ καθ' εἱμαρμένην γινομένων οὐ κεκωλῦσθαι τὰ ἀντικείμενα γενέσθαι· διὸ καίτοι μὴ γινόμενα ὅμως ἐστὶ δυνατά), καὶ τοῦ μὴ κεκωλῦσθαι γενέσθαι αὐτὰ ἀπόδειξιν φέρειν τὸ ἡμῖν τὰ κωλύοντα αὐτὰ [ἂν] ἄγνωστα εἶναι πάντως μέν τινα ὄντα (ἃ γάρ ἐστιν αἴτια τοῦ γίνεσθαι τὰ ἀντικείμενα αὐτοῖς καθ' εἱμαρμένην, ταῦτα καὶ τοῦ μὴ γίνεσθαι τούτοις αἴτια, εἴ γε ὥς φασιν ἀδύνατον τῶν αὐτῶν περιεστώτων γίνεσθαι τὰ ἀντικείμενα· ἀλλ' ὅτι μὴ ἡμῖν ἐστι γνώριμά τινα ἅ ἐστι, διὰ τοῦτο ἀκώλυτον αὐτῶν τὸ | [μὴ] γίνεσθαι λέγουσιν), τὸ 32
δὴ ταῦτα λέγειν πῶς οὐ παιζόντων ἐστὶν ἐν οὐ παιδιᾶς λόγοις δεομένοις; τὸ γὰρ ἡμᾶς ἀγνοεῖν, οὐδὲν πρὸς τὸ εἶναι ἢ μὴ εἶναι τὰ πράγματα· δῆλοι γάρ εἰσιν οἱ λέγοντες οὕτως ὡς τῇ ἡμετέρᾳ γνωρίσει τὸ δυνατὸν ἔσται κατ' αὐτούς. τοῖς γὰρ γνωρίζειν αὐτῶν τὰ αἴτια δυναμένοις (οὗτοι δ' ἂν εἶεν

---

1 γεγονός. τὸ Lond. O: γεγονώς. τὸ $E^{2}K$ δὲ om. a^{1} 3 ἦν ἐν θατέρῳ HS: ην ενθ' ατερωι sic V: ην ἐν θατέρω sic B: ἦν ἐν|θατέρῳ E: ἦν ἐνδεχόμενον ἐν θατέρῳ a^{12} αὐτῷ scripsi: αὐτῶν libri ἀντικειμένῳ scripsi: ἀντικειμένων V: καὶ τῶν ἀντικειμένων a^{2}: καὶ τὸ ἀντικείμενον a^{1} 5 τε del. V^{2}: om. a^{12} 6 ἐστιν ἐν αὐτοῖς V: ἐν αὐτοῖς ἐνδεχόμενόν ἐστιν a^{12}: ἐν αὐτοῖς B: ἐν αὐτοῖς ἐστιν O τὰ om. O 7 τῶν ἀντικειμένων ὄντα $V^{2}a^{1}$: τοῖς ἀντικειμένοις ων sic V^{1}: τοῖς ἀντικειμένοις ὧν a^{2} τέ ἐστιν ἐν οἷς ἐστιν $V^{2}a^{12}$: ἐν οἷς ἐστιν V^{1}: ἐν οἷς τέ ἐστιν ESK 9 τε καὶ O 10. 11 ὄντινα οὖν a^{2} 11 ἐναντίων] τ in lit. V εἰ γὰρ—ἐπιδεκτικὰ τοῦ ἐναντίου (12)] μὴ τοῦ ἐναντίου a^{2}: τοῦ ἐναντίου ES 14 cf. quae disputavi de sequentibus in Mus. Rhen. XLIV, 613 sq. μὴ (μ add. v. c. V, corr. ex ἢ E, ἡ S)] εἰ γὰρ τὰ ἐξ ἀνάγκης ὄντα ἔν τινι ἀνεπίδεκτα τοῦ ἐναντίου αὐτῷ τὰ ἐπιδεκτικὰ a^{2} 16 κἂν] ἂν a^{12} δὲ v. c. Va^{1}: om. a^{2} 16. 17 γενομένων O 17 κεκωλῦσθαι Usener: κεκώλυται libri 18 φέρει HO 19 αὐτὰ $V^{2}a^{12}$: αὐτὰ ἂν V^{1} 20 γενέσθαι a^{1} 21 γενέσθαι a^{12} τούτοις] οὗτοι Gercke εἴ γε a^{12}: ουει γε sic V: οὐ εἴ γε ES 23 ἃ om. a^{2} μὴ sic V: μὴ a^{12} 24 τοιαῦτα O παιδείας a^{2} 26 ὡς s. v. V γνωρίσει $V^{2}a^{12}$: γνωρίζει (σει) V^{1}: γνωρίζειν S 27 δυναμένοις] δ in lit. V

οἱ μάντεις) οὐκ ἔσται δυνατὰ † ὄντα δυνατοῖς εἰδόσιν μὲν αὐτὰ κεκωλυκέναι ἀγνοοῦσιν δὲ ὑφ' ἡμῶν κωλύοντες. σῴζοντες δὲ τὴν τοῦ δυνατοῦ φύσιν οὕτως ὡς εἰρήκαμεν διὰ τοῦτό φασιν μηδὲ τὰ γιγνόμενα καθ' εἱμαρμένην καίτοι ἀπαραβάτως γινόμενα ἐξ ἀνάγκης γίνεσθαι, ὅτι ἐστὶν αὐτοῖς δυνατὸν γενέσθαι καὶ τὸ ἀντικείμενον, δυνατὸν οὕτως ὡς προείρηται. ἀλλὰ ταῦτα μὲν παιζόντων ὥσπερ εἰπόν ἐστιν, ἀλλ' οὐ παρισταμένων δόγματι. ὅμοιον δὲ τούτῳ καὶ τὸ λέγειν, τὸ ἀξίωμα τὸ 'ἔσται αὔριον ναυμαχία' ἀληθὲς μὲν εἶναι δύνασθαι, οὐ μέντοι καὶ ἀναγκαῖον. ἀναγκαῖον μὲν γὰρ τὸ ἀεὶ ἀληθές, τοῦτο δὲ οὐκέτ' ἀληθὲς μένει, ἐπειδὰν ἡ ναυμαχία γένηται. εἰ δὲ μὴ τοῦτο ἀναγκαῖον, οὐδὲ τὸ ὑπ' αὐτοῦ σημαινόμενον τὸ ἐξ ἀνάγκης ἔσεσθαι ναυμαχίαν. εἰ δὲ ἔσται μὲν οὐκ ἐξ ἀνάγκης ἀληθές, ἀληθοῦς ὄντος τοῦ ἔσεσθαι ναυμαχίαν, οὐκ ἐξ ἀνάγκης δέ, ἐνδεχομένως δηλονότι. εἰ δὲ ἐνδεχομένως, οὐκ ἀναιρεῖται τὸ ἐνδεχομένως τινὰ γενέσθαι ὑπὸ τοῦ πάντα γίνεσθαι καθ' εἱμαρμένην. πάλιν γὰρ καὶ τοῦτο ⟨ὅμοιον τῷ προειρημένῳ⟩· ὁμοῦ γὰρ παιζόντων ὁμοῦ δὲ ἀγνοούντων περὶ ὧν λέγουσιν. οὔτε γὰρ πᾶν τὸ ἐξ ἀνάγκης γιγνόμενον ἀναγκαῖον, εἴ γε τὸ μὲν ἀναγκαῖον ἀίδιον, τὸ δὲ ἐξ ἀνάγκης γινόμενον ὑπ' αὐτοῦ τοῦ γίνεσθαι τοιοῦτον εἶναι κεκώλυται, οὔτε τὸ ἀξίωμα τὸ τοῦτο λέγον ἀναγκαῖον, εἴ γε μὴ τὸ ὑπ' αὐτοῦ σημαινόμενον τοιοῦτον. οὐ γὰρ πᾶν ἀξίωμα, ἐν ᾧ τὸ ἀναγκαῖον περιέχεται, ἀναγκαῖον ἤδη † εἴ γε μήν· οὐ γὰρ | ταύτῃ τὸ ἀναγκαῖον ἀξίωμα κρίνεται, ἀλλὰ τῷ μὴ μεταπίπτειν δύνασθαι εἰς ψεῦδος ἐξ ἀληθοῦς. εἰ τοίνυν μὴ ἀναγκαῖον, οὐδὲν κεκώλυται ἀληθὲς εἶναι [ὡς] τὸ 'ἔσται αὔριον ναυμαχία'· εἰ γὰρ ὡς ἀναγκαῖον λεγόμενον διὰ τὴν τοῦ ἀναγκαίου προσθήκην οὐκ ἀληθές, εἰ μὴ λέγοιτο ἀναγκαῖον τῇ τοῦ ἐξ ἀνάγκης προσθέσει, ἀληθὲς ἂν μένοι ὁμοίως τῷ χωρὶς τῆσδε τῆς προσθήκης λεγομένῳ. ἀλλ' εἰ τότ' ἀληθές, ἀληθὲς ἔσται, ἐνστάσης τῆς αὔριον, ἀξίωμα τὸ ἐξ ἀνάγκης γεγονέναι ναυμαχίαν. εἰ δὲ ἐξ ἀνάγκης, οὐκ ἐνδεχομένως. καὶ γὰρ εἰ ἀληθές ἐστι τὸ 'αὔριον ἔσται ναυμαχία', ἀεὶ γενέσθαι ναυμαχίαν καθ' εἱμαρμένην ἔσται, εἴ γε

---

1 εἰδόσιν V: εἰσι a^{2}: εἴδοσι a^{1} κεχωλυκέναι a^{1} 1. 2 ὄντα — κωλύοντες] αὐτὰ τοῖς εἰδόσι δυνάμενα αὐτὰ (αὐτὰ om. O) κεκωλυκέναι, ἀγνοοῦσι δὲ ἡμῖν τὰ κωλύοντα δυνατὰ ἔσται Lond. O 4 ἐν αὐτοῖς K 5 ἀντικειμενον V δυνατοῦ (alt.) Lond. O ὡς] λεγομένου ὡς Lond. O 6 τοῦτο O μὲν] μὴ a^{1}
7 λέγ. καὶ τὸ ἀξ. a^{2} 9 μένει Usenerus: μὲν libri ἐπειδὰν ἡ Va^{1} Lond.: ἐπειδὰν δὲ ἡ a^{2}: εἰ μὴ ἐπειδὰν B^{2}: ἐπειδὰν μὴ ἡ Usenerus sed cf. l. c. p. 613
γένηται ἀληθές a^{2} 10 ἀνάγκης] εἱμαρμένης Heine 11 ἔσεται a^{2}
13 ἐνδεχομενὸϋ ωσ i. e. ἐνδεχομένως (alt.) V: ἐνδεχόμενον ὡς a^{12} (ἐνδεχόμενον ὥστε γενέσθαι B^{2}) 14 πάντα λέγοντος γίνεσθαι Lond. O πάλιν] εἰ πάντα H γρ. ES ⟨ὅμοιον τῷ προειρημένῳ⟩· ὁμοῦ scripsi 15 γὰρ παιζόντων V: μὲν γὰρ παιζόντων B: παιζόντων ἐστὶ a^{12} 16 γενόμενον O 17 γίνεσθαι] σθαι in lit. V 18 μὴ τὸ Lond. O: τὸ μὴ Va^{1}: τὸ a^{2}: del. B^{2}; cf. l. c. 614 sq.
19 μὴ τοιοῦτον B^{2} 20 εἴ γε μὴν Va^{1}: om. a^{2}: εἴ γε μὴ B^{2}: fortasse δεῖ λέγειν οὐ γὰρ del. B^{2} ἀναγκαῖον om. a^{2} 22 ὡς delevi 23 λεγόμενον scripsi: γινόμενον libri 24 λέγοιτο scripsi: γίνοιτο (γένοιτο KES) libri
25 τότ' scripsi: τοῦτ' libri 26 ἐνστάσει a^{2} γεγόνεναι V 27 δὲ] γὰρ O

πάντα τὰ γινόμενα καθ' εἱμαρμένην. ἀλλ' εἰ καθ' εἱμαρμένην, ἀπαραβάτως, εἰ ⟨δ'⟩ ἀπαραβάτως, οὐκ ἐνδέχεται μὴ γενέσθαι, ὃ δὲ οὐκ ἐνδέχεται μὴ γενέσθαι, τοῦτο ἀδύνατον μὴ γενέσθαι, ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, πῶς οἷόν τε τοῦτο λέγειν ἐνδέχεσθαι καὶ μὴ γενέσθαι; τὸ γὰρ ἀδύνατον μὴ γενέσθαι ἀναγκαῖον γενέσθαι. πάντα ἄρα τὰ καθ' εἱμαρμένην γινόμενα ἐξ ἀνάγκης ἔσται κατ' αὐτούς, ἀλλ' οὐχὶ καὶ ἐνδεχομένως, ὡς παίζοντες λέγουσιν.

XI Ἀκολουθεῖ δὲ τῷ πάντα τὰ γινόμενα προκαταβεβλημέναις καὶ ὡρισμέναις καὶ προυπαρχούσαις τισὶν αἰτίαις ἔσεσθαι τὸ καὶ βουλεύεσθαι τοὺς ἀνθρώπους μάτην περὶ τῶν πρακτέων αὐτοῖς. εἰ δὲ τὸ βουλεύεσθαι μάτην, μάτην ⟨ἂν⟩ ἄνθρωπος εἴη βουλευτικός. καίτοι εἰ μηδὲν μάτην ἡ φύσις ποιεῖ τῶν προηγουμένων, τὸ δὲ βουλευτικὸν εἶναι ζῷον τὸν ἄνθρωπον | προηγουμένως ὑπὸ τῆς φύσεως, ἀλλ' οὐ κατ' ἐπακολούθημά τι καὶ σύμπτωμα τοῖς προηγουμένως γινομένοις γίνοιτο, συνάγοιτο ἂν ⟨τὸ⟩ μὴ εἶναι μάτην τοὺς ἀνθρώπους βουλευτικούς. ὅτι δὲ τὸ βουλεύεσθαι μάτην πάντων γινομένων ἐξ ἀνάγκης, ῥᾴδιον γνῶναι τὴν τοῦ βουλεύεσθαι χρείαν εἰδόσιν. ὁμολογεῖται δὴ πρὸς ἁπάντων τὸ τῶν ἄλλων ζῴων τὸν ἄνθρωπον τοῦτο παρὰ τῆς φύσεως ἔχειν πλέον τὸ μὴ ὁμοίως ἐκείνοις ταῖς φαντασίαις ἕπεσθαι, ἀλλ' ἔχειν παρ' αὐτῆς κριτὴν τῶν προσπιπτουσῶν φαντασιῶν περί τινων ὡς αἱρετῶν τὸν λόγον, ᾧ χρώμενος, εἰ μὲν ἐξεταζόμενα τὰ φαντασθέντα, οἷα τὴν ἀρχὴν ἐφάνη, καὶ ἔστι, συγκατατίθεταί τε τῇ φαντασίᾳ καὶ οὕτως μέτεισιν αὐτά, εἰ δὲ ἀλλοῖα φαίνεται ἢ ἄλλο τι αὖ αἱρετώτερον, ἐκεῖνο αἱρεῖται καταλείπων τὸ τὴν ἀρχὴν ὡς αἱρετὸν αὐτῷ φανέν. πολλὰ γοῦν ταῖς πρώταις φαντασίαις ἡμῖν ἀλλοῖα δόξαντα οὐκέτ' ἔμεινεν ἐπὶ τῆς προλήψεως ἐλέγξαντος αὐτὰ τοῦ λόγου. διὸ πραχθέντα ἂν ὅσον ἐπὶ τῇ αὐτῶν γενομένῃ φαντασίᾳ [γενομένῃ], διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν οὐκ ἐπράχθη, ἡμῶν τοῦ τε βουλεύσασθαι καὶ τῆς αἱρέσεως τῶν ἐκ τῆς βουλῆς ὄντων κυρίων. διὰ τοῦτο γοῦν οὔτε περὶ τῶν ἀιδίων βουλευόμεθα οὔτε περὶ τῶν ὁμολογουμένως γινομένων ἐξ ἀνάγκης, ὅτι μηδὲν ἡμῖν ἐκ τοῦ περὶ αὐτῶν βουλεύεσθαι περιγίνεται πλέον. ἀλλ' οὐδὲ περὶ τῶν ἐξ ἀνάγκης μὲν μὴ γινομένων, ἐπ' ἄλλοις δέ τισιν ὄντων βουλευόμεθα, ὅτι μηδὲ ἀπὸ τῆς περὶ ἐκείνων βουλῆς ὄφελός τι ἡμῖν· ἀλλ' οὐδὲ περὶ τῶν ἡμῖν μὲν πρακτῶν, παρεληλυθότων δὲ βουλευόμεθα, ὅτι

---

2 δ' om. Va[1] 4 καὶ s. v. V 9 ἔσεσθαι] fortasse ἕπεσθαι 10 αὐτοῖς O 10. 11 μάτην μάτην ἂν a[1]: μάτην μάτην V: μάτην ἂν a[2] 12 φύσιν a[2] 14 τὸ add. a[12] cf. 208,2 16 βουλευεσθαι V χρείαν] ρ in lit. V 17 δὲ Cas. Lond. O ἄλλον Lond. 18 τοῦτο om. O τοῦτο παρὰ τῆς φύσεως— λόγου (25)] cf. Eusebius praep. ev. VI, 9. 272[a]: ἀλλ' ἐναργῶς φαίνεται τῶν ἄλλων ζῴων ὁ ἄνθρωπος μόνος τοῦτο κτλ. ἔχων Eusebius 19 ἔχειν τῶν προσπιπτόντων κριτὴν τὸν λόγον Eusebius τῶν om. a[12] 21 τε] τι K: om. ES Eusebius 22 ἢ B[1]ES: εἰ VB[2]a[12]: καὶ Lond. O ἢ—δόξαντα (24) om. Eusebius 23 αὐχὴν a[2] 25 ἐλέγξαντος] γ s. v. V λόγου διὰ τὸ συμβουλεύσασθαι (βουλεύσασθαι p. l.) περὶ αὐτῶν Eusebius 26 γενομένῃ sic i. e. del. V: γενομένῃ B[2]: γινομένῃ a[12] 28 ὄντως κυρίως V[1] (corr. v. c.) γοῦν] γὰρ O

μηδὲ τῇ περὶ τούτων βουλῇ πλέον τι ἡμῖν γίνεται. βουλευόμεθα δὲ περὶ μόνων τῶν ὑφ' ἡμῶν τε πραττομένων καὶ μελλόντων, δῆλον ὡς ἕξοντές τι διὰ τούτου πλέον εἰς τὴν αἵρεσίν τε καὶ πρᾶξιν αὐτῶν. εἰ γάρ, ἐν οἷς οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύεσθαι ⟨τοῦ βουλεύεσθαι⟩ αὐτοῦ μόνου περιγίνεται, οὐ βουλευόμεθα, | δῆλον ὡς ἐν οἷς βουλευόμεθα πλέον τι ἕξοντες 38 ἐκ τοῦ βουλεύεσθαι παρὰ τὸ βουλεύσασθαι βουλευόμεθα περὶ αὐτῶν † ἐπ' αὐτό τε τὸ βουλεύσασθαι περιγίνεται καὶ περὶ τῶν ἄλλων βουλευομένοις περὶ ὧν προειρήκαμεν. τί ποτ' οὖν τὸ περιγινόμενον ἐκ τῆς βουλῆς; τὸ ἔχοντας ἡμᾶς ἐξουσίαν τῆς αἱρέσεως τῶν πρακτέων, ὃ οὐκ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι τῷ ἄλλο πρᾶξαι ἂν διὰ τὸ εἶξαι τῇ προσπεσούσῃ φαντασίᾳ, τοῦτο αἱρετώτερον ὑπὸ λόγου φανὲν αἱρεῖσθαί τε καὶ πράττειν πρὸ ἐκείνου· ὃ γίνοιτ' ἄν, εἰ μὴ πάντα πράττομεν κατηναγκασμένως. εἰ δὲ εἴημεν πάντα ἃ πράττομεν πράττοντες διά τινας αἰτίας προκαταβεβλημένας ὡς μηδεμίαν ἔχειν ἐξουσίαν τοῦ πρᾶξαι τόδε τι καὶ μή, ἀλλ' ἀφωρισμένως ἕκαστον πράττειν ὧν πράττομεν, παραπλησίως τῷ θερμαίνοντι πυρὶ καὶ τῷ λίθῳ τῷ κάτω φερομένῳ καὶ τῷ κατὰ τοῦ πρανοῦς κυλιομένῳ κυλίνδρῳ, τί πλέον ἡμῖν εἰς τὸ πράττειν ἐκ τοῦ βουλεύσασθαι περὶ τοῦ πραχθησομένου γίνεται; ὃ γὰρ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι, τοῦτο καὶ μετὰ τὸ βουλεύσασθαι πράττειν ἀνάγκη, ὥστ' οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύσασθαι αὐτοῦ τοῦ βουλεύσασθαι περιγίνεται. ἀλλὰ μὴν τοῦτο καὶ ἐπὶ τῶν ⟨οὐκ⟩ ἐφ' ἡμῖν δυνάμενοι ποιεῖν ὡς ἄχρηστον ὂν παρῃτούμεθα. ἄχρηστον ἄρα τὸ βουλεύσασθαι, καὶ ἐφ' ὧν αὐτῷ ὥς τι χρήσιμον ἡμῖν παρεχομένῳ χρώμεθα. ᾧ εἵπετο τὸ μάτην ἡμῖν ὑπὸ τῆς φύσεως τὸ βουλευτικοῖς εἶναι δεδόσθαι. ᾧ προστεθέντος τοῦ αὐτοῖς γε τούτοις καὶ κοινῶς πᾶσιν σχεδὸν τοῖς φιλοσοφοῦσιν δοκοῦντος, τοῦ μηδὲν ὑπὸ τῆς φύσεως γίνεσθαι μάτην, ἀναιροῖτο ἄν, ᾧ εἵπετο τὸ μάτην ἡμᾶς εἶναι βουλευτικούς.

---

1 πλέον τι Lond. O: δέοντι Va[12] βουλευόμεθα] cf. Eusebius pr. ev. VI, 9. 272[b]: βουλευόμεθα γοῦν περὶ μόνων ὧν δυνάμεθα (βουλόμεθα p. l.) πράττειν· εἰ δέ ποτε μὴ βουλευσάμενοι πράττοιμεν, πολλάκις μετανοοῦμεν καὶ μεμφόμεθα ἑαυτοῖς τῆς ἀβουλίας· ἀλλὰ κἂν ἄλλους ἴδωμεν ἀβούλως πράττοντας ἐπικαλοῦμεν ὡς ἁμαρτάνουσιν ἀξιοῦμέν τε συμβούλοις τοῖσδε χρῆσθαι ὡς ἐφ' ἡμῖν ὄντων τῶν τοιούτων 2 ἡμων V 3 ἕξοντός a[2] τοῦτο O 4 τοῦ βουλεύεσθαι addidi cf. v. 20 5. 6 πλέον—βουλευόμεθα om. a[12] 6 τὸ corr. ex τοῦ B: τòῦ sic V: τοῦ HESO 6 (et 7) βουλεύσασθαι] βουλεύεσθαι O 6—8 fortasse αὐτῶν. ⟨εἰ δέ τι⟩ ἐπ' αὐτό γε τ. β. π. [καὶ] π. τῶν ἀλλ. βουλ. π. ὧν προειρήκαμεν, τί ποτ' κτλ. 6 παρὰ τοῦ βουλεύεσθαι περὶ αὐτῶν ἐπ' αὐτὸ τὸ βουλεύεσθαι περιγίνεται πλέον coni. Casp. O 7 τε om. a[12] καὶ] πλέον ἢ Lond. O 9 ἐξουσιαν V: τὴν ἐξουσίαν O 10 ἀλλοῦ sic V: ἄλλο HB[2]: ἄλλου B[1]a[12]: ἄλλο τι Cas. O εἶξαι V πρόσ πεσούσηι V 12 εἴη μὴ a[12] 14 ἐξουσίαν ἔχειν a[12] 16 καταφερομένῳ a[12] τῷ κατὰ om. a[12] 21 οὐκ add. Lond. O παραιτούμεθα Cas. O 22 ὥς τι] fortasse ὡς ⟨εἴς⟩ τι 23 παρεχομένωι V: παρεχόμενοι v. c. V: παρεχομένων ES: παρεχομένη a[12] 23—180, 2 ᾧ εἵπετο—ἀντικείμενα] dubito num haec Alexandri sint ᾧ v. c. V: ὡς V[1]a[12]: οἷς Lond. alt. τὸ B[2]: τοῦ libri 24 ᾧ v. c. V: ὡς V[1]a[12]: οἷς Lond. 24. 25 κινῶς a[12] 25 τοῦ B[2]: τὸ libri 26 ἀναιρεῖτο a[12]: ἀνῃρεῖτο Cas. ᾧ B[2]: ὡς Va[12]: οἷς Lond. βουλευτικοῖς K: βουλευτικοὺς a[12]

εἵπετο δὲ τοῦτο τῷ τῶν πραττομένων ὑφ' ἡμῶν μὴ ἔχειν ἡμᾶς τοιαύτην ἐξουσίαν, ὡς δύνασθαι τὰ ἀντικείμενα. |

Ἀναιρουμένου δὲ ὡς ἐδείχθη τοῦ βουλεύσασθαι κατ' αὐτοὺς ἀναιρεῖ- 40 XII ται καὶ τὸ ἐφ' ἡμῖν προδήλως. τοῦτο γὰρ ἐφ' ἡμῖν πάντες, ὅσοι μὴ θέσει τινὶ παρίστανται, παρειλήφασιν εἶναι, οὗ ἡμεῖς μὲν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι κύριοι, οὐχ ἑπόμενοί τισιν ἔξωθεν ἡμᾶς περιστᾶσιν αἰτίοις οὐδὲ ἐνδιδόντες αὐτοῖς, ᾗ ἐκεῖνα ἄγει, καὶ ἡ προαίρεσις, τὸ ἴδιον ἔργον τῶν ἀνθρώπων, περὶ ταὐτό· ἡ γὰρ ἐπὶ τὸ προκριθὲν ἐκ τῆς βουλῆς μετὰ ὀρέξεως ὁρμὴ προαίρεσις. διὸ οὐδὲ ἐπὶ τοῖς ἀναγκαίως γινομένοις ἡ προαίρεσις οὔτε ἐπὶ τοῖς μὴ ἀναγκαίως μὲν μὴ δι' ἡμῶν ⟨δέ⟩, ἀλλ' οὐδὲ ἐν πᾶσιν τοῖς δι' ἡμῶν, ἀλλ' ἐν τούτοις τοῖς γινομένοις δι' ἡμῶν, ὧν ἡμεῖς καὶ τοῦ πρᾶξαι καὶ τοῦ μὴ πρᾶξαι κύριοι. ὁ γὰρ βουλευόμενος περί τινος ἤτοι περὶ τοῦ δεῖν αὐτὸ πράττειν ἢ μὴ πράττειν βουλεύεται, ἢ σπουδάζων ὡς περὶ ἀγαθόν τι ζητεῖ, δι' ὧν ἂν τούτου τύχοι· κἂν μὲν ἀδυνάτῳ τινὶ ζητῶν ἐντύχῃ, τοῦ μὲν ἀφίσταται, ἀφίσταται δὲ ὁμοίως καὶ τῶν δυνατῶν μέν, οὐκ ὄντων δὲ ἐπ' αὐτῷ, μένει δὲ ἐν τῇ περὶ τοῦ προκειμένου ζητήσει, ἕως ἂν ἐντύχῃ τινί, οὗ τὴν ἐξουσίαν αὐτὸς ἔχειν πέπεισται, μεθ' ὃ παυσάμενος τοῦ βουλεύεσθαι ὡς ἀναγαγὼν τὴν ζήτησιν ἐφ' αὐτό, ὅ ἐστιν ἀρχὴ τῶν πράξεων, ἄρχεται τῆς πρὸς τὸ προκείμενον πράξεως. γίνεται δὲ καὶ ἡ ζήτησις αὐτῷ ὡς ἐξουσίαν ἔχοντι τοῦ πράττειν καὶ τὰ ἀντικείμενα. καθ' ἕκαστον γὰρ τῶν ὑπὸ τὴν βουλὴν ἡ ζήτησις βουλευομένῳ γίνεται, πότερον τοῦτο ἢ τὸ ἀντικείμενον αὐτῷ πρακτέον μοι, κἂν πάντα λέγῃ γίνεσθαι καθ' εἱμαρμένην. ἐλέγχει γὰρ ἡ ἐν τοῖς πρακτοῖς ἀλήθεια τὰς περὶ αὐτῶν ἡμαρτημένας δόξας· ἣν πλάνην κοινῶς πάντας ἀνθρώπους ὑπὸ τῆς φύσεως πεπλανῆσθαι πῶς οὐκ ἄτοπον λέγειν; ὅτι γὰρ ταύτην ἔχειν τὴν ἐξουσίαν ἐν τοῖς πρακτοῖς προειλήφαμεν, ὡς δύνασθαι διαιρεῖσθαι τὸ ἀντικείμενον, καὶ μὴ πᾶν ὃ αἱρούμεθα ἔχειν προκατα-| βεβλημένας αἰτίας, δι' ἃς οὐχ οἷόν τε ἡμᾶς μὴ τοῦτο αἱρεῖσθαι, ἱκανὴ 42 δεῖξαι καὶ ἡ ἐπὶ τοῖς αἱρεθεῖσιν γινομένη πολλάκις μετάνοια. ὡς γὰρ ἐνὸν ἡμῖν καὶ μὴ ᾑρῆσθαι καὶ μὴ πεπραχέναι τοῦτο μετανοοῦμέν τε καὶ μεμφόμεθα αὑτοῖς τῆς περὶ τὴν βουλὴν ὀλιγωρίας. ἀλλὰ κἂν ἄλλους ἴδωμεν

---

2 δύνασθαι ⟨πράττειν⟩ O 5 οὗ] ᾧ Casp. O 6. 7 παριστᾶσιν a[12]: περιισταμένοις B[2] 7 αὐτοῖς (αὐτοισ V) a[12]: αὑτοῖς B: αὐτοὺς Lond. O: αὐτοὶ ES: αὐτοὺς Cas. ᾗ ἂν O ἄγει B[2]a[12]: ἄγῃ sic V: ἄγη B[1]HES: ἄγῃ O 8 περὶ ταὐτό] τοῦτο ES: περὶ ταὐτεξούσιον Casp. O τὸ om. O 10 alt. μὴ] ἡμιν (sic i. e. ἡμιν corr. v. c. in μὴ) V: ἡμῖν a[12]: μὴ B[2]H: εἰ μὴ Lond. O δὲ add. B[2] 12 pr. καὶ om. a[12] κύριοι ἐσμέν HO 14 ἀγαθόν HB[2] Cas.: αγαθῶν sic V: ἀγαθῶν a[12] 15 ἀδυνατάτωι sic V ἐντύχῃ scripsi: τύχῃ V: τύχοι a[12]: ἐντύχοι Cas. τοῦ] κἂν Lond. 16 μένει B[2] Lond. O: εἰ Va[12] 17 ἐντύχοι B[2] 18 πέπεισται] πεπίστευται a[12] ἀναγαγὼν] alterum γ in lit. V 19. 20 προσκείμενον O 21 καθ' sic V 23 γίνεσθαι] ι in lit. V 26 τοισ V 27 διαιρεῖσθαι] fortasse αἱρεῖσθαι 28 αἱρεισθαι V 30 ἡμῖν καὶ τὸ μὴ a[12] ἡρεῖσθαι a[12] 31 ἰδῶμεν V

μὴ καλῶς περὶ τῶν πρακτέων διαλαμβάνοντας, κἀκείνοις ἐπικαλοῦμεν ὡς ἁμαρτάνουσιν, ἀξιοῦμεν δὲ συμβούλοις † τοιοῖσδε χρῆσθαι ὡς ἐφ' ἡμῖν ὂν τό τε παραλαμβάνειν αὐτοὺς συμβούλους ὄντας ἢ μὴ παραλαμβάνειν τοὺς πρᾶξαι ἂν διὰ τὴν τῶν τοιούτων παρουσίαν ἄλλα [καὶ] τινὰ καὶ μὴ ταῦτα ἃ πράσσομεν. ἀλλ' ὅτι μὲν τὸ ἐφ' ἡμῖν ἐπὶ τούτων κατηγορεῖται, ὧν ἐν ἡμῖν ἡ ἐξουσία τοῦ ἑλέσθαι καὶ τὰ ἀντικείμενα, γνώριμον ὂν καὶ ἐξ αὐτοῦ, ἱκανὰ ὑπομνῆσαι καὶ τὰ προειρημένα.

XIII τοιούτου δ' ὄντος αὐτοῦ, τὸ μὲν δεικνύναι τοῦτο σωζόμενον κατὰ τοὺς πάντα λέγοντας γίνεσθαι καθ' εἱμαρμένην οὐδὲ ἐπιχειροῦσιν τὴν ἀρχήν (ἴσασιν γὰρ ἐγχειρήσαντες ἀδυνάτοις), ὡς δὲ ἐπὶ τῆς τύχης ἄλλο τι σημαινόμενον ὑποθέντες τῷ τῆς τύχης ὀνόματι παράγειν πειρῶνται τοὺς ἀκούοντας αὐτῶν ὡς σώζοντες καὶ αὐτοὶ τὸ ἀπὸ τύχης γίνεσθαί τινα, οὕτως δὲ καὶ ἐπὶ τοῦ ἐφ' ἡμῖν ποιοῦσιν. ἀναιροῦντες γὰρ τὸ ἐξουσίαν ἔχειν τὸν ἄνθρωπον τῆς αἱρέσεώς τε καὶ πράξεως τῶν ἀντικειμένων λέγουσιν ἐφ' ἡμῖν εἶναι τὸ γινόμενον καὶ δι' ἡμῶν. ἐπεὶ γάρ, φασίν, τῶν ὄντων τε καὶ γινομένων αἱ φύσεις ἕτεραί τε καὶ διάφοροι (οὐ γὰρ αἱ αὐταὶ τῶν ἐμψύχων τε καὶ τῶν ἀψύχων, ἀλλ' οὐδὲ τῶν ἐμψύχων ἁπάντων αἱ αὐταὶ πάλιν· αἱ γὰρ κατ' εἶδος τῶν ὄντων διαφοραὶ τὰς τῶν φύσεων αὐτῶν διαφορὰς δεικνύουσιν), γίνεται δὲ τὰ ὑφ' ἑκάστου γινόμενα κατὰ τὴν οἰκείαν φύσιν, τὰ μὲν ὑπὸ λίθου κατὰ τὴν | 44 λίθου, τὰ δ' ὑπὸ πυρὸς κατὰ τὴν πυρὸς καὶ τὰ ὑπὸ ζῴου κατὰ τὴν [ὑπὸ] ζῴου, οὐδὲν μὲν τῶν κατὰ τὴν οἰκείαν φύσιν ὑφ' ἑκάστου γινομένων δύνασθαί φασιν ἄλλως ἔχειν, ἀλλ' ἕκαστον τῶν γινομένων ὑπ' αὐτῶν γίνεσθαι κατηναγκασμένως, κατ' ἀνάγκην οὐ τὴν ἐκ βίας. ἀλλ' ἐκ τοῦ μὴ δύνασθαι τὸ μὴ πεφυκὸς οὕτως (ὄντων τῶν περιεστώτων τοιούτων ⟨ὡς⟩ ἀδύνατον αὐτῷ μὴ περιεστάναι) τότε ἄλλως πως καὶ μὴ οὕτως κινηθῆναι. μήτε γὰρ τὸν λίθον, εἰ ἀπὸ ὕψους ἀφεθείη τινός, δύνασθαι μὴ φέρεσθαι κάτω μηδενὸς ἐμποδίζοντος — τῷ βαρύτητα μὲν ἔχειν αὐτὸν ἐν αὑτῷ, ταύτην δ' εἶναι ⟨τὴν⟩ τῆς τοιαύτης κινήσεως κατὰ φύσιν ⟨αἰτίαν⟩, ὅταν καὶ τὰ ἔξωθεν αἴτια τὰ πρὸς τὴν κατὰ φύσιν κίνησιν τῷ λίθῳ συντελοῦντα παρῇ, ἐξ ἀνάγκης τὸν λίθον ὡς πέφυκεν φέρεσθαι· πάντως δ' αὐτῷ καὶ ἐξ

1 πρακτέων] πρα v. c. s. v. V ὡς in lit. B Schulthess O: οἷς Va^{12} 2 τοιοῖσδε] fortasse τοιούσδε, scil. τοὺς μὴ καλῶς διαλαμβ. (v. 1) 3 αὐτοὺς—ὄντας] fortasse αὐτοῖς συμβουλεύσοντας τοὺς Va^{12}: τῷ B^{2}: τοῦ ES Cas.: ὡς Lond. O: fortasse καὶ τὸ 4 καὶ del. V^{1}: καὶ a^{12} 5 ἃ v. c. s. v. V ἡμῶν O 9 γὰρ ⟨ἂν⟩ Schwartz ἐγχειρήσαντες Va^{12}: ἐγχειρήσοντες B^{2}: ἐπιχειρήσοντες O 11 σώζεσθαι καὶ αὐτοῖς H γρ. ES 14 τὸ B^{2} Lond.: τό τε Cas.: τε sic V: τε a^{12} καὶ del. B^{2} idem in mg.: ἴσως δεῖ λέγειν: λέγουσιν ἐφ' ἡμῖν εἶναι τὸ ὑπό τε τῆς εἱμαρμένης γινόμενον καὶ δι' ἡμῶν 15 ἐπεὶ] ἐπὶ vel εἰσὶ Gercke 16 διάφοραι sic V 21 ὑπὸ om. Cas. O μὲν] δὲ S: μὴν Gercke 23 τὴν] μὴν Gercke fortasse ἀλλ⟨ὰ τὴν⟩ 24 μὴ s. v. v. c. (?) V: om. ES: δὴ Gercke οὕτως] ὅλως Gercke ὡς add. Lond. O 25 pr. μὴ sic V περιεστάναι καὶ ἀδύνατον τότε a^{12} 26 μηδὲ Gercke 28 τὴν addidi κατὰ del. O: κάτω Casp. O αἰτίαν add. B^{2} ὅταν] ὥστ' ἂν Schwartz bene 29 παρῆν sic V^{1} 29. 30 παρῇ ὡς ἐξ Lond. O

ἀνάγκης παρεῖναι ταῦτα τὰ αἴτια, δι' ἃ κινεῖται τότε, — οὐ μόνον μὴ δυνάμενον μὴ κινεῖσθαι τούτων [μὴ] παρόντων, ἀλλὰ καὶ ἐξ ἀνάγκης κινεῖσθαι τότε, καὶ γίνεσθαι τὴν τοιαύτην κίνησιν ὑπὸ τῆς εἱμαρμένης διὰ τοῦ λίθου· ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. ὡς δὲ ἐπὶ τῶν ἀψύχων ἔχει, οὕτως δὲ καὶ ἐπὶ τῶν ζῴων ἔχειν φασίν. εἶναι γάρ τινα καὶ τοῖς ζῴοις κίνησιν κατὰ φύσιν, ταύτην δ' εἶναι τὴν καθ' ὁρμήν· πᾶν γὰρ ζῷον ὡς ζῷον κινούμενον κινεῖσθαι ⟨τὴν⟩ καθ' ὁρμὴν κίνησιν ὑπὸ τῆς εἱμαρμένης διὰ ζῴου γινομένην. οὕτως δὲ τούτων ἐχόντων, καὶ γινομένων ὑπὸ τῆς εἱμαρμένης κινήσεών τε καὶ ἐνεργειῶν ἐν τῷ κόσμῳ τῶν μὲν διὰ γῆς, ἂν οὕτω τύχῃ, τῶν δὲ δι' ἀέρος, τῶν δὲ διὰ πυρός, τῶν δὲ δι' ἄλλου τινός, γινομένων δέ τινων καὶ διὰ ζῴων (τοιαῦται δὲ αἱ καθ' ὁρμὴν κινήσεις), τὰς διὰ τῶν ζῴων ὑπὸ τῆς εἱμαρμένης γινομένας ἐπὶ τοῖς ζῴοις εἶναι λέγουσιν, ὁμοίως δὲ ὡς πρὸς τὸ ἀναγκαῖον τοῖς ἄλλοις γινομένας ἅπασιν, τῷ δεῖν καὶ τοῖς ἐξ ἀνάγκης | 46 τὰ ἔξωθεν αἴτια παρεῖναι τότε, ὥστε αὐτὰ τὴν ἐξ ἑαυτῶν τε καὶ καθ' ὁρμὴν κίνησιν ἐξ ἀνάγκης οὕτω πως ἐνεργεῖν. ὅτι δὲ αὗται μὲν δι' ὁρμῆς τε καὶ συγκαταθέσεως, ἐκείνων δὲ αἱ μὲν διὰ βαρύτητα γίνονται, αἱ δὲ διὰ θερμότητα, αἱ δὲ κατ' ἄλλην τινά * * *, ταύτην μὲν ἐπὶ τοῖς ζῴοις λέγοντες, οὐκέτι δὲ ἐκείνων ἑκάστην, τὴν μὲν ἐπὶ τῷ λίθῳ, τὴν δὲ ἐπὶ τῷ πυρί. καὶ τοιαύτη μὲν αὐτῶν ἡ περὶ τοῦ ἐφ' ἡμῖν δόξα ὡς δι' ὀλίγων εἰπεῖν.

XIV

ἔνεστι δ' ὁρᾶν, εἰ ταῦτα λέγοντες σῴζουσιν τὰς κοινὰς περὶ τοῦ ἐφ' ἡμῖν πάντων ἀνθρώπων προλήψεις. οἱ γὰρ ἀπαιτοῦντες αὐτούς, πῶς οἷόν τε πάντων ὄντων καθ' εἱμαρμένην τὸ ἐφ' ἡμῖν σῴζεσθαι, οὐχ ὄνομα μόνον τοῦ ἐφ' ἡμῖν τιθέντες τοῦτ' ἀπαιτοῦσιν, ἀλλὰ καὶ σημαινόμενον ἐκεῖνο τὸ αὐτεξούσιον. διὰ γὰρ τὸ τοιοῦτον εἶναι τὸ ἐφ' ἡμῖν πεπιστεῦσθαι εὐθύνουσιν τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας. οἱ δὲ δέον αὐτόθεν μὴ σῴζεσθαι λέγειν καὶ τοῦ μὴ σῴζεσθαι ζητεῖν τε καὶ παρέχεσθαι τὰς αἰτίας, ἐπεὶ τοῦτο ἑώρων παντάπασιν ἄδοξόν τε ὂν καὶ πολλὰ τῶν καὶ αὐτοῖς † τοῦ ἐφ' ἡμῖν πᾶσάν τε ταὐτὸ δεικνὺς συνοδεῦον τῷ τῆς εἱμαρμένης λόγῳ, ⟨τῷ⟩ διὰ τῆς ὁμωνυμίας παρακρούεσθαι τοὺς ἀκούοντας ἡγοῦνται φεύγειν τὰ ἄτοπα, ὅσα ἕπεται τοῖς μηδὲν ἐφ' ἡμῖν εἶναι λέγουσιν. ταῦτα δὲ λέγοντας αὐτοὺς πρῶτον μὲν ἂν ἀπαιτήσαι τις εὐλόγως, τί δή ποτε ἄλλου δι' ἄλλων

---

2 δυνάμενον a^{12}: δυναμενων sic V^1: δυναμένων B^1ES: δυναμένου B^2 κινῆσθαι a^1 μὴ om. a^1 5 δὲ om. O: δὴ ES   7 τὴν add. B^2 ὑπὸ] διὰ O   10 πυρός, ⟨τῶν δὲ δι' ὕδατος⟩ coni. O   13 ἀναγκαῖον] γ in lit. V   14 γινομένοις Schwartz   16 ὁρμησ V   συγκαταθέσεως a^{12}: νυνθέσεωσ sic V: συνθέσεως HBES^1 18 lacunam indicavi   21 περὶ B^2: ἐπὶ libri   26 λέγοντες ES Lond. ⟨ὅτε⟩ δέον Lond. O   αὐτόθεν] αὐτοῖς Lond.   28 καὶ αὐτοῖς] παρ' αὐτοὺς λεγόμενα (λεγομένων O) περὶ Lond. O   τοῦ] περὶ τοῦ B^2: τῶ ES   29 post ἡμῖν B^2 add. δοκούντων ἀναιρετικόν   πᾶσαν] ὡς ἂν Lond.   πᾶσαν — συνοδεῦον] μὴ συνοδεύοντα coni. O   δεικνύναι Lond.   λόγῳ, πειρώμενοί τε B^2 τῷ add. Schwartz   30 φεύγειν ⟨τε⟩ Lond. O   31 λέγοντασ] τασ in lit. V   32 ἄλλου] ἄλλως v. c. V

γινομένων ὑπὸ τῆς εἱμαρμένης, καὶ διὰ τῆς οἰκείας φύσεως τῶν ὄντων ἑκάστου τῆς εἱμαρμένης ἐνεργούσης, ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς τὸ ἐπ' αὐτοῖς εἶναι κατηγοροῦσιν, ἐπὶ δὲ τῶν ζῴων μόνον. δι' ἃ γὰρ λέγουσιν ἐπὶ τῶν ζῴων τὰ διὰ τοῦ ζῴου γινόμενα, ταῦτ' ἔνεστι καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν. ἐπεὶ γὰρ οὐκ ἄλλως γένοιτο τὰ διὰ τοῦ | ζῴου γινόμενα, μὴ ὁρμήσαντος τοῦ ζῴου, ἀλλὰ διὰ τὸ συγκατατίθεσθαι μὲν τὸ ζῷον καὶ ὁρμῆσαι γίνεται, μὴ συγκαταθεμένου δὲ οὐ γίνεται, ταῦτα ἐπὶ τῷ ζῴῳ φασὶν εἶναι, ἐξ ἀνάγκης μὲν ἐσόμενα ὑπ' αὐτοῦ (οὐ γὰρ οἷόν τε ἄλλως), τῷ δὲ μὴ δύνασθαι δι' ἄλλου τινὸς ἢ διὰ τούτου γενέσθαι, μηδ' ἄλλως ἢ οὕτως διὰ τούτου, τὸ εἶναι αὐτὰ ἐπὶ τῷ ζῴῳ οἰηθέντες. ἀλλὰ τοῦτό γε καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν ἔστιν. οὔτε γὰρ τὸ διὰ τοῦ πυρὸς γινόμενον ὑπ' ἄλλου τινὸς ἂν γένοιτο οὔτ' ἄλλως διὰ τοῦ πυρὸς ἢ διὰ τοῦ θερμῆναι, ὥστ', ἐπεὶ μηδ' ἄλλως γένοιτο τὰ διὰ τοῦ πυρὸς γινόμενα ἢ θερμήναντος τοῦ πυρός, καὶ θερμήναντος μὲν αὐτοῦ ἔσται, μὴ θερμήναντος δὲ οὐκ ἔσται, εἴη ἂν ἐπὶ τῷ πυρὶ ταῦτα. τὰ δ' αὐτὰ καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ἔσται λέγειν. τί γὰρ δεῖ μακρολογεῖν γεγονότος τοῦ λεγομένου γνωρίμου; ὀνομάτων μὲν οὖν οὐδεὶς φθόνος, τὸ δ' ἡγεῖσθαι πλέον τι τοῖς ζῴοις διδόναι ἐν τοῖς γινομένοις δι' αὐτῶν παρὰ τἆλλα, δι' ὧν τι καὶ αὐτῶν γίνεται, μηδὲν πλέον τοῦ ἐπ' αὐτοῖς ὀνόματος τηροῦντας αὐτοῖς, τοῦτ' αὐτὸ αἰτιατέον, ὡς αὐτῶν ἀπατωμένων διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν, ἢ ὡς τοῦ ἄλλους ἀπατᾶν προαιρουμένων. ἐπὶ τούτῳ δὲ ἐκεῖνο ἄν τις αὐτῶν θαυμάσειεν, τί παθόντες ἐν τῇ ὁρμῇ τε καὶ συγκαταθέσει τὸ ἐφ' ἡμῖν φασιν εἶναι, δι' ὃ καὶ ὁμοίως ἐν πᾶσιν τοῖς ζῴοις τηροῦσιν αὐτό. οὐ γὰρ τὸ ἐφ' ἡμῖν ἐν τῷ φαντασίας προσπεσούσης εἶξαί τε ἐξ ἑαυτῶν τῇ φαντασίᾳ καὶ ὁρμῆσαι ἐπὶ τὸ φανέν, ἀλλὰ τοῦτο μὲν ἂν ἴσως εἴη τοῦ ἑκουσίου κατασκευαστικόν τε καὶ δεικτικόν. οὐ μὴν ταὐτὸν τό τε ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν. ἑκούσιον μὲν γὰρ τὸ ἐξ ἀβιάστου γινόμενον συγκαταθέσεως, ἐφ' ἡμῖν δὲ τὸ γινόμενον μετὰ τῆς κατὰ λόγον τε καὶ κρίσιν συγκαταθέσεως. διὸ εἴ τι μὲν ἐφ' ἡμῖν, τοῦτο καὶ ἑκούσιον, οὐ μὴν πᾶν τὸ | ἑκούσιον ἐφ' ἡμῖν. ἑκουσίως μὲν γὰρ καὶ τὰ ἄλογα ζῷα, ὅσα κατὰ τὴν ὁρμήν τε καὶ συγκατάθεσιν τὴν ἐν αὐτοῖς ⟨ποιεῖ⟩, ποιεῖ, τὸ δὲ ἐπ' αὐτῷ τι εἶναι τῶν γινομένων ὑπ' αὐτοῦ ἴδιον ἀνθρώπου. τοῦτο γάρ ἐστιν αὐτῷ τῷ εἶναι λογικῷ τὸ ἔχειν ἐν αὐτῷ λόγον τῶν προσπιπτουσῶν φαντασιῶν καὶ ὅλως τῶν πρακτέων τε καὶ μὴ κριτήν τε καὶ

---

1 γινομένου ES Lond. 2. 3 ἐπ' αὐτοῖς] ἐφ' ἡμῖν O 4 fortasse ἐπὶ τῷ ζῴῳ 6 μὴ] fortasse ἢ 7 fortasse ὁρμῆσαν συγκατατιθεμένου a[12] ταῦτα] διὰ τοῦτο B[2] 8 ἐπ' αὐτῷ O: ἐπ' αὐτοῦ Cas. 9 ἄλλως] ἄλλω a[12] 10 τούτου] ου in lit. V τὸ in lit. B[2]: τῷ libri 13 ὡς δ' O 15 αὐτα V 16 ἐφ'] ὑφ' Cas. Lond. O 17 λεγομένου] inter ο et μ lit. 1 litt. V γνώριμου V οὖν] γὰρ H γρ. ESO 19 τἆλλα V τις a[12] γίνηται O 20 τοῦτ' αὐτὸ] τοῦτ' αὐτοῖς H: τοῦτο ES 21 τοῦ (alt.) Va[12]: τοὺς KESO: fortasse τὸ 27 γὰρ om. O 29 λόγον] λο in lit. V 31 ποιεῖ add. Schwartz 32 τι εἶναι H γρ. ESO: τιθέναι Va[12] ὑπ' αὐτοῦ] ὑπὸ τοῦ K: ὑπ' τοῦ a[2] 33 τῷ Lond. O: τὸ Va[12]: τὸ corr. ex τῷ B ἐν αὐτῷ V τῶν om. O

εὑρετήν. διὸ τὰ μὲν ἄλλα ζῷα, ἃ εἴκει ταῖς φαντασίαις μόναις, κατ᾽ αὐτὰς ἔχει τῶν συγκαταθέσεών τε καὶ τῶν κατὰ τὰς πράξεις ὁρμῶν αἰτίας, ὁ δὲ ἄνθρωπος ἔχει τῶν προσπιπτουσῶν ἔξωθεν φαντασιῶν αὐτῷ περὶ τῶν πρακτέων κριτὴν τὸν λόγον, ᾧ χρώμενος ἑκάστην αὐτῶν ἐξετάζει, μὴ μόνον εἰ φαίνεται τοιαύτη, ὁποία φαίνεται, ἀλλὰ καὶ εἰ ἔστι. κἂν εὕρῃ ζητῶν κατὰ τὸν λόγον ἀλλοῖον αὐτῆς τοῦ φαίνεσθαι τὸ εἶναι, οὐ διότι τοιάδε τις φαίνεται συνεχώρησεν αὐτῇ, ἀλλ᾽, ὅτι μὴ καὶ ἔστι τοιαύτη, ἐνίσταται πρὸς αὐτήν. οὕτως γοῦν καὶ ἡδέων τινῶν φαινομένων πολλάκις ἀπέχεται, καίτοι ὄρεξιν ⟨ἔχων⟩ αὐτῶν, ὅτι μὴ τὸν λόγον ἔσχεν τῷ φαινομένῳ συνᾴδοντα, ὁμοίως δὲ καὶ συμφέροντα φανέντα τινὰ παρῃτήσατο, τῷ λόγῳ τοῦτο δόξαν. εἰ δὲ τὸ ἐφ᾽ ἡμῖν ἐστι ἐν τῇ λογικῇ συγκαταθέσει, ἥτις διὰ τοῦ βουλεύεσθαι γίνεται, οἱ δὲ ἐν τῇ συγκαταθέσει τε καὶ ὁρμῇ φασιν εἶναι, ὅτι καὶ ἀλόγως γίνεται, δῆλοι δι᾽ ὧν λέγουσιν ῥαθυμότερον περὶ τοῦ ἐφ᾽ ἡμῖν διαλαμβάνοντες, ⟨ὅτι⟩ οὔτε ὅτι ποτ᾽ ἐστὶν αὐτό, οὔτε ἐν τίνι γίνεται, λέγουσιν. τὸ γὰρ εἶναι λογικῷ οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ ἀρχὴν πράξεων εἶναι. ὡς γὰρ ἄλλῳ ἐν ἄλλῳ τὸ εἶναι, τῷ μὲν ζῴῳ ἐν τῷ ὁρμητικῷ, τῷ δὲ πυρὶ ἐν τῷ θερμῷ τε καὶ θερμαντικῷ, ἄλλῳ δὲ ἐν ἄλλῳ, οὕτως δὲ τῷ ἀνθρώπῳ ἐν τῷ λογικῷ, ὃ ἴσον ἐστὶ τῷ ἐν αὑτῷ ἀρχὴν ἔχειν τοῦ καὶ ἑλέσθαι τι καὶ μή· καὶ τὸ αὐτὸ ἄμφω, ὥστε ὁ τοῦτο ἀναιρῶν ἀναιρεῖ τὸν ἄνθρωπον. ἐοί|κασιν δὲ παραλελοιπότες τὸν 52 λόγον ἐν τῇ ὁρμῇ τὸ ἐφ᾽ ἡμῖν τίθεσθαι, ὅτι μηκέτ᾽ ἐν τῷ βουλεύεσθαι λέγουσιν αὐτοῖς τὸ ἐφ᾽ ἡμῖν εἶναι προχωρεῖ τὸ σόφισμα. ἐπὶ μὲν γὰρ τῆς ὁρμῆς ἔχουσιν λέγειν τὸ ἐπὶ τοῖς ζῴοις εἶναι τὰ γινόμενα καθ᾽ ὁρμήν, ὅτι μὴ οἷά τε χωρὶς ὁρμῆς τὰ δι᾽ αὐτῶν γινόμενα ποιεῖν, εἰ δ᾽ ἐν τῷ βουλεύεσθαι τὸ ἐφ᾽ ἡμῖν, ἔνθεν οὐκέτ᾽ αὐτοῖς εἵπετο τὸ μὴ δύνασθαι τὰ δι᾽ ἀνθρώπου γινόμενα ἄλλως γενέσθαι τῷ τὸν ἄνθρωπον ὄντα βουλευτικὸν μὴ πάντα τὰ γινόμενα δι᾽ αὐτοῦ βουλευόμενον ποιεῖν. οὐ γὰρ πάντα, ἃ ποιοῦμεν, βουλευσάμενοι ποιοῦμεν, ἀλλὰ πολλάκις μέν, οὐ συγχωροῦντος τοῦ καιροῦ τῶν πραχθῆναι δεόντων τῷ βουλεύσασθαι χρόνον, καὶ μὴ βουλευσάμενοί τινα ποιοῦμεν, πολλάκις δὲ καὶ δι᾽ ἀργίαν ἤ τινα ἄλλην αἰτίαν. εἰ δὲ τὰ μὲν βουλευσαμένων ἡμῶν, τὰ δὲ καὶ μὴ βουλευσαμένων γίνεται, οὐκέτι χώραν ἔχει τὸ λέγειν τὸ τὰ διὰ τοῦ βουλεύεσθαι γινόμενα

---

1 εὑρέτην V ἄλλα] ἄλογα H 1. 2 κατ᾽ αὐτάς] καὶ ταύτας H γρ. ES 2 πράξεις v. c. Va^{12}: τάξεις V^{1}ES 3 προσπιπτουσῶν] σων in lit. m^{1} sive v. c. s. v. V αὐτῷ φαντασιῶν a^{12} 5 ὁποία] ὅμοια Lond. 6 ζητῶν] ζη supra vers. V αὐτοῖς O 9 καιτοι V ὄρεξιν ἔχων B^{2}HES: ἔχων ὄρεξιν a^{12}: ὄρεξιν V 11 ⟨ὅτι⟩ τῷ Lond. O 13 ὅτι περ B^{2} 14 ὅτι addidi: ante ῥαθυμότερον (13) Casp. Or. („vel λέγουσιν del.") 15 αὐτῷ a^{12} λογικὸν Lond. O 16 ἡ V ἄλλῳ ἐν Cas. O: ἁπλῶς ἐν Casp. O: ἄλλως libri 18 alt. ἐν om. a^{12} αὑτῷ scripsi: αὐτῷ Lond. O: τῷ Va^{12} 19 ἑλέσθαι scripsi: ἔχεσθαι libri: ἐνεργεῖν B^{2} τι] τοῦ coni. O ἄμφω] scil. τὸ λογικὸν et ἄνθρωπος (καὶ τὸ αὐτὸ ἀφιέναι coni. Casp. O) 20 παραλελιπότεσ V: παραλελειπότες H 24 μὴ HSB in lit. Lond. O: μὴν sic V: μὴν a^{12} 25 ἡμιν V 27 ποιεῖ a^{2} 30 ἀργιαν V 32 λέγειν τὸ om. O

ἐπὶ τῷ ἀνθρώπῳ εἶναι τῷ μὴ δύνασθαι ἄλλως τι δι' αὐτοῦ γίνεσθαι. ὥστ', εἰ τὰ μὲν βουλευσάμενοι, τὰ δὲ μὴ βουλευσάμενοι ποιοῦμεν, οὐκέθ' οὕτως τὰ δι' ἡμῶν γινόμενα ἁπλῶς γίνεται, ὡς τὰ γινόμενα διὰ τῶν ζῴων ἢ διὰ τοῦ πυρὸς ἢ διὰ τῶν βαρέων δύο σωμάτων. εἰ δ' ἔχομεν καὶ τοῦ βουλευσάμενοί τι ποιεῖν παρὰ τῆς φύσεως τὴν ἐξουσίαν, δῆλον ὡς ἔχοιμεν ⟨ἂν⟩ ἐξουσίαν καὶ τοῦ διὰ τοῦ βουλεύσασθαι ἄλλο τι πρᾶξαι, καὶ μὴ πάντως τοῦτο ὃ καὶ βουλευσάμενοι † ἦν ἂν βουλευοίμεθα. |

54 XV τὸ δ' ἐποχουμένους τῷ 'εἰ δὴ τῶν αὐτῶν περιεστώτων ὁτὲ μὲν οὕτως ὁτὲ δὲ ἄλλως ἐνεργήσει τις, ἀναίτιον κίνησιν εἰσάγεσθαι' διὰ τοῦτο λέγειν μὴ δύνασθαι οὗ πράξει τις πρᾶξαι τὸ ἀντικείμενον, μήποτε καὶ αὐτὸ τῶν ὁμοίως τοῖς προειρημένοις παρορωμένων. οὐ γὰρ πάντως ἀεὶ τὰ γινόμενα κατὰ αἰτίαν ἔξωθεν ἔχει τοῦ γίνεσθαι τὴν αἰτίαν. διὰ γὰρ τὴν τοιαύτην ἐξουσίαν ἐστί τι ἐφ' ἡμῖν, ὅτι τῶν οὕτως γινομένων ἡμεῖς ἐσμεν κύριοι, ἀλλ' οὐκ ἔξωθέν τις αἰτία. διὸ ⟨οὐκ⟩ ἀναιτίως τὰ οὕτω γινόμενα γίνεται, παρ' ἡμῶν τὴν αἰτίαν ἔχοντα. ὁ γὰρ ἄνθρωπος ἀρχὴ καὶ αἰτία τῶν δι' αὐτοῦ γινομένων πράξεων, καὶ τοῦτό ἐστι τὸ εἶναι ἀνθρώπῳ τὸ τοῦ πράττειν οὕτως τὴν ἀρχὴν ἔχειν ἐν αὑτῷ, ὡς * * * τῇ σφαίρᾳ τὸ κατὰ τοῦ πρανοῦς κυλιομένῃ φέρεσθαι. διὸ τῶν μὲν ἄλλων ἕκαστον ἕπεται ταῖς ἔξωθεν αὐτῷ περιεστώσαις αἰτίαις, ὁ δ' ἄνθρωπος οὐχ, ὅτι ἐστὶν αὐτῷ τὸ εἶναι ἐν τῷ ἔχειν ἀρχήν τε καὶ αἰτίαν ἐν αὑτῷ, ⟨ὡς⟩ μὴ πάντως ἕπεσθαι τοῖς περιεστῶσιν ἔξωθεν αὐτῷ. καὶ γὰρ ⟨εἰ⟩ ἦν ἡμῖν ἡ περὶ τῶν πρακτέων κρίσις πρὸς ἕνα γινομένη σκοπόν, ἴσως ⟨ἂν⟩ εἶχέ τινα λόγον τὸ ἀεὶ περὶ τῶν αὐτῶν ὁμοίας ἡμῖν γίνεσθαι τὰς κρίσεις. ἐπεὶ δ' οὐχ οὕτως ἔχει (αἱρούμεθα γάρ, ἃ αἱρούμεθα, ποτὲ μὲν διὰ τὸ καλόν τι, ποτὲ δὲ διὰ τὸ ἡδύ, ποτὲ δὲ διὰ τὸ σύμφορον, καὶ οὐ ταὐτὰ τούτων ποιητικά), ἐνδέχεται νῦν μὲν ἐπὶ τὸ καλὸν κινηθέντας ἡμᾶς * * * τάδε τῶν περιεστώτων προκείμενα, αὖθις δὲ ἄλλα, πρὸς τὸ ἡδὺ ἢ τὸ συμφέρον τὴν ἀναφορὰν τῆς κρίσεως ποιουμένους. ὡς γὰρ οὐ ζητοῦμεν ἄλλην τινὰ αἰτίαν, δι' ἣν κατὰ βαρύτητα τὴν ἐν αὐτῇ ἡ γῆ φέρεται κάτω, ἢ δι' ἣν αἰτίαν, ἃ πράσσει τὸ ζῷον, πράσσει καθ' ὁρμήν, τῷ ταύτην ἕκαστον αὐτῶν τὴν αἰτίαν ἐξ αὑτοῦ πρὸς τὰ γινόμενα συντελεῖν, τοιοῦτον | ὂν τὴν φύσιν, οὕτως οὐδ' ἐπὶ τῶν ἄλλοτ' 56

---

1 ⟨οὐκ⟩ ἐπὶ Schulthess τῷ ἀνθρώπῳ Lond. O: τῶν ἀνθρώπων Va^{12}: τοῖς ἀνθρώποις B^{2} γινεσθαι V 3 ὡς δ' O 5 τι ⟨καὶ τοῦ μὴ βουλευσάμενοι⟩ Schwartz 6 ἂν addidi ⟨μὴ⟩ βουλεύσασθαι Schulthess 7 βουλευσαμένων Cas. O ἦν ἂν a^{12}: ην αν (sic) V: ἡν ἂν sic B: ἣν ἂν K βουλευώμεθα a^{2} καὶ ⟨μὴ⟩ βουλευσάμενοι ⟨ἂν ἐπράξαμεν· μάτ⟩ην ⟨γὰρ⟩ ἂν β. Schwartz 7. 8 ἐποχουμένους scripsi, cf. 196,15: ἐποχουμένων libri 8 τῷ εἰ δὴ Schwartz: τωιειδει V: τῷ εἴδει a^{12}: τῷ εἰ Casp. O ὅτε .. ὅτε Lond. O 9 νομίζειν κίνησιν B^{2} ⟨καὶ⟩ διὰ B^{2} Cas. Gercke 12 ἔχει] χει in lit. V 13 ἐστί] ἔτι Cas. 14 alt. οὐκ add. Schultess O ἀναιτίως ⟨τῶν ἔξωθεν⟩ Cas. 15 τὴν supra vers. V αὐτου V 17 lacunam indicavi 20 ⟨ὡς⟩ μὴ scripsi: μὴ Va^{12}: τὸ μὴ H: τῷ μὴ SO: τοῦ μὴ E 21 καὶ] εἰ O εἰ addidi ἦν om. a^{12} 22 ἂν addidi εἶχέ Lond. O: εἰ δὲ Va^{12} τῶν om. HO 23 ὁμοίως a^{12} 25 σύμφορον Ba^{1}: συμφορον V: συμφέρον a^{2} 26 lacunam indicavi 27 ἄλλα ⟨αἱρεῖσθαι⟩ Schultess O 28 κατὰ τὴν B^{2} 29 αὐτῇ V πράσσει] σσει in lit. V 30 ορμην V fortasse τῷ ⟨διὰ⟩ ταύτην

ἄλλως ὑφ' ἡμῶν γινομένων ἐπὶ περιεστῶσι τοῖς ἄλλοις ἄλλην τινὰ αἰτίαν ἀπαιτητέον παρ' αὐτὸν τὸν ἄνθρωπον. τοῦτο γὰρ ἦν τὸ ἀνθρώπῳ εἶναι, τὸ γὰρ ἀρχὴ καὶ αἰτία εἶναι τῶν δι' αὐτοῦ γινομένων πράξεων. τὸ δὲ λέγειν καὶ τοὺς βουλευσαμένους τῷ φαινομένῳ συγκατατίθεσθαι, καὶ διὰ τοῦτο καὶ τῇ φαντασίᾳ ὁμοίως τοῖς ἄλλοις ζῴοις ἕπεσθαι, οὐκ ἀληθές. οὐ γὰρ φαντασία τὸ φαινόμενον πᾶν. ἡ μὲν γὰρ φαντασία ἁπλῆ τε καὶ χωρὶς λόγου ὑπὸ τῶν ἔξωθεν προσπιπτόντων γίνεται, ἐοικυῖα ταῖς αἰσθητικαῖς ἐνεργείαις, διὸ καὶ τὴν ἰσχὺν ἐν τοῖς ἀλόγοις ζῴοις ἔχει μάλιστα, φαίνεται δέ τινα καὶ διὰ λόγου τε καὶ παρὰ συλλογισμοῦ τὴν αἰτίαν τοῦ φαίνεσθαι λαμβάνοντα, ἃ οὐκέτ' ἄν τις φαντασίας λέγοι. ὁ γὰρ διὰ τὸν γινόμενον παρ' αὐτοῖς ἐν τῷ βουλεύεσθαι συλλογισμὸν συγκαταθέμενός τινι αὐτὸς αὑτῷ τῆς συγκαταθέσεως αἴτιος.

XVI Ἀλλ' ὅτι μὲν οὔτε σῴζουσι τὸ ἐφ' ἡμῖν οἱ λέγοντες πάντα καθ' εἱμαρμένην ⟨γίνεσθαι⟩ (οὐ γὰρ περὶ οὗ ζητοῦμεν, εἰ σῴζεται κατ' αὐτούς, τοῦτο σῴζεται, οἵ γε καὶ αἰτίαν ἀποδιδόναι πειρῶνται τοῦ μηδὲ τὴν ἀρχὴν δυνατὸν εἶναι τὸ πρᾶγμα), οὐδὲ ἣν ἀποδιδόασιν αἰτίαν ἐπ' ἀναιρέσει τῆς τοιαύτης ἐξουσίας, ἀληθής, μὴ ἔχουσά τι εὔλογον, ἐκ τῶν εἰρημένων γνώριμον. ἀλλὰ μὴν τοῖς ἀναιροῦσιν τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν ἕπεται τὸ συγχεῖν τε καὶ ἀνατρέπειν, ὅσον ἐπ' αὐτοῖς, τὸν τῶν ἀνθρώπων βίον. εἰ γάρ, ἐχόντων μὲν οὕτως τῶν πραγμάτων ὡς ἔχει (οὐδὲ γὰρ αὐτῶν τινα πεῖσαι δυνατὸν μὴ πράττειν, ἃ πράττουσιν ὡς ἔχοντες τοῦ καὶ πράττειν αὐτὰ καὶ μὴ πράττειν τὴν ἐξουσίαν, | 58 μή τι γε τῶν ἄλλων τινά· τοσαύτην ἰσχὺν ἔχει τἀληθὲς καὶ τὴν παρὰ τῶν γινομένων μαρτυρίαν ἐναργῆ), εἰ δὴ τούτων οὕτως ἐχόντων ἰσχὺν αὐτῶν ἡ δόξα τοσαύτην λάβοι, ὡς πάντας ἀνθρώπους πιστεῦσαι, ὅτι ἡμεῖς μὲν οὐδενὸς κύριοι, ἑπόμεθα δὲ τοῖς περιεστῶσιν ἀεί, τούτοις ἐνδιδόντες τε καὶ συγκατατιθέμενοι, καὶ πραττομέν τε ἃ πράττομεν τῷ πάντως ὀφείλειν ταῦτα πράττειν (μὴ γὰρ εἶναι δυνατὸν ἡμῖν ὄντων τῶν περιεστώτων τοιούτων ἄλλο τι ποιεῖν), οὐ πραττομέν τε πάλιν ὁμοίως διὰ τὸ μὴ δύνασθαι ἀντιβαίνειν τοῖς περιεστῶσιν οὖσιν τοιούτοις, τί ἄλλο ἢ συμβήσεται, πάντας ἀνθρώπους διὰ τὴν τοιάνδε πίστιν τὰ μὲν ὅσα μετὰ πόνου τινὸς καὶ φροντίδος γίνεται, τούτοις μὲν

---

1 ὑφ' ἡμῶν quod scripserat post τῶν (185,31) transposuit post ἄλλως V^1: ὑφ' ἡμῶν ἄλλοτ' ἄλλως a^{12} ἄλλοις] fortasse αὐτοῖς 2 ἄνθρωπον εἶναι O 3 γὰρ del. O 5 τῇ φαντασίᾳ Schwartz: τὴν φαντασίαν libri 6 πᾶν τὸ φαινόμενον φαντασία HO ἁπλῆ] fortasse ἁπλῶς 9 συλλογισμοῦ] alterum σ supra vers. V (παρασυλλογισμοῦ a^{12}) του V 11 αὐτοις V: αὐτῷ Lond. O 14 γίνεσθαι add. O σῴζεται a^2: σῴζεσθαι Va^1 15 εἴγε E: fortasse οἷς γε 16 οὔτε Cas. ἀποδδόασιν a^{12} ἐπαναιρέσει V 19 συγχεῖν a^{12}: συνεχεῖν sic V: συνεγχεῖν H: τυχεῖν K: συνέχειν ES τὸν om. O 20 εἰ] καὶ O αὐτὸν a^{12} 21 ἔχοντες scripsi: ἔχοντα Lond. O: ἔχοντας libri 22 μή τι] μήτε O 24 δὲ Lond. O ἰσχὴν a^2 ἡ] ἢ a^{12} δόξα B^2 Lond. O: δόξαν sic V: δόξαν a^{12} λαβεῖν H: λαβόντων a^2 27 τῷ B^2a^{12}: τὰ V πάντωσ οφίλειν sic V ταῦτα a^{12}: ταυτη (supra η: ην v. c.) V: ταῦτα corr. ex ταύτη B: ταύτην E: τοῦτο O 29 τε Va^1: δὲ a^2 30 [ἢ] συμβήσεται ⟨ἢ⟩ coni. O πάντας HE: πάνταν V: ἂν πάντας a^{12}

χαίρειν λέγειν, αἱρεῖσθαι δὲ τὰς μετὰ ῥᾳστώνης ἡδονάς; ὡς, πάντως ἐσομένων τῶν ὀφειλόντων γενέσθαι, μηδὲν αὐτοὶ περὶ αὐτῶν † ὦσιν καλόν. οὕτως δ' αὐτῶν διακειμένων καὶ τῶν πραττομένων ἀκολουθούντων ταῖς αἱρέσεσιν αὐτῶν (οὐ γὰρ δὴ διὰ τὴν περὶ αὐτῶν ἐψευσμένην πίστιν ἄλλως πως ἕξει τὰ πράγματα, ⟨ἢ⟩ ὡς ἔχει) ἄλλο τι ἢ τῶν μὲν καλῶν παρὰ πάντων ὀλιγωρία τις ἔσται (πάντων γὰρ ἡ κτῆσίς τε καὶ παρουσία τῶν τοιούτων μετὰ καμάτου περιγίνεται), τῶν δὲ κακῶν αἵρεσις ἅτε γινομένων μετὰ ῥᾳστώνης τε καὶ ἡδονῆς; πρὸς οὓς τίς ἂν ὁ παρὰ τούτων εἴη λόγος, ὧν πεισθέντες τοῖς δόγμασιν ἦλθον ἐπὶ ταῦτα; λέγοιεν ἂν γὰρ δικαίως πρὸς αὐτούς, εἰ αἰτιῷντο αὐτούς, ὅτι μὴ οἷόν τε ἦν αὐτοῖς τῶν περιεστώτων ὄντων τοιούτων ἀλλοῖόν τι πράττειν. οἷς πῶς ἐπιτιμήσουσιν εὐλόγως οἱ διὰ τῶν δογμάτων τούτων αὐτοῖς διδάσκαλοι γεγονότες; μᾶλλον δὲ οὔτε ἐπιτιμήσεις οὔτε κολάσεις οὔτε προτροπὴ οὔτε τιμὴ οὔτ' ἄλλο τι τῶν τοιούτων τὴν οἰκείαν σώσει κατ' αὐτοὺς φύσιν, ἀλλ' ἔσται καὶ τούτων ἕκαστον γινόμενον κατηναγκασμένως, ὥσπερ κἀκεῖνα, ἐφ' οἷς ταῦτα γίνεται. | πῶς γὰρ ⟨ἂν⟩ ἔτι Ἀλέξανδρος ὁ Πριάμου ἐν αἰτίᾳ εἴη ὡς διαμαρτὼν περὶ τὴν τῆς Ἑλένης ἁρπαγήν; πῶς δ' ἂν Ἀγαμέμνων εὐλόγως αὑτοῦ καταψηφίζοιτο λέγων "οὐδ' αὐτὸς ἀναίνομαι"; εἰ μὲν γὰρ εἶχεν ἐξουσίαν ὑπεριδεῖν ἢ Ἀλέξανδρος τῶν τότε περιεστώτων αὐτὸν καὶ παρακαλούντων ἐπὶ τὴν ἁρπαγὴν [ἢ Μενέλαος τῶν ἀγανακτεῖν ἐπαιρόντων] ἢ Ἀγαμέμνων, ἐφ' οἷς ὡς ἂν ἁμαρτήσας αὑτοῦ κατατρέχει, εὐλόγως ἂν ἦσαν ἐν αἰτίᾳ. εἰ δ' ἦν πάλαι καὶ πρόπαλαι καὶ πρὸ τοῦ τὴν ἀρχήν τινα αὐτῶν γενέσθαι ἀληθὲς περὶ ἑκάστου προλεγόμενον τούτων ἕκαστον, ἐφ' οἷς ποιήσας εὐθύνεται, πῶς ἂν ἔτ' αὐτῶν τῶν γενομένων τὴν αἰτίαν ἔχοιεν; πῶς δέ τις ἐξηγήσεται καὶ τὸ ἐφ' ἡμῖν εἶναι τάς τε ἀρετὰς καὶ τὰς κακίας; εἰ γὰρ οὕτως † ἔτι δι' ἡμῶν, πῶς ἔτ' ἂν εὐλόγως οἱ μὲν εἶεν ἐν ἐπαίνοις, οἱ δὲ ἐν ψόγοις; οὐδὲν γὰρ ἀλλ' ἢ συνηγορίαν τοῖς κακοῖς τὸ δόγμα τοῦτο προξενεῖ. ὁρῶμεν γοῦν τῶν μὲν ἀγαθῶν τε καὶ καλῶν πράξεων οὐδένα τὴν εἱμαρμένην οὐδὲ τὴν ἀνάγκην αἰτιώμενον, τοὺς δὲ κακοὺς δι' ἐκείνην τοιούτους εἶναι λέγοντας. ὃ πιστεύσαντες καὶ τοὺς φιλοσόφους λέγειν πῶς οὐ μετὰ παρρησίας αὐτοί γε ἐπὶ ταῦτα ἐλεύσονται τούς τε ἄλλους

---

1 χαιρεῖ λέγεῖ sic V δὲ v. c. s. v. V 2 ὀφιλόντων V κἂν μηδὲν B[2] αὐτῶν ὦσιν καλόν] αὗται πονῶσιν B[2] ὦσι] οἴσωσι vel ἔχωσι coni. O 4 δὲ Lond. 5 ἢ add. a[2] 8 μετὰ] κατὰ Cas. πρὸς οὓς τίς ἂν ὁ scripsi: πρὸς οὕς τίς ἂν Lond.: προσουτισινὸ V: πρόσου τισιν ὁ a[1]: πρὸς οὖσιν ὁ E: πρὸς οὓς τίς ὁ Cas.: πρὸς οὕς τις ὁ a[2] 10 αἰτιωντο V 12 οἱ B[2]: εὐ a[12]: εὖ V 13 ἐπιτίμησις . . κόλασις γρ. HE 14 οικείαν V τούτων HB[2]E Cas. Lond.: τούτῳ Va[12] 16 ἂν add. B διαμαρτῶν V 17 ἂν om. O 18 καταψηφίζοιτο] ι et οι s. v. V 19 καὶ om. a[12] 20 ἢ — ἐπαιρόντων delevi 21 ἂν ἁμαρτήσας scripsi: ἀναμάρτητοσ (σας) alter accentus et σασ sive ιασ v. c. s. v. V: ἐναμάρτητος Casp. O: ἀναμάρτητος a[12] 24 αὐτοὶ H γρ. EO γινομένων a[12] 25 ἐξηγήσηται V ἡμιν V καὶ τὰς] καὶ a[2]: om. a[1] 26 εἰ—ἡμῶν] ἐπεί γε οὕτως ὄντων ἡμῶν a[2]O (qui pro ὄντων coni. ἐχόντων) ἔτι] fortasse ὡς τὰ 28 γοῦν] γὰρ HE 31 παρησιασ V[1] (corr. v. c.): παρουσίας E

προτρέψουσιν; πῶς δ᾽ ἂν σώζοιεν τοιαῦτα λέγοντες τὴν ὑπὸ τῶν θεῶν XVII γινομένην τῶν θνητῶν πρόνοιαν; εἰ γὰρ αἵ τε τῶν θεῶν ἐπιφάνειαι, ἅς φασιν γίνεσθαί τισιν, κατά τινα γίνονται προκαταβεβλημένην αἰτίαν, ὡς πρὸ τοῦ γενέσθαι τινὰ αὐτῶν ἀληθὲς εἶναι τὸ τοῦδε μὲν ἔσεσθαί τινα ἐκ θεῶν κηδεμονίαν, τοῦδε δὲ μή, πῶς ἂν ἔτι τοῦτο πρόνοιάν τις δικαίως λέγοι, τὴν οὐ κατ᾽ ἀξίαν γινομένην, ἀλλὰ κατά τινα ἀνάγκην προκαταβεβλημένην; πῶς δ᾽ ἂν σώζοιτο καὶ ἡ πρὸς τοὺς θεοὺς εὐσέβεια τῶν εὐσεβεῖν δοκούντων, διότι μὴ ἐπ᾽ αὐτοῖς | ἦν τὸ τοῦτο μὴ ποιεῖν, οὕτως ποιούντων; γί- 62 νοιτο δ᾽ ἂν καὶ παρὰ τῶν θεῶν, εἰς οὓς γίνεταί τι παρὰ τοὺς ἄλλους πλέον, ὅτι καὶ τούτων ἦσαν αἱ ἀρχαὶ καὶ πρὸ τοῦ τούτους εἶναι προκαταβεβλημέναι. πῶς δ᾽ οὐκ ἀναιροῖεν ἂν καὶ μαντικήν, τῆς ἀπὸ μαντικῆς χρείας ἀναιρουμένης; τί γὰρ ἂν ἢ μαθεῖν ἢ διὰ τὸ μαθεῖν παρὰ τῶν μάντεων φυλάξαιτ᾽ ἄν τις, εἰ μόνα ταῦτα ἡμῖν τε μαθεῖν ἐκείνοις τε μηνῦσαι δυνατόν, ὧν τοῦ μαθεῖν ἡμᾶς καὶ ποιῆσαι ἢ μὴ ποιῆσαί τι ἕκαστον ἦν καὶ πρὸ τῆς ἡμετέρας γενέσεως κατηναγκασμένον, τοῦ τε ἐμμένειν τοῖς ὑπὸ τῶν θεῶν προαγορευομένοις οὐχ ἡμεῖς κύριοι τῷ τῶν ἐσομένων ὑφ᾽ ἡμῶν προκαταβεβλῆσθαι τὰς αἰτίας. ἀλλ᾽ ὅτι μὲν τὸ δόγμα τοῦτο ἀνα- XVIII τροπῆς αἴτιον παντὸς τοῦ τῶν ἀνθρώπων βίου, παντί που μαθεῖν ῥᾴδιον, ὅτι δὲ καὶ ψεῦδος, ἱκανὸν μαρτύριον τὸ μηδ᾽ αὐτοὺς τοὺς προστάτας αὐτοῦ δύνασθαι πείθεσθαι τοῖς ὑφ᾽ αὐτῶν λεγομένοις. οὕτω γὰρ ἐν πᾶσι τοῖς λόγοις φυλάσσουσιν τὸ ἐλεύθερόν τε καὶ αὐτεξούσιον, ὡς μὴ ἀκούσαντές ποτε παρ᾽ ἄλλου τοιούτου τινὸς δόγματος, τοῦτο μὲν προτρέπειν τινὰς πειρώμενοι, ὡς τοῦ τε ποιεῖν ἢ μὴ ποιεῖν τοῦτο τὴν ἐξουσίαν

---

3 φησιν V^1 (corr. v. c.) προκαταβεβλημένην] τα s. v. V 5 τι Cas. 8 διότι] fortasse ἀλλ᾽ ὅτι 10. 11 προκαταβεβλημένους a^2 11 ἀναιροῖεν ἂν Casp. O (vel ἀναιροῖτ᾽ ἂν καὶ μαντικὴ idem): ἀναιροῖαν καὶ sic V: ἂν ἀναιρεῖ ἂν KB^1 (ἀναιροῖ B^2): ἀναιρεῖ ἂν a^{12}: ἀναιροῖ ἂν O 12 χρείαις O μαθεῖν (δέοι) B^2: μάθοι Schwartz 13 φυλάξαιτ᾽ V: φυλάξετο a^2: φυλάξασθ᾽ a^1 εἰ K Cas. Lond. O: ῆ sic V: ἢ a^{12} ταῦτα Va^1: ταῦθ᾽ ἃ a^2: ταῦθ᾽ K 14 τοῦ] fortasse τὸ τι del. Schwartz 15 πρὸ a^1: πρὸς Va^2 τοῦ τε a^2: τοῦτο Va^1: τούτοις E ἐνμένειν sic V 16 προαγορευόμενοι, οὐχ V^1 (σ s. v.) 17 μεν V 19 ὅτι] cf. Eusebius pr. ev. VI, 9. 272b ὅτι δὲ ψεῦδος ἦν αὐτῶν ὁ περὶ εἱμαρμένης λόγος, ἱκανὸν κτλ. το, δ᾽ sic V (μη s. v.) 20 ὑπ᾽ αὐτῶν Eusebius, qui pergit: καὶ γὰρ καὶ προτρέπειν καὶ διδάσκειν ἐπαγγέλλονται, καὶ μανθάνειν καὶ παιδεύεσθαι συμβουλεύουσιν, ἐπιτιμῶσί τε καὶ ἐπιπλήττουσι τοῖς οὐ τὰ προσήκοντα δρῶσιν, ὡς κατὰ προαίρεσιν ἰδίαν ἁμαρτάνουσιν. ἀλλὰ καὶ συγγράμματα πλεῖστα καταλείπουσι, δι᾽ ὧν ἀξιοῦσι παιδεύεσθαι τοὺς νέους. ἐπαύσαντο δ᾽ ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας, εἰ προσέσχον ὅτι καὶ συγγνώμης ἀξιοῦσι τοὺς ἀκουσίως ἁμαρτάνοντας, τοὺς δὲ ἑκουσίως πλημμελοῦντας κολάσεως ἀξίους εἶναί φασιν (ἀ. ἑ. φ. del. cum l. p. Gaisford), ὡς ἐπ᾽ αὐτοῖς δηλονότι τοῦ τε ἁμαρτάνειν καὶ τοῦ μὴ κειμένου. ὥστε καὶ κατ᾽ αὐτοὺς ἀναιρεῖσθαι τὴν ἐξ εἱμαρμένης ἀνάγκην, συνίστασθαι δὲ κατὰ φύσιν ἡμῖν ὑπάρχειν τὸ αὐτεξούσιον· μετὰ τοῦ πλεῖστα εἶναι καὶ τὰ μὴ ἐφ᾽ ἡμῖν, ὥσπερ τὰ κατὰ φύσιν, καὶ τὰ ἐκ τύχης, ἕτερα ὄντα καὶ αὐτὰ παρὰ τὸν τῆς εἱμαρμένης λόγον, καθὼς προδέδεικται 22 μὲν v. c. i. v. V: δὲ V^{1}a^{12}

ἔχοντες αὐτοί, καὶ τῶν προτρεπομένων διὰ τοὺς παρ' αὐτῶν λόγους αἱρεῖσθαί τινα δυναμένων ⟨ὧν⟩ ἔπραξαν ἂν τἀναντία αὐτῶν σιωπώντων, τοῦτο δὲ ἐπιτιμῶντες καὶ ἐπιπλήττοντές τισιν ὡς οὐ τὰ προσήκοντα πράττουσιν. ἀλλὰ καὶ συγγράμματα πλείω καταλείπουσίν τε καὶ συγγράφουσιν, δι' ὧν ἀξιοῦσιν παιδεύεσθαι τοὺς νέους, οὐχ ὡς κεκωλυμένοι τοῦτο συγγράφειν διὰ τὸ τὰ περιεστῶτα αὐτοῖς εἶναι τοιαῦτα, ἀλλ' ὡς ὂν μὲν ἐπ' αὐτοῖς συγγράφειν τε καὶ μή, αἱρούμενοι δὲ τὸ γράφειν διὰ φιλανθρωπίαν. 64 XIX

Ἐπαύσαντο δ' ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας καὶ συγχωρησάντων εἶναι τὸ ἐφ' ἡμῖν ἐλεύθερόν τε καὶ αὐτεξούσιον καὶ κύριον τῆς τῶν ἀντικειμένων αἱρέσεώς τε καὶ πράξεως * * * ἐπὶ περιεστῶσιν ἀνθρώποις δίκαιος γίνεσθαι πεπιστευμένος ὁμοίως ἰδιώταις τε καὶ νομοθέταις. ἔστι δὲ τοῦτο τὸ συγγινώσκεσθαι μὲν ἀξίους εἶναι τοὺς ἀκουσίως τοιοῦτόν τι πράξαντας, οὐχ ὡς ἐπὶ τῷ γιγνομένῳ πράγματι τῆς κολάσεως ὁριζομένης, ἀλλ' ἐπὶ τῷ τρόπῳ τῆς πράξεως· ὅπερ οὔτε τῶν ἄλλων τις οὔτε αὐτῶν τούτων ὡς οὐ καλῶς ἔχον αἰτιᾶται. καίτοι τί τῶν δι' ἄγνοιαν [πραττομένων] ἁμαρτανόντων ἢ βίᾳ ἧττον ἂν εἶεν συγγνώμης ἄξιοι ⟨οἱ⟩ εἰδότες μὲν ἃ πράττουσιν, οὐκ ἔχοντες δὲ ἐν αὐτοῖς τὴν ἐξουσίαν τοῦ, τούτων αὐτοῖς περιεστώτων, ἃ πάντως αὐτοῖς καὶ ἐξ ἀνάγκης περιεστάναι δεῖ, ἄλλο τι παρ' ἃ πράττουσιν ⟨πράττειν⟩ τῷ τὴν φύσιν αὐτῶν εἶναι τοιαύτην, καὶ εἶναι τὸ κατὰ τὴν οἰκείαν αὐτοῖς φύσιν ἕκαστα πράττειν ὧν πράττουσιν καθ' εἱμαρμένην, ὡς τοῖς βαρέσιν ἀφεθεῖσιν ἄνωθεν τὸ φέρεσθαι κάτω, καὶ τοῖς περιφερέσι τὸ κατὰ τοῦ πρανοῦς, εἰ ἀφεθεῖεν, ἀφ' αὑτοῦ κινεῖσθαι; ὅμοιον γὰρ τὸ [τοῦ] τὸν ἵππον κολάζειν ἀξιοῦν, ὅτι μὴ ἔστιν ἄνθρωπος, καὶ τῶν ἄλλων ζῴων ἕκαστον, ὅτι ταύτης τῆς τύχης καὶ μὴ βελτίονος τετυχήκασίν τινος. ἀλλ' οὐδεὶς Φάλαρις οὕτως ὠμός τε καὶ ἀνόητος, ὡς ἐπί τινι τῶν οὕτως γινομένων κολάζειν τὸν ποιήσαντα. ἐπὶ τίσιν οὖν αἱ κολάσεις εὔλογοι; οὐκ ἐπ' ἄλλοις τισίν, ἢ ἐπὶ τοῖς παρὰ τὴν αὐτῶν μοχθηρὰν αἵρεσιν γινομένοις.

---

1 ἔχοντας αὐτοὺς B^2 τῶν προτρεπομένων Cas. Lond. O: τῷ προτρεπομένῳ Va^{12}: τὸ προτρεπομένω E τοὺς παρ' αὐτῶν λόγους Lond. O: τῶν παρ' αὐτῶν λόγους Va^1: τῶν παρ' αὐτοῖς λόγων a^2 2 ὧν add. Cas. Lond. O αὐτῶν O: τῶν libri σιωπώντων] primum ω supra vers. V 3 ἐπιπλῆττες a^1 4 πλείω] fortasse πλεῖστα 5 κεχωλυμένοι a^1 6 fortasse τοῦτο ⟨μὴ⟩ 9 συγχωρήσαιντο Lond. O: fortasse συνεχώρησαν τῷ 11 τε] τι Cas. lacunam indicavi γὰρ περιεστώτων O δίκαιος om. K ἄνθρωποι δίκαιοι Lond. O 12 πεπιστευμένος Va^{12}: πεπιστευμένοις H: πεπιστευμένοι Lond. O Casp. Or. καὶ ἰδ. καὶ ν. O 14 τοῖς γινομένοις πράγμασι τῆς a^2 πραγματικῆς κολάσεως a^1

16 οὐ καλῶς a^{12}: ουκαλλῶσ sic V: οὐκ ἄλλως HE πραττομένων delevi: ἀπατωμένων coni. O: ⟨τῶν⟩ πραττομένων Casp. O 17 ἢ Cas. Lond. O: ἡ V: ῆ H: οἱ in lit. B^2: ἡ a^{12} συγγώμης a^1 οἱ addidi 18 τοῦ om. a^2 αυτοῖσ V 19 αυτοῖς V 20 πράττειν add. B^2O (sed post τι v. 19) 21 ἕκαστον O 22 βαρεσιν V 23 αὐτῶν B^2 τοῦ del. B^2 25 ὅτι] ὡς O τύχης] ψυχῆς a^2: ψύχης Lond. τινες O 27 τὸ κολάσαι O εὔλογοι a^2: εὔλογον Va^1 οὐχ O 28 ἢ om. a^{12}

ἐφ' ὧν γὰρ αὐτοὶ τὴν ἐξουσίαν τῆς αἱρέσεως ἔχοντες, καταλιπόντες τὸν σκοπὸν τῶν πραττομένων ὑφ' αὐτῶν ποιεῖσθαι τό τε καλὸν καὶ τὸν νόμον, κέρδους χάριν ἢ ἡδονῆς τινος, ὑπερορῶντες ἐκείνων, πράττουσι τὰ φαῦλα, τούτους | ἀξίους ἡγοῦνται κολάσεως πάντες ἄνθρωποι, συγγνώμην 66 διδόντες τοῖς οὐχ οὕτως ἁμαρτάνουσιν. ὅρα δὴ πᾶσιν τοῖς κακοῖς τὸ θαυμαστὸν δόγμα τοῦτο παρὰ τῶν φιλοσόφων μαθοῦσιν διδάσκειν τοὺς διδάσκοντας, ὅτι εἰσὶ καὶ αὐτοὶ συγγνώμης ⟨ἄξιοι⟩, οὐδὲν ἔλαττον τῶν ἀκουσίως ἁμαρτανόντων. οὐ γὰρ ὑπό τινος ἔξωθεν καταναγκάζοντος αὐτοὺς ποιοῦσιν ἃ ποιοῦσιν, ὧν ἴσως ἐνῆν αὐτοῖς καὶ φυλάξασθαι, ἀλλ' ὑπὸ τῆς φύσεως τῆς ἐν αὐτοῖς οὐδὲν οἷόν τ' ἐστὶν λαθόντας ποιῆσαι καὶ τίς οὐκ ἂν † αὐτοῖς τοῖς ἁμαρτανομένοις αἴτιον. εἰ δ' οὔτ' ἄλλος τις οὔτ' οἱ τοῦ δόγματος τούτου κύριοι συγγνώμην δοῖέν τινι ταύτην τῶν ἁμαρτανομένων φέροντι τὴν αἰτίαν ὡς ψεῦδός τι [καὶ ψευδεῖ] λέγοντι, δῆλον ὡς ὑπὸ τούτων καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων ὁμοίως πεπίστευται τὸ εἶναι τὸ ἐφ' ἡμῖν οὐχ οἷον ὑπὸ τούτων πλάσσεται, ὅταν εἰς τὸ πρόβλημα μελετῶντες λέγωσιν, ἀλλ' οἵῳ εἶναι αὐτῷ [δεῖ] διὰ τῶν ἔργων οὗτοί τε αὐτοὶ καὶ πάντες ἄνθρωποι μαρτυροῦσιν. εἰ γὰρ ἦσαν οὕτως ἔχειν πεπιστευκότες, συνεγίγνωσκον ἂν πᾶσιν τοῖς ἁμαρτάνουσιν ὡς οὐκ ἔχουσιν τοῦ μὴ πάντα πράττειν ἐξουσίαν. ἀλλ' ὅτι μὲν καὶ ἔστι τι ἐφ' ἡμῖν ὀνομάσαι, καὶ οὐ διὰ XX τὴν ἐξουσίαν ταύτην ἀναιτίως τι γίνεται, τῷ τῶν οὕτως γινομένων αἴτιον τὸν ἄνθρωπον εἶναι, ἀρχὴν αὐτὸν ὄντα τῶν γινομένων ὑφ' αὑτοῦ, ἱκανὰ μὲν δεῖξαι καὶ τὰ εἰρημένα. ἱκανῶς δ' ἂν ἐπείσθησαν καὶ οἱ ἀντιλέγειν πρὸς αὐτὸ πειρώμενοι, εἰ κἂν πρὸς ὀλίγον πάντα ἃ πράττουσιν ὑπέμειναν πρᾶξαι ὡς ἀληθεύοντες περὶ ὧν λέγουσιν, πιστεύσαντες τῷ μηδὲν τῶν γινομένων ὑπό τινος οὕτως γίνεσθαι, ὡς καὶ τοῦ μὴ πράττειν αὐτὸ τὴν ἐξουσίαν ἔχοντος τότε. τῷ γὰρ τοῦτο πεπιστευκότι οὐκ ἐπιτιμῆσαί τινι, οὐκ ἐπαινέσαι τινα, οὐ συμβουλεῦσαί τινι, οὐ προτρέ|ψασθαί τινα, οὐκ εὔξασθαι 68 θεοῖς, οὐ χάριν αὐτοῖς γνῶναι περί τινων, οὐκ ἄλλο τι ποιεῖν οἷόν τε τῶν ὀφειλομένων εὐλόγως γίνεσθαι ὑπὸ τῶν καὶ τοῦ ποιεῖν ἕκαστον ὧν

---

1 καταλειπόντες (supra ει m^{1}: ι) V 2 αὐτῶν a^{2} Cas. O: αὐτοῦ Va^{1} (ὑπ' αὐτῶν Lond.) 2. 3 τὸ νόμιμον coni. O 3 κέρδος a^{2} 5 ὧρα E Cas. Casp. Or. 7 ἄξιοι add. a^{2} 8 ἄξιοι add. B^{2} ante οὐ καταναγκάζοντος a^{2} Cas.: καταναγκάζοντας Va^{1}: καταναγκάζοντες Lond. 9 ἃ ποιοῦσιν om. a^{1} 10 fortasse ⟨ἦν⟩ οὐδέν λαθόντας] ἄλλως coni. O: ἑκόντας Casp. O: λαχόντας Gercke 10. 11 καὶ — ἂν] ἥτις οὖν Lond. O: ἥτις οὖν ἐν Gercke 11 τῶν ἁμαρτανομένων coni. O αἴτιος a^{2} alt. οὔτ' scripsi: οὐδ' libri οἱ τοῦ in lit. B^{2}: οὗτοι (supra οι: ος ut videtur m^{1}) Va^{12} 12 ταύτην v. c. (?) VO: ταύτῃ V^{1}a^{12} 13 ψεῦδός τι] ψεῦδος τε B^{2}: ψεύδοντι sive ψυθός τι Casp. O καὶ ψευδεῖ sic V: delevi: καὶ ψευδῆ a^{12} 16 οἷον εἶναι αὐτὸ a^{2}: οἷον εἶναι αὐτῷ E δεῖ] δεῖν Lond.: delevi 19 pr. καὶ om. a^{12} τι a^{2}O: τις Va^{1} ὀνομάσαι] ἐξουσία Lond. 20 ἀναιτίως] ἐναντίως a^{1} οὕτωσ sic V 21 αὐτοῦ a^{12} 22 ἀνεπείσθησαν V 23 εἰ κἂν a^{2}: εἰ κἂν sic V: εἶχ ἂν B: εἴη ἂν a^{1}: ἢ κἂν E: οἳ μὴ ἂν Lond. πάντα πρὸς ὀλίγον a^{1} Lond. ὑπέμεινεν a^{2}: ὑπὸ μένειν E 24 ἂν πρᾶξαι a^{2} 25 ὑπο V τινος O: τινων libri 26 ἔχοντες a^{2} πεπιστευκότι Schwartz: πεπιστευμένῳ libri 28 οὐδ' O

ποιοῦσιν τὴν ἐξουσίαν πεπιστευκότων. ἀλλὰ μὴν ἔξω τούτων ἀβίωτος ὁ τῶν ἀνθρώπων ⟨βίος⟩ καὶ οὐδὲ τὴν ἀρχὴν ἀνθρώπων ἔτι.

XXI μηδὲ ἐκεῖνο δὲ ἡμῖν ἀνεξέταστον παραλελείφθω. εἴ τις ὑποθοῖτο, μηδὲν μᾶλλον ἀληθῆ εἶναι τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν, ὡς ἡμεῖς τε ἀξιοῦμεν καὶ ἡ τῶν πραγμάτων φύσις ἔχειν μαρτυρεῖ, τοῦ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι καὶ καθ' εἱμαρμένην, ἀλλ' εἶναι ἐπ' ἴσης ἑκάτερον ἢ πιστὸν ἢ ἄδηλον αὐτό, ποτέρᾳ δόξῃ πείθεσθαι τοῖς ἀνθρώποις ἀσφαλέστερόν τε καὶ ἀκινδυνότερον, καὶ ποῖον ψεῦδος αἱρετώτερον, πότερον τὸ πάντων γινομένων καθ' εἱμαρμένην [ἢ] μὴ οὕτως ἔχειν ὑπολαμβάνειν, ἀλλ' εἶναι καὶ ἡμᾶς τοῦ τι πρᾶξαι ἢ μὴ πρᾶξαι κυρίους, ἢ ὄντος τινὸς καὶ ἐφ' ἡμῖν οὕτως, ὡς προειρήκαμεν, πεπεῖσθαι τὸ τοῦτο μὲν ψεῦδος εἶναι, πάντα δὲ καὶ τὰ ὑφ' ἡμῶν πραττόμενα κατὰ τὴν ἡμετέραν ἐξουσίαν γίνεσθαι κατηναγκασμένως. ἢ γνώριμον ὅτι οἱ μὲν ἁπάντων γινομένων καθ' εἱμαρμένην αὑτοὺς πείθοντες ὡς ἐξουσίαν ἔχοντάς τινων τοῦ τε πράττειν αὐτὰ καὶ μὴ οὐδὲν ἂν παρὰ τήνδε τὴν πίστιν ἐν τοῖς πραττομένοις ἁμάρτοιεν, τῷ μηδὲ τὴν ἀρχὴν τῶν γινομένων τινὸς ὑφ' αὑτῶν εἶναι κύριοι, ὥσθ' ὁ κίνδυνος τῆς κατὰ τοῦτο διαμαρτίας πρόεισιν μέχρι ῥημάτων. εἰ δέ γε, ὄντος τινὸς καὶ ἐφ' ἡμῖν καὶ μὴ πάντων γινομένων ἐξ ἀνάγκης, πείθεσθαι μὲν μηδενὸς ἡμᾶς εἶναι κυρίους, πολλὰ παραλείψομεν τῶν δεόντως ἂν πραχθέντων ὑφ' ἡμῶν καὶ διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν καὶ διὰ τὸ τοὺς ἐπὶ τοῖς πραττομένοις καμάτους προθύμως ὑφίστασθαι, ἀργότεροι γενόμενοι πρὸς τὸ δι' αὑτῶν τι | [70] ποιεῖν διὰ τὴν πίστιν τοῦ, καὶ μηδὲν ἡμῶν πραγματευομένων περὶ τῶν πρακτέων, τὸ ὀφεῖλον ⟨ἂν⟩ γενέσθαι. οὕτως δὲ τούτων ἐχόντων πρόδηλον ὡς αἱρετώτερον τοῖς φιλοσοφοῦσιν, τὴν ἀκινδυνοτέραν ὁδὸν αὐτούς τε αἱρεῖσθαι καὶ τοὺς ἄλλους ἄγειν.

XXII Οὐ χεῖρον δέ, τούτων προτεθεωρημένων καὶ αὐτὰ τὰ περὶ τῆς εἱμαρμένης ὑπ' αὐτῶν λεγόμενα παραθεμένους ἰδεῖν, εἴ τινα τοιαύτην ἔχει βίαν, ὡς εὔλογον εἶναι διὰ τὴν πρὸς τὸ ἀληθὲς οἰκειότητα καὶ τῶν ἐναργῶν οὕτως ὑπερορᾶν. ἔσται δὲ ἡμῖν καὶ ὁ περὶ τούτων λόγος ἐπὶ τοσοῦτον, ἐφ' ὅσον ἐστὶ χρήσιμος πρὸς τὰ προκείμενα. φασὶν δὴ τὸν κόσμον τόνδε, ἕνα ὄντα καὶ πάντα τὰ ὄντα ἐν αὑτῷ περιέχοντα, καὶ ὑπὸ φύσεως διοικούμενον ζωτικῆς τε καὶ λογικῆς καὶ νοερᾶς, ἔχειν τὴν τῶν ὄντων

---

1 fortasse ποιοῦσιν ⟨ἢ μὴ ποιεῖν ἔχειν⟩ 2 ἀνθρώπων βίος a²: ἀνθρώπων Va¹
3 ὑποθοῖτο V: ὑπόθοιτο a¹²: ὑποτίθοιτο Lond.: ὑποθεῖτο K ἀληθῆ sic V: ἀληθεῖ K
4 τε om. a¹ 5 μαρτυρεῖ a¹²: μαρτυρεῖν VH 6 fortasse αὐτῶν 8 πάντως γινόμενον H γρ. E ἢ del. B²: τὰ Lond. O 9 τουτί vel τοῦ τί V: τοῦ τε E 11 τὸ om. O: fortasse τῷ 11. 12 πραττόμενα] exspectas πράττεσθαι δοκοῦντα καὶ 12 γίνεσθαι Cas. Lond. O: γίνεται libri ἢ] οὐ O 16 κύριος a¹ ὥσθ'—ἡμᾶς εἶναι (18) om. a¹ τούτων O 18 ἁπάντων τῶν O πείθεσθαι μὲν] πεισθείημεν B²: διὰ τὸ πείθεσθαι aut πειθόμενοι coni. O ἡμᾶς εἶναι Va¹: εἶναι ἡμᾶς H: ὄντας a² 19 παραλείψομεν B²: παραλίπομεν V: παραλείπομεν a¹²: παραλείποιμεν Lond. 20 alt. τὸ Cas. Lond. O: τοῦ libri 21 γευόμενοι, sed υ et μ litura obscurae V: γινόμενοι E αὐτῶν V 23 ὄφειλον O ἂν add. Schwartz 24 αυτοὺσ V 24. 25 τε αἱρεῖσθαι a²: ἐπαίρεσθαι Va¹: τε ἑλέσθαι B² 27 προθεμένους a¹² 30 ἐφόσον V 31 αὐτῷ V

διοίκησιν ἀίδιον κατὰ εἱρμόν τινα καὶ τάξιν προιοῦσαν, τῶν πρώτων τοῖς μετὰ ταῦτα γινομένοις αἰτίων γινομένων καὶ τούτῳ τῷ τρόπῳ συνδεομένων ἀλλήλοις ἁπάντων, καὶ μήτε οὕτως τινὸς ἐν αὐτῷ γινομένου, ὡς μὴ πάντως ἐπακολουθεῖν αὐτῷ καὶ συνῆφθαι ὡς αἰτίῳ ἕτερόν τι, μήτ' αὖ τῶν ἐπιγινομένων τινὸς ἀπολελύσθαι δυναμένου τῶν προγεγονότων, ὡς μή τινι ἐξ αὐτῶν ἀκολουθεῖν ὥσπερ συνδεόμενον, ἀλλὰ παντί τε τῷ γενομένῳ ἕτερόν τι ἐπακολουθεῖν, ἠρτημένον ⟨ἐξ⟩ αὐτοῦ ἐξ ἀνάγκης ὡς αἰτίου, καὶ πᾶν τὸ γινόμενον ἔχειν τι πρὸ αὐτοῦ, ᾧ ὡς αἰτίῳ συνήρτηται. μηδὲν γὰρ ἀναιτίως μήτε εἶναι μήτε γίνεσθαι τῶν ἐν τῷ κόσμῳ διὰ τὸ μηδὲν εἶναι τῶν ἐν αὐτῷ ἀπολελυμένον τε καὶ κεχωρισμένον τῶν προγεγονότων ἁπάντων. διασπᾶσθαι γὰρ καὶ διαιρεῖσθαι καὶ μηκέτι τὸν κόσμον ἕνα μένειν αἰεί, κατὰ μίαν τάξιν τε καὶ οἰκονομίαν διοικούμενον, εἰ ἀναίτιός τις εἰσάγοιτο κίνησις· ἣν εἰσάγεσθαι, εἰ μὴ πάντα τὰ ὄντα τε καὶ γινόμενα ἔχοι τινὰ αἴτια προγεγονότα, | οἷς ἐξ ἀνάγκης ἕπεται· ὅμοιόν τε εἶναί 72 φασιν καὶ ὁμοίως ἀδύνατον τὸ ἀναιτίως τῷ γίνεσθαί τι ἐκ μὴ ὄντος. τοιαύτην δὲ οὖσαν τὴν τοῦ παντὸς διοίκησιν ἐξ ἀπείρου εἰς ἄπειρον ἐναργῶς τε καὶ ἀκαταστρόφως γίνεσθαι. οὔσης δέ τινος διαφορᾶς ἐν τοῖς αἰτίοις, ἣν ἐκτιθέντες (σμῆνος γὰρ αἰτίων καταλέγουσιν, τὰ μὲν προκαταρκτικά, τὰ δὲ συναίτια, τὰ δὲ ἑκτικά, τὰ δὲ συνεκτικά, τὰ δὲ ἄλλο τι· οὐδὲν γὰρ δεῖ τὸν λόγον μηκύνειν πάντα τὰ λεγόμενα παρατιθέμενα τὸ βούλημα αὐτῶν δεῖξαι τοῦ περὶ τῆς εἱμαρμένης δόγματος), ὄντων δὴ πλειόνων αἰτίων, ἐπ' ἴσης ἐπὶ πάντων αὐτῶν ἀληθές φασιν εἶναι τὸ ἀδύνατον εἶναι, τῶν αὐτῶν ἁπάντων περιεστηκότων περί τε τὸ αἴτιον καὶ ᾧ ἐστιν αἴτιον, ὁτὲ μὲν δὴ μὴ οὑτωσί πως συμβαίνειν, ὁτὲ δὲ οὕτως. ἔσεσθαι γάρ, εἰ οὕτως γίνοιτο, ἀναίτιόν τινα κίνησιν. τὴν δὲ εἱμαρμένην αὐτὴν καὶ τὴν φύσιν καὶ τὸν λόγον, καθ' ὃν διοικεῖται τὸ πᾶν, θεὸν εἶναί φασιν, οὖσαν ἐν τοῖς οὖσίν τε καὶ γινομένοις ἅπασιν καὶ οὕτως χρωμένην ἁπάντων τῶν ὄντων τῇ οἰκείᾳ φύσει πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν. καὶ τοιαύτη μὲν

---

2 συνδεδεμένων a^{2} 3 ἁπάντων ἀλλήλοις a^{12} γενομένου Gercke 6 ἐπακολουθεῖν Lond. O παντί B^{2}O: πάντῃ Va^{12} 7 ἐξ add. O 8 πρὸ] ἐξ H (in mg. πρὸ) 10 pr. τῶν om. O 13 εἰ s. v. V^{1} 14 ἔχει a^{12} 15 τῶι sic v. c. s. v. V: om. EH 16 ἐνεργῶς Usener 17 supra ἀκαταστρόφως: μετὰ B^{2} 18 ἐκτίθενται H γρ. E σμῆνος E Cas. O: μηνὸς Va^{12} αἰτίων E Cas. O: αἴτιον Va^{12} σμῆνος—αἰτίων] [μηδὲν ἀναίτιον] sic Lond. 19 ἑκτικά K Cas. Lond.: ἀκτικά V: ἀρκτικά E: ἐκτικά a^{12} 20 εἰς πάντα Lond. O: ἢ σύμπαντα Usener: διὰ (vel εἰς) τὸ πάντα Gercke παρατιθέμενα Va^{1}: παρατιθεμένους HKE Cas. Lond. O: παρατιθέμενους a^{2}: παρατιθέντας in lit. B (s. v. βουλομένους B^{2}): παρατιθέμενον Gercke 21 δὲ O: δ' ἤδη E 23. 24 ὁτὲ μὲν δὴ μὴ οὑτωσί πως συμβαίνειν Usenerus: ὁτὲ δε μὴ ἢ ὁτε | δε μη οὕτως εἴπως συμβαίνει (sic acc. et spir. supra η, οτε, ουτως del.) V: ὅτε δὲ μὴ ηοτεδεμη οὕτως πως συμβαίνει B^{1}: ὁτὲ μὲν ὁτὲ δὲ μή, οὕτως εἴπως συμβαίνει H: ὁτὲ μὲν ὁτὲ δὲ μὴ οὕτως πως συμβαίνειν E: ὅτε μὲν καὶ ᾧ ὅτε δὲ μὴ οὕτω συμβαίνειν K: ὁτε μὲν οὑτωσί πως συμβαίνειν B^{2}: ὁτὲ μὲν δὲ μὴ οὕτως συμβαίνειν a^{1} Lond.: ὁτὲ μὲν ὁτὲ δὲ μὴ οὕτω συμβαίνειν a^{2}: ὁτε μὲν μὴ οὕτω συμβαίνειν Cas.: ὁτὲ μὲν δὴ μὴ οὕτω συμβαίνειν O 24 οὕτως ⟨εἴ πως συμβαίνει⟩. ἔσεσθαι O 27 χρωμένην a^{12}: χρωμένης V

ὡς διὰ βραχέων εἰπεῖν ἡ περὶ τῆς εἱμαρμένης ὑπ' αὐτῶν καταβεβλημένη δόξα. ἔστι δὲ τὸ ψεῦδος τῶν λεγομένων οὐ λόγων τινῶν οὐδὲ ἐλέγχων XXIII ἔξωθεν δεόμενον, ἀλλ' αὐτόθεν γνώριμον. τίς γὰρ ἔλεγχος λόγου φανερώτερος τοῦ μὴ ἐφαρμόζειν τούτοις περὶ ὧν λέγεται; τὸ γοῦν πρῶτον εἰρημένον ὡς πάντων τῶν ὄντων αἰτίων τινῶν γινομένων τῶν μετὰ ταῦτα καὶ τοῦτον τὸν τρόπον ἐχομένων ἀλλήλων τῶν πραγμάτων τῷ δίκην ἁλύσεως τοῖς πρώτοις συνηρτῆσθαι τὰ δεύτερα, ὃ ὥσπερ οὐσίαν τῆς εἱμαρμένης ὑποτίθενται, πῶς οὐ φανερῶς ἀπᾴδει τῶν πραγμάτων; εἰ γὰρ τῶν τέκνων οἱ πατέρες αἴτιοι καὶ δεῖ | κατ' οἰκειότητα τὰς αἰτίας ἀπαιτεῖν, 74 ὡς ἀνθρώπου μὲν ἄνθρωπον αἴτιον εἶναι, ἵππου δ' ἵππον, τίνος αἴτιοι τῶν μετ' αὐτοὺς οἱ τὴν ἀρχὴν μηδὲ γήμαντες, τίνος δὲ οἱ παῖδες οἱ πρὸ τῆς ἡλικίας διαφθαρέντες; πολλὰ γὰρ τῶν γινομένων, ὑπὸ τῆς κατὰ τὸ ποσὸν ἐκλείψεως ἢ μὴ κινηθέντα ἢ φθαρέντα πρότερον, οὐδενὸς ἔφθη γενόμενα [τῷ] κατὰ τὴν ὑπάρχουσαν δύναμιν αὐτοῖς αἴτια. τίνος δὲ ἐροῦσιν αἴτια τὰ ἔν τισιν μέρεσιν τοῦ σώματος φυόμενα περιττώματα; τίνος δὲ τὰ τέρατά τε καὶ γινόμενα παρὰ φύσιν, ἃ τὴν ἀρχὴν οὐδὲ διαμένειν οἷά τε; εἰ δ' ὁ μὲν [εἰ] φλοιὸς ἐν τοῖς φυτοῖς ἕνεκα τοῦ περικαρπίου, τὸ δὲ περικάρπιον τοῦ καρποῦ χάριν, καὶ ἀρδεύεται μὲν ἵνα τρέφηται, τρέφεται δὲ ἵνα καρποφορῇ, ἀλλ' ἔστιν γε πολλὰ ἐν αὐτοῖς εὑρεῖν καὶ μὴ τοῦτον γινόμενα τὸν τρόπον. τίνος γὰρ ἄν τις εἴποι τὰ σεσηπότα καὶ τὰ ξηρὰ τῶν καρπῶν αἴτια τῶν μετὰ ταῦτα; τίνος δὲ τήν τινων φύλλων διδυμότητα; ἐξ ὧν φανερὸν τοῖς ὁρᾶν τἀληθῆ βουλομένοις τε καὶ δυναμένοις, ὅτι, ὥσπερ οὐ πᾶν τὸ δυνατὸν ἐνεργεῖν ⟨ἐνεργεῖ⟩, οὕτως οὐδὲ πᾶν, ὃ ἂν γένοιτο αἴτιον, καὶ ἔστιν αἴτιον ἤδη ἢ γέγονεν ἢ γενήσεται. ἀλλ' οὐδὲ πᾶν τὸ γεγονὸς εὐθὺς τῷ εἶναι ἤδη καὶ αἴτιόν ἐστιν ἐσομένου τινός. τὸ δ' ὁμόσε χωροῦντας μὲν λέγειν καὶ ταῦτα, καταφεύγειν δὲ ἐπὶ τὸ ἄδηλον εἶναί τινος αἴτια (ὥσπερ ἀμέλει καὶ ἐπὶ τῆς προνοίας τῆς κατ' αὐτοὺς ἀναγκάζονται ποιεῖν πολλάκις) εὐπορίαν ἐστὶ τοῖς ἀπόροις μηχανωμένων. τούτῳ γὰρ χρωμένους ἐνέσται περὶ πάντων τῶν ἀτοπωτάτων λέγειν ὡς καὶ ὄντων καὶ εὐλόγους ἐχόντων τινὰς αἰτίας, ἡμῖν δὲ ἀδήλους ἔτι. ἆρ' οὖν τούτων οὕτως ἐχόν- XXIV των ἀναιτίως τι γενήσεται καὶ τοῦθ' ἡμῶν ὁ λόγος προξενεῖ; ἢ δύναται | 76

1 τὴν a² 3 γνωριμώτερος (mg. φανερώτερος) H 4 τούτοις a¹²: τοῦτο (ν supra alt. ο v. c.) V: τούτῳ τούτῳ B¹E λέγεται v. c. Va¹²: λέγονται V¹ 5 εἰρημένον V: εἰρημένων a¹² πάντων τῶν V: περτῶ a²: περτῶν τῶν a¹: τῶν B² alt. τῶν om. a¹² 6 τούτῳ τῷ τρόπῳ O: τούτων τὸν τρόπον Cas. 7 συνῆρτῆσθαι sic V 8 οὐ φανερῶς om. a¹²: φανερῶς om. Cas.: οὐ φανερωτέροις E 9 εἰκειότητα a² ἀπατεῖν a¹ 10 ἵπον V 11 τὴν del. B² 12 ἡλικίας] κ in lit. V τὸ ποσὸν] τόπον a¹ 13 ἐλλείψεως a¹² alterum ἢ in lit. V 14 τῷ del. B²O 15 περιπτώματα a² 16. 17 εἰ δ' ὁ μὲν a¹²: εἴδομεν | εἰ V: εἴδομεν εἰ H 18 τρέφεται τρέφεται a¹²: τρέφηται τρέφηται Lond. 19 καρποφορῇ] alt. ο in lit. V 20 σησεπότα a² ξηρανθέντα τῶν H mg. E: ξηρανθέντα τὰ O 21 διδημότητα a² 23 πᾶν τὸ Schwartz: πάντα libri ἐνεργεῖ addidi 24 εὐθὺς] ς in lit. V 25. 26 λέγειν μὲν καὶ ταῦτα εἶναι αἴτια καταφεύγειν B² 26 fortasse αἰτίαν 29 ἔν έσται V 31 ⟨ἢ⟩ ἀναιτίως Schultess O λόγος] alt. ο in lit. V

σώζεσθαι τὸ μηδὲν ἀναιτίως τῶν γινομένων γίνεσθαι καὶ τοῦτον τὸν τρόπον ἐχόντων ὡς ἡμεῖς λέγομεν τῶν πραγμάτων. ἂν γὰρ παυσάμενοι τῆς ἀλύσεως τῶν αἰτίων καὶ τοῦ τοῖς πρώτοις γενομένοις λέγειν ἐξ ἀνάγκης ἕπεσθαι τὸ αἰτίοις φύσει ὀφείλειν γίνεσθαι ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν τὸ αἴτιον περιέχουσιν, ἀπὸ τῶν γινομένων τε καὶ ὑστέρων τὴν ἀπόδοσιν τῶν αἰτίων ποιώμεθα ἔτι τε τῶν γινομένων κυρίως ζητῶμεν τὰς αἰτίας, οὔτε ἀναιτίως τι τῶν γινομένων γενήσεται οὔτε διὰ τοῦτο ἐξ ἀνάγκης καθ' εἱμαρμένην τοιαύτην πᾶν τὸ γινόμενον ἔσται. οὐκ ἐξ ἀνάγκης μὲν γὰρ ὁ Σωφρονίσκος τῷ εἶναι ἤδη καὶ πατήρ ἐστι καὶ αἴτιός τινι τῶν μετ' αὐτόν. εἰ μέντοι Σωκράτης εἴη ἐξ ἀνάγκης, αὐτῷ τῆς γενέσεως Σωφρονίσκος ἐξ ἀνάγκης αἴτιος. ὡς γὰρ θεμελίου μὲν ὄντος οὐκ ἀναγκαῖον οἰκίαν γενέσθαι, οἰκίας δὲ οὔσης προκαταβεβλῆσθαι τὸν θεμέλιον, ἀνάγκη οὕτως ἔχειν ὑποληπτέον καὶ ἐν τοῖς γινομένοις φύσει τὰ αἴτια ἐξ ἀνάγκης, οὐ τοῖς πρώτοις ἐξ ἀνάγκης ἑπόμενον τὸ αἰτίοις εἶναί τινων, ἀλλὰ τοῖς ὑστέροις γινομένοις τὸ ἐξ ἀνάγκης ἔχειν τι τῶν πρὸ αὐτῶν αἴτιον. ἔστι δέ τινα τῶν γινομένων καὶ τοιαῦτα, ὡς ἔχειν μὲν αἰτιόν τι, οὐ μὴν οἰκεῖον οὐδὲ προηγούμενον, ἀλλ' ὡς ἡμῖν ἔθος λέγειν κατὰ συμβεβηκός. ὁ γὰρ εὑρεθεὶς θησαυρὸς ὑπὸ τοῦ διὰ τὸ φυτεύειν σκάπτοντος ἔχει μὲν τὸ σκάπτειν αἴτιον, ἀλλ' οὐκ οἰκεῖον οὐδὲ γενόμενον δι' αὐτόν. τὰ μὲν γὰρ κυρίως αἴτια ἢ ἐξ ἀνάγκης μόνον ὡς τούτοις δοκεῖ καὶ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενον ἔχει τὸ αἴτιον, τὰ δὲ κατὰ συμβεβηκὸς οὕτως αἴτια σπανίως γίνεται τῶν τοιούτων αἴτια. ὥστε τοῖς τοῦτον τὸν τρόπον λέγουσιν ἅμα μὲν ἕπεται τὸ μηδὲν ἀναιτίως γίνεσθαι λέγειν, ἅμα δὲ τὸ σώζειν τό τε ἀπὸ τύχης καὶ αὐτομάτως γίνεσθαί τινα καὶ εἶναι καὶ | τὸ ἐφ' ἡμῖν καὶ τὸ ἐνδεχόμενον 78
ἐν τοῖς πράγμασιν ἀλλ' οὐ φωνὴν μόνον. πῶς γὰρ οὐ φανερῶς τὸ λέγειν XXV
ψεῦδος πᾶν τὸ ἑπόμενόν τινι ἐξ ἐκείνου τὴν αἰτίαν τοῦ εἶναι ἔχειν καὶ πᾶν τὸ προηγούμενόν τινος αἴτιον ὑπάρχειν ἐκείνῳ; ὁρῶμεν γὰρ ὅτι τὰ ἐφεξῆς ἀλλήλοις ὄντα τῷ χρόνῳ οὐ πάντα διὰ τὰ ἔμπροσθεν καὶ πρὸ αὐτῶν γεγονότα γίνεται. οὔτε γὰρ τὸ βαδίσαι διὰ τὸ ἀναστῆναι, οὔτε νὺξ διὰ τὴν ἡμέραν, οὔτε ὁ τῶν Ἰσθμίων ἀγὼν διὰ τὸν τῶν Ὀλυμπίων, ἀλλ'

---

1 τῶν s. v. v. c. V   3 ἀλύσεως Schultess O: ἀναλύσεως libri   αἰτιων V ante λέγει (λέγειν corr. v. c.) lit. 4 litt. V   4 φύσει ὀφείλειν γ. B² Cas.: φησὶν ὀφείλειν γ. (sic ν sive υ et ει superscr. v. c.) V: φησὶν ὀφείλειν γ. a¹²: φησὶν ὀφείλειν φύσιν γ. H: φησὶ γ. ὀφείλειν E: τισιν ὀφειλον γ. Lond. O   6 κυρίας Lond. O   7 ἀνάγκης (ἀνάγκη K) γενήσεται a²   8 πᾶν τὸ B²: πάντοθεν libri   μὲν om. a¹²   9 ἔσται O   10 εἴη add. v. c. V: exh. a¹²   11 αἴτιος ante Σωφρονίσκος colloc. B²   μὲν om. O   οἰκεῖαν a¹   12 προκαταβεβλῆσθαι] alt. β add. v. c. V   13 ἐξ ἀνάγκης del. B²: fortasse ⟨τὰ⟩ ἐξ ἀ.   13. 14 οὐ τοῖς πρώτοις (m¹ scripserat αὐτοῖς πρώτης (sic), sed οὐ τοῖς corr. v. c., πρώτοις m¹) V: οὐκ αὐτοῖς πρώτοις a²: αὐτοῖς πρώτοις a¹: αὐτοῖς ἠρώτησεν E   19 ἀλλ' οὐκ] οὐ μὴν H   fortasse αὐτό   20 καὶ] fortasse ἢ   21 τὸ αἰτιατὸν B²: τοιοῦτον Lond.: fortasse τὸ ⟨οὐ⟩ αἴτια   τῶν] τὰ O   24 αὐτομάτου O   τινα B² Lond. O: τινας sic V: τινας a¹²   25. 26 ψεῦδος τὸ λέγειν HB²: τὸ λ. τὸ ψ. Cas.   28 τὰ] τὸ KE   29 βαδίζειν O

οὐδὲ διὰ τὸν χειμῶνα τὸ θέρος. ὅθεν καὶ θαυμάσειεν ἄν τις αὐτοὺς τὴν τῶν αἰτίων ἀπόδοσιν τοῦτον ποιουμένους τὸν τρόπον ὡς αἰεὶ τὸ πρῶτον γεγονὸς αἰτιᾶσθαι τοῦ μετὰ τοῦτο καὶ ποιεῖν ἐπισύνδεσίν τινα καὶ συνέχειαν τῶν αἰτίων, καὶ ταύτην τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέρονται τὴν αἰτίαν. ὁρῶμεν γὰρ ἐπὶ πολλῶν ⟨τὸ⟩ αὐτὸ καὶ τοῖς πρώτοις καὶ τοῖς ὑστέροις γινομένοις ὂν αἴτιον. τοῦ γοῦν ἀναστῆναι καὶ τοῦ περιπατῆσαι τὸ αὐτὸ αἴτιον, οὐ γὰρ τὸ ἀναστῆναι τοῦ περιπατῆσαι, ἀλλ' ἀμφοτέρων ὁ ἀναστὰς καὶ περιπατῶν αἴτιος καὶ ἡ τούτου προαίρεσις. ὁρῶμεν δ' ὅτι καὶ νυκτὸς καὶ ἡμέρας τάξιν τινὰ ἐχουσῶν πρὸς ἀλλήλας ἓν καὶ ταὐτὸν αἴτιον, ὁμοίως δὲ καὶ τῆς τῶν καιρῶν μεταβολῆς· οὐ γὰρ ὁ χειμὼν αἴτιος τοῦ θέρους, ἀλλ' ἐκείνων τε καὶ τούτου ⟨ἡ⟩ τοῦ θείου σώματος κίνησίς τε καὶ περιφορὰ καὶ ἡ κατὰ τὸν λοξὸν κύκλον ἔγκλισις, καθ' ἣν ὁ ἥλιος κινούμενος ἁπάντων ὁμοίως τῶν προειρημένων αἴτιος. καὶ ὅτι μὴ ⟨ἡ⟩ νὺξ τῆς ἡμέρας αἰτία ἢ ὁ χειμὼν τοῦ θέρους μηδὲ ἐμπέπλεκται ταῦτα ἀλλήλοις ἁλύσεως δίκην, † ἂν ἕως ταῦτα γίνεται, ἢ εἰ μὴ οὕτως γίνοιτο, διασπασθήσεται ἡ τοῦ κόσμου τε καὶ τῶν ἐν αὐτῷ γινομένων τε καὶ ὄντων ἕνωσις. ἱκανὰ γὰρ τὰ θεῖα καὶ | ἡ τούτων περιφορὰ τὴν τῶν γινομένων ἐν τῷ κόσμῳ συνέχειαν φυλάσσειν. ἀλλ' οὐδὲ τὸ περιπατεῖν ἀναίτιον, ἐπεὶ μὴ ἐκ τοῦ ἀναστῆναι τὴν αἰτίαν ἔχει. ὥστ' οὐχ † οὕτως αἰτίων εἱρμὸς ὑπ' αὐτῶν λεγόμενος εὐλόγως ἂν τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέροιτο τὴν αἰτίαν. ὡς γὰρ αἱ κινήσεις καὶ οἱ χρόνοι ἔχουσι μέν τινα αἰτίαν (οὐ μὴν οὔτε ἡ κίνησις τὴν πρὸ αὐτῆς οὔτε ὁ χρόνος τὸν πρὸ αὐτοῦ χρόνον), οὕτως ἔχει καὶ τὰ ἐν αὐτοῖς τε καὶ τὰ δι' αὐτῶν γινόμενα πράγματα. τῆς μὲν γὰρ συνεχείας τῶν γινομένων ἐστί τις αἰτία, δι' ἣν ὁ κόσμος εἷς τε καὶ ἀίδιος κατὰ τὸ αὐτό τε καὶ ὡσαύτως ἀεὶ διοικούμενος, καὶ δεῖ ταύτην ζητεῖν τε καὶ ⟨μὴ⟩ παραλιπεῖν τὴν αἰτίαν, οὐ μὴν χρὴ τοιαύτην ὑπολαμβάνειν, ὡς ἐκ τοῦ πρεσβυτέρου γίνεσθαι τὸ νεώτερον, ὡς ὁρῶμεν γινόμενον ἐπὶ τῆς τῶν ζῴων γενέσεως. εὔλογον δὲ καὶ ἀρχήν τινα ἐν τοῖς αἰτίοις εἶναι λέγειν, οὐκέτ' ἄλλην πρὸ αὐτῆς ἀρχὴν καὶ αἰτίαν ἔχουσαν. οὐ γὰρ εἰ [πάντα] τὰ γινόμενα πάντα αἴτια ἔχει, ἤδη καὶ πάντων εἶναί τινας αἰτίας ἀνάγκη. οὐ

2 αἰτίων B² Cas. O: ἰσθμίων Va¹² 3 τοῦ] τὸ Cas. O ποιεῖ V¹ (corr. v. c.) 4 φέρεσθαι B² 5 τὸ αὐτὸ B²: τὸ E: αὐτὸ rel. 6 τὸ (sic) ante αὐτὸ add. v. c. V 9 ἐχουσῶν Lond. B²O: ἔχουσιν Va¹² 10 καιρῶν] καρπῶν a¹² 11 ἐκείνου O τούτου v. c. Va²: τούτω V¹ ⟨ἡ⟩ τοῦ B² 12 ἔγκλισις a¹²: ἔγκλησις V 13 αἴτιος] τι s. v. V: αἴτιον KEa² ὅτι del. O ἡ addidi νὺξ V 14 ἐμπλέκεται a¹² ταῦτα om. H 15 ἂν ἕως ταῦτα a¹²: αν ἕως ταῦτα sic V: ἕως ἂν ταῦτα Cas. O: fortasse ⟨οὐ διὰ τοῦτ'⟩ ἀναιτίως ταῦτα γίνεται γίνοιτο] γένοιτο Lond. O 16 pr. τε om. O 19 οὐχ (i. e. υχ del. v. c.) V οὕτως] ὁ τῶν B² fortasse recte αὐτῶν v. c. V: αὐτοῦ V¹a¹² 24 γινομένων] αἰτίων O 26 καὶ] αι in lit. V μὴ παραλιπεῖν B²: παραλιπειν V: παραλιπεῖν a¹²: παραλίπειν E: παραλαβεῖν Cas. O μὴν] γὰρ Lond. ὡς HEB²O: ἕως Va¹²: ὥστε Casp. O 29 ἔχουσαν a¹²: ἔχουσα V πάντα ante τὰ del. V: exh. a¹² 30 πάντα om. EO

γὰρ πάντα τὰ ὄντα γίνεται. πῶς γὰρ οὐκ ἄτοπον τὸ λέγειν ἐπ' ἄπειρον εἶναι τὰ αἴτια καὶ τὸν εἱρμὸν αὐτῶν καὶ τὴν ἐπισύνδεσιν ὡς μήτε πρῶτόν τι εἶναι μήτε ἔσχατον; τὸ γὰρ μηδὲν εἶναι πρῶτον αἴτιον λέγειν ἀναιρεῖν ἐστι τὸ αἴτιον· ἀναιρουμένης γὰρ ἀρχῆς ἀναιρεῖσθαι καὶ τὸ μετ' αὐτὴν ἀνάγκη. ἀναιροῖτο δ' ἂν καὶ ἐπιστήμη κατὰ τὸν λόγον τοῦτον, εἴ γε ἐπιστήμη μέν ἐστι κυρίως ἡ τῶν πρώτων αἰτίων γνῶσις, οὐκ ἔστι δὲ κατ' αὐτοὺς ἐν τοῖς αἰτίοις τὸ πρῶτον. οὐ πᾶσά τε τάξεως παράβασις ἀναιρετικὴ τῶν ἐν οἷς γίνεται· γίνεσθαι γὰρ ἔνια καὶ παρὰ τὴν τοῦ βασιλέως τάξιν οὐκ ἀδύνατον, ἃ οὐ πάντως τῆς βασιλείας ἤδη γίνεται φθαρτικά, οὐδὲ εἴ τι τοιοῦτον ἐν τῷ κόσμῳ γίνοιτο, πάντως ἤδη τοῦτο λύει τὴν εὐδαιμονίαν τοῦ κόσμου, | καθάπερ οὐδὲ τὴν τοῦ οἴκου καὶ τὴν τοῦ δεσπότου 82 ἡ τυχοῦσα τῶν οἰκετῶν ῥᾳδιουργία.

Ἃ δὲ ἀποροῦσιν πρὸς τὸ εἶναι τοιοῦτον τὸ ἐφ' ἡμῖν, ὁποῖον ἡ XXVI κοινὴ πρόληψις τῶν ἀνθρώπων πεπίστευκεν, ἀπορεῖν μὲν οὐκ ἄλογον, τὸ δὲ τοῖς ἀπορουμένοις ἐποχουμένους ὡς ὁμολογουμένοις ἀναιρεῖν μέν, ἃ οὕτως ἐναργῆ, σκιαγραφίαν δέ τινα καὶ παιδιὰν ἀποφαίνειν τὸν τῶν ἀνθρώπων βίον καὶ συναγωνίζεσθαι τοῖς ἀπορουμένοις καθ' αὑτῶν, πῶς οὐ παντάπασιν ἄλογον; οὐδὲ γὰρ τῷ μὴ δυναμένῳ λύειν τινὰ τῶν Ζήνωνος λόγων τῶν κατὰ τῆς κινήσεως ἤδη κίνησιν ἀναιρετέον. ἱκανωτέρα γὰρ ἡ τοῦ πράγματος ἐνάργεια πρὸς συγκατάθεσιν πάσης τῆς διὰ λόγων ἀναιρούσης αὐτὸ πιθανότητος. οὐ χεῖρον δὲ ἴσως καὶ ἡμᾶς τῶν ἀπορουμένων ὑπ' αὐτῶν, οἷς μάλιστα θαρροῦσιν, ταῦτα προχειρισαμένους ἐξετάσαι, πῶς ἔχει. ἴσως γὰρ οὐδὲ ἄγαν φανεῖται † εἰς αὐτά. ἔστι δή τι τῶν ἀπορουμένων ὑπ' αὐτῶν καὶ τοιοῦτον. 'εἰ, φασίν, ταῦτά ἐστιν ἐφ' ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενα δυνάμεθα, καὶ ἐπὶ τοῖς τοιούτοις οἵ τε ἔπαινοι καὶ οἱ ψόγοι, προτροπαί τε καὶ ἀποτροπαί, κολάσεις τε καὶ τιμαί, οὐκ ἔσται τὸ φρονίμοις εἶναι καὶ τὰς ἀρετὰς ἔχειν ἐπὶ τοῖς ἔχουσιν, ὅτι μηκέτ' εἰσὶν τῶν ἀντικειμένων κακιῶν ταῖς ἀρεταῖς δεκτικοί, ὁμοίως δὲ οὐδὲ αἱ κακίαι ἐπὶ τοῖς κακοῖς· οὐδὲ γὰρ ἐπὶ τούτοις τὸ μηκέτ' εἶναι κακοῖς· ἀλλὰ

---

1 ἐπάπειρον V 2 ὡς μήτε (sic) v. c. V: ὡς V^{1}a^{12} 3 τι μὴ a^{12} εἶναι om. Lond. 5 ἂν om. O τοῦτον ante τὸν colloc. HO 9 γίνεται] νεται in lit. V: om. Cas. 10 τοιοῦτον] τούτων O γίνεται O πάντων V^1 (corr. v. c.) 11 alt. τὴν om. a^1 12 ραδιουργία V 13 alt. τὸ om. O 14 πεπίστευκεν a^{12}: πεπιστευκεναὶ sic V: πεπιστευκέναι E 16 ἃ Va^{12}: τὰ B^{2}HE Cas. O τῶν om. O 18 πῶς οὐ B^{2}E mg. O: πῶς (corr. ex ὡσ m^1) οὖν Va^1: ὡς οὖν a^2 ἄλογον E mg. Lond. O: ὀλίγον Va^{12}: ὀλίγωρον B^2 οὐδὲ γὰρ τῷ μὴ (sic transp. μὴ τῷ m^1) VB^2: οὐδὲν γὰρ μὴ τῷ KB^1: οὐδὲ γὰρ μὴ τῷ a^2: οὐ γὰρ O 20 ἐνάργεια Lond. O: ἐνέργεια libri 23 οὐδὲ V^1: οὐδὲν v. c. Va^{12} εἰς αὐτά] fortasse δύσλυτα 25 τοιούτοις] αὐτοῖς Gercke 27 εἶναι ⟨ἐπὶ τοῖς φρονίμοις⟩ Gercke ἔχει a^1 27. 28 ὅτι μὴ δὲ τισὶ (supra δ: κ, supra ισ: εἰ v. c., accentus supra μη et δε deleti) V: ὅτι μηκέτισι B^1: ὅτι μηκέτεισι B^2: ὅτι μηκέτι εἰσὶ H: ὅτι μὴ δέ τισι a^{12}: ὅτι μηδέ εἰσι Lond. O 28 κακιῶν [corr. m^1 (v. c.?) ex κάκεινῶν] VO: κακείνων a^{12} δεκτικοί v. c. VB (οι in lit.) O: δεκτικαὶ V^{1}a^{12} 29 οὐδὲ γὰρ ἐπὶ (corr. v. c. ex οὐδὲ γὰρ ἐπεὶ μὴ) VB^2: οὐδὲ γὰρ ἐπεὶ μὴ a^{12}: οὐδ' ἐπὶ H mg.: οὐδὲ γὰρ οὐδ' ἐπὶ E: οὐδὲ γὰρ ἐπὶ μὲν Cas. Lond. O

μὴν ἄτοπον τὸ μὴ λέγειν τὰς ἀρετὰς καὶ τὰς κακίας ἐφ' ἡμῖν μηδὲ τοὺς ἐπαίνους καὶ τοὺς ψόγους ἐπὶ τούτων γίνεσθαι· οὐκ ἄρα τὸ ἐφ' ἡμῖν τοιοῦτον. | οἱ συγχωρήσαντες ἀναποβλήτους τὰς ἀρετάς τε καὶ τὰς κακίας εἶ- 84 XXVII
ναι, ἴσως προχειρότερον λαμβανόμενον λέγοιμεν ἂν κατὰ τοῦτο τὰς ἕξεις ἐπὶ τοῖς ἔχουσιν εἶναι, καθόσον πρὸ τοῦ λαβεῖν αὐτὰς ἐπ' αὐτοῖς ἦν καὶ μὴ λαβεῖν. οἵ τε γὰρ τὰς ἀρετὰς ἔχοντες καὶ τοῦ τῶν βελτιόνων ἀμελεῖν ἑλόμενοι τὰ βελτίω αὐτοῖς αἴτιοι τῆς τῶν ἀρετῶν ἐγένοντο κτήσεως, οἵ τε τὰς κακίας ἔχοντες παραπλησίως. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν τεχνῶν λόγος· καὶ γὰρ τῶν τεχνιτῶν ἕκαστος πρὸ μὲν τοῦ τὴν τέχνην ἔχειν εἶχεν καὶ τοῦ μὴ γενέσθαι τὴν ἐξουσίαν, γενόμενος δὲ οὐκέτ' ἔσται κύριος τοῦ μὴ γεγονέναι τε καὶ εἶναι τοιοῦτος. αἱ γὰρ γενέσεις τῶν τοιούτων ἐφ' ἡμῖν, καὶ διὰ τοῦτο οὐχ ὅμοιον τὸ ἀληθὲς ἐπί τε τῶν μελλόντων καὶ ἐπὶ τῶν ὄντων τε καὶ γεγονότων, ὅτι ⟨τὸ⟩ μὲν ὄν τε καὶ γεγονὸς οὐχ οἷόν τε ἢ μὴ εἶναι ἢ μὴ γεγονέναι, τὸ δὲ μέλλον γίνεσθαι ἐνδέχεται καὶ μὴ γίνεσθαι. διὸ πρὸ μὲν τοῦ τὴν ἀρετὴν ἔχειν τόνδε τινὰ ἀληθὲς ἦν τὸ ἐνδέχεσθαι καὶ μὴ γενέσθαι τοιοῦτον, ὃ δὲ τοιοῦτον γίνεται, τοῦτο καὶ γενόμενον ἀληθὲς οὕτως λέγειν γεγονέναι. εἰ μὲν οὖν ἦν ἐκ γενετῆς ὁ φρόνιμος τοιοῦτος καὶ τοῦτο πρὸς τοῖς ἄλλοις τοῖς ὑπὸ τῆς φύσεως αὐτῷ δεδομένοις εἶχεν παρ' ἐκείνης λαβών, οὐδ' ὅλως ἂν ἦν ἐπ' αὐτῷ τὸ εἶναι τοιούτῳ, ὥσπερ οὐδὲ τὸ εἶναι δίποδι ἢ λογικῷ, οὐδ' ἂν ἐπῃνεῖτο ἔτι ἐπὶ τῷ τοιοῦτος εἶναι, ἀλλ' ἐθαυμάζετο ὡς ἔχων παρὰ τῆς θείας φύσεως δῶρον τηλικοῦτον. ὡς γὰρ τῶν ὑγιαινόντων, ὅσοι μὲν ἀσθενεῖς ὄντες τὴν φύσιν διὰ τῆς οἰκείας ἐπιμελείας εἰσὶ τοιοῦτοι, τούτους μὲν ἐπαινοῦμεν ὡς ἑαυτῶν πρόνοιαν τὴν προσήκουσαν ποιουμένους, δι' ἣν πρόνοιαν οὐκ εἰσιν ἐν τῷ νοσεῖν, τοὺς δὲ ἐκ φύσεως ὑγιεινοὺς [καὶ τοὺς νοσοῦντας] ἄνευ πραγματείας καὶ φροντίδων οὐκέτι μὲν ἐπαινοῦμεν, μακαρίζομεν δὲ ὡς χωρὶς καμάτων | τοῦτο ἔχοντας, ὃ καὶ τοῖς ἄλλοις ἀγαπητόν, εἰ καὶ 86
μετὰ καμάτου παρείη, τὸν αὐτὸν τρόπον ἢ καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ἀρετῶν ἐποιοῦμεν ἄν, εἰ ἦσαν ἐκ φύσεώς τισιν παροῦσαι, ὅπερ ἀμέλει ποιοῦμεν ἐπὶ τῶν θεῶν. ἐπεὶ δὲ ἀδύνατον ἡμῖν τοῦτο, καὶ οὐδὲν ἀδύνατον δεῖ παρὰ τῆς φύσεως ἀπαιτεῖν (αὕτη γὰρ δυνατῷ τε καὶ ἀδυνάτῳ μέτρον·

---

2 ψόγος a^{2} γίνεσθαι ἐπὶ τούτοις E 3 οἱ om. B: ἡμεῖς δὲ B^{2} (supra lit. 2 litt.): οἷς EO: ὃ vel οὐ vel del. Gercke: fortasse ἢ alt. τὰς om. O 4 ἴσως del. O λαμβάνοντες λέγοιεν Lond. O: λαμβανόμενοι Gercke 5 ἐπ' Cas.: ἔτι V^{1}a^{12}: ἔτι ἐπ B^{2} Lond. O 6 τοῦ τῶν E: τουτωι (sic) V: τούτῳ a^{1}: τούτων a^{2}: τὸ τῶν Lond.: ἐξὸν καὶ τῶν Cas. Casp. O: ἐξὸν καὶ τὸ τῶν O 9 τεχνιτῶν sic V τὴν om. a^{12} 12 ὁμοίως O 13 ὄντων] μενόντων a^{12}: μὲν ὄντων Lond. τὸ μὲν ὂν H γρ. O: μόνον V^{1}: μένον v. c. Va^{1}: μὲν ὂν Lond.: ὂν a^{2} 14 pr. ἢ] ἦν O 15 καὶ s. v. V^{1} 17 ἦν om. BO ἐκ γενετῆς] εγγενετησ (sic, acc. deletus) V 18 καὶ μὴ a^{2} τοῖς om. O τῆς om. a^{12} 19 δεχομένοις O 22 ὑγιαινόντων B^{2}E mg. Lond. O: ἐπαινούντων Va^{12} 25 καὶ τοὺς μὴ E Lond. O: καὶ μὴ vel καὶ διὰ τοῦτο μὴ Gercke νοσουντας sic V: εὐεκτοῦντας B^{2} καὶ — νοσοῦντας delevi 26 ἄνευ] εὐευ a^{2} φροντίδος O 27 alt. καὶ om. O: del. B^{2} 28 ἢ Casp. O: εἰ libri 31 τῆς s. v. V

τελειότης μὲν γὰρ ἡ ἀρετὴ καὶ [ἡ] ἀκρότης τῆς οἰκείας φύσεως ἑκάστου, ἀδύνατον δὲ ἀτελές τι ὂν ἐν τελειότητι εἶναι, ἀτελὲς δὲ τὸ γενόμενον εὐθὺ τῷ γενέσθαι), οὐδὲ τὴν ἀρετὴν οἷόν τε τὸν ἄνθρωπον ⟨ἔχοντα⟩ φῦναι. οὐ μὴν ἀσύμβολος ἡ φύσις αὐτῷ πρὸς τὴν κτῆσιν αὐτῆς, ἀλλ' ἔχει παρ' αὐτῆς δύναμίν τε καὶ ἐπιτηδειότητα δεκτικὴν αὐτῆς, ἣν οὐδὲν τῶν ἄλλων ζῴων ἔχει. καὶ διὰ τήνδε τὴν δύναμιν ὁ ἄνθρωπος τῶν ἄλλων ζῴων φύσει διαφέρει, καίτοι πολλῶν ζῴων ἀπολειπόμενος ἐν τοῖς σωματικοῖς πλεονεκτήμασιν. εἰ μὲν οὖν οὕτως εἴχομεν παρ' αὐτῆς τὴν δύναμιν τὴν τῶν ἀρετῶν δεκτικήν, ὡς προιόντες καὶ τελειούμενοι καὶ ταύτην λαμβάνειν, ὡς τὸ περιπατεῖν, ὡς τὸ ὀδόντας, ὡς τὸ γένεια φύειν, ὡς ἄλλο τι τῶν ἐπιγινομένων ἡμῖν κατὰ φύσιν, οὐδ' οὕτως ἂν ἐφ' ἡμῖν ἦσαν αἱ ἀρεταὶ ὥσπερ οὐδὲ τῶν προειρημένων τι, ἐπεὶ δὲ μὴ τοῦτον τὸν τρόπον αὐτὰς κτώμεθα (εἰ γὰρ ἦν ὥσπερ τὰ ἄλλα, οὕτως δὲ καὶ φρόνησίς τε καὶ ἀρετὴ τοῖς ἀνθρώποις συγγενῆ, πάντες ἂν ἢ οἵ γε πλεῖστοι, ὥσπερ τῶν ἄλλων κατὰ φύσιν αὐτοῖς τυγχάνουσιν, οὕτως οὐ τὴν δύναμιν τὴν τῶν ἀρετῶν δεκτικὴν μόνην, ἀλλὰ καὶ τὰς ἀρετὰς αὐτὰς παρ' ἐκείνης ἂν εἴχομεν καὶ οὐδὲν οὐδ' οὕτως ἂν ἔδει ἐπαίνων ἢ ψόγων ἤ τινος τῶν τοιούτων ἐπὶ [δὲ] ταῖς ἀρεταῖς τε καὶ κακίαις θειοτέραν πρόφασίν τε καὶ οὐσίαν τῆς παρουσίας αὐτῶν ἔχουσιν), ἐπεὶ δὴ οὐχ οὕτως ἔχει (οὐ γὰρ τοὺς πάντας οὐδὲ τοὺς πλείστους ὁρῶμεν τὰς ἀρετὰς ἔχοντας, ὃ τῶν κατὰ φύσιν γινομένων σημεῖόν ἐστιν, ἀλλ' ἀγαπητὸν ἕνα 88 που λαβεῖν τοιοῦτον, ὃς δι' ἀσκήσεώς τε καὶ διδασκαλίας δείκνυσιν τὴν τῶν ἀνθρώπων πρὸς τὰ ἄλλα ζῷα φυσικὴν πλεονεξίαν, δι' αὑτοῦ προστιθεὶς τὸ ἀναγκαῖον ἐνδέον ἡμῶν τῇ φύσει), διὰ τοῦτο ἐφ' ἡμῖν τέ ἐστιν ἡ τῶν ἀρετῶν κτῆσις καὶ οὐκ ἄχρηστοι οὐδὲ μάτην οὔτε οἱ ἔπαινοι οὔτε οἱ ψόγοι οὔτε ⟨αἱ⟩ πρὸς βελτίω προτροπαὶ οὔθ' ἡ διὰ τῶν βελτιόνων ἐθῶν κατὰ τοὺς νόμους ἀγωγή. τῶν μὲν γὰρ φύσει τισὶν ὑπαρχόντων οὐδὲν οἷόν τε ὑπό τινος ἔθους ἀλλοῖον γενέσθαι (οὐχ οὕτως πολλάκις τὸ βάρος ἔχον ἀναρριφθήσεται, ὡς ἐθισθῆναι κατὰ τὴν αὑτοῦ φύσιν ἄνω φέρεσθαι), τὰ δὲ ἤθη τῶν ἀνθρώπων τοῖα καὶ τοῖα διὰ τῶν διαφερόντων ἐθῶν γίνε-

1 ἡ del. Schwartz 2 εὐθυ·σ sic H 3 τῷ ἀνθρώπῳ Lond. O ἔχοντα add. B² συμφῦναι Lond. O 4 μὴν] μέντοι Lond. O αυτῆς V 5 αυτῆς V 7 πολλῶν] τῶν ἄλλων O 8 εἴχομεν Cas. O: ἔχομεν libri 9 τε καὶ τελ. a² 12 δὲ μὴ (sic coll. m¹ quod scripserat μὴ δὲ) V: μηδὲ a¹² εἰ γὰρ ἦν Lond. O: οὐ γὰρ ἦν Va¹: οὕτω ἦν a²: ἡ γὰρ ἂν ἦν B²: εἰ μὲν γὰρ ἦν Cas. 13 καὶ πάντες B² 14 ἂν αὐτῶν ἐτύγχανον καὶ B²: αὐτῶν τύγχανοιεν Lond. O: αὔτως τυγχάνουσιν Gercke 14. 15 οὕτως οὐ τὴν B²E: οὕτως οὖν τὴν Va¹²: οὕτως οὖν καὶ τὴν K: οὕτως οὖν οὐ τὴν Cas.: οὕτως οὖν οὐδὲ τὴν Lond. O 16 ἂν εἴχομεν (εἴ et ο in lit.) B Cas.: ἂν ἔχωμεν Va¹: ἂν ἔχομεν E: ἀνέχομεν a² 17 δὲ delevi ἔπαινοί τε καὶ ψόγοι γίνονται post κακίαις ins. B² 18 οὐσίαν] ὁσίαν Casp. O: αἰτίαν Gercke εἴχομεν Cas. O δὴ οὐχ scripsi: δ' οὐχ libri: οὖν οὐχ in lit. B² 20 ἀγαπητὸν] ν in lit. V 21 ὃς] ς s. v. V¹ 22 τα V αὐτοῦ V 23 τί ἐστιν Lond. O 24 οὐδὲ] οὔτε O pr. οὔτε] ὔτ in lit. V 25 οὔτε αἱ πρὸς βελτίω B²: οὐ πρὸς βελτίων V¹: οὔτε πρὸς βελτίων v. c. Va¹²: οὔτε αἱ πρὸς βέλτιον HEO: οὔτε πρὸς βελτίω Cas.: οὔτε πρὸς βέλτιον Lond. 27 οὐχ] οὐδ' vel οὐ γὰρ Gercke 28 ἀναριφθήσεται V παρὰ Gercke 29 τοιά — τοιά V

ται. καὶ ἐπὶ μὲν τῶν φύσει πρώτας τὰς ἕξεις κτησάμενοι οὕτως ἐνεργοῦμεν κατ' αὐτάς (οὐ γὰρ ἰδόντες πολλάκις τὴν ὁρατικὴν ἕξιν κτώμεθα, ἀλλ' ἔχοντες αὐτὴν οὕτως ὁρῶμεν), ἐπὶ δὲ τῶν οὐ φύσει ἐκ τῶν ἐνεργειῶν τὰς ἕξεις κτώμεθα. οὐ γὰρ ἄλλως τέκτων τις ἂν γένοιτο μὴ πολλάκις ἐνεργήσας τὰς τοῦ τέκτονος ἐνεργείας κατὰ τὰς ὑποθήκας τοῦ διδάσκοντος. ὥστ' ἐπεὶ καὶ τὰς ἀρετὰς οὕτως κτώμεθα (ἐνεργοῦντες γὰρ καὶ τὰ σωφρονικὰ γινόμεθα σώφρονες), οὐκ ἂν ἡμῖν ὑπάρχοιεν φύσει. οἱ δὲ φάσκοντες ἐξ XXVIII ἀνάγκης ἡμᾶς εἶναί τε καὶ γίνεσθαι τοιούτους, καὶ μὴ καταλιπόντες ἡμῖν τὴν ἐξουσίαν τοῦ ταῦτα πράττειν τε καὶ μή, δι' ὧν ἂν τοιοῦτοι γενοίμεθα, καὶ διὰ τοῦτο μήτε τοῖς κακοῖς γινομένοις ἐξεῖναι μὴ ταῦτα πράττειν, ἃ πράττοντες γίνονται τοιοῦτοι, μήτε τοῖς ἀγαθοῖς, πῶς οὐχ ὁμολογήσουσιν κάκιστον γεγονέναι τῶν ζῴων ἁπάντων ὑπὸ τῆς φύσεως τὸν ἄνθρωπον, δι' ὃν φασιν πάντα τἆλλα γενέσθαι ὡς συντελέσαντα πρὸς τὴν τούτου σωτηρίαν; εἰ γὰρ ἡ μὲν ἀρετή τε καὶ ἡ κακία μόναι κατ' | αὐτοὺς ἡ μὲν ἀγα- 90 θόν, ἡ δὲ κακόν, καὶ οὐδὲν τῶν ἄλλων ζῴων οὐδετέρου τούτων ἐστὶν ἐπιδεκτικόν, τῶν δὲ ἀνθρώπων οἱ πλεῖστοι κακοί, μᾶλλον δὲ ἀγαθὸς μὲν εἷς ἢ δεύτερος ὑπ' αὐτῶν γεγονέναι μυθεύεται, ὥσπερ τι παράδοξον ζῷον καὶ παρὰ φύσιν σπανιώτερον τοῦ φοίνικος τοῦ παρ' Αἰθίοψιν, οἱ δὲ πάντες κακοὶ καὶ ἐπίσης ἀλλήλοις τοιοῦτοι, ὡς μηδὲν διαφέρειν ἄλλον ἄλλου, μαίνεσθαι δὲ ὁμοίως πάντας ὅσοι μὴ σοφοί, πῶς οὐκ ἂν ἀθλιώτατον ζῷον ἁπάντων ὁ ἄνθρωπος εἴη, ἔχων τήν τε κακίαν καὶ τὸ μαίνεσθαι σύμφυτα αὑτῷ καὶ συγκεκληρωμένα; ἀλλὰ τὸ μὲν τὰς παραδοξολογίας αὐτῶν τὰς ἐν τοῖς δόγμασιν ἐξετάζειν, δι' ὧν πρὸς τἀληθῆ διαφωνοῦσιν, πλεῖστον παραιτητέον τοῦ νῦν, ἐπανιτέον δὲ ὅθεν ἐξετραπόμεθα. ἐδείξαμεν δὲ ὅτι XXIX οὕτως ἐπ' αὐτῷ τῷ φρονίμῳ τὸ εἶναι τοιούτῳ, ὅτι τῆς τοιαύτης ἕξεως καὶ τῆς κτήσεως αὐτῆς αὐτὸς αἴτιος τῷ καὶ τοῦ μὴ γενέσθαι τοιοῦτος ἔχειν πρότερον τὴν ἐξουσίαν. τὴν μὲν οὖν ἕξιν μηκέτ' ἔχει ὡς ἐπ' αὑτῷ (ὥσπερ οὐδὲ τῷ αὑτὸν ἀπὸ ὕψους ἀφέντι τὸ στῆναι καίτοι τοῦ ῥῖψαί τε καὶ μὴ τὴν ἐξουσίαν ἔχοντι), ἐπ' αὐτῷ δὲ τῶν ἐνεργειῶν ὧν τὴν ἕξιν ἔχων ἐνεργεῖ καὶ μὴ ποιῆσαί τινα. καὶ γὰρ εἰ ὅτι μάλιστα εὔλογον τὸ τὸν φρόνιμον ⟨τὰς⟩ κατὰ τὸν λόγον καὶ τὴν φρόνησιν ἐνεργείας ἐνεργεῖν, πρῶτον μὲν οὐχ ὡρισμένως αἵδε τινὲς τοιαῦται ἢ μέχρι τοῦδε ἐνεργούμεναι, ἀλλ'

---

1 πρώτας a[1]: οὐ πρῶτον Schulthessius 6 post γὰρ add. τὰ δίκαια γινόμεθα δίκαιοι B[2] 10 γινομένης a[2]: γενομένοις Cas. O μη ταῦτα sic V 13 συντελέσοντα H Casp. O 17 fortasse δεύτερός ⟨τις⟩ μηθεύεται a[2] 21 πάντων a[12] 22 τὰ μὲν a[2] παρὰ | τὰς δοξολογίας m[1] corr. in τὰς παραδοξολογίας V: τὰς παραδ. HB[2]: παρὰ τὰς δοξολογίας a[12]: παρὰ τ. δ. Schulthess 24 ἐπανητέον a[2] τοῦ νῦν] τοίνυν E: τὰ (ἁ in lit.) νῦν B ἐδείξαμεν] cf. 197,2 sq. 25 οὕτως del. B[2] ⟨ἐστὶ⟩ τὸ B[2] ὅτι] fortasse ὡς ἕξεως m[1] corr. ex ἐξετάσεως V: ἐξετάσεως B[1]Ka[12] Cas. Lond.: ἕξεως B[2]HEO 26 αὐτὸς om. O τοῦ HO: τὸ Va[2] 27 ἔχειν] σχεῖν Gercke ἔχει scripsi: ἔχειν libri ὡς ἐπ' Va[12]: ἐπ' Lond. O: οὐκ (in lit.) ἐπ B[2] coni. O: μηκέτ' ἐπ Casp. O 28 ὑπὸ O ῥίψ///αι V 29 ἐπ' αὐτῷ scripsi: ⟨ἐπὶ⟩ τῷ Gercke: ἐπ' αὐτῶν libri 30 ἐνεργεῖ ἐπ' αὐτῷ καὶ B[2] 31 τὰς add. B[2]

ἔστιν ἐν πλάτει τινὶ πάντα τὰ γινόμενα τοῦτον τὸν τρόπον, καὶ τὸ παρὰ
μικρὸν ἐν τούτοις οὐκ ἀναιρεῖ τὸ προκείμενον· ἔπειτα δὲ οὐ κατηναγκασμέ-
νως ὁ φρόνιμος ὢν αἱρεῖταί τι πράττει, ἀλλ' ὡς καὶ τοῦ μὴ πρᾶξαί τι
τούτων αὐτὸς ὢν κύριος. εὔλογον γὰρ ἂν δόξαι ποτὲ τῷ φρονίμῳ καὶ
ὑπὲρ τοῦ δεῖξαι τὸ τῶν ἐνεργειῶν ἐλεύ|θερον καὶ μὴ ποιῆσαί ποτε τὸ γι- 92
νόμενον ἂν εὐλόγως ὑπ' αὐτοῦ, εἰ προείποι τις αὐτῷ μάντις ἐξ ἀνάγκης
αὐτὸν τοῦτο πράξειν. τοῦτό τοι καὶ οἳ μάντεις εἶναι λέγουσίν γε ὑφορώ-
μενοι φεύγοντες τοὺς παρὰ πόδας ἐλέγχους οὐδὲν τοιοῦτο προλέγουσιν τοῖς
ἐλέγξαι δυναμένοις, ἀλλ' ὥσπερ τὸ τοὺς χρόνους ὁρίζειν τῶν προλεγομένων
ὑπ' αὐτῶν ὡς ἐσομένων ὡς εὐέλεγκτον φυλάσσονται, οὕτω φεύγουσιν καὶ
τὸ λέγειν τι καὶ μαντεύεσθαι τοῖς δυναμένοις παραχρῆμα τὸ ἀντικείμενον
ποιῆσαι τοῦ μαντεύματος. τὸ δὲ λέγειν εὔλογον εἶναι τοὺς θεοὺς τὰ ἐσό- XXX
μενα προειδέναι (ἄτοπον γὰρ τὸ λέγειν ἐκείνους ἀγνοεῖν τι τῶν ἐσομένων)
καὶ τοῦτο λαμβάνοντας κατασκευάζειν πειρᾶσθαι δι' αὐτοῦ τὸ πάντα ἐξ
ἀνάγκης τε γίνεσθαι καὶ καθ' εἱμαρμένην οὔτε ἀληθὲς οὔτε εὔλογον. τῆς
μὲν γὰρ φύσεως τῆς τῶν πραγμάτων τοῦτο χωρούσης, οὐδένα [μᾶλλον]
εὐλογώτερον εἰδέναι μᾶλλον τῶν θεῶν τὰ μέλλοντα, ἀδυνάτου δ' οὔσης
τὴν τοιαύτην πρόρρησιν καὶ πρόγνωσιν δέχεσθαι, οὐδὲ τοὺς θεοὺς εὔλογον
ἔτι γίνεται [τὸ] εἰδέναι τι τῶν ἀδυνάτων. τὰ γὰρ ἀδύνατα τῇ αὑτῶν φύ-
σει καὶ παρὰ τοῖς θεοῖς τὴν αὐτὴν φυλάττει φύσιν. ἀδύνατον γὰρ καὶ
τοῖς θεοῖς ἢ τὸ τὴν διάμετρον ποιῆσαι τῇ πλευρᾷ σύμμετρον ἢ τὰ δὶς
δύο πέντε εἶναι ἢ τῶν γεγονότων τι μὴ γεγονέναι. οὐδὲ γὰρ τὴν ἀρχὴν
βούλονται † ἐπὶ τῶν ἀδυνάτων οὕτως γὰρ ἦν ἐν τοῖς λεγομένοις δυσχωρία.
οἷς ὁμοίως ἀδύνατον καὶ τὸ ἐν τῇ οἰκείᾳ φύσει ἔχον τὸ δύνασθαι γενέσθαι
τε καὶ μὴ ὡς ἐσόμενον πάντως ἢ ὡς μὴ ἐσόμενον οὕτως προειδέναι. εἰ
γὰρ ἡ περὶ αὐτῶν πρὸ αὐτῶν πρόγνωσις ἀναιρεῖ τὸ ἐν αὐτοῖς ἐνδεχόμενον,
δῆλον ὡς, εἰ σῴζοιτο τοῦτο, ἀδύνατος ἂν ἡ περὶ αὐτῶν πρόγνωσις εἴη.
ὅτι γὰρ | καὶ [εἰ] κατὰ τούτους τοῦτο οὕτως ἔχει, δῆλον ἐκ τοῦ λαβόντας 94
αὐτούς, ὅτι οἱ θεοὶ προγιγνώσκουσιν τὰ μέλλοντα, δι' αὐτοῦ κατασκευάζειν
τὸ ἐξ ἀνάγκης αὐτὰ γίγνεσθαι, ὡς οὐκ ἂν εἰ μὴ οὕτως γίγνοιτο προγνω-
σομένων. εἰ δὲ τῇ τῶν θεῶν προγνώσει τε καὶ προαγορεύσει τὸ ἀναγκαῖον
ἕπεται, καὶ κατ' αὐτούς, εἰ μὴ τὸ ἀναγκαῖον ἐν τοῖς γινομένοις εἴη, οὐκ ἂν κατ'

---

1 κατὰ τοῦτον HO 3 πράττειν a^{2} 5 καὶ s. v. V^{1} 5. 6 γινόμενον Lond. O: λεγόμενον libri 7 οἳ Casp. O: οἱ libri γε scripsi: τε libri: τε del. B^{2} 7. 8 ὑφορώμενοι τε καὶ φεύγοντες B^{2} 8 παραπόδας a^{12} λέγουσι a^{12} 11 προλέγειν O καὶ om. a^{12} 16 χωρούσης a^{2}: χωροῦσιν Va^{1} οὐδένα a^{2}: οὐδένας V: οὐδένας a^{1}: οὐδὲν Lond. μᾶλλον del. B^{2} Lond. O 17 μᾶλλον del. ES Cas. τῶν θεῶν εἰδέναι ES 18 πρόρρησιν SE Cas. O: πρόσρησιν Va^{12} 19 τὸ delevi 22 τι] τὸ a^{1} 23 ἐπὶ τῶν] ἐπὶ τὴν B^{1}a^{12}: τι τῶν B^{2}O: τὴν ἐπὶ τῶν Cas. ἡ ἐν SE δυσχέρεια B^{2} (ἐπεὶ τ. ἀ. αὐτοῖς παρῆν ⟨ἡ⟩ ἐν Diels) 24 τῇ om. O 25 pr. ὡς om. Lond. 26 ἡ sic add. v. c. V πρὸς B^{2} 28 εἰ del. B^{2}: om. SE: εἰ (ο s. v. m^{1}) V: εἰ a^{12} 30 αὐτὰ v. c. Va^{12}: αὐτῷ V^{1}: fortasse πάντα ἂν suspectum 32 καὶ fortasse del. οὐκ ἂν Lond. O: οὐ γὰρ Va^{12}: οὐδὲ B^{2}

αὐτοὺς οἱ θεοὶ προγινώσκοιεν τὰ μέλλοντα. ὥστε καὶ αὐτοὶ τὴν αὐτὴν ἀδυναμίαν τοῖς θεοῖς φυλάσσουσιν, εἴ γε κατ' ἀδυναμίαν χρὴ καὶ ἀσθένειαν λέγειν γίνεσθαι τὸ τὰ ἀδύνατα μὴ δύνασθαι. οὐ δὴ τῷ θείῳ πλέον τι δύνασθαι διὰ τῆς προρρήσεως ἀνάπτουσιν, ἀλλὰ διὰ τοῦ προσλαμβάνειν τοῦτο τὴν φύσιν τὴν τῶν πραγμάτων τοιαύτην εἰσάγουσιν οὐδαμῶς ἀκόλουθα καὶ συνῳδὰ τοῖς γινομένοις τε καὶ ἐναργέσιν λέγοντες. τούτῳ γὰρ προσχρωμένους ἐνέσται πάντα τὰ ἀδύνατα ⟨δυνατὰ⟩ δεικνύναι τῷ εὔλογον εἶναι μὴ ἀγνοεῖν αὐτὰ τοὺς θεούς. δύναται γάρ τις λαβὼν τὸ ἄτοπον εἶναι τοὺς θεοὺς μὴ εἰδέναι τὸ ἄπειρον πόσων ἐστὶ μέτρων, θέμενος τοῦτο προσλαμβάνειν τὸ δυνατὸν εἶναι γιγνώσκεσθαι τὸ ἄπειρον πόσων ἐστὶ μέτρων. εἰ δὲ τοῦτο, δυνατὸν εἶναι τὸ ἄπειρον ὡρισμένων τινῶν μέτρων. εἰ γὰρ μὴ ἦν, οὐδ' ἂν οἱ θεοὶ ᾔδεσαν αὐτὸ πόσων ἐστὶ μέτρων. ἐπεὶ δέ, εἰ τὸ προγινώσκειν τὰ μέλλοντά ἐστι τὸ ὁποῖά ἐστι τοιαῦτα αὐτὰ γνωρίζειν ὄντα (ἄλλο γὰρ τὸ προγινώσκειν τοῦ ποιεῖν) δῆλον ὅτι ⟨ὁ⟩ τὰ ἐνδεχόμενα προγινώσκων ὡς τοιαῦτα προγνώσεται. οὐ γὰρ πρόγνωσις τὸ τὸ ἐνδεχόμενον ὡς ἐσόμενον ἀναγκαίως ἔσεσθαι λέγειν. ὥστε καὶ οἱ θεοὶ τὰ ἐνδεχόμενα ἂν ὡς ἐνδεχόμενα προγιγνώσκοιεν, ᾧ οὐ πάντως ἀκολουθήσει τὸ ἀναγκαῖον διὰ τὴν τοιαύτην πρόγνωσιν. οὕτως δὲ καὶ προλεγόντων ἀκούομεν. οἱ γὰρ μετὰ τοῦ συμβουλεύειν τινὰ αἱρεῖσθαί τε καὶ πράττειν ἃ χρὴ προλέγοντες οὐχ ὡς ἐξ ἀνάγκης ἐσομένων περὶ ὧν προ- 96
λέγουσιν ⟨λέγουσιν⟩. καθόλου δὲ εἰ μὲν πάντα τοῖς θεοῖς δυνατά φασιν εἶναι, ἔσται δὲ καὶ τὰ ἀδύνατα ἐκείνοις δυνατά, οὐ μὴν δειχθήσεται διὰ τῆς ἐκείνων περὶ τῶν μελλόντων προγνώσεως τὸ πάντα ἐξ ἀνάγκης τὰ γινόμενα γίνεσθαι. εἰ δὲ συγχωροῦσιν τὰ ἀδύνατα καὶ τοῖς θεοῖς εἶναι τοιαῦτα, πρῶτον μὲν αὐτοὺς χρὴ δεικνύναι δυνατὴν εἶναι τὴν τοιάνδε πρόγνωσιν, εἶθ' οὕτως αὐτὴν ἀνατιθέναι τοῖς θεοῖς. οὔτε γὰρ ἐναργὲς οὔτε ὑπὸ τῶν γινομένων ὁμολογούμενον τὸ τοιαύτην τὴν περὶ τῶν μελλόντων πρόγνωσιν ποιεῖσθαι τοὺς θεούς. ἡμεῖς μὲν οὖν οὔτε ἀναιροῦμεν μαντικὴν οὔτε τὴν πρόγνωσιν τῶν θεῶν, ὡς ἔχει φύσεως τὰ πράγματα οὕτως αὐτοὺς περὶ αὐτῶν προλέγειν λέγοντες, ἀλλ' οὐδὲ ἀφαιρούμεθα τῶν ἀνθρώπων τὸ ἀπὸ XXXI
μαντικῆς χρήσιμον, ὃ γίνεται τῷ δύνασθαί τινα καὶ φυλάξασθαί τι, μὴ φυλαξάμενον ἂν μὴ συμβουλεύσαντος τοῦ θεοῦ· οἱ δὲ ὑμνοῦντες τὴν μαν-

---

2 γε] γὰρ O: fortasse γοῦν 3 δύνασθαι] γίνεσθαι B^1 4. 5 προσλαμβάνειν scripsi: προλαμβάνειν libri 7 τούτῳ Va^1: τούτων a^2 προσχρωμένοις O ἔνεσται V δυνατὰ add. Casp. O 8 γάρ a^2: εἰ γάρ Va^1 9 εἴδεναι V 9. 10 μέτρων, θέμενος Casp. O: θέμενος μέτρων libri: μέτρων O Schwartz 10 τούτῳ a^2 Schwartz ἀδύνατον a^2 10. 11 γιγνώσκεσθαι—εἶναι om. a^1 11 ἀδύνατον a^2 12 μέτρον a^{12} ἦν οὕτως οὐδ' a^2 13 εἰ τὰ corr. in εἰ τὸ V: ///τὸ B μέλλοντα τά ἐστι a^2 alt. τὸ Va^1: καὶ a^2 ποῖα K 15 ὁ addidi τὰδ sic V 16 τὸ τὸ] τὸ O 17 ἂν post ὡς ἐνδεχόμενα coll. a^{12} 20 ὧν] οὗ Cas.: αὐτῶν coni. O 20. 21 προλέγουσιν ⟨λέγουσιν⟩ scripsi: προλέγουσιν a^{12}: λέγουσιν V: ⟨λέγουσι⟩ πρ. Casp. O 21 τοῖς ES Cas. O: τὰ τοῖς V: τὰ δυνατὰ τοῖς a^{12} 22 τῆς s. v. V: om. ES 23 τῆς τῶν ESa^2 Cas. 27 τοιαύτην] ταύτην O 31 ὃ] ὅτι a^2 μη V 32 οἱ δὲ S Lond. O: δ' VH: om. B: δι' a^2 Cas.: εἰ δ' H mg.: δ' Ea^1

τικὴν καὶ κατὰ τὸν αὐτῶν λόγον μόνον σώζεσθαι λέγοντες αὐτήν, καὶ ταύτῃ ⟨τῇ⟩ πίστει τοῦ πάντα καθ' εἱμαρμένην γίνεσθαι χρώμενοι πρὸς τῷ μηδὲν ἀληθὲς λέγειν προσέτι καὶ ἄτοπά τινα καὶ ἀλλότρια παντάπασιν θεῶν πέρι αὐτῶν τολμῶσι λέγειν. πῶς γὰρ οὐκ ἄτοπα τὰ περὶ τούτων ὑπ' αὐτῶν λεγόμενα; ἀπορούντων γάρ τινων πρὸς αὐτούς, τί δήποτε, εἰ πάντα τὰ γινόμενα ἐξ ἀνάγκης γίνεται, αἱ παρὰ τῶν θεῶν μαντεῖαι μὲν γίγνονται συμβουλαῖς ἐοικυῖαι ὡς δυναμένων δι' ὃ ἤκουσαν καὶ φυλάξασθαί τι καὶ ποιῆσαι τῶν ἀκουσάντων, καὶ δὴ καὶ τὸν τῷ Λαΐῳ δοθέντα χρησμὸν παρεχομένων, δι' οὗ λέγει πρὸς αὐτὸν ὁ Πύθιος περὶ τοῦ μὴ δεῖν παιδοποιεῖσθαι 98

"εἰ γὰρ φυτεύσεις παῖδα, ἀποκτενεῖ σ' ὁ φύς
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος"

⟨οὔ⟩ φασιν, ὡς κηρύττει τὰ συγγράμματα αὐτῶν, οὕτως αὐτὸν χρῆσαι ὡς οὐκ εἰδότα ὅτι μὴ πεισθήσεται (παντὸς γὰρ μᾶλλον ᾔδει), ἀλλ' ὅτι μηδὲν μὲν αὐτοῦ τοιοῦτον χρήσαντος οὐδὲν ἔμελλεν τῶν κατὰ τὴν περιπέτειαν τὴν περὶ τὸν Λάϊόν τε καὶ τὸν Οἰδίπουν γενομένων γίνεσθαι. οὔτε γὰρ ἂν ἐξέθηκεν ὁ Λάϊος τὸν γενόμενον αὐτῷ παῖδα, ὡς ἐξέθηκεν, οὔτ' ἀναιρεθεὶς ὁ παῖς ὑπὸ τοῦ βουκόλου καὶ δοθεὶς πρὸς εἰσποίησιν τῷ Κορινθίῳ Πολύβῳ, ἀνδρωθεὶς καὶ περιτυχὼν τῷ Λαΐῳ κατὰ τὴν ὁδὸν ἀγνοῶν τε καὶ ἀγνοούμενος ἀπέκτεινεν αὐτόν. οὐ γὰρ ἄν ποτε ὡς υἱὸς ἔνδον παρ' αὐτῶν τρεφόμενος ἠγνόησε τοὺς γονεῖς, ὡς τὸν μὲν αὐτῶν ἀποκτεῖναι, τὴν δὲ ἀγαγέσθαι πρὸς γάμον. ὅπως οὖν πάντα ταῦτα σωθῇ καὶ πληρωθῇ τὸ τῆς εἱμαρμένης δρᾶμα, φαντασίαν ὁ θεὸς διὰ τοῦ χρησμοῦ τῷ Λαΐῳ παρέσχεν ὡς δυναμένῳ φυλάξασθαι τὰ λεγόμενα, καὶ ἐπεὶ μεθυσθεὶς ἐπαιδοποιήσατο, ἐξέθηκεν τὸ γενόμενον παιδίον ὡς διαφθερῶν, ἥτις ἔκθεσις αἰτία τῶν ἀνοσίων μύθων ἐγένετο. εἶτά τις ταῦτα λέγων πῶς ἢ σώζει μαντικήν, ἢ περὶ θεῶν εὐσεβεῖς διδάσκει προλήψεις, ἢ χρήσιμόν τι δείκνυσιν ἔχουσαν τὴν μαντικήν; ἡ μὲν γὰρ μαντικὴ δοκεῖ τῶν μελλόντων

---

1 αὐτῶν SE Lond. O: αὐτοῦ V   1. 2 καὶ ταύτῃ H Lond. O: καὶ ταύτην Va^{12} Cas.: καίτοι Casp. O: καὶ διὰ ταύτην Gercke   2 τῇ addidi   χρώμενοι a^{12}: χρώμενοσ (supra σ: ι m^{1}) V^{1}: χρώμενος H   4 ἄτοπα] α in lit. V   τὰ add. v. c. V   τούτων V: αὐτῶν a^{2}: (τὰ περὶ) τούτων om. a^{1} 6 μὲν del. B^{2} 7 δι' ἃ ἤκουσαν HO   8. 9 παραδεχομένων a^{12} 9 διὸ οὐ K: δι' ὃ O   λέγει] cf. *Euripides Phoen. 19*   10 φυτεύσεις] τεκνώσεις Euripides   φύς] παῖς a^{2} 12 οὐ addidi   κηρύττει B^{2}O: κηρύττειν Va^{12} τα V   αὐτῶν a^{12} scil. Stoicorum: αὐτων (sic, supra ν: ι) V: αὐτῷ H   ⟨οὐχ⟩ οὕτως Usenerus   13 οὐχ ὡς B^{2} Cas.: μὴ ὡς Lond. O   ουκ V   παντὸς a^{12} Casp. O: παντοσ (supra οσ: ως m^{1}) V: πάντως Lond. O: τὸ SE   ᾔδι V^{1} (corr. m^{1})   ἀλλ'οτι sic V   14 μηδὲ ἓν αὐ. Gercke   τῶν B Lond. O: τῷ Va^{12} 14. 15 περιπετείαν V   15 γινομένων O   16 ἀνέθηκεν (ἐξ supra ἀν v. c.) V   17 ἤγουν ἀναληφθεὶς B^{2} 18 καὶ add. v. c. V   20 αὐτῶν Schwartz: αὐτὸν libri   τὸν] ν s. v. V   21 ταῦτα πάντα a^{12} 24 διαφερων (sic, supra φ: θ v. c.) V: διαφέρον ES: διαφθερῶν a^{12} 25 τίς et del. πῶς B^{2} 26 ἢ περὶ sic V   εὐσεβεῖς SE: εὐσεβέας O: εὐσεβείας libri   προλήψεις v. c. corr. ex πρόληψις V

προαγόρευσις εἶναι, οἱ δὲ τὸν Ἀπόλλω ποιητὴν ὧν προαγορεύει ποιοῦσιν. ὃ γὰρ οὐκ ἂν οὕτως ἐγένετο μὴ τοῦτον τὸν τρόπον χρήσαντος τοῦ θεοῦ, καὶ διὰ τοῦτο οὕτως ἔχρησεν, ὅπως γένηται τὰ ἐπ' αὐτοῖς γενόμενα, πῶς οὐκ ἔργα τοῦ χρήσαντος, ἀλλ' οὐ μήνυσις τῶν ἐσομένων; ἀλλ' εἰ καὶ δεῖ πλέον τι τῶν ἄλλων μάντεων ἔχειν τοὺς θεούς, ὡς καὶ συμπράσσειν τοῖς ἐσομένοις πρὸς τὸ γίνεσθαι † συνεργούμενον (καὶ γὰρ οἱ ποιηταὶ τοῦτό γε περὶ θεῶν ὑμνοῦντες διατελοῦσιν, ὅτι ἄρα εἰσὶ δωρητῆρες ἐάων) κατά γε τὰ ὑπὸ τούτων λεγόμενα εἰς ἀγαθὸν μὲν οὐδὲν ὁ Πύθιος τῷ Λαΐῳ συντελεῖ, ἀγωνίζεται δὲ καὶ πάντα πράττει πρὸς τὸ μηδὲν τῶν ἀνοσιωτάτων τε καὶ ἀσεβεστάτων παρελθεῖν τὸν οἶκον αὐτοῦ. ὧν ἀκούσας τίς οὐκ ἂν εὐσεβεστέραν εἴποι τὴν λεγομένην ὑπὸ τῶν περὶ Ἐπίκουρον ἀπρονοησίαν τῆς τοιαύτης προνοίας; πῶς δὲ συνῳδὰ ἀλλήλοις τὸ ὁμοῦ μὲν θεὸν λέγειν τὴν εἱμαρμένην καὶ χρῆσθαι τοῖς οὖσίν τε καὶ γινομένοις ἐν τῷ κόσμῳ ἐπὶ σωτηρίᾳ αὐτοῦ τε τοῦ κόσμου καὶ τῆς τῶν ἐν αὐτῷ τάξεως, ὁμοῦ δὲ τοιαῦτα περὶ αὐτῆς λέγειν ὡς παραλαμβάνειν πρὸς τὰς πράξεις τὰς ἀνοσιωτάτας διὰ τὴν περὶ αὐτὰ σπουδὴν καὶ τὸν Πύθιον συνεργόν; ἐπὶ τίνων γὰρ σωτηρίᾳ ἐροῦσι χρῆσθαι τὴν εἱμαρμένην πατρὸς ὑπὸ παιδὸς ἀναιρέσει καὶ γάμῳ μητρὸς καὶ παιδὸς ἀνοσίῳ καὶ γενέσει παίδων ἀδελφῶν καὶ πατρί; τί τῆς ἐν κόσμῳ διοικήσεως ἐκ τούτων ἔχειν εὔλογον τὴν σωτηρίαν, ὡς καὶ τὸν Ἀπόλλω φοβεῖσθαι μή τι παρέλθῃ τούτων ἄπρακτον; πότερον ἐμπόδια μὴ γινόμενα τῇ τῶν ἀνθρώπων κατὰ πόλεις τε καὶ νόμους οἰκήσει, ἢ τῇ τῶν στοιχείων τοῦ κόσμου σωτηρίᾳ, ἢ τῇ τῶν θείων εὐτάκτῳ τε καὶ ἀιδίῳ περιφορᾷ ἢ τίνι τῶν ἐξ ὧν τὸν κόσμον συνεστάναι τε καὶ διοικεῖσθαι κατὰ λόγον συμβέβηκεν; δῆλον δ' ὅτι, κἂν ἄλλον τινὰ μῦθον πάλιν ἀκούσωσιν παρά τινος τῶν τραγῳδοποιῶν, οἷς ἔργον τὰ τοιαῦτα πλάσματα, ἢ γυναῖκά τινα διὰ ζηλοτυπίαν ἐπιβουλεύσασαν μὲν ἀλλοτρίοις τέκνοις, ἀποκτείνασαν δὲ τὰ ἑαυτῆς, ἢ Θυέστην τινὰ δυστυχῆ γέροντα τῶν σαρκῶν τῶν παίδων αὐτοῦ ἐσθίοντα Ἀτρέως τινὸς ἀδελφοῦ τοιαύτην παραθέντος αὐτῷ τράπεζαν, πιστεύουσί τε τοῖς μύθοις ὡς γεγονόσι καὶ τὴν εἱμαρμένην τε καὶ πρόνοιαν δι' αὐτῶν κατασκευάζουσιν, ὥσπερ ἔργον ποι-

---

2 ὃ γὰρ libri: εἰ γὰρ B[2] ἐγίνετο a[12] 3 καὶ ⟨ἃ⟩ διὰ O γενόμενα] ο in lit. V 4 ἀλλ' οὐ] ἄλλου V: om. K: ἀλλὰ ES 6 συνεργοῦντας Casp. O (supra συνεργούμενον B[2]: τοῖς ἀγαθοῖς αὐτοὺς δεῖ συνεργεῖν) 7 διατελωῦσιν a[2] ἆρα V δοτῆρες a[12] γε scripsi: δὲ libri 8 Λαΐ a[12] 8. 9 συντελεῖ Cas.: συντέλει Va[2]: συνετέλει a[1]: συνεργεῖ H γρ. O 9 δὲ] om. a[12]: γὰρ Lond. O 10 ὧν τίς (τίς in lit.) ἀκούσας (litura 3 litt.) οὐκ B 12 σύνωδα V 15 παραλαμβάνει a[2] 15. 16 ἀνοσιωτάτους Lond. 17 πατέρα μὲν a[2] ἀναιρεθῆναι a[2] 18 ἀδελφῶν a[12]: ἀδελφων (sic, supra ω: ι m[1]) V[1]: ἀδελφῶ/// B: ἀδελφῷ HO (παίδων ἀδελφῶν πατρί Casp. O) 19 τῆς v. c. Va[12]: τῶν V[1]: fortasse τῆς ⟨τῶν⟩ 20 τούτων B[2]H γρ. ES Lond. O: τούτῳ Va[12]: τοῦτο K 21 ἐμποδιεῖ H γρ. ES νομοὺς Lond. O 24 κατὰ λόγον om. O 26 ζηλωτυπίαν V ἐπιβουλευσαμένην O 27 τὰ] καὶ a[2] 28 παιδίων O αὐτοῦ V 29 πιστεύσουσι Schwartz τε v. c. VB[2]: δε V[1]: δὲ a[12]: δὴ HO 30 κατασκευάσουσι Schwartz

ούμενοι ἃ βούλονται κατασκευάζειν δι' αὐτῶν τῶν κατασκευῶν ἀναιρεῖν. καίτοι μακρῷ βέλτιον ⟨ἂν⟩ ἦν καὶ εὐγνωμονέστερον ἀναιρεῖν τὰς ὑποθέσεις διὰ 102 τὴν τῶν ἑπομένων αὐταῖς ἀτοπίαν, ἢ τοῖς οὕτως ἀτόποις διὰ τὰς ὑποθέσεις παρίστασθαι. οἱ δὲ καὶ πιστεύουσιν τοῖς ἀτοπωτάτοις ῥᾳδίως καὶ τοῦ κατὰ λόγον αὐτὰ γενέσθαι αἰτίας τινὰς λέγειν οὐκ ὀκνοῦσιν. ἀλλὰ τῶν XXXII μὲν τοιούτων ἅλις (ἱκανὸν γὰρ ἐφ' ἑκάστου τὸ ἐνδείξασθαι τὴν τῆς δόξης ἀτοπίαν), ἱκανῶς δ' οἶμαι δεδηλῶσθαι, πῶς λέγεται τὸ ἐπὶ τῷ φρονίμῳ εἶναι τὸ φρονεῖν καίτοι μὴ δυναμένῳ μὴ φρονεῖν· οὐ γὰρ ὅτι νῦν, ὅτε ἐστὶ φρόνιμος, ἐπ' αὐτῷ τὸ εἶναι τοιούτῳ (ἦν γὰρ ἂν καὶ τοῦ νῦν μὴ φρονεῖν κύριος), ἀλλ' ὅτι πρὸ τοῦ τοιοῦτος γενέσθαι εἶχεν ὥσπερ [δὲ] τοῦ γενέσθαι οὕτως δὲ καὶ τοῦ μὴ γενέσθαι τοιοῦτος τὴν ἐξουσίαν, δι' ἣν προειρήκαμεν αἰτίαν πρὸς τὸ γενέσθαι τοιοῦτος συνήργησεν αὐτῷ. ἐπὶ δὲ τῶν θεῶν οὐκ εἴη ἂν τὸ εἶναι τοιούτοις (ὅπερ ἦν καὶ αὐτὸ ἐν τοῖς ὑπ' αὐτῶν ἀπορουμένοις), ὅτι γάρ ἐστιν αὐτῶν ἐν τῇ φύσει ⟨τὸ⟩ τοιοῦτον, οὐδὲν δὲ τῶν οὕτως ὑπαρχόντων ἐπ' αὐτῷ. διὰ τοῦτο γὰρ τὰ μὲν ἐκείνων ἀγαθὰ τίμιά τε καὶ μακαριστά, μεῖζόν τι τῶν ἐπαινετῶν ἀγαθῶν ἔχοντα, ὅτι τὴν ἀρχὴν ἡ φύσις αὐτῶν ἀνεπίδεκτός ἐστιν, ἡμεῖς δὲ ἐπὶ τῇ κτήσει τῶν ἀρετῶν ἐπαινούμεθα, ὅτι, τῆς φύσεως ἡμῶν ἐπιδεκτικῆς οὔσης καὶ τοῦ χείρονος, οὐκ ὠκνήσαμεν πρὸς τὰ βελτίω, καὶ τῶν μὲν χειρόνων ἀνιδρωτὶ καὶ χωρὶς καμάτων περιγίνεσθαι δοκούντων, τῆς δὲ ἀρετῆς μετὰ πόνων τε καὶ μετὰ καμάτων καὶ πολλῶν ἱδρώτων. ἔχει μέντοι καὶ ὁ φρόνιμος ἐπὶ τῶν καθέκαστα πράξεων τοῦ καὶ μὴ πράττειν αὐτὰς τὴν ἐξουσίαν, εἴποτε κἀκείνοις πράξεις τινὲς γίνοιντο περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν. οὐ γὰρ ἀφῄρηται τὴν ἐξουσίαν οὔτε ὁ Πύθιος τοῦ τῷ αὐτῷ χρῆσαί τε καὶ 104 μή, οὔτε ὁ Ἀσκληπιὸς τοῦ παρίστασθαι. πάντες γοῦν σχεδὸν ἄνθρωποι καταφεύγουσιν ἐπ' αὐτόν, ἔνθα ἂν ἐπιφανέστατος ᾖ, πεπιστευκότες ὅτι τοῖς σπουδάζουσιν αὐτὸν ἔχειν ἰατρὸν μᾶλλον τῶν οὐ σπουδαζόντων ἐπιδίδωσιν αὑτόν.

---

1 ἀναιρεῖν] ἀν add. v. c. V 2 ἂν addidi καὶ om. a[12] 3 ἢ Lond. O: οὐ sic V: οὐ rel. 7 ὃτι a[2] 7. 8 τὸ — εἶναι τὸ φρονεῖν] ἐν μηδενὶ ὂν (ὂν φύσει ES) τὸ φρονεῖν φύσει H γρ. ES 8 pr. τὸ] ὁ in lit. V φρονεῖν καίτοι] ρονειν καίτοι in mg. V[1] δυναμένῳ μὴ scripsi: δυναμένων τὸ Va[12]: δυναμένου τὸ μὴ B[2]: δυναμένῳ τὸ οὐ Lond. O: δυναμένῳ οὐ Cas.: [μὴ] δυναμένῳ τότε οὐ coni. O: δυναμένῳ τότε οὐ Casp. O ὅτι del. B[2]: ἔτι Gercke 10 alt. τοῦ ES: δὲ τοῦ V: //// τοῦ B: δὲ τοῦ a[12]: γὰρ τοῦ H mg.: δὴ τοῦ Casp. O 11 καὶ δι' ἣν Lond. O 12 αὐτῷ V 13 οὐκ εἴη scripsi: οὐκέτ' libri: οὐκ ἔστ' ES τοιοῦτοι Gercke ὑπ' ἐκείνων O 14 τὸ add. HO 15 ἐπ' αὐτῶν Gercke μὲν om. O 16 μακάριστα V 17 αὐτῶν ⟨τοῦ χείρονος⟩ O ἀνεπίδεκτος ὢν ἐναντίων B[2] τῇ om. O κτίσει a[12] 19 καὶ] καίτοι Gercke fortasse recte 20 παραγίνεσθαι Casp. O 22 εἴποτε] εἴτε V[1] (corr. v. c.) 24 ἀφήρηται a[2] τοῦ τῷ a[12]: τοῦ τῶ sic V: τούτῳ ES: του τῷ Cas. χρῆσαι Grotius (in vers.) Schwartz: χρῆσθαί τε καὶ v. c. V: χρήσεται καὶ V[1] 25 ἀσκληπιοσ V παρίστασθαι coni. O: προΐστασθαι libri fortasse παρίστασθαι ⟨τε καὶ μή⟩ 27 οὐ v. c. Va[12]: ὡσ V[1] 28 αὐτὸν V

XXXIII Τὸ δὲ λέγειν † ἡγεῖσθαι τοὺς οὐχ ἡγουμένους ἐν τῷ σώζεσθαι τὴν καθ' ὁρμὴν τῶν ζῴων ἐνέργειαν ἤδη σώζεσθαι καὶ τὸ ἐφ' ἡμῖν τῷ [μὴ] πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς ὁρμῶσιν εἶναι καὶ διὰ τοῦτο ἐρωτᾶν, εἰ μὴ ἐνέργημά τι τὸ ἐφ' ἡμῖν ἐστι, καὶ λαβόντας ἐπὶ τούτῳ πάλιν ἐρωτᾶν, εἰ μὴ τῶν ἐνεργημάτων τὰ μὲν εἶναι δοκεῖ καθ' ὁρμήν, τὰ δ' οὐ καθ' ὁρμήν, ὃ λαβόντας πάλιν προστιθέναι τούτῳ τὸ μὴ τῶν ἐνεργημάτων μέν, μὴ καθ' ὁρμὴν δὲ εἶναί τι ἐφ' ἡμῖν, οὗ καὶ αὐτοῦ συγχωρούμενου ἐπὶ τούτοις λαμβάνειν τὸ πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς οὕτως ἐνεργοῦσιν εἶναι, ἐπειδὴ ἐν μηδενὶ τῶν ἄλλως ἐνεργουμένων ἐστί, καὶ διὰ τοῦτο λέγειν σώζεσθαι κατ' αὐτοὺς καὶ τὸ τοιοῦτον ἐφ' ἡμῖν, ὃ δυνατὸν ὑφ' ἡμῶν γενέσθαι τε καὶ μή, εἶναι δὴ καὶ τὰ οὕτως γινόμενα ἐν τοῖς καθ' ὁρμὴν γινομένοις [ἔστι], πῶς οὐ παντάπασιν ἀγνοούντων ταῦτα, πρὸς ἃ ποιοῦνται τοὺς λόγους; οὐ γὰρ εἰ ἐν τοῖς καθ' ὁρμὴν ἐνεργουμένοις τὸ ἐφ' ἡμῖν εἶναι συγκεχώρηται, διὰ τοῦ λόγου ἤδη πᾶν τὸ καθ' ὁρμὴν ἐνεργούμενον ἐφ' ἡμῖν. ταῦτα γὰρ μόνα τῶν καθ' ὁρμὴν γινομένων τὸ ἐφ' ἡμῖν ἔχει, ὅσα κατὰ λογικὴν ὁρμὴν ἐνεργεῖται. λογικὴ δ' ἐστὶν ὁρμὴ ⟨ἡ⟩ ἐν τοῖς βουλευτικοῖς τε καὶ προαιρετικοῖς γινομένη, τουτέστιν ἡ τῶν ἀνθρώπων, ὅταν ἐπὶ τούτοις γίνηται. τῶν γὰρ ἄλλων ζῴων αἱ καθ' ὁρμὴν ἐνέργειαι οὐ τοιαῦται, ὅτι μηκέτ' ἐν ἐκείνοις ἐξουσία τοῦ καὶ μὴ ποιῆσαι τὸ καθ' ὁρμὴν ἐνερ|γούμενον. 106 διὸ ἐν ταῖς καθ' ὁρμὴν ἐνεργείαις τὸ ἐφ' ἡμῖν, οὐ μὴν διὰ τοῦτο πᾶσα καθ' ὁρμὴν ἐνέργεια γινομένη τὸ ἐφ' ἡμῖν ἔχει.

XXXIV πῶς δ' οὐχ ἀγνοούντων τὰ ὑφ' αὐτῶν γινόμενα τὸ τῇ ἀληθείᾳ τῶν γινομένων, ἣν ἀναιροῦσιν διὰ τοῦ δόγματος, αὐτῇ [πρὸς τὸ] κεχρῆσθαι πρὸς κατασκευὴν τοῦ ἀναιροῦντος αὐτὴν δόγματος; λαβόντες γὰρ τὸ ἕκαστον τῶν συνεστώτων φύσει καθ' εἱμαρμένην εἶναι τοιοῦτον, ὁποῖόν ἐστι, ὡς ταὐτοῦ ὄντος τοῦ τε φύσει καὶ τοῦ καθ' εἱμαρμένην, προστιθέασιν τὸ 'οὐκοῦν κατὰ τὴν εἱμαρμένην καὶ αἰσθήσεται τὰ ζῷα καὶ ὁρμήσει, καὶ τὰ μὲν τῶν ζῴων ἐνεργήσει μόνον τὰ δὲ πράξει τὰ λογικά, καὶ τὰ μὲν ἁμαρτήσεται τὰ δὲ κατορθώσει. ταῦτα γὰρ τούτοις κατὰ φύσιν μέν, ὄντων δὲ καὶ ἁμαρτημάτων καὶ κατορθωμάτων καὶ τῶν τοιούτων

1 ἡγεῖσθαι] ⟨οὐχ⟩ ἡγεῖσθαι Casp. O: πλάνασθαι B[2]: ληρεῖν sive νηπιάζεσθαι Gercke: ⟨ἄτοπα⟩ ἡγεῖσθαι Heine οὐχ sic V: del. Casp. O 2 μὴ sic V: μὴ rel. (τὸ μὴ Casp. O) 4 ἐνέργημάτι V: ἐνερωτήματι ES τι τὸ] τι τῶν coni. O 4. 5 εἰ μὴ — ἐρωτᾶν om. a[12] 6 τούτῳ] φ in lit. B μὴ scripsi: μήτε libri: del. Heine: μηδὲν B[2] 7 δὲ ⟨μηδὲ⟩ Heine τι] τὸ Gercke: τε a[2]: del. B[2] οὗ καὶ αὐτοῦ (καὶ in lit.) B: οὐκ αὐτοῦ (ὐ in lit. 3 litt.) V: οὐκ αὐτοῦ a[12]: καὶ αὐτοῦ Lond. O 10 τούτου Lond. O 12 ἔστι delevi: coll. post παντάπασιν B[2] οὐ corr. ex οὖν V ἀγνοοῦντες B[2] ταυτα V 17 ἡ addidi 18 γίνεται O 19 οὐ] αἱ a[2] του V 20 μή τι a[12] τῶν . . ἐνεργουμένων coni. O 22 οὐχ] υ in lit. V γινόμενα] λεγόμενα Casp. O 23 αὐτην (sic, supra ν: ι) προστὸ (i. e. αὐτῇ) V: αὐτῇ Lond. O: αὐτὴν πρὸς τὸ KB (his verbis B[2] lineolam subducit, i. e. del.) a[12] Cas.: αὐτῇ πρὸς τὸ HES 24 nonne χρῆσθαι? αὐτὸν a[12] 26 ωσταυτοῦ sic V 28 μόνον] χρόνον a[1] 29. 30 fortasse κατὰ φύσιν. ⟨κατὰ φύσιν⟩ μὲν ⟨οὖν⟩ ὄντων [δὲ] καὶ 30 μενόντων τῶν δὲ a[2]

φύσεων καὶ ποιοτήτων μὴ ἀγνοουμένων, καὶ ἔπαινοι καὶ ψόγοι καὶ κολάσεις καὶ τιμαί. ταῦτα γὰρ οὕτως ἔχει ἀκολουθίας τε καὶ τάξεως'. οὐ μὴν ἀκολουθεῖ ταῦτα ἔτι τοῦτον γίνεσθαι τὸν τρόπον τοῖς τὴν φύσιν τε καὶ τὰ γινόμενα κατὰ φύσιν εἰς τὴν εἱμαρμένην τε καὶ τὴν ἀνάγκην μεταφέρουσιν. κατὰ φύσιν μὲν γὰρ τοῖς πρακτικοῖς τε καὶ λογικοῖς ζῴοις τὸ καὶ ἁμαρτάνειν καὶ κατορθοῦν δύνασθαι τῷ μηδέτερον αὐτῶν ποιεῖν κατηναγκασμένως, καὶ τοῦτ' ἀληθές ἐστι καὶ τοῦτον ἔχει τὸν τρόπον. οὐ μὴν τοῖς πάντα ἃ ποιοῦμεν ἐξ ἀνάγκης ἡμᾶς ποιεῖν λέγουσιν ἕπεται τοὺς μὲν κατορθοῦν τῶν λογικῶς ἐνεργούντων, τοὺς δ' ἁμαρτάνειν. ἐξ ἀνάγκης δὲ πάντα ποιοῦμεν καθ' οὓς ἀδύνατον μὲν τῶνδέ τινων περιεστώτων μὴ πράσσειν ἡμᾶς, τὰ δ' ἐξ ἀνάγκης | ἡμᾶς ἀεὶ περιστήσεται 108 ταῦτα δι' ἃ πράσσομεν. οὐ γὰρ τὸν ὁπωσοῦν χαρίεν ποιοῦντα καθορθοῦν τις λέγει, ἀλλ' οὐδ' ἁμαρτάνειν τὸν ὁπωσοῦν φαῦλόν τι πράττοντα, ἀλλ' εἰ ὁπωσοῦν ἐν ἐξουσίᾳ τις ὢν τῶν χειρόνων αἱρεῖται καὶ πράσσει [ἢ] τὰ βελτίω τοῦτον λέγομεν κατορθοῦν. τὸν γοῦν τὰ αὐτὰ ταῦτα ἀπὸ τύχης ποιήσαντα οὐκέτι λέγομεν κατορθοῦν ὡς τοῦ κατορθοῦν τὴν κρίσιν οὐκ ἀπὸ τῶν πραττομένων ἔχοντος μόνον, ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς ἕξεώς τε καὶ δυνάμεως ἀφ' ἧς πράσσεται. καὶ ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἁμαρτημάτων. ὧν δὲ ἡ ἐξουσία τοῦ πράττειν ἄλλα τινὰ παρ' ἃ πράττουσιν ὑπὸ τῶν περιεστώτων ἀφῄρηται, οὐδὲν αὐτοὶ συντελοῦσιν εἰς τὸ [τὰ] αὐτοῖς περιεστάναι δι' ἃ πράττουσιν. πῶς ἂν ἔτι τούτους τις ἢ ἁμαρτάνειν ἢ κατορθοῦν λέγοι; οὔτε γὰρ τῆς τοιαύτης ἕξεως, ἀφ' ἧς τῶνδέ τινων περιεστώτων περὶ τὸ τάδε τινὰ πράττειν ὁρμὴ γίνεται, αὐτός ἐστιν ἐν ἐξουσίᾳ οὔτε τοῦ τὰ περιεστῶτα τοιαῦτα εἶναι. διὰ τοῦτο γὰρ τῶν ἀλόγων ζῴων οὐδὲν τούτων κατηγορεῖται. ἀγόμενος δὴ ἐπὶ τὸ πράττειν ὑπό τε ἕξεως καὶ περιστάσεών τινων μηδενὸς κύριος αὐτὸς τοῦ μὴ τοῦτον ἔχειν τὸν τρόπον. οὐδ' ἂν ἁμαρτάνειν ἔτι ἢ κατορθοῦν ἐπὶ τοῖς οὕτως πραττομένοις λέγοιτο. ἐπεὶ δὲ οἵ τε ἔπαινοι καὶ ψόγοι, κολάσεις τε καὶ τιμαὶ ἐπὶ τοῖς ἁμαρτήμασίν τε καὶ κατορθώμασιν, ὡς καὶ αὐτοὶ λέγουσιν, δῆλον ὡς ἀναιρουμένων τούτων ἀναιροῖτ' ἂν κἀκείνων ἕκαστον. τὸ δὲ κατορθοῦν ἐπὶ τῶν θεῶν οὐ κυρίως ἂν λέγοιτο, ἀλλ' ὡς ἴσον τῷ τὰ ἀγαθὰ

---

1 ποιητήτων a^{2} ἔπαινοι m^{1} corr. ex ἐπαινουμενου V 1. 2 τιμαὶ καὶ κολάσεις HO 2 τομαὶ a^{1} 3 ἔτι ταῦτα a^{12} 4 alt. τὴν om. a^{2} ανάγκην V 7 μὴν τοῖς Va^{1}: μέντοι γε τοῖς a^{2}: μέντοι γε ES: μέντοι γε ὅτι Lond. O 8 πάντα] pr. α in lit. V: πάντα ⟨ποιεῖν ἃ⟩ Schwartz ἕπεται scripsi: ἔπειτα libri 10. 11 περιστώτων a^{2} 11 τὰ] fortasse ταῦτα 12 ταῦτα suspectum 13 ἁμαρτάνειν̈ sic V 14 εἰ v. c. V: om. a^{12} 15 τὰ βελτίω HESO: /////βελτίω B: ἢ τὰ βελτίων sic V: ἢ τὰ βελτίω a^{12} 16 του V 18 των V 19 ὧν H: ἡμῶν sic V: ἡμῶν a^{12}: εἰ γὰρ (del. δὲ) B^{2}: οἷς Lond. O 19. 20 ἃ πράττομεν B^{2} 20 αὐτοὶ] αὐτοὶς sic V: αὐτοῖς a^{12} τὰ om. ES: ταῦτα (conl. v. 12) Diels 21 αυτοῖς V ⟨περιστάμενα⟩ περιεστάναι B^{2} τούτοις a^{2} 23 ἡ ὁρμὴ K: ὁρμὴν a^{12} 24 ἐν om. a^{2} 25 δὲ a^{12} 28 οἵ τε v. c. corr. ex οὔτε V 29 τιμαὶ] τι s. v. V 30 τὸ γὰρ O

ποιεῖν, εἴ γε ἐν οἷς μὲν τὸ κατορθοῦν, ἐν τούτοις καὶ τὸ ἁμαρτάνειν, [ἐν τούτοις] ἀνεπίδεκτον δὲ ἁμαρτημάτων τὸ θεῖον. διὰ τοῦτο γὰρ οὐδὲ ἐπαινοῦμεν τοὺς θεούς, ὅτι κρείττους εἰσὶν ἢ κατ' ἐπαίνους καὶ τὰ ἐφ' οἷς οἱ ἔπαινοι κατορθώματα. | μηδὲ ἐκεῖνον δὲ παραλείπωμεν τὸν λόγον, ᾧ θαρ- 110 XXXV
ροῦσιν ὡς δεικνύναι δυναμένου τῶν προκειμένων τι. λέγουσιν γὰρ 'οὐ γὰρ ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ πεπρωμένη, * * * οὐκ ἔστι δὲ αἶσα, οὐδὲ ἔστι μὲν αἶσα, οὐκ ἔστι δὲ νέμεσις, οὐδὲ ἔστι μὲν νέμεσις, οὐκ ἔστι δὲ νόμος, οὐδ' ἔστι μὲν νόμος, οὐδ' ἔστιν δὲ λόγος ὀρθὸς προστακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον. ἀλλὰ ἀπαγορεύεται μὲν τὰ ἁμαρτανόμενα, προστάττεται δὲ τὰ κατορθώματα. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ ἁμαρτήματα καὶ κατορθώματα. ἀλλ' εἰ ἔστιν ἁμαρτήματα καὶ κατορθώματα, ἔστιν ἀρετὴ καὶ κακία, εἰ δὲ ταῦτα, ἔστι καλὸν καὶ αἰσχρόν. ἀλλὰ τὸ μὲν καλὸν ἐπαινετόν, τὸ δὲ αἰσχρὸν ψεκτόν. οὐκ ἄρα ἐστὶ μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ ἐπαινετὸν καὶ ψεκτόν. ἀλλὰ τὰ μὲν ἐπαινετὰ τιμῆς ἄξια, τὰ δὲ ψεκτὰ κολάσεως. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ τιμὴ καὶ κόλασις, ἀλλ' ἔστιν μὲν τιμὴ γέρως ἀξίωσις, ἡ δὲ κόλασις ἐπανόρθωσις. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι ⟨δὲ⟩ γέρως ἀξίωσις καὶ ἐπανόρθωσις. εἰ δὲ ταῦτα, ⟨οὐκ⟩ ἀπείρηται μὲν εἶναι πάντων γινομένων καθ' εἱμαρμένην κατορθώματά τε καὶ ἁμαρτήματα καὶ τιμαὶ καὶ κολάσεις καὶ γέρως ἀξιώσεις καὶ ἔπαινοι καὶ ψόγοι'. ἀλλὰ ταῦτά γε εἰ μὲν ὑπό τι- XXXVI
νων αἰτίων περιεστώτων αὐτοῖς οὕτως ἀναγκάζονται λέγειν, συγγινώσκειν αὐτοῖς ἄξιον, καὶ οὐδὲν δεῖ οὔθ' ἡμᾶς περὶ τῶν ὑπ' ἐκείνων κατ' ἀνάγκην λεγομένων πολυπραγμονεῖν, οὔτε ἐκείνους περὶ τῶν οὐχ ὁμοίως αὐτοῖς λεγόντων (ἑκάστοις γὰρ τῶν λεγομένων τε καὶ δοξαζομένων αἰτία ἡ τῶν περιεστώτων δύναμις), καὶ οὐδὲν δεῖ τοὺς λέγοντας | αἰτιᾶσθαι οὐδὲν εἰς τὸ οὕτως λέγειν 112
συντελοῦντας, εἴ γε μήτε τῶν περιεστώτων μήτε τῆς ἕξεως, καθ' ἣν ὑπὸ τῶν περιεστώτων οὕτως αὐτοῖς κινεῖσθαι συμβέβηκεν, τὴν αἰτίαν ἔχουσιν ἐν αὐτοῖς. εἰ δὲ ἐξουσίαν ἔχομεν καὶ χεῖρόν τι καὶ βέλτιον εἰπεῖν, τίς οὐκ

---

1. 2 ἐν τούτοις del. V[1]: om. a[12] 2 δὲ τῶν Lond. O γὰρ om. Lond. O
3 τοῦ ὅτι O ἢ B[2]HES: οὐ (η superscr. v. c.) V: οὐ a[12]: οὐ B[1] Cas. 4 μηδὲ] μ add. v. c. V παραλείπωμεν KE Cas. O: παραλίπωμεν V: παραλείπομεν a[12]
5 δυναμένου Va[12]: δυνάμενον ES: δυναμένῳ Lond. O: om. K 5. 6 οὐ γάρ ἐστι] οὐκ ἔστι Lond. O cf. 208,19 6 οὐκ ἔστι δὲ V[1]a[12]O: οὐδέ ἐστι v. c. V: οὐκ ἔστι ES
6. 7 οὐκ ἔστι δὲ αἶσα Va[12]: ⟨οὐδὲ ἔστι μὲν (μὲν om. Lond. coni. O) πεπρωμένη⟩, οὐκ ἔστι δὲ αἶσα B[3] Lond. O recte 7 οὐδέ ἐστι μὲν νέμεσις v. c. V: οὐδέ ἐστι νέμεσις V[1]a[12]: οὐκ ἔστι μὲν νέμεσις O: οὐδὲ νέμεσις Lond. 8 δὲ νόμος v. c. Va[12]O: μὲν νόμος V[1]: νόμος HES μὲν νόμος v. c. Va[12]O: δὲ νόμος V[1]: νόμος ES οὐδ V: οὐκ a[12]O δὲ λόγος a[12]O: μὲν λόγος HB[1]: /// μὲν λόγος V: λόγος ES 9 προστατικός a[12] 13 αισχρόν V
17 alt. δε V 18 ἔστι ⟨δὲ⟩ B[2]S 19 εἰ V[1]a[12]: οὐ v. c. V ταῦτα ⟨οὐκ⟩ B[2]
ἀπείρηται V: ἀπήρηται a[12]: ἀφήρηται Lond. O: ἅπερ εἴρηται ES μὲν] μὴ B[2]
21 ἀξίωσις O 25 δοξαζομένων αἰτία Schwartz: δοξάντων αἰτία Lond. O: δοξαζόντων αἰτία καὶ B[2]: δοξαζόντων τινὰ libri 28 αὐτοῖς] αὐτὴν a[12]: αὐτοὺς O ἐν add. v. c. V: exh. a[12]: om. HKES

ἂν αὐτῶν θαυμάσαι τὴν σύνθεσιν τοῦ λόγου ὡς ἀπέριττον καὶ ἐξ ὁμολογουμένων καὶ ἐναργῶν συνάγουσαν τὸ μὴ δεῖν † ὧν ἦν τὸ ἄρα τῆς περὶ τοὺς συλλογισμοὺς ἀσχολίας μακρᾶς. θέμενοι γὰρ τὸ τὴν εἱμαρμένην χρῆσθαι πᾶσιν τοῖς γεγονόσι τε καὶ γινομένοις καθ' εἱμαρμένην πρὸς τὴν ἀκώλυτον τῶν ὑπ' αὐτῆς γινομένων ἐνέργειαν οὕτως, ὡς γέγονεν ἕκαστον αὐτῶν καὶ φύσεως ἔχει, λίθῳ μὲν ὡς λίθῳ, φυτῷ δὲ ὡς φυτῷ, ζῴῳ δὲ ὡς ζῴῳ, εἰ δὲ ὡς ζῴῳ, καὶ ⟨ὡς⟩ ὁρμητικῷ, ἐν τῷ τιθέναι τὸ χρῆσθαι αὐτὴν τῷ ζῴῳ ὡς ζῴῳ τε καὶ ὁρμητικῷ καὶ γίνεσθαι τὰ ὑφ' αὐτῶν διὰ τῶν ζῴων γινόμενα κατὰ τὴν τῶν ζῴων ὁρμὴν ἑπομένων καὶ τούτων τῶν ἐξ ἀνάγκης περιεστώτων αὐτὰ τότε αἰτίοις ἅτινα ἂν * * * ἡγούμενοι διὰ τοῦ τὸ καθ' ὁρμὴν ἐνεργεῖν τὰ ζῷα τηρεῖν ἐν τῷ ἅπαντα γίνεσθαι καθ' εἱμαρμένην καὶ τὸ ἐφ' ἡμῖν εἶναί τι τηρεῖν, τούς τε ἄλλους [οὓς] ἐρωτῶσιν λόγους καὶ δὴ καὶ τὸν προειρημένον ἐμοὶ δοκεῖ ὡς οὐχ ἀληθεῖ πιστεύοντες τοσοῦτον αὐτῷ ὅσον διὰ μῆκός τε καὶ πλῆθος ὀνομάτων καὶ ἀσαφῆ σύνθεσιν παράξειν ἡγούμενοι τοὺς ἀκούοντας. ἴδωμεν δὲ τὸ λεγόμενον ἡμεῖς δι' αὐτοῦ τὰ πολλὰ τῶν κειμένων ὀνομάτων παραιτησάμενοι τὸ νῦν, τὴν δὲ πεπρωμένην καὶ τὴν αἶσαν καὶ τὴν νέμεσιν ὑφελόντες, οἷς ὀνόμασιν ἐφ' ὧν αὐτοῖς δοκεῖ σημαινομένων χρῶνται, ἐπὶ τῶν ἄλλων ἐξετάσωμεν. ἄξιον γὰρ μαθεῖν τὴν ἀνάγκην τῆς ἀκολουθίας τῆς 'οὐ γὰρ ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ νόμος'. εἰ γὰρ τὰ μὲν γινόμενα καθ' εἱμαρμένην ἕπεται τοῖς ἐξ ἀνάγκης αὐτὰ περιεστῶσιν αἰτίοις καὶ οὐχ | οἷόν τε τὸν καθ' 114
ὁρμὴν ἐνεργοῦντα μὴ ἀκολουθεῖν τούτοις τοῖς αἰτίοις τὴν αἰτίαν τὴν ἐξ αὐτοῦ πάντως ἐκείνοις συνάπτοντα, ὡς οὐδὲ τὸν ἀπὸ ὕψους ἀφεθέντα λίθον μὴ κάτω φέρεσθαι ἢ τὴν σφαῖραν κατὰ τοῦ πρανοῦς μὴ κυλίεσθαι ἀφεθεῖσαν κατ' αὐτοῦ, τίς ἔτι χρεία νόμων; ὡς γὰρ ὁ λίθος οὐκ ἂν ὑπὸ τοῦ λέγοντος μὴ δεῖν κάτω φέρεσθαι κωλυθείη ποτ' ἂν τῷ αὐτός τε τὴν φύσιν εἶναι τοιοῦτος τά τε ἔξωθεν ἔχειν αἴτια συνεργὰ πρὸς τοῦτο, οὕτως οὐδὲ

---

1 περίττην O: ἀπέραντον Casp. O 2 pr. τὸ] τοι B²? δεῖν — ἄρα] δέον, οἷον ἦν τὸ ἀπόρημα Diels 3 μακράς a¹² 4 γινομένους O εἱμαρμένης a² 6 μὲν om. O 7 καὶ ⟨ὡς⟩ scripsi: del. Gercke ὁρμητικη (sic, supra η: ω) V: fortasse ὁρμητικῷ, ⟨καὶ⟩ τῷ χρῆσθαι a² 8 ὑπ' αὐτῆς Gercke διὰ τῶν ζῴων del. Heine 10 αἰτίοις a¹²: αἰτίοισ (supra οις: ων m¹) V: αἰτίων HK: αἰτίαις Lond. O τοῦτο HKES: τοῦ Gercke lacunam indicavi τούτων τοῖς .. περιεστῶσιν .. αἰτίοις Gercke: ταῖς τῶν .. περιεστώτων .. αἰτίαις Heine ⟨πράττῃ⟩ ἡγούμενοι Heine 12 καὶ τὸ a¹²: τὸ καὶ V τε] δὲ a² οὓς delevi: ·οὖσ· sic V: οὓς a¹²: οὖν Lond. O 13 τὸν] τὸ V¹ (corr. v. c. V) 14. 15 παρέξειν E: ταράξειν Lond. 15 λεγόμενα a² δι' αὐτοῦ (αὐ m¹ s. v.) V: διὰ τοῦ a¹²: καὶ διὰ τοῦ Lond. O: διὰ τούτων περὶ Cas.: διὰ τοῦτο coni. O aut del. 19 alt. τῆς] ταύτης Cas. O: om. ES 20 δὲ B²S Lond. O: γὰρ Va¹² 22 ⟨καὶ⟩ τὴν αἰτίαν Cas. O 23 συνάπτοντα B² Lond.: συνάπτον VB¹ (sed ο in lit. B) a¹²: συνάπτειν E Cas. O: συνάπτων S ὡς H: ὥστε sic V: ὥστε a¹²: ὥσπερ B² οὐδὲν a² ἀφεθέντα Gercke: ἀφέντα libri 24 σφαίραν a¹ κυλύεσθαι a¹: κωλύεσθαι a² 27 αἴτια ἔχειν a¹² ουτος ηδε V¹ (corr. v. c.)

ἡμῶν τις πεισθείη ποτ' ἂν λόγῳ ἢ νόμῳ ἄλλως ἀξιοῦντι πράττειν παρὰ τὴν τῶν περιεστώτων ἀνάγκην. οὐ γὰρ πλέον τι ἡμῖν ἐκ τοῦ συνιέναι τῶν προστασσομένων ὑπὸ τῶν νόμων ἔχουσιν προκαταβεβλημένας αἰτίας, αἷς περιεστώσαις ἀκολουθεῖν τὴν ὁρμὴν ἀνάγκη. οὕτως δὲ ἀναιροῖτ' ἂν τὸ ἐκ τῶν νόμων χρήσιμον, εἴ γε οἱ μὲν νόμοι προστακτικοὶ μέν εἰσι τῶν ποιητέων, ἀπαγορευτικοὶ δὲ τῶν οὐ ποιητέων, οὐχ ἕπεται δὲ τῇ τῶν νόμων προστάξει τὸ καθ' ὁρμὴν ἡμᾶς ἐνεργεῖν, ὅταν τὰ περιεστῶτα αἴτια ἐξ ἀνάγκης ἡμᾶς ἐπ' ἄλλα τινὰ κινῇ τε καὶ φέρῃ. ἀναιρουμένου δὲ διὰ τὴν τοιαύτην εἱμαρμένην τοῦ ἀπὸ τῶν νόμων χρησίμου, ἀναιροῖντ' ἂν καὶ ⟨οἱ⟩ νόμοι. τί γὰρ ὄφελος νόμων, οἷς πείθεσθαι τὴν ἐξουσίαν ὑπὸ τῆς εἱμαρμένης ἀφῃρήμεθα; οὐκ ἄρα τῷ τοιαύτην εἶναι τὴν εἱμαρμένην ἕπεται τὸ νόμον εἶναι. ἐναντία γὰρ εἱμαρμένη τε καὶ νόμος, εἴ γε ὁ μὲν νόμος προστακτικός ἐστι τῶν πρακτέων τε καὶ μή, ὡς τῶν πραττομένων δυναμένων αὐτῷ πείθεσθαι κελεύοντι (διὸ καὶ τοὺς μὴ πειθομένους ὡς ἁμαρτάνοντας ζημιοῖ, τιμῶν τοὺς πειθομένους ὡς κατορθοῦντας), ἡ δὲ εἱμαρμένη πάντα τὰ γινόμενα ἀναγκαίως τε καὶ δι' ὁμοίας αἰτίας φησὶ γίνεσθαι, τῶν δὲ δι' ὁμοίας γινομένων αἰτίας οὐχ οἷόν τε τὰ μὲν ἁμαρτήματα λέγειν, τὰ δὲ κατορθώματα. εἰ γὰρ λέγοι τις καὶ τὸν νόμον ἐν τοῖς | ἀναγκαίοις τε 116
καὶ προκαταβεβλημένοις ὑπὸ τῆς εἱμαρμένης αἰτίοις εἶναι, δῆλον ὡς καὶ τοῖς πράσσουσιν καθ' ὁρμὴν τὰ κατ' αὐτὸν ἐν τοῖς περιεστῶσιν αἰτίοις καὶ αὐτὸς ἔσται κατηναγκασμένως, οὐ περιστήσεται δὲ τοῖς πράττουσιν τὰ μὴ κατ' αὐτόν. οἱ δὲ ταύτην τοῦ μὴ πράσσειν τὰ κατὰ τοὺς νόμους ἔχοντες τὴν αἰτίαν πρόδηλον ὡς οὐκ ἂν ψέγοιντο. πῶς γὰρ ἄξιοι; τὸ γοῦν ἐν τοῖς περιεστῶσιν κατ' ἀνάγκην αἰτίοις, οἷς μὴ ἕπεσθαι τὴν ὁρμὴν οὐχ οἷόν τε, οὐκ ἦν ἐκ τῶν νόμων αἰτία, κατ' ἀνάγκην τινὰ καὶ εἱμαρμένην παρεῖναι κεκωλυμένη. ἀλλὰ οὕτως γε οὐδ' ἂν νόμος ἔτι εἴη ἔχων καὶ πειθομένους αὐτῷ, εἴ γε χρὴ τούτῳ πείθεσθαι λέγειν ἐξ ἀνάγκης ἑπομένους, καὶ τοὺς μὴ πειθομένους ὑπὸ ἀνάγκης τινὸς πείθεσθαι κεκωλυμένους. ὥστε πολὺ ἂν ἀληθέστερον εἴη συνειλημμένον τὸ 'εἰ ἔστι τοιαύτη εἱμαρμένη, οὐκ ἔστι νόμος'. ἀναιρουμένου δὲ νόμου καὶ σὺν αὐτῷ ἁμαρτήματός τε καὶ κατορθώματος, ἀναιροῖτ' ἄν, ὡς καὶ αὐτοὶ διὰ τῆς ἀκολουθίας ἐλάμβα-

---

3 ἀντίας a[2] 7 τὸ HB[1] (ex corr.) O: τὰ rel. τὰ s. v. V 9 ἀναιροῖντ' (alt. ν s. v.) Va[12]: ἀναιροῖτ' KS 10 οἱ add. a[12] τὸ γὰρ a[12] 12 τὸ] τὸν a[12] 13 πραττόντων ES Cas. Lond. O 13. 14 δυνάμεων K 14 αὐτῷ corr. ex αὐτῶν V 15 τῇ δὲ εἱμαρμένῃ coni. O 16 φασι coni. O 16. 17 τῶν .. γινομένων Lond. O: τῷ .. γινομένῳ libri 18 λέγει a[12] 20 πράσσουσιν] προσουσιν V[1] (corr. v. c. V) κατ' αὐτὸν Lond. O: καθ' αὐτοῖς Va[12]: καθ' αὐτοὺς HES Cas.: κατ' αὐτοὺς B[2] 21 κατηναγκασμένως KES: κατηναγμένωσ (sic, supra ω: ο m[1]) V: κατηναγκασμένος a[12] 22 αὐτόν Lond. O: αὐτούς libri νόγους a[1] 23 τὸ] ὅτι Lond.: fortasse τότε 24 καθ' ὁρμὴν O 25 fortasse ἦν ⟨ἡ⟩ ἐκ 26 κεκωλυμένη Lond. O: κεκωλυμένην V: κεκωλυμένης (supra η: οι) ES νόμοις a[2] ἔχων] ἐξὸν Casp. O 26. 27 καὶ πειθομένους H γρ. S[2] Cas. Casp. O: καίπερ θεμένους Va[1]: καὶ περιθεμένους a[2] 27 αὐτῷ scripsi: αὑτῷ H γρ. Cas.: αὐτῶν Va[12]: αὐτὸν B[2] Lond. O τούτῳ] τοῦτο (supra ο: ω m[1]) V 29 συ|νει|λημμένον sic V: συνειλημένον a[1] 30 νόμον a[2]

νον τῆς κατὰ τὸν λόγον, ἀρετή τε καὶ κακία καὶ τὸ εἶναί τι ἐν ἀνθρώποις
αἰσχρόν τε καὶ καλὸν καὶ ἐπαινετόν τε καὶ ψεκτὸν καὶ τιμῆς τε καὶ κολά-
σεως ἄξιον. οὐδὲν ἄρα μένει τοῦ ὑπὸ τοῦ μετὰ τοσαύτης τέχνης ἠρωτη-
μένου λόγου κατεσκευασμένου, ἀκολουθήσει τε αὐτοῖς ἀρξαμένων κάτωθεν
ἀκολουθία, ἣν ἕπεσθαι λέγουσιν τοῖς ἀναιρεῖν πειρωμένοις τὸ ἐφ' ἡμῖν
† εἶναι ὡς αὐτοὶ τηροῦντες ὁμολογουμένως αὐτὸ διὰ τοῦ προλαβόντας
ἄλλοις ἐπιφέρειν αὐτὰ τὸ μὴ δοκεῖν ἔχεσθαι τὸ καὶ τοῖς διαφεύγειν ἡγου-
μένοις. εἰ γὰρ μή εἰσι τιμαὶ μηδὲ κολάσεις, οὐδὲ ἔπαινοι οὐδὲ ψόγοι, εἰ
δὲ μὴ ταῦτα, οὐδὲ κατορθώματά τε καὶ ἁμαρτήματα, εἰ δὲ μὴ ταῦτα, οὐ-
δὲ ἀρετὴ καὶ κακία, εἰ δὲ μὴ ταῦτα, φασίν, ὅτι μηδὲ θεοί. ἀλλὰ μὴν τὸ
πρῶτον τὸ μὴ εἶναι μήτε τιμὰς μήτε κολάσεις ἕπεται τῷ πάντα γίνεσθαι 118
καθ' εἱμαρμένην, ὡς δέδεικται. ⟨καὶ⟩ τὸ τελευταῖον ἄρα, ὃ ἄτοπον καὶ
ἀδύνατον. ἀναιρετέον ⟨ἄρα⟩ τὸ πάντα γίνεσθαι καθ' εἱμαρμένην, ᾧ τοῦτ'
εἵπετο. ἴδωμεν δὲ καὶ ⟨τὸν⟩ ἐπὶ τούτῳ λόγον ἠρωτημένον, εἰ μὴ τὰς ὁμοίας XXXVII
ἀνάγκας ἔχει. λέγει δὲ οὕτως· 'οὐ πάντα μὲν ἔστι καθ' εἱμαρμένην, οὐκ
ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις. οὐδὲ ἔστι
μὲν τοῦτο, οὐκ ἔστι δὲ κόσμος, οὐδὲ ἔστι μὲν κόσμος, οὐκ εἰσὶν δὲ θεοί.
εἰ δέ εἰσι θεοί, εἰσὶν ἀγαθοὶ οἱ θεοί, ἀλλὰ εἰ τοῦτο, ἔστιν ἀρετή, ἀλλ' εἰ
ἔστιν ἀρετή, ἔστι φρόνησις, ἀλλ' εἰ τοῦτο, ἔστιν ἡ ἐπιστήμη ποιητέων τε
καὶ οὐ ποιητέων. ἀλλὰ ποιητέα μέν ἐστι τὰ κατορθώματα, οὐ ποιητέα δὲ
τὰ ἁμαρτήματα. οὐκ ἄρα πᾶν μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ
ἁμάρτημα καὶ κατόρθωμα. ἀλλὰ τὰ μὲν κατορθώματα καλά, τὰ δὲ ἁμαρ-
τήματα αἰσχρά, καὶ τὰ μὲν καλὰ ἐπαινετά, τὰ δὲ κακὰ ψεκτά. οὐκ ἄρα
πάντα μέν ἐστι καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἐπαινετὰ καὶ ψεκτά. ἀλλ'
εἰ τοῦτο, εἰσὶν ἔπαινοι καὶ ψόγοι· ἀλλ' ἃ μὲν ἐπαινοῦμεν τιμῶμεν, ἃ δὲ
ψέγομεν κολάζομεν. καὶ ὁ μὲν τιμῶν γεραίρει, ὁ δὲ κολάζων ἐπανορθοῖ.
οὐκ ἄρα πάντα μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ γεραίρειν καὶ ἐπα-
νορθοῦν'. καὶ οὗτος δὴ ὁ λόγος ἀπὸ τῆς αὐτῆς παλαίστρας ὢν δῆλον ὡς
διὰ τῶν αὐτῶν ἂν ψευδὴς ὢν ἐλέγχοιτο. πρῶτον μὲν γὰρ ἄν τις συγχω-
ρήσειε προχείρως τῷ 'οὐ πάντα μέν ἐστι καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ

2 alt. καὶ s. v. V 4 κατασκευασμένου V: καὶ κατεσκευασμένου B^2S mg.: κατεσκευασμένον Cas. Casp. O τε] τὸ a^2 ἀρξαμένοις B^2 5 fortasse ⟨τῆς⟩ ἀκολουθίας 6 ὡσ corr. ex πωσ V^1: πῶς a^{12}: ὡς Lond. O τοῦ προλαβόντος KES: τὸ προβάλλειν Lond. O 7 ἄλλους Lond. ἐφέρειν a^1: ἀφαιρεῖν Lond. O αὐτὸ Lond. O τὸ μὴ Va^{12}: τῷ μὴ H mg. E Lond. O: το (supra ο: ω) μὴ S ἔχεσθαι τὸ καὶ τοῖς Va^{12}: ἕπεσθαι τὸ καὶ τοῖς KES: ἕπεσθαι καὶ τοῖς H mg.: ἔχεσθαι ὃ καὶ Lond. O 7. 8 ἡγοῦνται Lond. O 11 τὸ μὴ HB^2E Cas. O: μὴ τὸ Va^{12}: τὸ μηδὲ S pr. μήτε om. a^{12} τιμαὶ Lond. 12 καὶ add. B^2 13 ἀναιρεῖται HES ἄρα add. B^2 14 τὸν addidi ἠρωτημένων a^{12} 15 οὗτοσ corr. in οὕτωσ V^1: οὗτος ES, fortasse recte: οὕτως rel. 16 pr. ἔστι s. v. V 17 μεν ·τοῦτο· sic V 18 ἀλλὰ εἰ τοῦτο, ἔστιν ἀρετή, ἀλλ' v. c. Va^{12}: ἀλλὰ εἰ το ἔστι ἄρα ἀλλ' sic V^1: ἀλλ ἀεὶ τὸ εἴ ἐστιν ἄρα ἀλλ' sic S: ἀλλὰ εἰ το ει (supra το ει: θεοίδε) ἐστὶν ἀρετη ἀλλ' sic E: ἀλλὰ τοῦτο ἔστι ἀρετή, ἀλλ' K tert. εἰ om. a^{12} 19 τουτο V ἡ del. Gercke 24 pr. ἐστι] εἰσι a^{12} 25 εἰσιν] οὐκ εἰσιν O: οὐκ ἂν Lond. 28 οὗτοι a^1: ουτοι a^2 29. 30 συγχωρήσειε B^2: συγχωρήσει Va^{12}: συγχωρήσῃ ES 30 τὸ Cas. Lond. O

ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις' [ἐν] τῷ γίνεσθαι τὰ μὲν ἐξ ἀνάγκης, τὰ δὲ ἐνδεχομένως, καὶ τούτων τὰ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ προαίρεσίν τε καὶ λόγον, τὰ δὲ καθ' ὁρμήν, τὰ δ' ἀπὸ τύχης τε καὶ αὐτομάτως. ἀναιρεῖται δὲ πάντα τὰ ἄλλα ὑπὸ τῆς εἱμαρμένης. οὐκ ἄρα ⟨οὐκ ἂν⟩ ἀπαρεμπόδιστος οὐδὲ ἀκώλυτος ἡ τοῦ κόσμου διοίκησις μένοι. | ἀλλ' εἰ καὶ συγχωρηθείη τοῦτό τε καὶ τὸ κόσμος εἶναι καὶ κόσμου ὄντος 120 θεούς, καίτοι κατ' Ἐπίκουρον ἐκτὸς ὄντας αὐτούς, καὶ τοὺς θεοὺς ἀγαθοὺς εἶναι, εἴη δὲ καὶ τὸ ἀρετὴν εἶναι τοῖς θεοῖς ἑπόμενον, πῶς τῷ τὴν τῶν θεῶν ἀρετὴν εἶναι ἕποιτ' ἂν τὸ εἶναι φρόνησιν; τίς γὰρ ἡ τῆς ἀκολουθίας ταύτης ἀνάγκη; εἰ μὲν γὰρ ἦν εἰλημμένον τὸ τὴν ἀνθρώπων ἀρετὴν εἶναι, ἕποιτ' ἂν τούτῳ καὶ ἡ φρόνησις, ἐπεὶ δ' ἐκ τῶν κειμένων εἴληπται τὸ τὴν τῶν θεῶν ἀρετὴν εἶναι, πῶς ἂν ἔτι ἕποιτο τῇ τῶν θεῶν ἀρετῇ φρόνησις, ἀνθρώπων οὖσα ἀρετή; οὐ γὰρ τὰς αὐτὰς ἀρετὰς οἷόν τε λέγειν εἶναι τῶν τε ἀνθρώπων καὶ τῶν θεῶν. οὔτε γὰρ ἄλλως ἀληθὲς τὸ τὰς τῶν τοσοῦτον ἀλλήλων κατὰ τὴν φύσιν διεστώτων τὰς αὐτὰς τελειότητάς τε καὶ ἀρετὰς λέγειν, οὔθ' οἱ πρὸς αὐτῶν περὶ αὐτῶν λεγόμενοι λόγοι εὔλογόν τι ἐν αὑτοῖς ἔχουσιν. ἀνθρώπου δὲ ἡ φρόνησις ἀρετή, ἥ ἐστιν, ὥς φασιν, ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων. ἐν οἷς γὰρ οἷόν τε ⟨μὴ⟩ πραχθῆναί τι καὶ τῶν ποιητέων, ἐν τούτοις ἡ τῶν ποιητέων τε καὶ οὐ ποιητέων ἐπιστήμη χώραν ἔχει. ἀλλὰ μὴν πάντων γινομένων καθ' εἱμαρμένην ἄχρηστος ἡ γνῶσις τῶν ποιητέων τε καὶ μή. τί γὰρ ὄφελος τῆς τοιαύτης γνώσεως τοῖς μηδὲν ὧν πράττουσι φυλάξασθαι δυναμένοις; εἰ δὲ μηδὲν ἡ τούτων ἐπιστήμη χρήσιμον, ἀναιροῖτ' ἂν ἡ φρόνησις, ὡς εἶναι τὴν ἀκολουθίαν ἀληθεστέραν τὴν εἰ ἔστιν εἱμαρμένη, μὴ εἶναι φρόνησιν. καθ' ὃν γὰρ λόγον ὁ νόμος ἀνῃρεῖτο κειμένης τῆς εἱμαρμένης, κατὰ τοῦτον ἀναιρεθήσεται καὶ ⟨ἡ⟩ φρόνησις, ἧς ἀναιρουμένης δῆλον ὡς καὶ τῶν ἄλλων ἓν ἕκαστον ἀναιροῖτ' ἂν τῶν κατὰ τὴν ἀκολουθίαν τὴν πρὸς τὴν φρόνησιν τιθεμένων. ὅτι δὲ μηδὲ [οἱ] ἐκ τοῦ δεικνύναι τὴν καθ' ὁρμὴν κίνησιν τοῖς XXXVIII ζῴοις μένουσαν πάντων γινομένων καθ' εἱμαρμένην σῴζουσιν τὸ ἐφ' ἡμῖν, εἰ μὴ βούλοιτό τις ἁπλῶς | τὸ ὑπό τινος κατὰ τὴν οἰκείαν γινόμενον φύσιν 122 ἐπ' ἐκείνῳ λέγειν ἄλλο τι σημαινόμενον τοῦ ἐφ' ἡμῖν εἰσάγων παρὰ τὸ πεπιστευμένον τε καὶ προειλημμένον, ὅ φαμεν εἶναι διὰ τὸ ἔχειν ἡμᾶς ἐξουσίαν τῶν ἐν τοῖς πραττομένοις ἀντικειμένων, φθάνει διὰ τῶν πρώτων

---

1 ἐν circumscripsi   4 δὲ] γὰρ B[2]   ἄλλα] αὐτὰ H Lond. O (πάντα ταῦτα O)
5 οὐκ ἂν add. Diels: οὐκ add. a[12]   ἀνεμπόδιστος a[12] Lond. O   μένει Cas.
6 pr. καὶ om. a[12]   τὸ κόσμον H Cas.: τὸν κόσμον Lond. O   τοῦ κόσμου O
ὄντος] ἐντὸς Diels   7 αὐτοῦ O   8 εἰ δὲ Lond. O   10 εἰ s. v. v. c. V   12 τῶν θεῶν] ἀνθρώπων Lond.   13 ἀνθρώπων — ἀρετή om. O
15 τοσούτων a[1]: τοιούτων a[2]   17 οὔθ' εὔλογον Lond. O   αὐτοῖς V   ἀρετησ ἣσ sic (i. e. ἀρετη ἣ) V   18 μὴ add. Lond. O   19 καὶ ⟨μὴ⟩ τῶν Schwartz
τε om. O   20 μὴν] μὴ V[1] (corr. v. c.)   25 τοῦτον B[2]H Cas.: τοῦτο Va[12]: τούτῳ K   25. 26 ἀναιρηθήσεται a[2]   26 ἡ add. K   ἓν om. a[12]   27 καὶ τῶν a[2]   πρὸς φρόνησιν O   28 οἱ del. B[2]   31 παρεισάγων H   32 διὰ suspectum
ημᾶσ V

πλεονάκις εἰρῆσθαί τε καὶ δεδεῖχθαι. παραπλήσιοι δὲ τούτοις καὶ ὅσους ἄλλους εἰς σύστασιν τοῦδε τοῦ δόγματος λόγους παρατίθενται ἐπὶ πλέον καὶ μέχρι ῥημάτων τὴν κομψείαν ἔχοντες, ἀλλ' οὐκ ἐκ τῆς πρὸς τὰ πράγματα περὶ ὧν λέγονται συμφωνίας τὴν πίστιν λαμβάνοντες.

XXXIX Ταῦτα ὑμῖν, ὦ θειότατοι αὐτοκράτορες, τῆς Ἀριστοτέλους δόξης περί τε εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν κατ' ἐμὴν δόξαν τὰ κεφάλαια, καθ' ἣν δοξάζοντες εἴς τε θεοὺς εὐσεβήσομεν, τὰ μὲν εἰδότες αὐτοῖς χάριν ἀνθ' ὧν φθάνομεν ὑπ' αὐτῶν εὖ πεπονθότες, τὰ δὲ αἰτούμενοι παρ' αὐτῶν ὡς ὄντων καὶ τοῦ δοῦναι καὶ τοῦ μὴ κυρίων· ἐσόμεθα δὲ καὶ περὶ τοὺς ἡμῖν ὁμοίους ἄρχοντας εὐχάριστοι † ταῦτα πράττεται εἰς ἡμᾶς τε καὶ ἡ περὶ * * * ὑμῶν οἰκεία προαίρεσις πράττειν ὑμᾶς αἱρέσει τοῦ βελτίονος καὶ τοῦ περὶ τὴν κρίσιν αὐτοῦ φροντίζειν ποιοῦντας ἃ ποιεῖτε, ἀλλ' οὐ προκαταβεβλημένοις τισὶν αἰτίοις ἑπομένους, οἷς ἀναγκαῖον ἕπεσθαι ᾗ ἂν ἐκεῖνα ἄγῃ. ποιησόμεθα δὲ καὶ ἀρετῆς ἐπιμέλειαν ὡς ὄντες αὐτοὶ κύριοι τοῦ βελτίους ἢ χείρους γενέσθαι. τούτων γὰρ μόνων κύριός τις, ὧν καὶ τοῦ μὴ πράττειν αὐτὸς ἔχει τὴν ἐξουσίαν * * * καὶ τὰ ἄλλα δὲ ὅσα πράττομεν κατὰ τὸν βίον ὅτι μόνως εὐλόγως πράττειν ἂν δοκοῖμεν, εἰ κατὰ τὴν Ἀριστοτέλους δόξαν περὶ αὐτῶν ἀποδιδοίημεν τὰς αἰτίας, ⟨ἃς⟩ διὰ παντὸς ἐπειράθην ὑμῖν παραστῆσαι τοῦ λόγου.

---

1 τε] σε a^{2} 1. 2 ὅσοις ἄλλοις O 2 λόγοις O ἐπὶ πλέον] ἐπιπόλαιον Schwartz bene 3 ἀλλ' om. O 5 ὑμῖν HB (sed ῖν in lit. B): ὑμεῖς Va^{12}: μὲν ὑμεῖς K: ἡμῖν ES 6 δόξαντες O 8 pr. αὐτων V 9 καὶ του V κυρίων B^{2} Cas. Lond.: κυρίους Va^{12}: δοῦναι κυρίοις ES (sed κυρίων s. v. S) δὲ—ὁμοίους] δὲ περί τε ὑμᾶς καὶ περὶ τοὺς ὑμῖν ὁμοίους Cas. O ὑμῖν Lond. ὁμοίως E 10 οὐκ ἀχάριστοι τοιαῦτα πράττεται ὑφ' ὑμῶν εἰς ἡμᾶς καὶ ἡ περὶ ἡμῶν οἰκεία Cas. ταῦτα ⟨γὰρ⟩ O πράττοντας Lond. O ante ταῦτα B^{2} in mg.: νομίζοντες ἃ περὶ ἡμῶν τε καὶ τὴν ἡμετέραν πρό ποιεῖτε εἰς—ὑμῶν] εἰς ἡμᾶς ἃ ποιεῖ ὑμῶν Lond. O τε om. ES lacunam indicavi 11 ὑμᾶς] ἡμεῖς K: ἡμᾶς a^{2} αἵρεσις ES: αἱραίσει a^{1} alt. τοῦ] τῷ O αὐτῶν B^{2} 12 φροντίζειν sic V ποιοῦντες ES ποιεῖτε] ποιεῖται V^{1} (corr. v. c.) καταπροκαταβεβλημένοις VH 13 ἕπεσθαι γρ. ἄγεσθαι H: ἄγεσθαι ES 15 μόνον Cas. Casp. O ὧν O: ὧν libri τοῦ om. Casp. O αὐτὸς] αὐτὰ Lond. 16 lacunam indicavi ὅτι] οὕτω B^{2} 17 πράττειμεν ἂν a^{12} 17. 18 αὐτῆς a^{12} 18 ἃς add. HB^{2}ES δια V ὑμῖν (ὑ in lit.) V: ἡμῖν a^{12}

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΑΥΞΗΣΕΩΣ.

Ed. Ideler p. 589

I * * * πῶς δ' ἂν παραδέξαιτό τις τὸ ἐν τῇ τοιαύτῃ κράσει τῶν σωμάτων ἕκαστον τῶν κιρναμένων φυλάττειν δύνασθαι τὴν οἰκείαν ἐπιφάνειαν, ὡς ὁμοῦ μὲν μηδὲ τὸ τυχὸν αὐτοῦ μόριον εἶναί [τε] καθ' αὑτὸ κεχωρισμένον θατέρου, ὁμοῦ δὲ φυλάττειν ἕκαστον αὐτῶν τὴν ἐπιφάνειαν τὴν ἑαυτοῦ, ἣν εἶχε καὶ πρὸ τῆς κράσεως; τοῦτο γὰρ ὑπεραίρει καὶ τὰς ἐν τοῖς μύθοις παραδοξολογίας, ὃ τίθησι Χρύσιππος ὅσον ἐν τούτῳ τὸ δύνασθαι τὰ κεκραμένα χωρίζεσθαι πάλιν. τοῦ τε γὰρ λέγειν δύνασθαι χωρίζεσθαι τὰ κεκραμένα, ἀλλὰ καὶ τοῦ μηδ' ὅλως κιρνᾶσθαί τινα δύνασθαι λέγειν μακρῷ παραδοξότερον καὶ παρὰ τὰς ἁπάντων ἐννοίας τὸ λέγειν ὁμοῦ μὲν δι' ὅλων ἀλλήλων χωρεῖν τινα σώματα, ὡς μηδὲν αὐτῶν μόριον εἶναι καθ' αὑτό, ὁμοῦ δ' ἕκαστον αὐτῶν ὑπὸ τῆς οἰκείας ἐπιφανείας περιέχεσθαι, ὑφ' ἧς περιείχετο καὶ πρὸ τῆς μίξεως. τό τε οὖν σῶμα διὰ σώματος † οὐδεμιᾶς ἐλάττω διαφορὰν ἔχειν συμβέβηκε τῶν κατὰ φιλοσοφίαν δογμάτων καὶ τῶν περὶ μίξεώς τε καὶ κράσεως λόγων. οὐ γὰρ μόνον διηνέχθησαν πρὸς ἀλλήλους περὶ τοῦδε τοῦ δόγματος οἱ μίαν ὕλην ὑποκεῖσθαι πᾶσι τοῖς ἐν γενέσει σώμασιν λέγοντες πρὸς τοὺς ἐκ διωρισμένων τε καὶ κεχωρισμένων σωμάτων ποιοῦντας αὐτήν (ὧν οἱ μὲν ἄτομα σώματα ἄπειρα τῷ πλήθει, κατὰ σχῆμα καὶ μέγεθος μόνον τὴν πρὸς ἄλληλα διαφορὰν ἔχοντα, τὰς ἀρχὰς | καὶ τὰ στοιχεῖά φασιν εἶναι, καὶ τῇ τούτων συνθέσει 590 τε καὶ ποιᾷ περιπλοκῇ ἔτι τε τάξει καὶ θέσει τἆλλα γίνεσθαι· ἐφ' ἧς δόξης πρῶτοι μὲν Λεύκιππός τε καὶ Δημόκριτος γενέσθαι δοκοῦσιν, ὕστεροι δὲ Ἐπίκουρός τε καὶ οἱ τὴν αὐτὴν τούτῳ τραπέντες· οἱ δὲ αὐτῶν,

---

1 περὶ κράσεως καὶ μίξεως B: περὶ μίξεως Ra   4 μηδὲ scripsi: μήτε libri   τε circumscripsi   7 ὅσον] fortasse ὡς ὄν (ὡς ὄντος ἐν τούτῳ τοῦ Apelt)   τό] τῷ a   9 ἀλλά] ἀλλ' ἢ Ra   δύνασθαι Ra: δύναται (υνατ ex corr.) rel.   10 ἐνοίας Ra   ante τὸ add. ἢ man. rec. Ra   11 εἶναι] ᾗ Ra   14 οὐδεμιᾶς] μηδεμιᾶς Ra   15 λόγον A[1] (corr. A[2])   16 οἱ] οὐ Ra   17 γενέσει a: γενέσι codd.   τε om. a   18 ποιοῦντες Ra   19 post μέγεθος 2 litt. erasae A   21 ποιά a   γίνεσθαι Ra: inter τἆλλα et ἐφ' 7—8 litterae evanuerunt in A: fenestra in B: om. CPS   23 τούτῳ τραπέντες] τούτων ἐπέντες Ra: τούτων ἑπόντες δόξαν Ideler

οὐκ ἀτόμους, ὁμοιομερῆ δέ τινά φασιν ἄπειρα εἶναι σώματα, ἐξ ὧν ἡ τῶν αἰσθητῶν γένεσις σωμάτων γινομένη κατὰ σύγκρισιν καὶ σύνθεσιν, ἧς δόξης Ἀναξαγόρας τε καὶ Ἀρχέλαος δοκοῦσι γεγονέναι· ἤδη δέ τινες καὶ ἀμερῆ τινα σώματα τὰς ἀρχὰς καὶ στοιχεῖα τῶν πάντων προήχθησαν εἰπεῖν· ἔστι δέ τις δόξα καὶ ἐξ ἐπιπέδων τὴν γένεσιν ποιοῦσα τῶν σωμάτων καὶ ἐξ ἀριθμῶν τις ἄλλη), οὐ δὴ πρὸς ἀλλήλους μόνον, ὡς ἔφην, οὗτοι διηνέχθησαν κατὰ τὴν πρὸς τὰς ἀρχὰς διαφόρους οὔσας ἀκολουθίαν καὶ τὰς κράσεις διαφόρως γίνεσθαι λέγοντες, ἀλλὰ καὶ αὐτῶν τῶν ἡνωμένην τὴν ὕλην λεγόντων καὶ πάλιν αὖ τῶν διωρισμένην τε καὶ κεχωρισμένην ἐστί τις πρὸς ἀλλήλους διαφωνία. αἰτία δ' αὐτοῖς τῆς διαστάσεως τῆς τοσῆσδε ἡ χαλεπότης τοῦ δόγματος. ⟨τῷ⟩ μὲν γὰρ ἐναργὲς εἶναι κιρνᾶσθαί | 591 τινα τῶν σωμάτων πρὸς ἄλληλα πάντες σχεδὸν οἱ περὶ φύσεώς τε καὶ τῶν γινομένων φύσει φιλοσοφοῦντες ἦλθον ἐπὶ τὸ ζητεῖν τὴν αἰτίαν αὐτοῦ, τῷ δ' εἶναι χαλεπήν τε αὐτοῦ τὴν εὕρεσιν καὶ ἑκάστῃ τῶν ἀποδιδομένων αἰτιῶν οἰκείας τινὰς ἕπεσθαι δυσχερείας ἄλλος ἄλλῃ ἀπετράπετο.

II Διὸ οὐ χεῖρον καὶ ἡμᾶς περὶ αὐτῆς διαλαβεῖν καὶ μηνῦσαι τὰ δοκοῦντα ἡμῖν εὐλογώτερα λέγεσθαι τῶν περὶ κράσεως εἰρημένων τοῦ δοκεῖν οὕτως ἔχειν παρεχόμενους τὰς αἰτίας. Δημόκριτος μὲν οὖν ἡγούμενος τὴν λεγομένην κρᾶσιν γίνεσθαι κατὰ παράθεσιν σωμάτων, διαιρουμένων τῶν κιρναμένων εἰς μικρὰ καὶ τῇ παρ' ἄλληλα θέσει τὴν μῖξιν ποιουμένων, οὐδὲ τὴν ἀρχήν φησιν εἶναι πρὸς ἀλήθειάν τινα κεκραμένα, ἀλλ' εἶναι τὴν δοκοῦσαν κρᾶσιν παράθεσιν σωμάτων ἀλλήλοις κατὰ μικρὰ σωζόντων αὐτῶν ἑκάστου τὴν οἰκείαν φύσιν, ἣν εἶχον καὶ πρὸ τῆς μίξεως· δοκεῖν δ' αὐτὰ κεκρᾶσθαι τῷ τὴν αἴσθησιν διὰ μικρότητα τῶν παρακειμένων μηδενὸς αὐτῶν αἰσθάνεσθαι δύνασθαι μόνου. φιλαλήθως τε καὶ φιλοσόφως οὐκ ὤκνησεν εἰπεῖν τὸ ἑπόμενον τοῖς οὕτω τὰς κράσεις λέγουσι γίνεσθαι. παραθέσει δὲ τοιαύτῃ τὰς κράσεις ἀνάπτουσι καὶ οἱ τὰς ὁμοιομερείας ὕλην εἶναι τῶν γινομένων λέγοντες. Ἐπίκουρος δὲ φεύγειν βουλόμενος τὸ ὑπὸ Δημοκρίτου ῥηθὲν ἕπεσθαι [βούλεται] τοῖς παραθέσει τῶν κιρναμένων τὴν κρᾶσιν γίνεσθαι λέγουσι παραθέσει μέν τινων σωμάτων καὶ αὐτὸς τὰς κράσεις γίνεσθαι λέγει, ἀλλ' οὐκ αὐτῶν τῶν μιγνυμένων σωμάτων σωζο-

---

1 οὐκ ἀτόμους Diels Apelt: οὐ κατ' ἄλλους libri 2 post σύνθεσιν fenestra 7 litt. in fine versus A fort. ⟨ἐφ'⟩ ἧς 9 αὖ τῶν Diels: αὐτῶν libri διωρισμένη .. κεχωρισμένη Ra 10 τοσῆσδε] τοιῆσδε Ra 11 ⟨τῷ⟩ μὲν scripsi: μὲν ARa: ὅτι μὲν BPS: ἐπεὶ μὲν Ideler εἶναι] ἐστιν εἶναι A²a 14 χαλεπήν τε Diels: χαλεπὴν (χαλεπὸν SP) δὲ ABSCP: χαλεπὴν Ra ἑκάστη A 15 ante ἄλλος C del. δὲ ἄλλος ἄλλη ABCP: ἄλλος S: ἄλλη ἄλλην Ra 15. 16 ἀπετράπετο] ἐράπτετο Ra 16 διαλαβεῖν] διαλαχεῖν Ra 17 ⟨καὶ⟩ τοῦ Ideler 18 παρεχομένους] παρεχόμενα BRa 19. 20 κατὰ — κιρναμένων om. PS 19 τῶν διαιρουμένων Ra τῶν ABC: καὶ Ra 24 παρακειμένων] περικειμένων Ra 25 δύνασθαι om. a 26 ὤκνησεν Schwartz: ὤκνησαν libri 27 παραθέσει δὲ τοιαύτῃ A²Ra: παράθεσιν δὲ τοιαύτην A¹BCPS κρίσεις A¹ καὶ οἱ ACPS: καὶ ὁ B: οἱ Ra 27. 28 εἶναι ὕλην Ra 28 βουλόμενος om. BCPS 29 βούλεται om. A¹: βουλῆς CP: fortasse δὲ 31 λέγει A¹: λέγων rel.

μένων ἐν τῇ διαιρέσει, ἀλλ' ἀναλυομένων εἰς τὰ στοιχεῖα καὶ τὰς ἀτόμους, ἐξ ὧν ἕκαστον αὐτῶν συγκείμενόν πως τὸ μὲν οἶνος ἦν, τὸ δὲ ὕδωρ, τὸ δὲ μέλι, τὸ δὲ ἄλλο τι, ἔπειτα ποιᾷ τούτων τῶν σωμάτων, ἐξ ὧν ἦν τὰ κιρνάμενα πρὸς ἄλληλα, συνθέσει γεννώντων τὸ κεκραμένον | σῶμα, 592 συμμιγνυμένων ⟨οὐχ⟩ ὕδατός τε καὶ οἴνου, ἀλλὰ τῶν ὑδροποιῶν ἀτόμων, ὡς ἂν εἴποι τις, ταῖς οἰνοποιοῖς, φθορᾷ τε καὶ γενέσει τινῶν τὴν κρᾶσιν γίνεσθαι λέγων· ⟨ἡ⟩ γὰρ εἰς τὰ στοιχεῖα ἀνάλυσις ἑκάστου καὶ ἡ ἐκ τῶν στοιχείων σύνθεσις αὐτῶν ⟨τὸ μὲν γένεσις⟩, τὸ δὲ φθορά. τούτων μὲν οὖν οὔτε οἱ τὴν παράθεσιν αἰτιώμενοι τῆς κράσεως οὐθ' οἱ τὴν εἰς τὰ στοιχεῖα ἀνάλυσιν τὴν περὶ τῆς κράσεως σώζουσι πρόληψιν, εἴ γε ἡ μὲν κρᾶσις εἶναι δοκεῖ ἐν ἑνώσει τῶν κεκραμένων, ὡς μηδὲν μόριον τοῦ κράματος ἄμικτον εἶναί τινος τῶν σωμάτων, ἐξ ὧν τὸ κεκραμένον, οὔτε δὲ ἡ παράθεσις ἕνωσις, οὔτε ἡ φθορά τε καὶ ἀναστοιχείωσις μῖξίς ἐστι· ἡ γὰρ μῖξις σωζομένων γενέσθαι δοκεῖ. οὐ γὰρ αὐτὰ μιγνύουσιν οἱ τοῦτον τὸν τρόπον τὴν κρᾶσιν γίνεσθαι λέγοντες, ἀλλ' ἐξ ὧν ἐστι ταῦτα ἐκεῖνα μιγνύουσιν. εἰ δὲ ἐκ τῶν αὐτῶν στοιχείων οἷόν τε καὶ ὕδωρ καὶ οἶνον γενέσθαι τῇ ποιᾷ συνθέσει τε καὶ περιπλοκῇ τῆς τῶν γινομένων ἐξ αὐτῶν διαφορᾶς γεννωμένης, οὐδ' ὅλως ἂν ἔτι κρᾶσις τούτων γίνοιτο τῷ τῇ ἀναστοιχειώσει φθείρεσθαι ταῦτα, καθ' ἃ ἡ κρᾶσις τῶν κιρναμένων γίνεται. γίνεται μὲν γὰρ ἡ κρᾶσις δια|φερόντων τινῶν κατὰ ποιότητα, ἀναιρεῖται δὲ ἡ κατὰ 593 τοῦτο διαφορὰ τοῖς ἔχουσιν αὐτὴν ἐν τῇ τῶν αὐτῶν ποιᾷ συνθέσει τῆς συνθέσεως αὐτῶν ἀναιρεθείσης. † ὃ ἴσως δὲ καὶ τοῖς ἐξ ἐπιπέδων γεννῶσι τὰ σώματα ἡ κρᾶσις γίνεται κατὰ ἀναστοιχείωσίν τινα. εἰ μὲν οὖν ἦν ἔχουσά τι ἦδε ἡ περὶ τῶν ἀρχῶν δόξα εὔλογον, ἴσως ἐπὶ πλέον ἔδει τὴν ἐξέτασιν ποιεῖσθαι τῆς τοῦτον τὸν τρόπον γίνεσθαι λεγομένης κράσεως, ἐλεγχομένης δὲ ἐκείνης περιττὸν τὸ ζητεῖν ἔτι, εἰ κατὰ παράθεσιν μερῶν ἢ μῖξιν ἀτόμων ἢ ἐπιπέδων ἢ ἀμερῶν τινων σωμάτων ἡ κρᾶσις γίνεται. διὸ περὶ μὲν τῆς τῶν τοιαύταις ἀρχαῖς χρωμένων διαφωνίας τε πρὸς ἀλλήλους καὶ δόξης περὶ κράσεως οὐδὲν δεῖ μηκύνειν τὸν λόγον. οὐ γὰρ ἐπίδειξις ἡμῖν ἱστορίας καὶ πολλῆς γνώσεως τὸ προκείμενον, ἀλλ' ἐξέτασίς τε καὶ ζήτησις τοῦ, πῶς ἄν τις λέγων γίνεσθαι τὰς κράσεις τῶν σωμάτων συμφώνως λέγοι ταῖς περὶ αὐτῶν αἰσθήσεσί τε καὶ κοιναῖς προσλήψεσι.

---

1 εἰς] εἰ a: ἐς R 3 ἔπειτα ποιᾷ Usener, *cf. Epicurea p. 207,13*: ἐπὶ τὰ ποιὰ libri 4 σῶμα ⟨οὐ⟩ Ideler 5 συμμιγνυμένων ⟨οὐχ⟩ Usener τε s. v. A 6 φθορᾷ τε Usener: φθοραῖς libri 7 ἡ add. Usener ἀνάλυσις Usener: ἀναλύσεις libri ἡ] ἐστιν Ideler 8 τὸ μὲν γένεσις add. Usener τὸ del. Ideler φθορά Usener: φθεῖρα ACRa: φθεῖραι BP: φθεῖρας S 9 οὐθ' οἱ Ideler: οὗτοι libri 10 ἀνάλυσιν Ideler: ἀνά libri εἴ γε] εἴτε Ra 11 κράμματος Ra 12 δὲ scripsi: δὴ libri 13 ἕνωσις a ἐστι] ἔτι ARa 15 ἐκεῖνα om. Ideler 16 pr. καὶ om. Ideler 17 ποιὰ a διαφορᾶς] διαφθορᾶς Ra 18 γεννωμένης] γενομένης Ideler 19 pr. γίνεται om. B 22 ὃ ἴσως] ὁμοίως Diels bene: ἴσως Ideler 26 ἐκείνης] ης periit in A 28 περὶ] παρὰ BCPS μὲν οὖν τῆς Ra 29 fortasse δόξης ⟨τῆς⟩ μηκύνειν] μηνύειν a τόν] τὸ AB 30 πολλῆς SRa: πολλῶν ABCP 31 λέγων] λέγειν Ra κράσεις] σεις evanuit in A 32 κοιναῖς om. Ra

III Μετέλθωμεν δὲ ἐπὶ τοὺς κοινῶς ἡνῶσθαι τὴν ὕλην λέγοντας καὶ μίαν πᾶσι τοῖς γινομένοις καὶ τὴν αὐτὴν ὑποθέντας, ὧν καὶ αὐτῶν παραιτησάμενοι τὰς ἐπιπολαιότερόν τε καὶ προχειρότερον εἰρημένας τὰς μάλιστα δοκούσας ἔχεσθαί τινος λόγου αὐτὰς ἐξετάσωμεν προχειρισάμενοι. τῶν δὴ ἡνῶσθαι τὴν ὕλην λεγόντων δοκοῦσι μάλιστά τε καὶ περὶ κράσεως οἱ ἀπὸ τῆς Στοᾶς περὶ κράσεως διαλαμβάνειν. οὔσης δὲ καὶ ἐν τούτοις πολυφωνίας (ἄλλοι γὰρ ἄλλως αὐτῶν τὰς κράσεις γίνεσθαι λέγουσιν), ἡ μάλιστα δοκοῦσα δόξα εὐδοκιμεῖν παρ' αὐτοῖς περὶ κράσεώς ἐστιν ἡ ὑπὸ Χρυσίππου λεγομένη. τῶν γὰρ μετ' αὐτὸν οἱ μὲν Χρυσίππῳ συμφέρονται, οἱ δέ τινες αὐτῶν τῆς Ἀριστοτέλους δόξης ὕστερον ἀκοῦσαι δυνηθέντες πολλὰ τῶν εἰρημένων ὑπ' ἐκείνου περὶ κράσεως καὶ αὐτοὶ λέγουσιν· ὧν εἷς ἐστι καὶ Σωσιγένης, ἑταῖρος | Ἀντιπάτρου. οἷς οὐ δυνάμενοι πάντῃ συμφέρεσθαι 594
διὰ τὴν ἐν τοῖς ἄλλοις διαφωνίαν ἐν πολλοῖς αὑτοῖς λέγοντες εὑρίσκονται μαχόμενα. ἔστι δὲ ἡ Χρυσίππου δόξα περὶ κράσεως ἥδε· ἡνῶσθαι μὲν ὑποτίθεται τὴν σύμπασαν οὐσίαν, πνεύματός τινος διὰ πάσης αὐτῆς διήκοντος, ὑφ' οὗ συνέχεταί τε καὶ συμμένει καὶ σύμπαθές ἐστιν αὑτῷ τὸ πᾶν, τῶν δὲ μιγνυμένων ἐν αὐτῇ σωμάτων τὰς μὲν παραθέσει μίξεις γίνεσθαι λέγει, δύο τινῶν ἢ καὶ πλειόνων οὐσιῶν εἰς ταὐτὸν συντεθειμένων καὶ παρατιθεμένων ἀλλήλαις, ὥς φησιν, καθ' ἁρμήν, σωζού|σης ἑκάστης 595
αὐτῶν ἐν τῇ τοιαύτῃ παραθέσει κατὰ τὴν περιγραφὴν τὴν οἰκείαν οὐσίαν τε καὶ ποιότητα, ὡς ἐπὶ κυάμων φέρε εἰπεῖν καὶ πυρῶν ἐν τῇ παρ' ἀλλήλους θέσει γίνεται, τὰς δέ τινας συγχύσει δι' ὅλων τῶν τε οὐσιῶν αὐτῶν καὶ τῶν ἐν αὐταῖς ποιοτήτων συμφθειρομένων ἀλλήλαις, ὡς γίνεσθαί φησιν ἐπὶ τῶν ἰατρικῶν φαρμάκων κατὰ σύμφθαρσιν τῶν μιγνυμένων, ἄλλου τινὸς ἐξ αὐτῶν γεννωμένου σώματος· τὰς δέ τινας γίνεσθαι μίξεις λέγει δι' ὅλων τινῶν οὐσιῶν τε καὶ τῶν τούτων ποιοτήτων ἀντιπαρεκτεινομένων ἀλλήλαις μετὰ τοῦ τὰς ἐξ ἀρχῆς οὐσίας τε καὶ ποιότητας σώζειν ἐν τῇ μίξει τῇ τοιᾷδε, ἥντινα τῶν μίξεων κρᾶσιν ἰδίως εἶναι λέγει. τὴν γὰρ δύο ἢ καὶ πλειόνων τινῶν σωμάτων ὅλων δι' ὅλων ἀντιπαρέκτασιν ἀλλήλοις οὕτως, ὡς σώζειν ἕκαστον αὐτῶν ἐν τῇ μίξει τῇ τοιαύτῃ τήν τε οἰκείαν οὐσίαν καὶ τὰς ἐν αὐτῇ ποιότητας, λέγει κρᾶσιν εἶναι μόνην τῶν μίξεων. εἶναι γὰρ ἴδιον τῶν κεκραμένων τὸ δύνασθαι χωρίζεσθαι πάλιν ἀπ' ἀλλή-

2 ὑποθέντας Ideler: ὑποθέτας ABRC?S?a: ὑποθέσεως P   3 ἐπὶ πολαιότερον a   προχειρότερον Ra   4 αὐτὰς] δόξας Diels   5 περὶ κράσεως] fortasse πρὸ πάντων   6 περὶ κράσεως del. Ideler   9 αὐτὸν] αὐτῶν a   11 ἐκείνου] κείνου ex corr. ut videtur A   εἷς A: εἰς P   14 μαχόμενα] μαχόμενοι R(?)a, cf. Ind. s. v. Neutrum   16 οὗ s. v. A   συνέχεται] συνάγεται Ra   16. 17 τὸ πᾶν, τῶν Apelt: τὸ πάντων A^1Ra: τῶν πάντων A^2BCPS   17 παραθέσει μίξεις Ideler: παραθέσεις μίξει libri   18 ταὐτὸν] ταυτὸ Ra   19 ἁρμήν scripsi, cf. p. 219, 3: ὁρμὴν ABCPS: ὁρμῆς Ra   20 περιγραφὴν Ra: περιγραμμὴν rel.   21 φέρε corr. ex φέρειν A   22 γίνεται scripsi: γίνεσθαι libri (θέσει· γίνεσθαι τὰς Apelt)   συγχύσει Ideler: συγχύσεις ABCRSa: συγχύσεως P   23 τῶν om. Ra   26 τοιούτων A^1 28 τοιάδε a   δύο] διὸ a   30 τε s. v. A   31 λέγειν A^1 32 τὸ] τῷ a

λων, ὃ μόνως γίνεται τῷ σώζειν ἐν τῇ μίξει τὰ κεκραμένα τὰς αὐτῶν φύσεις. τὸ δὲ ταύτας τὰς διαφορὰς εἶναι τῆς μίξεως πειρᾶται πιστοῦσθαι διὰ τῶν κοινῶν ἐννοιῶν, μάλιστα δὲ κριτήρια τῆς ἀληθείας φησὶν ἡμᾶς παρὰ τῆς φύσεως λαβόντας. ἄλλην γοῦν φαντασίαν ἔχειν ἡμᾶς τῶν καθ' ἁρμὴν συγκειμένων, καὶ ἄλλην τῶν συγκεχυμένων τε καὶ συνεφθαρμένων, καὶ ἄλλην τῶν κεκραμένων τε καὶ ἀλλήλοις δι' ὅλων ἀντιπαρεκτεινομένων οὕτως, ὡς σώζειν ἕκαστον αὐτῶν τὴν οἰκείαν φύσιν. ἣν διαφορὰν φαντασιῶν οὐκ ἂν εἴχομεν, εἰ πάντα τὰ ὁπωσοῦν μιγνύμενα παρέκειτο ἀλλήλοις καθ' ἁρμήν. τὴν δὲ τοιαύτην ἀντιπαρέκτασιν τῶν κιρναμένων ὑπολαμβάνει γίνεσθαι χωρούντων δι' ἀλλήλων τῶν κιρναμένων σωμάτων, ὡς μηδὲν μόριον ἐν αὐτοῖς εἶναι μὴ μετέχον πάντων τῶν ἐν τῷ τοιούτῳ κεκραμένῳ μίγματι. οὐκέτι γὰρ ἄν, εἰ μὴ τοῦτο εἴη, κρᾶσιν, ἀλλὰ παράθεσιν τὸ γινόμενον εἶναι.

IV Τοῦ δὲ τοῦτο οἴεσθαι γίνεσθαι πίστεις φέρουσιν οἱ προϊστάμενοι τῆσδε τῆς δόξης τό τε πολλὰ τῶν σωμάτων σώζειν τὰς ἑαυτῶν ποιότητας ἐπί τ' ἐλαττόνων ἐναργῶν ὄγκων καὶ ἐπὶ μειζόνων ὄντα (ὡς ὁρᾶν ἔστιν ἐπὶ τοῦ λιβανωτοῦ, ὃς ἐν τῷ θυμιᾶσθαι λεπτυνόμενος ἐπὶ πλεῖστον τὴν αὑτοῦ φυλάσσει ποιότητα), ἔτι τε τὸ πολλὰ εἶναι, ἃ καθ' 596 ἑαυτὰ μὴ οἷά τε ὄντα ἐπί τι ἐλθεῖν μέγεθος ὑπ' ἄλλων βοηθούμενα ἐπ' αὐτὸ πρόεισι. τὸν γοῦν χρυσὸν ὑπό τινων μιγνυμένων φαρμάκων ἐπὶ πλεῖστον χεῖσθαί τε καὶ λεπτύνεσθαι, ἐφ' ὅσον καθ' αὑτὸν ἐλαυνόμενος οὐκ ἐδύνατο. καὶ ἡμεῖς δέ, ἃ καθ' αὑτοὺς ὄντες οὐχ ἐσμὲν οἷοί τε ἐνεργεῖν, σὺν ἄλλοις ἐνεργοῦμεν. τούς τε γὰρ ποταμοὺς διαβαίνομεν ἀλλήλων ἐφαπτόμενοι, οὓς οὐχ οἷοί τέ ἐσμεν διαβαίνειν καθ' αὑτούς. καὶ βάρη τινὰ φέρομεν μετ' ἄλλων, ὧν τὸ ἐπιβάλλον ἡμῖν μέρος μόνοι γενόμενοι φέρειν οὐ δυνάμεθα. καὶ ἄμπελοι δὲ καθ' αὑτὰς ἵστασθαι μὴ δυνάμεναι ἀνίστανται ἀλλήλαις ἐμπλεκόμεναι. ὧν οὕτως ἐχόντων οὐδέν φασι θαυμαστὸν τὸ καὶ σώματά τινα βοηθούμενα ὑπ' ἀλλήλων οὕτως ἀλλήλοις ἑνοῦσθαι δι' ὅλων, ὡς αὐτὰ σωζόμενα μετὰ τῶν οἰκείων ποιοτήτων ἀντιπαρεκτείνεσθαι ἀλλήλοις δι' ὅλων ὅλα, κἂν ᾖ τινα ἐλάττω τὸν ὄγκον καὶ μὴ δυνάμενα καθ' αὑτὰ ἐπὶ τοσοῦτον χεῖσθαί τε καὶ σώζειν τὰς οἰκείας ποιότητας. οὕτω γὰρ καὶ τὸν κύαθον τοῦ οἴνου κιρνᾶσθαι τῷ ὕδατι τῷ πολλῷ βοηθούμενον ὑπ' αὐτοῦ εἰς τὴν ἐπὶ τοσοῦτον ἔκτασιν. τοῦ δὲ τοῦθ' οὕτως ἔχειν ὡς ἐναργέσι χρῶνται μαρτυρίοις τῷ τε τὴν ψυχὴν ἰδίαν ὑπόστασιν ἔχουσαν, ὥσπερ καὶ τὸ δεχόμενον αὐτὴν σῶμα, δι' ὅλου τοῦ σώματος διήκειν ἐν τῇ μίξει τῇ πρὸς αὐτὸ σώζουσαν τὴν οἰκείαν οὐσίαν (οὐδὲν γὰρ ψυχῆς ἄμοιρον τοῦ τὴν ψυχὴν ἔχοντος σώματος), ὁμοίως δὲ ἔχειν καὶ τὴν τῶν φυτῶν φύσιν, ἀλλὰ καὶ τὴν ἕξιν ἐν τοῖς συνεχομένοις

---

1 γίνεται A²: γίνεσθαι BA¹CPS: γίνεσθαι τάττεται Ra τῷ A²Ra: τὸ A¹BPS 2 τὰς om. Ra 4 λαβόντας] fortasse λαβεῖν ταύτας τῶν om. Ra 5 ἁρμὴν scripsi: ὁρμὴν libri 6 ἀλλήλοις Apelt: ἀλλήλους libri 9 ἁρμὴν scripsi: ὁρμὴν libri 11 τῷ] αὐτῷ Ra κεκραμένῳ om. Ra 18 τε] δὲ Ideler 19 τὸν SR Ideler: τὸ ABCPa 24 γενόμενοι] γινόμενοι Ideler 25 δὲ om. Ra 26 ἀλλήλαις om. R? Ideler 33 τοῦθ'] τόσοθ Ra 35 αὐτὸ] αὐτὴν Ideler οὐσίαν] φύσιν Ideler

ὑπὸ ⟨τῆς⟩ ἕξεως. ἀλλὰ καὶ τὸ πῦρ ὅλον δι' ὅλου χωρεῖν τοῦ σιδήρου λέγουσι, σώζοντος αὐτῶν ἑκατέρου τὴν οἰκείαν οὐσίαν. καὶ τῶν στοιχείων δέ φασι τῶν τεσσάρων τὰ δύο, τό τε πῦρ καὶ τὸν ἀέρα, λεπτομερῆ τε καὶ κοῦφα καὶ εὔτονα ὄντα, διὰ τῶν δύο, γῆς τε καὶ ὕδατος, παχυμερῶν καὶ βαρέων καὶ ἀτόνων ὄντων διαπεφοιτηκέναι ὅλα δι' ὅλων, σώζοντα τὴν οἰκείαν φύσιν καὶ συνέχειαν αὐτά τε καὶ ἐκεῖνα. δηλητήριά τε τὰ φθείροντα καὶ τὰς ὀσμάς, ὅσαι τοιαῦται, ἡγοῦνται κιρνᾶσθαι τοῖς ὑπ' αὐτῶν πάσχουσιν, ὅλα δι' ὅλων παρατιθέμενα. καὶ τὸ φῶς δὲ τῷ ἀέρι ὁ Χρύσιππος κιρνᾶσθαι | λέγει. καὶ αὕτη μὲν ἡ περὶ κράσεως δόξα Χρυσίππου 597
V τε καὶ τῶν κατ' αὐτὸν φιλοσοφούντων. Θαυμάσαι δ' ἄν τις αὐτῶν, πῶς ταῖς κοιναῖς ἐννοίαις δεῖν χρῆσθαι λέγοντες πρὸς τὰς τῶν τιθεμένων ἀποδείξεις, ὡς οὔσαις φυσικοῖς τῆς ἀληθείας κριτηρίοις, οὐ πάσαις μᾶλλον ἢ ταύταις χρῶνται πρὸς τὰς θέσεις τῶν οἰκείων δογμάτων. τὰ γοῦν περὶ κράσεως ὑπ' αὐτῶν λεγόμενα οὐ μόνον οὐ προσχρῆται ταῖς φυσικαῖς ἐννοίαις, ἀλλὰ καὶ πλεῖστον ὅσον ἀποδεῖ. τό τε γὰρ σῶμα διὰ σώματος χωρεῖν ὅλον ὅλῳ παρεκτεινόμενον οὐ μόνον ⟨οὐ⟩ προσπίπτει κατὰ τὰς κοινὰς ἐννοίας, ἀλλὰ καὶ ἀδύνατον εἶναι προείληπται. φυσικὴ γὰρ ἔννοια τὸ τὸ πλῆρες μηκέτ' ἐν αὑτῷ δύνασθαι δέχεσθαί τι. μὴ γὰρ ἔτι πλῆρες εἶναι δύνασθαι τὸ χώραν ἔχον ἐν αὑτῷ δεκτικὴν ὁμοίου τινός, † ὤφθησαν ἔχειν δεῖ ἣν φυσικήν τε καὶ κοινὴν πρόληψιν ἤδη δοκεῖ τισιν εὔλογον, εἶναί τι τῶν σωμάτων δεκτικόν, ὃ καλοῦμεν τόπον. πῶς γὰρ ἄν τις μὴ φωνὰς κενὰς βουλόμενος λέγειν ἐπινοήσαι σῶμά τι πλῆρες αὑτοῦ καὶ μηδὲν ἔχον ἐν αὑτῷ κενὸν διάστημα, δεχόμενον ἐν αὑτῷ ἄλλο σῶμα ὁμοίως πλῆρες αὑτοῦ; εἰ μὲν γὰρ διὰ πόρων τινῶν χωρεῖν αὐτὰ δι' ἀλλήλων λέγει, οὐ κενοὺς ἐρεῖ τοὺς πόρους τοὺς δεχομένους τὸ σῶμα; ἀλλ' οὕτω ἐν τῷ σώματι κενά. εἰ δὲ πλήρεις ἄλλου τινὸς σώματος, εἰ μὲν ὑπεξιόντος τούτου καὶ παραχωροῦντος τῆς χώρας τῷ ἐπεισκρινομένῳ σώματι, οὐδ' οὕτως ἔσται τὸ σῶμα, καθὸ σῶμα, δεχόμενόν τι σῶμα ἐν αὑτῷ, εἴ γε ὑποχωρεῖ θάτερον θατέρῳ, εἰ δὲ ὑπομένοντος, πῶς οἷόν τε τοὺς πεπληρωμένους πόρους σώματος ἐν αὑτοῖς ἄλλο τι δέχεσθαι σῶμα; καὶ γὰρ διὰ τῆς αἰσθήσεως γνώριμον, ὅτι μηδὲ τὰ λεπτότατα τοῦ σώματος ἀγγεῖα πεπληρωμένα οἷά τέ ἐστι δέξασθαι σῶμα ἐν αὑτοῖς τῷ κεκωλῦσθαι καὶ ἐπιπεφράχθαι τὰς τῆς μεταστάσεως | αὐτῶν ὁδούς. ἔτι δ' εἰ διὰ πεπλη- 598
ρωμένων τῶν πόρων ἡ πάροδος τοῖς σώμασι, περιττόν ἐστι τὸ πόρους εἰ-

---

1 τῆς add. Ideler R? 5 ἀτόνων Ra: τόνων (α suprascr.) A: τόνων BCPS 6. 7 φθείροντα] φάρμακα Ideler 12. 13 οὐ πάσαις μᾶλλον ἢ ταύταις scripsi: οὔσαις μᾶλλον ἢ ταύταις ABCPS: μᾶλλον ἢ τούταις R: μᾶλλον ἢ τούτοις a 15 ἀποδεῖ Apelt: ἅπαν δεῖ libri 16 οὐ add. Apelt 17 φυσικῇ ABPa τὸ] τῷ Ra: om. PS 19. 20 ὤφθησαν—ἣν] σαφήνειαν ἔχει, δι' ἣν Diels: ὀφθαλμοῖς ἔστιν ἰδεῖν. ἣν Ideler: ὤφθησαν ἔχειν. δι' ἣν Apelt 20 δοκεῖν BCPS 21 τι Apelt: τὸ libri δε|χόμενον ἐν αὑτῷ ἄλλο σῶμα|κτικόν R ὃ scripsi: ὃν libri 24. 25 λέγει] ἔχει Ra: ἐρεῖ Apelt 25 οὐ scripsi: ἢ libri ἀλλ' οὕτω scripsi: ἀλλὰ τὰ (τῶ S) libri: ἢ ἄλλα τινὰ Ideler 26 πλήρεις Apelt: πλῆρες libri 28. 29 εἴ γε Apelt: εἴτε libri 31 λεπτότατα τοῦ] λεπτοτάτου R²a 33 μετὰ στάσεως A ἔτι δ' εἰ Apelt: ὅτι δεῖ libri 34 ἔτι A

ναι λέγειν. δέχοιντο γὰρ ἂν ἄλλα σώματα καὶ χωρὶς τῶν πόρων. καθόλου γὰρ ἡ διὰ τῶν πόρων πάροδος οὐ κρᾶσίς ἐστιν, οἵαν ἀξιοῦσιν, ἀλλὰ παράθεσις, ὡς αὐτοὶ λέγουσι κατὰ ἁρμήν, εἰ μή τις πᾶν τὸ σῶμα πόρους ποιοίη. οὕτως γὰρ μόνως ἔσται τὸ διὰ τῶν πόρων διερχόμενον διὰ παντὸς ἐρχόμενον τοῦ σώματος, εἰ πᾶν εἴη πόρος· ἀλλὰ μὴν ἄτοπον τοῦτο. τινὸς γὰρ ὁ πόρος (καὶ ἄλλο τὸ ἔχον καὶ τὸ ἐχόμενον), εἴ γε ὁ πόρος διάστημά τί ἐστι κενὸν τοῦ ἔχοντος τοὺς πόρους σώματος. ὥστ' εἰ πᾶν εἴη * * *, οὕτως δ' ἂν οὐκ ἂν εἴη τι· μὴ ὂν δ' οὔτ' ἂν κιρνῷτο ἔτι οὔτ' ἂν πόρους

VI ⟨ἔχοι⟩. Εἰ δ' οὕτω μὲν οὔ φασι τὰ σώματα ἄλληλα δέχεσθαι, καθὸ δὲ μεστά ἐστι αὐτά, χωρεῖν δι' ἀλλήλων αὐτά φασιν, πρῶτον μὲν ἐπιζητῆσαι τις, τί δήποτε οὐ τὸ τυχὸν σῶμα τὸ τυχὸν πάντῃ συναυξητικὸν τοῦ ὁμοίου. τὰ γὰρ ποσὰ [τὰ] κατὰ τὴν πρὸς ἄλληλα σύνθεσιν τὴν τοιαύτην τὸ ἐξ αὐτῶν μεῖζον ἑκατέρου ποιεῖ τῶν συγκειμένων. γραμμαί τε γὰρ κατὰ σημεῖον ἀλλήλαις συντεθεῖσαι τὸ μῆκος αὔξουσιν (οὕτως γὰρ συντιθέμεναι ἐξ ἀνάγκης ἕξουσί τι παρὰ τὴν ἁφήν), ἐπίπεδά τε τὸ αὐτὸ ποιεῖ, ἂν κατὰ τὴν γραμμὴν συντεθῇ, τὸ σῶμα, τὸ τριχῇ τε καὶ πάντῃ διεστάναι, καθ' ὃ ἐὰν ἄλλῳ ὁμοίως αὐτῷ διεστῶτι συντεθῇ, ἐξ ἀνάγκης συναύξει τοῦτο. εἰ δὴ τοῦτο μὲν οἰκεῖον τοῖς σώμασιν καὶ ἴδιον αὐτῶν, οἱ δὲ λέγοντες σῶμά τι διὰ σώματος χωρεῖν καὶ ἔλαττόν ποτε καὶ ἴσον τὸ ἐξ ἀμφοῖν ποιεῖν ἀναιροῦσι τοῦτο, ἀναιροῖεν | ἂν τὴν τοῦ σώματος φύσιν. 599 συναναιρεῖται γὰρ ἀναιρουμένῳ τῷ ἰδίῳ τινὸς τὸ πρᾶγμα, οὗ ἦν ἴδιον τὸ ἀναιρούμενον. συμβήσεται δὲ κατ' αὐτοὺς καὶ κενὸν γίνεσθαι τὸν κατεχόμενον τέως τόπον ὑπὸ τοῦ οὕτως ἔν τινι γινομένου σώματος, ὡς μηδένα προσεπιλαμβάνειν ἄλλον τόπον τὸ σῶμα, ἐν ᾧ τοῦτο γίνεται, ἀλλ' ἀρκεῖσθαι τῷ καὶ πρὸ τῆς τούτου μίξεως ὑπ' ἐκείνου πεπληρωμένῳ. ὁ γὰρ ὑπ' αὐτοῦ κατεχόμενος τόπος ἔσται κενὸς τῶν δύο σωμάτων εἰς τὸν θατέρου χωρησάντων τόπον. τί γὰρ ἔσται τὸ ἐξ ἀνάγκης γινόμενον ἐν τῷ τοῦ εἰς τὸ σῶμα μεταστάντος τόπῳ; ὅσα δ' αὖ πάλιν ἐν τῇ πρὸς ἄλληλα μίξει τῶν κιρνᾶσθαι λεγομένων αὔξεται, αὐτόθεν ἤδη προσπίπτει τὸ μὴ τὸ σῶμα εἶναι τὸ σῶμα δεδεγμένον ἐν αὐτῷ, εἴ γε ἄλλην τινὰ χώραν προσείληφε καὶ οὐκ ἠρκέσθη τῇ χώρᾳ τῇ τοῦ λεγομένου αὐτὸ ἐν αὐτῷ δέχεσθαι σώματος. ὅτι δὲ μὴ σῶμά ἐστι τὸ δεύτερον ἐν αὐτῷ τὸ πρῶτον δεχόμενον τὸ σῶμα, δηλοῖ καὶ ἡ γενομένη διαίρεσις ὑπ' ἀλλήλων τῶν

2 οἵαν A²R: οἷαν A¹: οἳ BCPS 3 ἁρμὴν ABCS: ἀρμὴν PR: ἀρχὴν a: ὁρμὴν Ideler 4 ποιοίη] ποιήσῃ Ra ἔσται om. Ideler 7 τοὺς corr. ex τοῦ A πόρους τοῦ σώματος Ra fortasse ὡς δ', εἰ πᾶν εἴη ⟨πόρος, διάστημα πᾶν ἂν εἴη⟩ 8 ἂν] fortasse ὂν ἔτι] ἔχοι Apelt alt. οὔτ' Schwartz (idem add. ἔχοι): δ' οὐδ' libri 10. 11 ἐπιζητῆσαι τις Apelt: ἐπιζητῆσαν libri: ἐπιζητητέον Ideler 11 τί] εἰ Ra οὐ ex corr. A alt. τὸ τυχὸν om. Ideler: fortasse τοῦ τυχόντος 12 τὰ del. Schwartz 14 σημεῖον] στοιχεῖον Ra συντεθείσαις R¹ 15 ἕξουσί] ἕξ in lit. A: προέξουσι Diels fortasse τι ⟨πλέον⟩ παρὰ 16 fortasse τὸ ⟨δὲ⟩ σῶμα τῷ 17 καθ' ὃ] fortasse καὶ αὐτό, συντιθῇ (corr. ex συντεθεῖ) ARa: συντεθεῖ BCPS 20 ἀναιροῦσι AB (σι add. B²) CPS: ἀναιρεῖ Ra: ἀναιροῖεν Apelt 21 ante τινος fenestra 8 litt. R 22 τὸν corr. ex τὸ AR: τὸν a: τὸ BCPS 26 κενὸς ἔσται Ra 29. 30 μὴ τὸ] fortasse μηδὲ 30 δεδεγμένου a 31 οὐ ἠρκέσθαι a 32 fortasse δεύτερον ⟨τὸ⟩ ἐν et τὸ (33) del. 33 γενομένη] γινομένη Ra

κιρναμένων σωμάτων. τὰ γὰρ διαιροῦντα διίστανται· διαιρούμενα δὲ χώραν ἑαυτοῖς παρασκευάζει, ὡς μὴ δυνάμενα διὰ συνεχοῦς καὶ ἀδιαιρέτου τοῦ ὑποκειμένου σώματος εἰς τὸ † προσελθεῖν. καθόλου δὲ εἰ ἔδει μὲν τὸ δεχόμενον σῶμα ἐν αὑτῷ ἄλλο σῶμα †, μηδέν τι μεῖζον γίνεσθαι· τοῦτο γάρ ἐστι τὸ δέξασθαι ἐν αὑτῷ τι. ἐπὶ μηδενός τινος σωμάτος ἡ μῖξις τῶν σωμάτων ἴσον τηρεῖ τὸν ὄγκον ἑνὶ τῶν μιγνυμένων. ἐφ' ὧν γὰρ ἴσον δοκεῖ μένειν, ἐπ' ἐκείνων οὐ σώματων μῖξίς ἐστι, ἀλλ' ἢ εἶδός ἐστι καὶ ὕλη τὰ λαμβανόμενα, ὡς ἡ ψυχὴ καὶ τὸ σῶμα, ἢ σῶμα καὶ πάθος, ὡς ὁ σίδηρος καὶ ἡ θερμότης, ἢ μεταβολή τινος γίνεται οἷον ἔς τι ἄλλο, ὡς ἐπὶ τῆς τέφρας. οὔτε δὲ τὰ πάθη οὔτε τὰ εἴδη σώματα, † οὐδ' ἂν ἄλλο σῶμα ἐν αὑτῷ δέχοιτο. καὶ γὰρ εἰ οἷά τε εἴη τὰ σώματα ἄλληλα δέχεσθαι, οὐδ' ἂν τῆς ἀντιπεριστάσεως ἔτι δέοι πρὸς τὴν κίνησιν αὐτοῖς· οὐ γὰρ δὴ χωρὶς κινήσεως σῶμα δίεισι διὰ σώματος. πρὸς δὲ τούτοις, πῶς οὐκ ἄλογον καὶ τὸ λέγειν ἓν βραχύτατον σῶμα παρισοῦσθαί τε καὶ παρεκτείνεσθαι τῷ | μεγίστῳ, ὡς τὸν κύαθον τοῦ οἴνου πολλοῖς ὕδατος μέτροις ἴσον γινόμενον κατὰ μέγεθος αὐτῷ; πῶς δ' οὐκ ἄτοπον τὸ πειρᾶσθαι κατασκευάζειν διὰ τοῦ τὸν λιβανωτὸν καὶ τὰ ἄλλα τὰ θυμιώμενα ἐν τῇ θυμιάσει ἐπὶ πλεῖον ὁρᾶσθαι χεόμενα; ὁ μὲν γὰρ λιβανωτὸς καὶ τὰ ὁμοίως τούτῳ θυμιώμενα καὶ εἰς ἄλλο τι σῶμα μεταβάλλοντα λεπτότερον, οὕτως τὴν ἐπὶ πλέον δέχεται χύσιν, τὰ δὲ κιρνάμενά τε καὶ μιγνύμενα καὶ κατ' αὐτοὺς σῴζοντα τὴν οἰκείαν φύσιν κιρνᾶται, ὡς καὶ χωρισθῆναι δύνασθαι πάλιν. ὥστε οὐδὲν αὐτοῖς εἰς παραμυθίαν τῶν ἑπομένων ἀτόπων

VII τοῖς κενῶς λεγομένοις ἡ τούτων συντελεῖ παράθεσις. Τό τε οὖν σῶμα διὰ σώματος χωρεῖν, ᾧ χρῶνται πρὸς τὴν τῆς κράσεως ἀπόδοσιν, ψεῦδός τε καὶ παρὰ τὰς κοινὰς προλήψεις καὶ τὰ φυσικὰ κατ' αὐτοὺς τῆς ἀληθείας κριτήρια, καὶ πολὺ μᾶλλον ἔτι τούτου τοιοῦτον τὸ σώματά τινα λέγειν, δύο ἢ καὶ πλείω, δύνασθαι πάντῃ παρεκτεινόμενα αὐτοῖς καὶ μιγνύμενα δι' ὅλων αὐτά τε σῴζεσθαι τὰ ἐξ ἀρχῆς μένοντα, καὶ σῴζειν τὰς οἰκείας ποιότητας. τοῦτο γὰρ ἡ κρᾶσις αὐτοῖς τῆς συγχύσεως διαφέρει, ὅτι ἐπὶ μὲν τῆς συγχύσεως ἕν τι τὸ ἐκ τῶν συγχεομένων γίνεται, μηδενὸς τῶν ἐν τῇ συγχύσει μήτε κατὰ τὴν οὐσίαν σωζομένου, μήτε κατὰ τὰς ποιότητας, ἐπὶ δὲ τῆς κράσεως ἑκάτερον τῶν ἐν τῷ κεκραμένῳ σωμάτων ἔτι σῴζεται καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὰς ποιότητας, καίτοι δι' ὅλων ἀλλήλοις κεκραμένων τῶν σωμάτων. ὃ λέγουσι μὲν βουλόμενοι σῴζειν τὸ δύνασθαι καὶ τὰ κεκραμένα χωρίζεσθαι πάλιν ἀλλήλων. ἀδυνάτου δ' ὄντος τοῦ λεγομένου, ἀδύνατον ἂν εἴη κατ' αὐτοὺς ἢ τὸ τὴν κρᾶσιν διὰ πάντων εἶναι ἢ τὸ δύνασθαι χωρίζεσθαι τὰ κεκραμένα. εἰ μὲν γὰρ ὅλα δι' ὅλων

1 τὰ] fortasse αὐτά, nisi praestat ἄλληλα cf. 221,25 3 προσελθεῖν] fortasse πρόσω ἐλθεῖν εἰ del. Ideler 3.4 fortasse [εἰ] ἔδει, ⟨εἰ⟩ ἕν τι δεχ. σ. ἐν αὑτῷ ἄλλο σ. ⟨μηδὲν μεῖζον γίνεται⟩, μηδέν τι μεῖζον γίνεσθαι 5 μηδενὸς ex corr. A: fortasse μηδενὸς ⟨δέ⟩ 7 σωμάτων] σώματος Ra 9 ἔς τι Apelt: ἐστὶν libri 12 τῆς] τις Ra: τι Ideler 14 ἓν Diels: μὲν libri 16 πῶς δ' οὐκ Diels: οὕτως δ' ὂν libri τὸ corr. ex τῷ A 18 χεόμενα Diels: καιόμενα libri 19 μεταβάλλοντα] μεταβαλόντα Ra 21 alt. καὶ om. Ra 23 τό τε] τότις PCS 24 χωρεῖν] χαίρειν R[1]a 29 fortasse τούτῳ 30 τῇ] αὐτῇ Ra 34 ὃ] ἃ Ra

τὰ κεκραμένα μέμικται καὶ μὴ ἕτερον αὐτῶν ἐν τῷ μίγματι ἄμικτον θατέρου μόριον ἔχει, ἀδύνατον αὐτῶν ἑκάτερον ὑπὸ ἰδίας ἐπιφανείας περιέχεσθαι· πᾶν γὰρ μόριον αὐτῶν, τὸ ὑπὸ οἰκείας ἐπιφανείας περιεχόμενον, ἄμικτον ἔσται θατέρου. | οὐ γὰρ οἷόν τε τὴν τοῦ οἴνου ἐπιφάνειαν ὕδατος 601 εἶναι, ἢ τὴν τοῦ ὕδατος οἴνου, ὥστε οὕτως οὐκ ἔσται δι' ὅλων μῖξις ἢ κρᾶσις, ἀλλ' εἶεν ἂν παράθεσιν τὴν κρᾶσιν μορίων μορίοις λέγοντες· ὃ φυλασσόμενοι ἄλλο φασὶ μῖξιν καὶ ἄλλο κρᾶσιν εἶναι. εἰ δὲ μηδὲν μόριον κατ' οἰκείαν περιγραφήν τε καὶ ἐπιφάνειαν εἴη τῶν μεμιγμένων, ἀλλ' εἴη πᾶν ὁμοιομερὲς γεγονὸς τὸ σῶμα, οὐκέτι μὲν ἂν εἴη παράθεσις, ἀλλὰ δι' ὅλων κρᾶσις· οὐ μὴν ἔτι σώζοιτο ἂν τὰ ἐξ ἀρχῆς σώματα τῶν μεμιγμένων, ἀλλ' εἴη ἂν συγκεχυμένα τε καὶ συνεφθαρμένα. εἰ δὴ ἔδει τὰ χωρισθησόμενα σώζεσθαι καὶ μὴ συγκεχύσθαι (τούτῳ γὰρ ἡ κρᾶσις κατ' αὐτοὺς τῆς συγχύσεως διαφέρει), ἀναγκαῖον δὲ τοῖς δι' ὅλων μεμιγμένοις συγκεχύσθαι, ἀδύνατον τὰ δι' ὅλων μεμιγμένα κατ' αὐτοὺς χωρίζεσθαι δύνασθαι. ἔτι δέ, εἰ ἀνάγκη μὲν τὰ κεκραμένα δι' ὅλων μεμῖχθαι, τὰ δὲ δι' ὅλων μεμιγμένα ἀδύνατον μὴ συγκεχύσθαι, τὰ δὲ συγκεχυμένα τε καὶ συνεφθαρμένα οὐχ οἷόν τε αὐτὰ σώζεσθαι, οὐδ' ἂν ἕξεις σώζοιντο αὐτῶν, εἴ γε ἕν μέν τι τὸ γεγονὸς ἐκ τῶν συγκεχυμένων τε καὶ συνεφθαρμένων. ἀνάγκη δὲ τὸ ἓν σῶμα ὑπὸ μιᾶς, ὥς φασιν, ἕξεως συνέχεσθαι, ὥστε καὶ κατὰ τοῦτο ἂν ἀχώριστα ἀλλήλων εἴη τὰ κεκραμένα κατ' αὐτούς. εἰ δὲ κατὰ μὲν τὰ λεγόμενα ὑπ' αὐτῶν ἀχώριστα ἀλλήλων ἀναγκαῖον εἶναι τὰ κεκραμένα (οὐ γὰρ δὴ οἷόν τε τὴν δι' ὅλων κρᾶσιν γενέσθαι χωρὶς συμφθάρσεως, ἀχώριστα δέ φασιν εἶναι τὰ συνεφθαρμένα), ὁρῶμεν δὲ ἐπ' ἐνίων χωριζόμενα, δῆλον ὡς οὐκ ἂν ἡ κρᾶσις γένοιτο κατὰ τὸν ὑπ' αὐτῶν εἰρημένον τρόπον.

VIII Πρὸς δὲ τούτοις, εἰ διαιρούντων ἄλληλα τῶν κιρναμένων ἡ κρᾶσις γίνοιτο (διὰ τοῦτο γὰρ ἐν τοῖς ὑγροῖς ἡ κρᾶσις μάλιστα, ὅτι ἐστὶν εὐδιαίρετα ταῦτα καὶ ῥᾳδίως θάτερον διὰ θατέρου δίεισι διαιροῦν αὐτό, ὡς ὁρᾶται καὶ ὁ οἶνος ὁ εἰς τὸ ὕδωρ ἐπιχεόμενος, κιρνάμενος αὐτῷ), εἰ μὲν οὖν διαιροῦντα ἄλληλα ἀδιαίρετα ἀλλήλων καταλείπει τινὰ μέρη, οὐκέτ' ἂν εἴη ἐκεῖνα τὰ μέρη κεκραμένα (ἀμιγῆ γὰρ καὶ ἄμικτα ἀναγκαῖον εἶναι τὰ μὴ διῃρημένα μέρη, εἴ γε ἡ κρᾶσις καὶ ἡ κατ' αὐτὴν μῖξις κατὰ τὴν 602 διαίρεσιν γίνεται καὶ ταύτην ὅρον ἔχει· οὕτω τε πάλιν γίγνοιτο ἂν ἡ κρᾶσις γινομένη παραθέσει, ἀλλ' οὐχ ὅλων ἀλλήλων δι' ὅλου τῶν κεκραμένων διηκόντων), εἰ δὲ μηδὲν ἀδιαίρετον ἀλλήλων ἐν τῇ κράσει καταλελοίπασιν, εἴη ἂν πάντῃ διῃρημένα καὶ οὐκ εἰς μέρη, ἀλλ' εἰς διαιρέσεις ἡ τομὴ γεγονυῖα, εἴ γε μηδὲν αὐτῶν μόριον παρὰ τὴν διαίρεσιν καταλέλειπται. καὶ

---

2 μόριον ἔχει] ἔχει μόριον R: ἔχειν μόριον a 5 ἢ R (man. rec.) a: τι rel. ὥστε Apelt: ὡς ὁ libri 6 ὃ Apelt: οἱ libri 8 περιγραφὴν Ra: περιγραμμὴν rel. τε om. a 12 τούτῳ] τοῦτο a 14 ante τὰ add. δὲ Ra: δὴ Ideler 17 ἓξ εἰς AB[1] 18 τε om. Ra 19 συνέχεσθαι Apelt: συνελέσθαι (συνελέχθαι B) libri καὶ om. Ideler 20 τὰ om. Ideler 22 οὐ γὰρ δὴ scripsi: εἰ γὰρ μὴ libri 23 ἐνίνων a 25 εἰ Ideler: ἢ libri 27 διὰ om. Ideler αὐτὸς Ra 28 ἐπικεόμενος Ra 29 διαιροῦντα CPRS: διαιροῦν τὰ ABa ἀδιαίρετα Ideler: διαιρετὰ libri 32 γίγνοιτο] φαίνοιτο Schwartz 33 γενομένη BCPS 35. 36 ἡ τομὴ γεγονυῖα ABC: ἢ τὸ μὴ γεγονυῖα PS: ἢ μὴ γεγονυῖα Ra: om. Ideler 36 παρὰ A: περὶ rel.

ἔτι εἰ ἕκαστον, εἰς ἃ διαιρεῖται ἕκαστον, ἐκ τούτων συντιθεμένων πάλιν γίνεται, εἴη ἂν τὰ οὕτως διῃρημένα ἐκ διαιρέσεων, οὐκ ἐκ μερῶν οὐδὲ ἐκ σωμάτων συγκείμενα. ἡ γὰρ διαίρεσις οὐ σῶμα, ἀλλὰ πάθος σώματος. ἕπεται δὲ τοῖς λέγουσιν ἐπ᾽ ἄπειρον τὴν τομὴν καὶ τὸ ἢ ἀδύνατον λέγειν πάντῃ διαιρεῖσθαί τι σῶμα ἐνεργείᾳ (οὕτως δὲ καὶ μίγνυσθαι δι᾽ ὅλων) ⟨ἢ⟩ τὸ εἰς ἄπειρα ἐνεργείᾳ διαιρεῖσθαι τὰ σώματα. εἰ μὲν γὰρ λέγουσιν ἐπ᾽ ἄπειρον εἶναι διαιρετὰ τὰ σώματα τῷ μηδέποτε ἐπιλείπειν τὴν τομήν, ἀλλ᾽ ἀεὶ ἐκ τῶν τεμνομένων περιλείπεσθαί τι τέμνεσθαι δυνάμενον, οὐχ οἷόν τε ἔσται σώματι παντὶ διαιρεῖσθαι ὡς μηκέτι ὑπολείπεσθαί τι ἐξ αὐτοῦ τομὴν ἀναδέξασθαι δυνάμενον. εἰ δὲ τοῦτο, οὐδέποτε ἂν εἴη τὰ κιρνάμενα δι᾽ ὅλων κεκραμένα, εἰ δὲ κίρνανται μὲν † ἀλλήλοις, καὶ παρεκτείνεται διαιροῦντα ἄλληλα * * * διῃρηκέναι, ὡς μὴ ὑπολείπεσθαί τινα αὐτῶν μέρη μὴ διῃρημένα. κατὰ γὰρ τὰ μὴ διῃρημένα οὐδέπω ἂν ἀλλήλοις εἴη κεκραμένα. εἰ δὲ λέγοιεν ἐπ᾽ ἄπειρον εἶναι τὰ σώματα διαιρετά, τῷ εἰς ἄπειρον δύνασθαι διαιρεῖσθαι [τὸ] πᾶν διῃρημένον σῶμα, κατ᾽ αὐτοὺς εἴη ἂν εἰς ἄπειρα ἐνεργείᾳ διῃρημένα τὰ κεκραμένα ἀλλήλοις. εἰ γὰρ πάντῃ κέκραται, πάντῃ διῄρηται. πάντῃ δὲ διῃρημένα * * * καὶ εἰ μὲν τὰ εἰς ἃ διῄρηται μεγέθη καὶ αὐτά, εἴη | ἂν ἕκαστον τῶν οὕτως μιγνυμένων ἄπειρον (τὸ γὰρ 603 ἐξ ἀπείρων μέγεθός τι καὶ διάστασιν ἐχόντων συγκείμενον ἄπειρον· γίνεται γὰρ ἑκάτερον τῶν κεκραμένων ἐξ ἀπείρων μέγεθός τι ἐχόντων, εἴ γε εἰς ἃ τέμνεταί τι καὶ συγκεῖσθαι αὐτὸ ἐκ τούτων ἀναγκαῖον, συμβαίνοιτο ⟨δ᾽⟩ ἂν οὕτω καὶ πλείω ἂν εἶναι σώματα ἄλλα ἄπειρα), εἰ δὲ μὴ μεγέθη τὰ ὑπολειπόμενα εἰς ἃ ἡ τομὴ τῶν πάντῃ διῃρημένων (οὐ γὰρ δὴ ἐλάχιστά τινα ἐροῦσιν εἶναι καὶ ἀδιαίρετα σώματα), εἴη ἂν αὐτοῖς τὸ μέγεθος οὐκ ἐκ μεγεθῶν συγκείμενον, ᾧ ἕπεται τὸ καὶ τῆς γραμμῆς μέρη λέγειν τὰ σημεῖα.

IX Πῶς δὲ σῳζόντων ἐστὶ τὴν περὶ κράσεως κοινὴν πρόληψιν τὸ λέγειν καὶ τὴν ἕξιν τοῖς ἔχουσιν αὐτὴν μεμῖχθαι, καὶ τὴν φύσιν τοῖς φυτοῖς καὶ τὸ φῶς τῷ ἀέρι καὶ τὴν ψυχὴν τῷ σώματι, εἴ γε κιρνᾶσθαι μὲν προείληπται ⟨τὰ⟩ κατ᾽ ἰδίαν πρὸ τῆς κράσεως ὑφεστάναι δυνάμενα; διὰ τοῦτο γοῦν καὶ αὐτοί φασι τὰ κεκραμένα χωρίζεσθαι πάλιν δύνασθαι, καὶ ταύτῃ διαφέρειν κρᾶσιν συγχύσεώς τε καὶ φθάρσεως. οὔτε ἕξις τις χωριστὴ τοῦ ἔχοντος αὐτήν, ὡς καθ᾽ αὑτὴν εἶναι δύνασθαι, οὔτε ἡ τῶν φυτῶν φύσις χωρὶς φυτῶν ὑποσταίη ποτ᾽ ἄν. τό τε φῶς πῶς οἷόν τε ἐπινοῆσαι κεχωρισμένον τῶν διαφανῶν σωμάτων; ἀλλ᾽ οὐδ᾽ ἡ ψυχὴ τοιοῦτον, ὡς οἷόν τε, εἴ γε εἶδος ἔνυλον οὐχ οἷόν τε εἶναι χωρὶς ὕλης τε καὶ σώματος. ἀλλ᾽ οὐδὲ τὸ πῦρ τῷ σιδήρῳ, καθά φασι, μίγνυται, ὥσπερ οὐδὲ τοῖς χυμοῖς

4 ἢ del. Ideler 5 ⟨ἢ⟩ τὸ scripsi: τὸ libri: τῷ Apelt 9 παντὶ] fortasse πάντῃ post τι A[1] del. τέμνεσθαι δυνάμενον 11 κίρναται B fortasse εἴ γε κίρναται μόνα, ⟨ἃ⟩ ἀλλήλοις καὶ παρεκτ. παρεκτείνονται a 12 fortasse ἄλληλα, ⟨ἀδύνατον δὲ οὕτως ἄλληλα⟩ διῃρηκέναι del. Ideler: καὶ διῃρημένα Apelt 13 post κεκρ. lacunam ind. Caninius 15 τὸ del. Schwartz 17 lacunam indicavit Ideler 21 δ᾽ addidi 29 τὰ add. Schwartz 31 χωρὶς BCPRSa 32 δύναται Ideler 34. 35 οἷόν τε] fortasse οἴονται 35 εἶναι om. Ra 36 φασι scripsi: φησι libri

οὐδὲ τοῖς ξύλοις. ὅλως γὰρ ἄτοπον τὴν ὕλην τῷ εἴδει μίγνυσθαι λέγειν. ὕλη δὲ πυρὸς τὰ καιόμενά τε καὶ πεπυρωμένα πάντα, ἀλλ' ἡ μὲν ἄφθαρτος, ἡ δ' οὔ. διὸ καὶ μέχρι πολλοῦ σβεννύμενά τινα ταὐτὸ εἶδος τῷ ἐξ ἀρχῆς δύναται φυλάττειν, οὐ μὴν ἀμείωτα πάντῃ· καὶ γὰρ τούτων ὑπὸ τοῦ πυρὸς ἀναλίσκεταί τι καὶ φθείρεται. διὸ καὶ ταῦτα χρονίζοντα ἐν αὐτῷ πλέον ἀπόλλυταί τε καὶ τοῦ οἰκείου εἴδους ἐξίσταται.

X Πῶς δ' οὐχ ἄτοπον καὶ τὸ λέγειν ἡνῶσθαι τὴν σύμπασαν οὐσίαν πνεύματός τινος διὰ πάσης αὐτῆς διήκοντος, ὑφ' οὗ συνέχεταί τε καὶ συμμένει τὸ πᾶν καὶ συμπαθές ἐστιν αὐτῷ; τὴν γὰρ κυριωτάτην αἰτίαν τῆς τοῦ παντὸς ἑνώσεως οὐκ εἰδότες (αὕτη δ' ἐστὶν ἡ τοῦ | θείου τε καὶ κυκλοφορητικοῦ καὶ αἰ- 604
θερίου σώματος φύσις, ἥτις περιέχουσα πᾶσαν τὴν ἔνυλόν τε καὶ παθητὴν καὶ μεταβλητὴν οὐσίαν τῇ συνεχεῖ τε καὶ διηνεκεῖ κινήσει καὶ ἄλλοτε ἀλλοίᾳ σχέσει πρὸς αὐτὰ τὰς εἰς ἄλληλα τῶν ἐν γενέσει σωμάτων μεταβολὰς ἐν ὡρισμένῃ τάξει ποιουμένη συνέχει καὶ σῴζει τὸ πᾶν), ταύτην μήτ' ἰδόντες ἑαυτοῖς, μήτε τοῖς ἰδοῦσιν ἀκολουθῆσαι δυνηθέντες, διὰ τὸ ὑπὸ πολλῶν τινων δοξῶν προειλῆφθαι δεσμοῖς τισι καὶ ὑλικαῖς αἰτίαις καί τινι πνεύματι διὰ πάσης τῆς οὐσίας διήκοντι ἀνατιθέασιν αὐτοῦ τὴν ἕνωσιν. ἥτις δόξα, πρὸς τῷ κεχρῆσθαι τῷ ψευδεῖ σῶμά τι διὰ σώματος διήκειν, καὶ διὰ τῶν ἄλλων, ὅτι ἐστὶ ψευδής, ἤδη ἐλέγχεται· φανερῶς γὰρ ἔνια τῶν σωμάτων οὐχ οἷά τε ἐνεργείᾳ τι ὂν ἔχειν πνεῦμα ἐν αὐτοῖς· τὸ γοῦν ὕδωρ τοσοῦτον ἀποδεῖ τοῦ ἔχειν διὰ παντὸς αὐτοῦ μεμιγμένον πνεῦμά τι, ὡς μηδ' ἂν τὸ τυχὸν ἐν αὐτῷ γένηταί ποτε, ἢ ἀποπνιγέντος ἐν αὐτῷ ζῴου τινὸς τῶν ἀναπνευστικῶν ἢ καὶ δι' ἄλλην αἰτίαν τινὰ γενομένου, μηδ' ἐπ' ὀλίγον ἐν αὐτῷ δύνασθαι μένειν, ἀλλὰ παραχρῆμα μετὰ βίας ἀναφέρεσθαί τε καὶ ἐκκρίνεσθαι, κἂν ἐν βυθῷ γενόμενον τύχῃ. τούτου δ' οὕτως ἔχοντος, πῶς ἂν ἔτι ἀληθὲς εἴη τὸ πᾶν ἡνῶσθαί τε καὶ συνέχεσθαι, πνεύματός τινος διὰ παντὸς διήκοντος αὐτοῦ; ἔπειτα δ' εὔλογον μὲν ἦν, ὁποίαν τὴν ἀπὸ τοῦ πνεύματος συνοχὴν γινομένην ἐν πᾶσιν εἶναι τοῖς σώμασιν· οὐχ οὕτως δ' ἔχει. τῶν γὰρ σωμάτων τὰ μέν ἐστι συνεχῆ, τὰ δὲ διωρισμένα. διὸ εὐλογώτερον, ἕκαστον αὐτῶν ὑπὸ τοῦ οἰκείου εἴδους συνέχεσθαί τε καὶ ἡνῶσθαι λέγειν πρὸς ἑαυτό, καθὸ ἔστιν αὐτῶν ἑκάστῳ τὸ εἶναι, τὴν ⟨δὲ⟩ συμπάθειαν αὐτῶν σῴζεσθαι τὴν πρὸς ἄλληλα διά τε τὴν τῆς ὕλης κοινωνίαν καὶ τὴν τοῦ περικειμένου θείου σώματος αὐτῷ φύσιν, ἢ τὸ διὰ τοῦ πνεύματος· δεσμώτης γὰρ καὶ ὁ τόνος τοῦ πνεύματος, ὑφ' οὗ συνδούμενα τήν τε συνέχειαν ἔχει τὴν πρὸς τὰ οἰκεῖα μέρη καὶ συνῆπται τοῖς παρακειμένοις. βιαζόμενον μὲν γὰρ ὑπό τινος τὸ πνεῦμα, διὰ

4 ἀμείωτα Ideler: ἀμείω τὰ libri 7 καὶ om. Ideler 10 αὕτη Ideler: αὐτὴ libri 13 αὐτὰ] αὐτὰς Ra γενέσει] γένεσι a Ideler 14 συνέχει RSa: συνεχεῖ ABCP 15 αὐτοὶ Diels 16 ὑλικαῖς] ὑτικαῖς BCPS: om. a 17 οὐσίαις a 18 τῷ scripsi: τὸ libri σώματι Ra 19 ψευδεὶς A[1] 20 τι ὂν] τινι Ra 22 ποτε Ideler: τότε libri 27 fortasse ⟨ἂν⟩ ἦν 28 ὁποίαν] ὁποία ἂν ⟨ᾖ⟩ Diels: ὁποιαντινοῦν (om. τὴν) Schwartz γενομένην Ideler 32 δὲ addidi alt. τὴν Apelt: τῇ libri tert. τὴν om. a 34 τὸ] τῷ Ra: fortasse del. τοῦ om. a δεσμώτης—πνεύματος om. Ra 35 συνδεόμενα Apelt 36 μὲν s. v. A

τὴν πρὸς τοῦτο εὐφυίαν, τῷ μηδεμίαν ἀντίβασιν ἔχειν τῷ κινοῦντι δι' εὐπάθειαν δύνασθαι, ὑπὸ τῆς ἀθρόας κινήσεως ἰσχύν τινα λαμβάνει, ἀπαθὲς δὲ ὂν | κατὰ τὴν οἰκείαν φύσιν. ὑγρὸν δ' ἐστὶ καὶ εὐδιαίρετον, ὡς καὶ 605 τῶν ἄλλων, ἐν οἷς ἂν ᾖ τοῦτο μεμιγμένον, κατὰ τοῦτο μάλιστά τε καὶ ἀρεστὴν γίνεσθαι τὴν διαίρεσιν. διὰ τοῦτο γοῦν οἱ μὲν κενόν τι αὐτὸ ᾠήθησαν εἶναι καὶ φύσιν τινὰ ἀναφῆ, οἱ δὲ πολλὰ ἔχειν ἐν αὐτῷ κενά. καὶ γὰρ εἰ τοῦ μὴ διαπίπτειν, ἀλλὰ συμμένειν τὰ σώματα, αἴτιον τὸ συνέχον αὐτὰ πνεῦμα, τὰ διαπίπτοντα τῶν σωμάτων δῆλον ὡς οὐκ ἂν ἔχοι τὸ πνεῦμα τὸ συνδέον. πῶς δ' ἂν τὴν ἀρχὴν ἡ διαίρεσις σώζοιτο τῶν σωμάτων, εἴ γε ἡ μὲν διαίρεσις χωρισμός ἐστι τῶν ἡνωμένων, μένει δὲ κατ' αὐτούς, πάντων ἡνωμένων ὁμοίως ἀλλήλοις, πάντα, κἂν διαιρεθῇ; πῶς δ' οὐκ ἂν πάντα φαίνοιτο τὰ παρακείμενα ἀλλήλοις καὶ ῥᾳδίως ἀλλήλων χωρίζεσθαι δυνάμενα ὑπ' αὐτοῦ καὶ ὁμοίως ἀλλήλοις ἡνῶσθαι λέγειν, τοῖς συνεχέσι τε οὖσι καὶ χωρὶς διαιρέσεως μὴ δυναμένοις τινὸς ἀλλήλων χωρισθῆναί ποτε; πρὸς δὲ τούτοις, εἰ τὸ πνεῦμα γεγονὸς ἐκ πυρός τε καὶ ἀέρος διὰ πάντων πεφοίτηκε τῶν σωμάτων ⟨τῷ⟩ πᾶσιν αὐτοῖς κεκρᾶσθαι καὶ ἑκάστῳ αὐτῶν ἐκ τούτου ἠρτῆσθαι τὸ εἶναι, πῶς ἂν ἔτι ἁπλοῦν τι εἴη σῶμα; πῶς δ' ἄν, εἰ ὕστερον τὸ ἔκ τινων συγκείμενον τῶν ἁπλῶν, τὸ πῦρ ἂν καὶ ὁ ἀὴρ εἴη, ἐξ ὧν μιγνυμένων τὸ πνεῦμα γίνεται, οὗ χωρὶς ἀδύνατον εἶναί τι σῶμα; εἰ γὰρ ἐξ ἐκείνων μὲν ἡ γένεσις τῷ πνεύματι, ἀδύνατον δὲ ἐκείνων εἶναί τι χωρὶς πνεύματος, οὔτ' ἂν ἐκείνων τι εἴη πρὸ τῆς τοῦ πνεύματος γενέσεως, οὔτ' ἂν τὸ πνεῦμα γίνοιτο, οὐκ ὄντων, ἐξ ὧν ἡ γένεσις αὐτῷ. πῶς δ' ἄν τις ἐν τῷ ψυχρῷ ἐνεργείᾳ τι θερμὸν εἶναι λέγοι; τίς δὲ καὶ ἡ εἰς τὸ ἐναντίον ἅμα κίνησις αὐτοῦ, καθ' ἣν συνέχει τὰ ἐν οἷς ἂν ᾖ, ὃν ὥς φασι, πνεῦμα κινούμενον ἅμα ἐξ αὑτοῦ τε καὶ εἰς αὑτό; καὶ κατὰ τί εἶδος κινήσεως γίνεται; κατ' οὐδὲν γὰρ οἷόν τ' ἐστὶ νοῆσαί τι ἅμα εἰς τὰ ἐναντία κινούμενον καθ' αὑτό.

XI Ἀλλὰ γὰρ ἐοίκασιν, ὡς εἶπον, οἱ οὕτω λέγοντες τῷ μὴ δυνηθῆναι διαλαβεῖν τῷ λόγῳ τῆς ὕλης τὸ εἶδος, καθὸ εἶδος ἕκαστόν τ' ἐστὶ τῶν ὄντων ὅ ἐστι, καὶ πρὸς τἆλλα διαφορὰν ἔχει, κατὰ τὴν ὕλην οὐδὲν ἀλλήλων | διαφέροντα, καθὸ εἶδος ἔχει, καὶ τῷ σώζε- 606 σθαί τε καὶ μένειν ταῦτα, ἅ ἐστι, πνεύματι ὡς διὰ πάντων διήκοντι ἀνάπτειν τό τε εἶναι ἑκάστου καὶ τὸ σώζεσθαί τε καὶ συμμένειν. αἰτιάσαιτο δ' ἄν τις εὐλόγως αὐτῶν ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τὸ δύο ἀρχὰς τῶν πάντων λέγοντας εἶναι ὕλην τε καὶ θεόν, ὧν τὸν μὲν ποιοῦντα εἶναι

---

1 δι' scripsi: δ' libri 2 ἀπαθὲς δὲ] εὐπαθὲς Schwartz 3 δ' om. BCPS 4 μάλλιστα AB 5 ἀρεστὴν] ἀρίστην Diels τὴν s. v. A 8 ἔχοιτο Ra 11 πάντων scripsi: τῶν libri 11. 12 πάντα φαίνοιτο] fortasse ἀπεμφαίνοι τὸ 12 ἀλλήλων om. Ra: ἀλλήλοις BS 13 λέγειν del. Ideler 14 ἀλλήλοις Ideler 16 ⟨τῷ⟩ πᾶσιν Ideler 21 τοῦ om. Ra 22 ἂν τὸ] αὐτὸ a 23 ἡ om. Ra 24 τὸ] τὸν a αὐτοῦ Apelt: αὐτοῖς; οὐ libri συνέχει Ideler: συνέχειν libri ᾖ CPRSa: ἡ AB ὃν Apelt: ὧν libri 25 πνεύματος Ideler κινούμενον Apelt: κινουμένου libri τί Apelt: τι libri 26 γίνεται] λέγεται Ideler: fortasse κινεῖται 28 διαλαλεῖν Ra 29 ἔχει] ἔχειν Ideler 32 alt. τε om. a αἰτιάσαιτο] αἰτιᾶσαι a: αἰτιάσαι Ideler 33 εὐλόγως om. Ideler ἐνταῦθα] ἐνθάδε Ra 34 ποιοῦντα scripsi: ποιοῦν libri

τὴν δὲ πάσχουσαν, μεμῖχθαι τῇ ὕλῃ λέγειν τὸν θεόν, διὰ πάσης αὐτῆς διήκοντα καὶ σχηματίζοντα αὐτήν, καὶ μορφοῦντα καὶ κοσμοποιοῦντα τούτῳ τῷ τρόπῳ. εἰ γὰρ θεὸς κατ' αὐτοὺς σῶμα, πνεῦμα ὢν νοερόν τε καὶ ἀίδιον, καὶ ἡ ὕλη δὲ σῶμα, πρῶτον μὲν ἔσται πάλιν διῆκον σῶμα διὰ σώματος, ἔπειτα τὸ πνεῦμα τοῦτο ἤτοι τι τῶν τεσσάρων τῶν ἁπλῶν ἔσται σωμάτων, ἃ καὶ στοιχεῖά φασιν, ἢ ἐκ τούτων σύγκριμα (ὥς που καὶ αὐτοὶ λέγουσιν· καὶ γὰρ ἀέρος καὶ πυρὸς ὑφίστανται τὴν οὐσίαν ἔχειν τὸ πνεῦμα), ἤ, ⟨εἰ⟩ ἄλλο τι εἴη, ἔσται τὸ θεῖον αὐτοῖς σῶμα πέμπτη τις οὐσία, χωρὶς ἀποδείξεώς τινος καὶ παραμυθίας λεγομένη τοῖς πρὸς τὸν μετὰ τῶν οἰκείων τιθέμενον τοῦτο ἀντιλέγουσιν ὡς λέγοντα παράδοξα. εἰ δὲ ἢ τῶν τεσσάρων τι εἴη ἤ τι ἐξ ἐκείνων σύγκριμα, ἔσται τὸ ἐκ τῆς ὕλης γεννώμενον σῶμα πρὸ τοῦ γενέσθαι πεφοιτηκὸς δι' αὐτῆς καὶ τεχνοῦν ἐξ ἐκείνης ὁμοίως τοῖς ἄλλοις καὶ ἑαυτό. ἔτι τε ὕστερον ἂν ὁ θεὸς τῆς ὕλης εἴη, εἴ γε πᾶν μὲν τὸ ἔνυλον σῶμα τῆς ὕλης ὕστερον. τὸ γὰρ ἐκ τῆς ἀρχῆς ὕστερον, ὁ δὲ θεὸς τοιοῦτον σῶμα· οὐ γὰρ δὴ τῇ ὕλῃ ὁ αὐτός. τοιοῦτος δὲ ὢν εἴη ἂν μέχρι φωνῆς ἀίδιος αὐτοῖς μόνης· εἰ γὰρ γέγονε (γέγονε δὲ ἐκ τῆς ὕλης), εἴτε τι τῶν ἁπλῶν ἐστι σωμάτων, εἴτε ἐκ τούτων σύγκριμα. πρὸς δὲ τούτοις ἐπιζητήσαι τις ἄν, εἰ τῶν ἐκ τῆς ὕλης γενομένων οἷόν τε δημιουργὸν λέγειν τὸν διαπεφοιτηκότα τῆς ὕλης καὶ ὄντα ἐν αὐτῇ θεόν. φέρουσι μὲν γὰρ εἰς τὴν κατασκευὴν τοῦδε τὸ μὴ ὁμοίως τοῖς φύσει γινομένοις γίνεσθαι τὰ κατὰ τὰς τέχνας. τὰ μὲν γὰρ ἀπὸ τῆς φύσεως ἀποτελέσματα οὐκ ἐπιπολῆς, ἀλλὰ δι' ὅλων εἰδοποιεῖταί τε | καὶ 607 διαπλάττεται, καὶ τὰ ἔνδον αὐτῶν γλαφυρώτατα πεφιλοτέχνηται, τὰ δὲ τῶν τεχνῶν διαμεμόρφωται, ὡς ἐπὶ τῶν ἀνδριάντων ἔχει· τὰ γὰρ ἔνδον τούτων ἀδιάπλαστα. διὰ δὴ τοῦτό φασιν τῶν μὲν γινομένων κατὰ τέχνην ἔξωθεν εἶναι καὶ κεχωρισμένον τὸ ποιοῦν, ἐπὶ δὲ τῶν γινομένων φύσει ἐν τῇ ὕλῃ εἶναι τὴν δύναμιν τὴν μορφοῦσάν τε καὶ γεννῶσαν αὐτά. ταῦτα δὲ οὐχ ὁρῶμεν τοῖς γινομένοις συνᾴδοντα. ἐπὶ γὰρ πάντων τῶν γινομένων φύσει ἔξωθέν τί ἐστι τὸ τὴν ἀρχὴν τῆς γενέσεως αὐτῶν ἔχον καὶ τῆς πρώτης ἐν τῇ ὕλῃ μεταβολῆς αἴτιον. τά τε γὰρ ἁπλᾶ σώματα τῆς τε εἰς ἄλληλα μεταβολῆς ἔξωθεν ἔχει τὴν αἰτίαν. ψύξις γὰρ καὶ θερμότης ἡ γινομένη διὰ τὴν τῶν οὐρανίων σωμάτων ἄλλοτε ἀλλοίαν πρὸς αὐτὰ σχέσιν τῆς γενέσεως αὐτοῖς καὶ τῆς φθορᾶς καὶ τῆς εἰς ἄλληλα μεταβολῆς αἴτια. ἀλλὰ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων ἕκαστον ὑπό τινος ἔξωθεν

---

1 λέγειν Apelt: λέγει libri: λέγουσι Ideler 6 ὥς που] ὥσπερ Ra 8 εἰ add. Apelt 9 λεγομένη Apelt: λεγομένης libri τοῖς] τῆς Ra 10 λέγοντα Ideler: λέγοντι libri 12 πεφοιτηκὼς Ideler δι] τι Ra τεχνοῦν Apelt: τέχνων libri 13 ἑαυτό Apelt: ἑαυτῷ libri τε] δὲ Ideler 16 μέχρι φωνῆς ἀίδιος αὐτοῖς Schwartz: μέχρι φωνῆς αἰδοῖος αὐτοῖς A: μέχρι φωνῆσαι δ' αὐτοῖς BCPS: μέχρι φωνῆσαι δύο αὐτοῖς Ra: εἰ χρὴ φωνῆσαι, δι' αὐτῆς Apelt μόνοις Ideler 17 δὲ] δὴ Apelt sive del. 21 τὰ κατὰ τὰς] τὰς κατὰ Ra ἀπὸ] ὑπὸ Ideler 22 ἐπιπολῆς A: ἐπιπολλῆς BPCS: ἐπὶ πολλῆς Ra: ἐπιφανείᾳ Ideler 25 φασιν scripsi: φησάντων libri: ἔφησαν Apelt 26 ⟨εἶναι⟩ τὸ ποιοῦν Ideler 28 τῶν om. Ra 32 ἡ γινομένη] ἡγουμένη Ra ἄλλοτε om. a

ὄντος κεχωρισμένου τῆς ὕλης, ἐξ ἧς ἕκαστον αὐτῶν γίνεται, τὴν ἀρχήν τε τῆς γενέσεως λαμβάνει * * * καὶ τὰ κατ' αὐτῆς πηγνύμενα πάντα καὶ τὰ ἐν τοῖς μετεώροις συνιστάμενα κεχωρισμένα κεχωρισμένον ἔχει τὸ ποιοῦν. οὔτε γὰρ τὸ θερμαινόμενον καὶ διὰ τοῦτο μεταβάλλον αὐτὸ θερμαίνει· ψυχρὸν δὲ καθὸ θερμαίνεται. ἀλλὰ καὶ οἷς ἡ γέννησις ἀπὸ σπέρματος, ἔξωθεν τὸ γεννῶν διὰ τῆς προέσεως τοῦ σπέρματος. εἰ δ' οὕτως τὰ ἐκ τῆς ὕλης γινόμενα γίνεται, πῶς ἂν ⟨αἴτιος⟩ ἔτι ὁ θεὸς αὐτῶν εἴη διὰ τοῦ τῇ ὕλῃ μεμῖχθαί τε καὶ κεκρᾶσθαι; τοῦ γὰρ οὕτως ἐν τοῖς γινομένοις φύσει ποιοῦντος ἄλλο τι πρῶτόν ἐστιν αἴτιον ἔξωθεν ὄν. οὐδὲν δὲ ποιητικὸν πρῶτον τοῦ θεοῦ. ἐοίκασι δὲ δι' ὧν λέγουσιν εἶδος τῆς ὕλης λέγειν τὸν θεόν. εἰ γὰρ οὕτως ὁ θεὸς μέμικται τῇ ὕλῃ κατ' αὐτούς, ὡς ἐν τοῖς ζῴοις ἡ ψυχὴ τῷ σώματι, καὶ ἡ δύναμις τῆς ὕλης ἐστὶ ὁ θεὸς (φασὶ γὰρ τὴν ὕλην ποιεῖν τῇ ἐν αὐτῇ δυνάμει), εἶδός πως ἂν λέγοιεν αὐτῆς τὸν θεόν, ὡς τὴν ψυχὴν τοῦ σώματος καὶ τὴν δύναμιν τοῦ δυνάμει. ἀλλ' εἰ τοῦτο, πῶς ἂν ἔτι ἡ ὕλη ἀνείδεος εἴη κατὰ τὸν αὐτῆς λόγον, | εἴ γε τὸ συμμένειν αὐτῇ καὶ εἶναι ὕλῃ παρὰ τῆς οὔσης ἐν αὐτῇ δυνάμεως; μάλιστα δ' ἐν τῇ ἐκπυρώσει φαίνεται κατ' αὐτοὺς ὁ θεὸς τῆς ὕλης εἶδος ὤν, εἴ γε ἐν τῷ πυρί, ὃ μόνον ἐστὶ κατ' αὐτοὺς τότε, ἡ ὕλη καὶ ὁ θεὸς [τῆς ὕλης] σώζονται μόνοι. εἴη γὰρ ἂν ὁ θεὸς τότε εἶδος τὸ ἐπὶ τῇ ὕλῃ τοῦ πυρός. εἰ δὲ τοῦτο, μεταβάλλει δὲ τὸ πῦρ εἰς ἄλλα τινὰ σώματα, τὸ εἶδος ἀλλάσσον εἴη ἂν ὁ θεὸς φθειρόμενος τότε, εἴ γε κατὰ φθορὰν τοῦ προυπάρχοντος εἴδους ἡ μεταβολὴ εἰς ἄλλο σῶμα τῇ ὕλῃ γίνεται. καὶ εἰ τῆς τοιαύτης μεταβολῆς ὁ θεὸς αἴτιος, εἴη ἂν ὁ θεὸς κατ' αὐτοὺς φθείρων ἑαυτόν, οὗ τί ἂν ἀτοπώτερον ῥηθείη ποτ' ἄν; πῶς δ' οὐκ ἀνάξια τῆς θείας προλήψεως τό τε τὸν θεὸν διὰ πάσης τῆς ὑποκειμένης πᾶσιν ὕλης κεχωρηκέναι λέγειν καὶ μένειν ἐν αὐτῇ, ὁποία ποτ' ἂν ᾖ, καὶ τὸ προηγούμενον ἔχειν ἔργον, τὸ ἀεί τι γεννᾶν τε καὶ διαπλάσσειν τῶν ἐξ αὐτῆς γενέσθαι δυναμένων, καὶ ποιεῖν τὸν θεὸν δημιουργὸν σκωλήκων τε καὶ ἐμπίδων, ἀτέχνως ὥσπερ κορόπλαθόν τινα τῷ πηλῷ σχολάζοντα καὶ πᾶν τὸ δυνάμενον ἐξ αὐτοῦ γενέσθαι τοῦτο ποιοῦντα; πρὸς δὲ τούτοις εἰ τὰ κιρνάμενα ἀλλήλοις σώματα ἀντιπάσχειν ὑπ' ἀλλήλων ἀνάγκη (διὰ τοῦτο γὰρ οὐδέτερον αὐτῶν φθείρεται, ὅτι ἑκάτερον αὐτῶν πάσχον ὑφ' ἑκατέρου ἐν τῷ πάσχειν ἀντιποιεῖ), τὰ δὲ δι' ἀλλήλων χωροῦντα σώματα κιρνᾶται ἀλλήλοις, εἴη
XII τ' ἂν ἄλληλα * * * Ταῦτα μὲν εἰπεῖν προήχθην διὰ τοὺς ἀντιλέγοντας μὲν Ἀριστοτέλει περὶ τοῦ πέμπτου σώματος καὶ τοῖς μόνοις κατ' ἀξίαν τῶν

---

2 γεννέσεως AC   lacunam indicavi   κατ' αὐτῆς] κατὰ γῆς Apelt   3 κεχωρισμένα suspectum   5 γένεσις RSa   6 προέσεως Apelt: προθέσεως libri   διὰ τοῦ σπ. Ra   7 αἴτιος add. Diels   τῇ ὕλῃ] τὴν ὕλην Ra   12 φασὶ] φύσει Ra Apelt   13 ποιεῖν Ideler: ποιεῖ libri   τῇ Apelt: τὴν libri   πως Apelt: ὡς libri   16 ὕλῃ A: ὕλη rel.   παρὰ AB: περὶ rel.   18 τῷ] τῇ a   ἐστὶ om. Ra   τῆς ὕλης del. A: om. a   19 ἂν om. Ra   20. 21 ἀλλάσσον R: ἀλάσσον rel.   22 εἰ R²a: ἡ rel.   29 κορόπλασθόν RC¹a: κορόπλαστόν Ideler   33 χωροῦντα om. Ideler   34 lacunam indicavi. sententia quae excidit legitur 227,23—25   προήχθω a   μὲν] τῷ Ideler   35 τοῖς τοὶ a   μόνοις Schwartz: νόμοις libri

θείων εἰρημένοις ἐνίστασθαι πειρωμένους διὰ φιλοτιμίαν, τῆς δὲ ἀτοπίας τῶν ὑφ' αὐτῶν λεγομένων μηδὲ τὴν ἀρχὴν συνιέντας, οἷς καὶ τὰ κυριώτατα καὶ μέγιστα τῶν κατὰ φιλοσοφίαν δογμάτων ἤρτηται καὶ τὴν κατασκευὴν ἀπὸ τοῦ θαυμαστοῦ δόγματος ἔχει τοῦ 'σῶμα χωρεῖν διὰ σώματος·' ὅ τε γὰρ περὶ κράσεως αὐτοῖς λόγος οὐκ ἐν ἄλλῳ τινί, ἀλλὰ καὶ τὰ περὶ ψυχῆς ὑπ' αὐτῶν λεγόμενα ἐντεῦθεν ἤρτηται ἥ τε πολυθρύλλητος αὐτοῖς εἱμαρμένη καὶ ἡ τῶν πάντων πρόνοια | δὲ τὴν πίστιν λαμβάνουσιν, 609 ἔτι τε τὸ περὶ ἀρχῶν τε καὶ θεοῦ καὶ ἡ τοῦ παντὸς ἕνωσίς τε καὶ συμπάθεια πρὸς αὐτό. πάντα γὰρ αὐτοῖς ταῦτ' ἐστὶν ὁ διὰ τῆς ὕλης διήκων θεός. τούτου δὲ τοῦ σῶμα χωρεῖν διὰ σώματος, ἐξ οὗ σχεδὸν πάσης τῆς φυσιολογίας αὐτοῖς ἀνήρτηται τὰ πείσματα, παρά τε τὰς κοινὰς προλήψεις λεγομένου καὶ παρὰ τὰς ἁπάντων δόξας τῶν φιλοσόφων, τὴν πίστιν κατ' αὐτοὺς λαμβάνει ὡς ἂν ἀπὸ ἐναργοῦς τοῦ τὸν σίδηρον, ὅταν ᾖ πεπυρωμένος [μὲν] μὴ αὐτὸν ἐξάπτεσθαί τε καὶ πυροῦσθαι λέγειν ὁμοίως τοῖς οἷς ὕλη τὸ πῦρ, ἀλλὰ διὰ παντὸς αὐτοῦ χωρεῖν τὸ πῦρ ὑπολαμβάνειν μετὰ τῆς ὕλης ἐκείνης, ἐφ' ἧς ὂν γειτνιᾶσαν τῷ σιδήρῳ ἐθέρμαινέ τε καὶ ἐξῆψεν αὐτόν. καίτοι πῶς οὐ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο παντάπασιν ἄτοπον τὸ τὴν τῆς φλογὸς ὕλην, μὴ κατέχουσαν τὴν ἔξωθεν χορηγίαν, μὴ καταναλίσκεσθαι, σώζεσθαι δὲ ἐπὶ τοσοῦτον λέγειν ἐν τῷ πυρὶ τῷ μεμιγμένῳ τῷ σιδήρῳ, ἕως ἂν ὁ σίδηρος πεπυρωμένος μένῃ, ἐναργοῦς ὄντος τοῦ τὴν φλόγα συνεχοῦς δεῖσθαι τῆς κατὰ τὴν ὕλην χορηγίας, ὡς ἔχουσαν ἐν τῷ γίνεσθαι τὸ εἶναι διὰ τὴν τῆς ὑποβεβλημένης ὕλης αὐτῇ ταχεῖαν φθοράν. [καὶ ὁ θεὸς κιρνάμενος τῇ ὕλῃ· εἰ δὲ τοῦτο, καὶ ἀντιπάσχων ὑπ' αὐτῆς· οἷς ἕπεται τό τε τὸν θεὸν πάσχειν καὶ τὸ τὴν ὕλην ποιεῖν, ἀλλὰ ταῦτα * * *]. εἰ γὰρ μὴ ὁ σίδηρος ὕλη ποτὲ τῷ πυρί, τίνα χρὴ τὴν καιομένην ὕλην λέγειν εἶναι; ὅλως δὲ ἐπεὶ ὁ σίδηρος ὑπό τινος ἐξάπτεται πυρὸς ὄντος ἐφ' ὕλης τινός, εἰ διὰ τοῦ σιδήρου δίεισι τὸ πῦρ, δεῖ φυλάσσον αὐτὸ τὴν ὕλην, ἐφ' ἧς ὂν ἐπλησίασε τῷ σιδήρῳ, χωρεῖν δι' αὐτοῦ, ἀλλ' οὔτε τὰ ξύλα οὔτε οἱ ἄνθρακες οὔτε τις ἄλλη τῶν ὑποκειμένων ὕλη τῷ πυρὶ τῷ πυροῦντι τὸν σίδηρον, ἐν τῷ σιδήρῳ γίνεται. λείπεται δή, | χωριζόμενον 610 αὐτὸ τῆς ὕλης γίνεσθαι ἐν αὐτῷ. ἀλλ' εἰ χωρίζοιτο, ἀναγκαῖον αὐτὸ ἐν τῇ μεταβάσει ὕλην τινὰ μεταλαμβάνειν, καὶ ἔστιν οὐχ ἄλλη τις ἢ ὁ σίδηρος αὐτός. καθόσον γὰρ ἡ ὑγρότης ἐστὶν ἐν αὐτῷ, κατὰ τοσοῦτον ὕλη τῷ

---

1 πειρωμένους AR: πειρωμένοις Ra: πειρωμένου CPS τῆς δὲ BCP: τῇσδε ARSa 5 λόγος RS: λόγοις ABCPa 6 πολυθλύλλητος A 7 δὲ] fortasse τῇνδε 8 ἔτι τε] εἶτε Ra: εἴ γε Apelt τὸ scripsi: ὁ libri: ὁ ⟨λόγος⟩ Apelt 9 αὐτοῖς om. Ra 10 τούτου δὲ libri: τοῦτο δὲ Apelt τοῦ scripsi: τὸ libri 11 πείσματα] πύσματα Ra περὶ BCPSa 12 λεγόμενον Ideler περὶ BCPSa 13 ἂν Apelt: αἱ libri ᾖ] εἰ a 14 μὲν delevi 16 ἐθέρμανε Diels 18 ἔξωθεν] ἔξω μὲν Ra 19 δὲ om. Ra 20 τῷ σιδήρῳ om. Ideler 21 φλόγα RSa: φλόγαν ABCP 23. 24 καὶ—ταῦτα circumscripsi, cf. 226,34 24 τὸ ante τὴν om. Ideler ταῦτα ⟨ἄτοπα⟩ Ideler 26 πυρὸς ἐξάπτεται Ra 27 τινός om. Ra εἰ Apelt: ἢ libri φυλάσσειν A²Ra 28 ⟨καὶ⟩ ἐφ' Ideler ἧς ὂν Schwartz: ὅσον libri ἐπλησίαζε Ra 28. 29 οὔτε τὰ scripsi: οὐ τά τε libri: οὐδὲ τὰ Ideler 29 pr. οὔτε scripsi: οὐδὲ libri 30 δὴ χωριζόμενον scripsi: διαχωριζόμενον libri 32 ἢ] ἡ A 33 αὐτός Ideler: αὐτὴ libri

πυρὶ γίνεται, σκληρότερος γοῦν ὁ πυρούμενος σίδηρος μετὰ τὴν σβέσιν τοῦ πρώτου γίνεται, ὡς ἀναλισκομένης ὑπὸ τοῦ πυρὸς τῆς ὑγρότητος τῆς ἐν αὐτῷ, καὶ ἐξάπτεταί τε μέχρις ἂν ὑγρότης ᾖ τις ἐν αὐτῷ, ὥσπερ οὖν καὶ ξύλα. ἀλλὰ τούτων μὲν ἅλις.

XIII Ἐπανίωμεν δὲ ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον. εἰ γὰρ τὰ εἰρημένα οὕτως περὶ κράσεως παντελῶς ἄτοπα, ἀναγκαῖον ἄλλως πως τὰς κράσεις γίνεσθαι λέγειν. λείπεται δὲ παρὰ ταύτας, ὧν ἄξιον ποιεῖσθαι λόγον τινά, ⟨ἡ⟩ ὑπ' Ἀριστοτέλους εἰρημένη δόξα. εἴπωμεν δὴ καὶ περὶ ταύτης, καὶ δείξωμεν τίς ποτ' ἐστίν, ἐπεὶ μηδὲ γνώριμός ἐστι τοῖς πολλοῖς τῶν φιλοσοφούντων διὰ συντομίαν τῶν περὶ αὐτῆς εἰρημένων ὑπὸ τοῦ φιλοσόφου. πρῶτον μὲν ὁρίσωμεν, τίνα ἐστὶν ἀλλήλοις κιρνᾶσθαι λεγόμενά τε καὶ δυνάμενα. ὁρισθὲν γὰρ ἡμῖν τοῦτο ἀποσκευάσεται πολλὰ τῶν ἐνοχλούντων τὸν περὶ κράσεως λόγον. ἔστι δὴ ἡ μῖξίς τε καὶ ἡ κρᾶσις ἐν τοῖς καθ' αὑτὰ ὑφεστάναι φύσιν ἔχουσι. διὸ καὶ δοκεῖ δύνασθαι χωρίζεσθαι πάλιν ἀλλήλων τὰ μεμιγμένα ὅτι ἐκ τούτων συνῆλθεν. εἰ δὲ μηδὲν ἄλλο χωριστὸν παρὰ τὴν οὐσίαν, οὐσιῶν ἂν ἡ μῖξίς τε καὶ ἡ κρᾶσις εἴη. εἰ δὲ τοῦτο, οὐκ ἂν Ἀναξαγόρας εἴη καλῶς λέγων, πάντα ἐν πᾶσιν μεμῖχθαι. οὔτε γὰρ τὰ πάθη χωριστά, ὡς καθ' αὑτὰ εἶναι δύνασθαι (διὸ οὐδὲ μῖξίς τε καὶ κρᾶσις ἂν εἴη παθῶν πρὸς ἄλληλα, ἢ παθῶν πρὸς τὰ ὧν ἐστι πάθη), ἀλλ' οὐδὲ τὰ εἴδη τῶν οὐσιῶν. καὶ γὰρ εἰ οὐσίαι καὶ ταῦτ', ἀλλ' οὐ καθ' | αὑτὰ συνυφίστανται. οὐ γὰρ οἷόν τε χωρὶς ὕλης εἶναί τι αὐτῶν. ἀλλ' 611 οὐδὲ ἡ ὕλη μικτή. οὐδὲ γὰρ αὕτη χωρὶς εἴδους ἐνεργείᾳ ποτ' ἐστίν. οὔτ' οὖν ἐν ἄλλοις τισίν, ἢ ἐν οὐσίαις ἡ μῖξίς τε καὶ κρᾶσις, οὔτε ἄλλαι τινὲς τῶν οὐσιῶν εἰσὶ μικταὶ παρὰ τὰς χωριστάς τε καὶ κατ' ἰδίαν ὑφεστάναι δυναμένας καὶ κατεχούσας τόπον. τοιαῦτα δὲ τὰ σώματα. τούτου τοίνυν διωρισμένου μετὰ ταῦτα ἄξιον ἐπιστῆσαι, πότερον ταὐτόν ἐστι μῖξίς τε καὶ κρᾶσις, ἢ διαφορὰν ἔχει τινά. ἔοικε δὴ διαφέρειν, ᾗ τὸ μὲν κοινότερόν ἐστιν ἡ μῖξις, ἡ δὲ κρᾶσις ἰδικώτερον. ποιὰ γὰρ μῖξις ἡ κρᾶσις. τῶν γὰρ μίξεων ἡ μέν τις κατὰ παράθεσιν τῶν οὐσιῶν καὶ ἁφὴν γίνεται, ἣν λέγομεν τῆς μίξεως γίνεσθαι κατὰ σύνθεσιν (οὐ πᾶσα μὲν γὰρ σύνθεσις μῖξις· σύνθεσις μὲν γὰρ καὶ τῶν ὁμοίων τε καὶ ὁμοειδῶν γίνεται, ἡ δὲ μῖξις ἐκ διαφερόντων τε καὶ ἐν διαφέρουσι· διὸ ὁ μὲν τῶν πυρῶν σωρὸς κατὰ μόνην σύνθεσιν, ὁ δὲ τῶν πυρῶν τε καὶ κυάμων ἤδη τῇ συνθέσει καὶ τὴν μῖξιν προσείληφεν), ἡ δὲ ὡς κρᾶσις μῖξις γίνεται, οὐ σωζομένων ἔτι τῶν μιγνυμένων καὶ οὕτως ἀλλήλοις παρακειμένων, ἀλλ' ἑνουμένων κατὰ τὸ ὑποκείμενον. διὸ ἐν τοῖς εὐορίστοις τε καὶ ὑγροῖς ἡ ὡς κρᾶσις μῖξίς ἐστιν. ὥσπερ δὲ οὐχ ἡ τῶν τυχόντων σύνθεσις μῖξις ἦν, οὕτως οὐδὲ

---

1 πυρὶ γίνεται] περιγίνεται a 3 τις corr. ex τῆς A 7 ἀνάξιον Ideler ἡ add. Ideler 8 εἰρημένα A[1] δὴ] δὲ Ideler 9 ποτ' ἐστίν Ra: τότ' ἔσται A: τότεστιν BCPS 10 αὐτῆς] αὐτῶν Ra 12 ἀποσκευάσεται Diels: ἀποσκευάσαι τε libri 13 ⟨δὲ⟩ δὴ Ideler 15 τοιούτων CPSRa χωριστὸν Apelt: χωρὶς τῶν libri 16 ἂν om. a 23 οὔτε scripsi: οὐδὲ libri 25 τόπον] τότε BPS 30 fortasse σύνθεσιν ⟨γένεσιν⟩ 32 πυρῶν corr. ex πυρός A 35 περικειμένων Ra 36 εὐχωρίστοις vel εὐδιαιρέτοις Diels 37 τῶν om. Ideler

ἡ τῶν τυχόντων ὑγρῶν ἕνωσις κρᾶσίς τε καὶ μῖξις. οὐ γὰρ ὕδωρ ὕδατι κιρνᾶται, καίτοι ἑνούμενον αὐτῷ, οὐδὲ ἔλαιον ἐλαίῳ, ἀλλ' οὐδὲ ἔλαιον ὕδατι· ἀλλὰ τοῦτο μὲν διὰ γλισχρότητα. ὅταν δὲ ᾖ τοιαῦτα τὰ ἑνούμενα, ὡς ἔχειν ποιότητας, καθ' ἃς τὰ μιγνύμενα ποιεῖν τε καὶ πάσχειν ὑπ' ἀλλήλων ἐστὶν οἷά τε (ἡ γὰρ κρᾶσις ἐν τοῖς ποιεῖν τε καὶ πάσχειν ὑπ' ἀλλήλων δυναμένοις), τότε καὶ τούτων κρᾶσις γίνεται. διὰ τοῦτο γὰρ ἄμικτον πᾶν τὸ θεῖον σῶμα τὸ ποιητικὸν ὂν μηκέτ' ἀντιπάσχειν ὑπὸ τοῦ πάσχοντος ὑπ' αὐτοῦ δύναται. μόνα γὰρ τὰ ἔνυλα πάσχει. διὸ ταῦτα μόνα τῶν ποιούντων ἀντιπάσχει ὅσα τῆς αὐτῆς κεκοινώνηκεν ὕλης. ταῦτα δὲ τῶν τῆς αὐτῆς ¦ ὕλης κεκοινωνηκότων ὑπ' ἀλλήλων ἀντιπάσχειν οἷά τε, ὅσα 612 ἐναντίωσιν ἔχει τινὰ πρὸς ἄλληλα. οὐ γὰρ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος οἷόν τε πάσχειν· οὐδὲ γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. ἀπαθῆ γὰρ ὑπ' ἀλλήλων τὰ ὅμοια. ἐν διαφέρουσι γὰρ καὶ ὑπὸ διαφερόντων τὸ ποιεῖν τε καὶ πάσχειν γίνεται. ἀλλ' οὐδὲ τὰ ἕτερα πάντῃ πάσχει τι ὑπ' ἀλλήλων. οὐδὲ γὰρ παθεῖν οἷόν τε φωνὴν ὑπὸ γραμμῆς, τῷ μηδὲν ὑπ' ἀλλήλων ἀντιπάσχειν, * * * κοινήν ὑποκεῖσθαί τινα φύσιν τῶν ἑκατέρων παθῶν ἐπιδεκτικήν. διό ἐστιν ἐν τούτοις τὸ ποιεῖν τε καὶ πάσχειν, ὅσα τὴν αὐτὴν ὕλην ὑποκειμένην ἔχοντα ἐναντίωσίν τινα ἔχει πρὸς ἄλληλα. οὔτε γὰρ ὑπὸ χρώματος τὸ γλυκύ, καθὸ γλυκύ, πάθοι ποτ' ἄν, οὔτε ὑπὸ θερμοῦ τὸ ξηρόν, ἀλλ' οὐδὲ ὑπὸ ψυχροῦ τὸ ὑγρὸν καθὸ ὑγρόν, ὅτι μὴ ἔστι ταῦτα ἀλλήλοις ἐναντία, ἀλλὰ * * * ἐναντίοις τε καὶ τοῖς μεταξύ. οὐ γὰρ μόνον τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ καὶ τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ μεταβάλλεταί τε καὶ πάσχει, οὐδὲ τὸ ὑγρὸν ὑπὸ τοῦ ξηροῦ καὶ τὸ ξηρὸν ὑπὸ τοῦ ὑγροῦ, ἀλλὰ καὶ τὰ μεταξὺ ἑκατέρου τῶν ἄκρων, ὅτι κατὰ μῖξίν ἐστι τῷ πρὸς ἑκάτερον τῶν ἐναντίων τὸ μεταξὺ τὸν θατέρου τῶν ἐναντίων σώζειν λόγον. τοῖς γὰρ προειρημένοις συμβέβηκε τὴν αὐτὴν ὕλην ἔχουσιν καὶ ἐναντίωσιν κατὰ τὸ εἶδος ἔχειν πρὸς ἄλληλα. τῆς γὰρ ὕλης ἴδιον τὸ τὴν αὐτὴν εἶναι τῶν ἐναντίων ἐπιδεκτικήν. πάντα γὰρ τὰ ἐν γενέσει τε καὶ φθορᾷ σώματα ἐπὶ τῆς αὐτῆς ἀλλήλοις ἐστὶν ὕλης, ἡ δὲ διαφορὰ αὐτῆς κατά τε εἴδη καὶ συμβεβηκότα πάθη. τὰ γοῦν τέσσαρα σώματα, ἃ στοιχεῖα λέγεται, ἔστι ταῦτα· γῆ καὶ ὕδωρ, ἀήρ τε καὶ πῦρ, ἃ ὕλην τὴν αὐτὴν ἀλλήλοις ἔχοντα κατὰ τὰ εἴδη τὴν πρὸς ἄλληλα σώζει διαφοράν. διαφέρουσι γὰρ ἀλλήλων τῷ τὸ μὲν αὐτῶν θερμόν τ' εἶναι καὶ ξηρόν (ἐν γὰρ τούτοις τὸ εἶναι τῷ πυρί πυρί· ἐστὶ μὲν γὰρ καὶ ἐν τῇ ὕλῃ αὐτῷ τὸ εἶναι τῇ ταῦτα

2 καίτοι BR²a: καί τι rel. 3 μὲν] fortasse μένει τοιαῦτα CPRS: ταῦτα ABa 5 οἷόν τε Ra: διά τε S 5. 6 ἐστὶν—ἀλλήλων om. Ideler 8 δύναται Ideler: δύνασθαι libri 9 ἐκκοινώνηκεν R Ideler: ἐκκοινώνημεν a 10 τῆς αὐτῆς] τῆς B: τοιαύτης a: τῆς τοιαύτης Ideler ἐκκοινωνηκότων Ra 11 ἐναντίωσιν] αἰτίωσιν Ra 12 οὐδὲ scripsi: οὔτε libri 14 πάντῃ] πάντα Ra 16 ἀντιπάσχειν ⟨μηδὲ⟩ Ideler: fortasse ἀντιπάσχειν ⟨, εἰ μὴ διὰ τὸ⟩ 18 ἔχει] ἔχε A: ἔχειν B οὔτε scripsi: οὐδὲ libri 20 καθὸ ὑγρόν om. a 21 ἐναντία A¹ Apelt: ἐναντίοις rel. ἐναντίοις] ⟨ἐν⟩ ἐναντίοις Apelt: ἐναντίους Ideler: ante ἐναντίοις fenestra 15 litterarum A: 20 litterarum BC: fortasse ἀλλ' ⟨ἔστι τὸ ἀντιπάσχειν μόνον ἐν τοῖς⟩ ἐναντίοις 24 ἐστι τῷ] fortasse ἔνεστι τὴν 30 γοῦν] γὰρ in ras. C 34 πυρὶ semel Ideler μὲν s. v. A: om. BCPS τὸ εἶναι om. Ideler

δεδεγμένη, ἀλλ' ἐν | τούτοις ὡς πυρί τε καὶ τῶν ἄλλων διαφέροντι· κατὰ 613
γὰρ τὴν ὕλην τὰ αὐτὰ ἀλλήλοις τὰ τέσσαρα), τὸ δέ τι αὐτῶν ἐστιν ὑγρόν τε καὶ θερμόν (ἐν τούτοις γὰρ πάλιν τὸ εἶναι τῷ ἀέρι), τὸ δὲ ψυχρόν τε καὶ ὑγρόν (τῷ γὰρ ὕδατι ἐν τούτοις τὸ εἶναι), τὸ δὲ ξηρόν τε καὶ ψυχρόν (τοιοῦτον γὰρ ἡ γῆ). ἃς ἔχοντα διαφοράς τε καὶ ἐναντιώσεις πρὸς ἄλληλα, ποιοῦντά τε καὶ πάσχοντα εἰς ἄλληλα ποιεῖ τὰς μεταβολάς, τῆς ὕλης μεταβαλλούσης εἰς τὸ τῶν ποιούντων κρατοῦν. ὅταν γάρ τι αὐτῶν πλεονάσαν τινὸς τῶν ἐναντίωσιν ἐχόντων πρὸς αὐτὸ κατισχύῃ ταῖς ἐναντιώσεσι ταῖς ἐν αὐτῷ ἐπὶ τοσοῦτον, ὡς ἀποβάλλουσαν τὴν ὑποκειμένην ὕλην, ἣν πρότερον εἶχε ποιότητα μεταλαβεῖν τὸ τοῦ κρατήσαντος εἶδος, τότε γίνεται τοῦ μὲν οὕτω μεταβάλλοντος φθορά, γένεσις δέ, εἰς ὃ γένονεν ἡ μεταβολή. αἱ μὲν οὖν γενέσεις καὶ φθοραὶ τῶν σωμάτων αἱ γινόμεναι κατὰ μεταβολὴν τὴν κατὰ τὸ ποιεῖν τε καὶ πάσχειν τοῦτον γίνονται τὸν τρόπον.

XIV Ἐπεὶ δὲ ἄλλο γένεσις καὶ φθορά, καὶ ἄλλο κρᾶσις (ἡ γὰρ κρᾶσις σωζομένων τινῶν μῖξις εἶναι δοκεῖ· οὔτε γὰρ ὑπὸ τοῦ ἑτέρου φθαρέντος καὶ μεταβάλλοντος εἰς τὸ κρατῆσαν κρᾶσις, ἀλλὰ τοῦ μὲν αὔξησις, τοῦ δὲ φθορά — διὸ οὐδὲ ἡ τροφὴ λέγεται κιρνᾶσθαι καὶ τὸ τρεφόμενον — οὔτ', εἰ ἀμφότερα παντάπασιν φθαρείη τὰ μιγνύμενα, τὰ μεμιγμένα κρᾶσις ἔτι· σωζομένων γάρ τινων μῖξις ἡ κρᾶσις), ἀκόλουθον ἂν εἴη τὴν τῆς κράσεως πρὸς τὴν γένεσίν τε καὶ φθορὰν (λέγειν διαφοράν). κοινὸν μὲν γὰρ αὐταῖς ἥ τε κατὰ τὴν ὕλην κοινωνία, καθ' ἣν ὥσπερ φθείρεταί τι, οὕτως καὶ κιρνᾶται, καὶ ἡ διὰ ἐναντίωσιν διὰ τοῦ ποιεῖν τε καὶ πάσχειν μεταβολή. ἴδιον δὲ κράσεως πρὸς τὴν γένεσίν τε καὶ φθορὰν τὸ ἐπὶ μὲν τούτων τέλεον θάτερον εἰς θάτερον μεθίστασθαι καὶ μεταλαμβάνειν τὰς ἐναντιώσεις, καθ' ἃς παθὸν ἀπέβαλε τέλεον, ἃς εἶχε πρὸ τούτου, ἐπὶ δὲ τῶν κιρναμένων οὐ τοῦτον ἔτι γίνεται τὸν τρόπον. ἀλλ' ὅταν πλείω σώματα τοῦ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων ἔχοντα δύναμιν ἀλλήλοις συνέλθῃ, ἔχῃ δὲ οὕτως, ὡς μὴ ὑπερέχειν κατὰ τὰς ἐναντιώσεις ἄλλο ἄλλου δύνασθαι ὡς φθεῖραν αὐτὸ εἰς τὴν ἑαυτοῦ μεταστῆσαι φύσιν, τότε ταῦτα διὰ τὴν τῶν δυναμένων | ἰσότητα, καθ' ἃς ποιεῖ καὶ πάσχει, ὁμοίως ὑπ' ἀλλήλων ἀντιπάσχοντα 614
μέχρι τούτου πρόεισιν, ἕως ἀποβαλόντα τὰς κατὰ ἐναντιώσεις ὑπεροχάς, δι' ἃς ἕτερά τε ἦν ἀλλήλων καὶ ἐναντία, μίαν ἐξ ἁπασῶν τῶν δυνάμεων γεννήσει ποιότητα, ἑνωθείσης καὶ μιᾶς γενομένης τῆς ἀμφοτέροις ἢ πᾶσιν αὐτοῖς ὕλης ὑποκειμένης. γίνεται δὲ ἡ τοιαύτη μῖξις, ἣν κρᾶσιν καλοῦμεν, ἐν τοῖς ὑγροῖς τῶν σωμάτων. καὶ γὰρ ἡ ἐν τοῖς ξηροῖς γίνεσθαι δοκοῦσα κρᾶσις οὐ γίνεται χωρὶς ὑγρότητος. ἑνοῦται γὰρ τὰ ὑγρὰ συντιθέμενα καὶ

---

1 ὡς πυρί τε scripsi: ὡς πῦρ ἐστι Apelt: ὥσπερ εἴτε libri   διαφέροντι] διαφέρον τι Apelt   6 ποιεῖ τὰς Apelt: ποιεῖται libri   8 αὐτὸ scripsi: αὐτὸν libri   8 κατισχύῃ Apelt: καὶ ἰσχύει libri   11 fortasse δὲ ⟨τοῦ⟩, εἰς   16 ἀλλὰ] fortasse οὔτε   17 καὶ del. Apelt   τὸ τρεφόμενον scripsi: τῷ τρεφομένῳ libri   18 μεμιγμένα Apelt: μὴ μιγνύμενα libri   20 λέγειν διαφοράν addidi   26 ὅταν] ὅτε Ra   27 ἔχῃ scripsi: ἔχει libri   31 ἀποβάλλοντα Ra   τὰς κατὰ Apelt: κατὰ τὰς libri: καὶ τὰς Ideler   33 γενήσει Ra

οὐ φυλάσσει τὰς οἰκείας ἐπιφανείας, ἐὰν μὴ ᾖ γλισχρόν. ὅταν δὴ τοῖς κατὰ τὴν ὕλην διὰ τὴν ὑγρότητα κατὰ τὴν παράθεσιν ἑνουμένοις σώμασιν προσήκῃ τὸ ἐναντίωσιν ἔχειν ἰσοκρατῆ πρὸς ἄλληλα, γίνεται αὐτοῖς κατὰ τὰς ποιότητάς τε καὶ δυνάμεις ἕνωσις, ὅπερ ἐστὶν ἡ κρᾶσις. ἑκάτερον γὰρ τῶν οὕτως ἐχόντων διὰ μὲν τὴν ἐνυπάρχουσαν ἐν αὐτοῖς ἐναντίωσιν καὶ τὴν τῆς ὕλης κοινωνίαν μεταβάλλει τε καὶ πάσχει, διὰ δὲ τὴν ἰσότητα τῶν ἐναντιώσεων οὐκ ἐπὶ τοσοῦτον ποιεῖ τὴν μεταβολήν, ὡς ταὐτὸν γενέσθαι θατέρῳ θάτερον. ἀντιπάσχον γὰρ τὸ ποιοῦν ὑπὸ τοῦ πάσχοντος πρὸς αὐτοῦ καὶ μὴ μένον ὅμοιον αὑτῷ, παύεται τοῦ ποιεῖν ἔτι δύνασθαι πρὸ τοῦ κρατῆσαι τέλεον αὐτοῦ. καὶ τοῦτ' ἐστὶν ἡ κρᾶσις· ἡ γὰρ διὰ τοῦ ποιεῖν καὶ πάσχειν τῶν παρακειμένων ἀλλήλοις σωμάτων διὰ μεταβολῆς χωρὶς φθορᾶς αὐτῶν τινος ἕνωσις.

XV Συνεργεῖ δὲ τοῖς ὑγροῖς πρὸς τὴν θᾶττω μεταβολήν τε καὶ κρᾶσιν καὶ τὸ εὐδιαίρετον. διαιροῦντα γὰρ ἄλληλα πρὸ τῆς ἑνώσεως καὶ κατὰ μικρὰ παρατιθέμενα ἀλλήλοις, ῥᾷον καὶ θᾶττον ἀντιπάσχοντα ὑπ' ἀλλήλων, ταχέως ἕν τι γίνεται σῶμα καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὴν ποιότητα, ἐνεργείᾳ μὲν οὐδὲν ὂν τῶν μεμιγμένων, δυνάμει δὲ πᾶν τι, τοσοῦτον ἀπολειπόμενον τοῦ καὶ ἐνεργείᾳ σώζειν τὰ ἐν αὐτῷ μεμιγμένα, ὅσον διὰ τοῦ ποιεῖν τε καὶ πάσχειν ἀφῄρηται διὰ τῆς δυνάμεως αὐτῶν ἑκάστου. διὸ καὶ ὀλίγης δεῖται βοηθείας τῆς πρὸς † αὐτὴν εἰς ταύτην μεταβολὴν δς ἦν γε αὐτῶν τοιαῦτα | χωρεῖ μὴ πάντα 615 χωριστὰ τὰ πεπραγμένα. προσθήκης γὰρ δεῖταί τινος εἰς τελειότητα, ἀλλ' οὐ παντελοῦς γενέσεώς τε καὶ μεταβολῆς. διὸ καὶ προσφερομένων αὐτοῖς τινων, ἃ πρὸς τὴν τοιαύτην τελειότητα συνεργεῖν ἐστιν οἷά τε, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἀνατρέχει φύσιν, οὐ τοῦ πρότερον ὄντος ὕδατος ἢ οἴνου [τοῦ] ἐκκρινομένου πάλιν (οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσώζετο ἐν τῷ μίγματι, παράθεσις γὰρ ἄν, οὐ κρᾶσις ἦν· ἐν γὰρ τοῖς κεκραμένοις ἕν τε καὶ ὁμοιομερὲς πᾶν τὸ γεγονὸς ἐκ τῆς κράσεως), ἀλλὰ δυναμένου [ἀπὸ] τοῦ τοιούτου κράματος εἰς ὕδωρ μὲν ῥᾳδίως μεταβάλλειν † μεταβαλόντος εἰς τοῦτο ἀρχήν, μὴ μιχθὲν ἐκ τοιούτων ἐπὶ τοιαύτης ποιότητος. ὡς γὰρ ἐπὶ τοῦ γάλακτος ὄντος ὁμοιομεροῦς σώματος, ἔχοντος δὲ ἐν αὐτῷ [τι] δυνάμει καὶ ὑγρόν τι καὶ στερεόν, ὁ πεπυρωμένος ἐμβληθεὶς λίθος ἑκάτερον αὐτῶν ἐξ αὐτοῦ διέκρινε γεννήσας τρόπον τινά, καὶ τὸ μὲν αὐτοῦ τυρὸν ἐποίησε, τὸ δὲ ὀρρόν, οὐ μέρος τι ἐνυπάρχον αὐτῷ ἐνεργείᾳ χωρίσας, ἀλλ' ἀπὸ παντὸς μορίου

---

3 προσήκῃ scripsi: προσῆκε libri   ἄλλη Ra   11 περικειμένων Ra   12 θᾶττον A[2]   13 διαιροῦντα] διαιροῦν Ra   πρὸ BCRS: πρὸς APa   14 περιτιθέμενα Ra   17 πᾶν τι Ideler: παντὶ libri   τοσοῦτον BCPS: τὸ σοῦτο A[1]: τοσούτων A[2]: τοσούτῳ Ra   τοῦ Apelt: τὸ libri: τῷ Ideler   19 αὐτῶν om. PRa   ὀλίγης] ὀλιγάκις Ra: ὀλίγης τινὸς Apelt   19. 20 πρὸς αὖ τὴν Apelt   20 δς ἦν γε αὐτῶν ABCPS: δς ἦν γε Ra: ἦν γε Ideler, qui ante ἦν lacunam esse statuit: ὅση γε Apelt   χωρεῖ Apelt   20. 21 πάντῃ ἀχώριστα Apelt recte ut videtur, reliqua ita constituerim [τῆς] πρὸς ⟨τὴν⟩ αὐτῶν εἰς ταύτην (scil. δύναμιν) μεταβολήν, ὅσα γε αὐτῶν τοιοῦτο χωρεῖ, ⟨ἐπεὶ⟩ μὴ πάντῃ ἀχώριστα τὰ κεκραμένα   21 τὰ om. Ra   εἰς] πρὸς Ra   24 τοῦ circumscripsi   26 καὶ οὐ Ra   27 ἀπὸ circumscripsi   τοιούτου corr. ex τοσούτου A   28 μεταβάλλοντος (sc. τοῦ κράμ.) εἰς τὸ τὴν ἀρ. Diels   30 τι delevi

γεννήσας αὐτῶν ἑκάτερον, οὕτως ὑποληπτέον ποιεῖν καὶ τὴν καθιεμένην
σπογγίαν εἰς τὸ ἀγγεῖον τὸ ἔχον ἐν αὑτῷ κεκραμένον οἶνον ὕδατι. τῇ
γὰρ οἰκείᾳ ποιότητι ἀπὸ παντὸς τοῦ μίγματος γεννῶσα τὸ δυνάμενον ῥᾳ-
δίως ὕδωρ καθαρὸν ὑπ᾽ αὐτοῦ γενέσθαι ὑπὸ τοσαύτης τε καὶ τοιαύτης
δυνάμεως χωρίζον ἀναφέρει. ὡς γὰρ ἐπὶ τοῦ γλεύκους, ὁμοιομεροῦς ὄντος
σώματος, ἡ ὀλίγη πέψις προσελθοῦσα ἐξ ἅπαντος αὐτοῦ γεννᾷ τε καὶ δια-
κρίνει πνεῦμά τε καὶ οἶνον (ὅτι γὰρ μὴ πρότερον ἦν ἐν αὐτῷ ταῦτα ἐνερ-
γείᾳ, δῆλον ἐκ τοῦ μὴ δύνασθαι μὲν οὕτως ὑγρῷ κατέχεσθαι ἐνεργείᾳ
πνεῦμα, ὡς εἴρηται καὶ πρὸ ὀλίγου, ἀλλὰ τὸ γενόμενον ἐκκρίνεσθαι παρα-
χρῆμα πᾶν ἐπὶ τῆς πέψεως), οὕτως ὑποληπτέον καὶ τὰ χωρίζοντα ἀπὸ
τῶν κεκραμένων, ἐξ ὧν κέκραταί τινα, οὐκ ἐνυπάρχοντα ἐνεργείᾳ χωρίζειν.
ἀλλὰ μεταβάλλοντα δυνάμει τινὶ καὶ τελειοῦντα τὰ δυνάμει διὰ τὴν κρᾶσιν
ἐνυπάρχοντα | αὐτοῖς. ὡς γὰρ ἐπ᾽ ἐκείνων ἐπιπόλαιός τινος γένεσις γί- 616
νεται (οὐ γὰρ τοῦ γάλακτος εἰς ἐναντίας τινάς, αἷς ἔχει, μεταβαλόντος ποιότη-
τας τὸ μὲν ὀρρὸς τὸ δὲ τυρὸς γίνεται, ἀλλὰ τῶν ὑπαρχόντων αὐτῷ δυνά-
μει οὕτως, ὡς ὀλίγης τινὸς πρὸς τὸ ἐνεργείᾳ εἶναι δεῖσθαι βοηθείας, εἰς
τὸ ἐνεργείᾳ εἶναι γίνεται), οὕτως μεταβολὴν ἡγητέον γίνεσθαι καὶ ἐπὶ τῶν
κεκραμένων. ἕπεται δὲ τῇ ἐπὶ τῶν κεκραμένων τοιαύτῃ μεταβολῇ [ἢ] τὸ
διακρίνεσθαι δύνασθαι δοκεῖν αὐτά, ὅτι καὶ τὴν ἀρχὴν ἐκ μίξεως τοιούτων
ἡ γένεσις τῷ ταῦτα πάσχοντι σώματι. καὶ ἔστιν ὁ χωρισμὸς λεγόμενος
τῶν κεκραμένων οὔτε ὅμοιος τῷ ἐπὶ τῶν ἀλλήλοις παρακειμένων, οὔτ᾽
αὖ τῷ πάλιν τῶν κατὰ φθορὰν καὶ γένεσιν καὶ τὴν εἰς τοὐναντίον μεταβο-
λὴν ἀποκρινομένων, ὡς ἐξ ὕδατος ὁρῶμεν εἰς ἀέρα γινομένην ἀπόκρισιν,
ἀλλ᾽ ἔστι τὸ γινόμενον μεταξὺ τούτων. οὔτε γὰρ ἐνεργείᾳ ἐνυπάρχοντα
διακρίνεται οὔτε εἰς τοὐναντίον τῷ ὑποκειμένῳ μεταβάλλοντα ἀποκρίνεται.
ἐπὶ μὲν γὰρ τούτων ταὐτὸν κατὰ τὸ εἶδος μένει μετὰ τὴν ἀπόκρισιν τὸ
ὑπομένον τῷ πρὸ τοῦ, μόνον κατὰ ποσὸν ἐλαττούμενον, ἐπὶ δὲ τῶν κεκρα-
μένων οὐχ ὁμοίως, τῷ ἕκαστον τῶν ὄντων δυνάμει ἐν τῷ ἐκ τοῦ κράμα-
τος γεγονότι σώματι ἐκκρίνασθαι, μεταβάλλον εἰς τὴν τελειότητα, ἧς ἀφῃ-
ρέθη διὰ τοῦ ἐπ᾽ ἴσης αὐτὰ ἀντιπαθεῖν ὑπ᾽ ἀλλήλων, δι᾽ ὃ πάθος καὶ
ἐπὶ τούτων τὸ χωρίζεσθαι κατηγορεῖται. εἰ οὖν τά τε διὰ τῆς τοιαύτης
μεταβολῆς τελειούμενα οὐ γενέσθαι, ἀλλὰ χωρίζεσθαι λέγειν εὔλογον, τά
τε ἄλλα περὶ τῆς γενέσεως τῆς κράσεως εἰρημένα ἀκόλουθά τε ταῖς ὑπο-
κειμέναις ἀρχαῖς καὶ συνῳδὰ ταῖς μεταβολαῖς τε καὶ γενέσεσι τῶν σωμά-

---

5 χωριζόμενον Apelt τοῦ γλεύκους] τοὺς λευκοὺς A[1] ὁμοιομεροῦ Ideler 6 προελθοῦσα Ra αὐτοῦ] αὐτῶν Ra γεννᾷ τε Apelt: γεννᾶται libri 8 fortasse κατέχεσθαι ⟨σώματι τὸ⟩ 9 εἴρηται] 223, 19 πρὸς Ra γεννώμενον Apelt 10 ἀπὸ] fortasse ἐπὶ 14 ἔχει] εἶχε Ideler μεταβάλλοντος BRa 18 τοιαύτης a ἢ del. Apelt 19 διακρίνασθαι a 21 ὅμοιος Ideler: ὁμοίως libri ἐπὶ τῶν ἀλλήλοις scripsi: ἐπὶ τοῖς (τῆς a) ἀλλήλων (ἀλλήλοις A[2]) libri: ἐπιπολῆς ἀλλήλων Apelt παρακειμένων] περικειμένων Ra: περιθέσεως κειμένων Ideler 22 αὖ τῷ scripsi: αὐτὰ libri: ὁ αὐτὸς Ideler: αὖ Apelt τῶν scripsi: τῷ libri 25 τὸ ἐναντίον Ra 26 ταὐτὸν] ταὐτὰ Ideler 27 ὑποκείμενον BCP τοῦ] τούτου Ideler πόσον Ideler 29 ἐκκρίνεσθαι Apelt 30 ὑπ᾽] δι᾽ a Ideler 32 fortasse γίνεσθαι

των καὶ σώζοντα τὰς περὶ τῆς κράσεως κοινὰς προλήψεις, μόνος Ἀριστοτέλης εἴη ἂν τὸν ἀληθῆ περὶ τῆς κράσεως ἀποδεδωκὼς λόγον. ὅτι δὲ ⟨τὰ⟩ κιρνάμενα διαιροῦντά τε πρῶτον ἄλληλα | 617 καὶ τῇ κατὰ μικρὰ παραθέσει εὐπαθέστερα γινόμενα ἑνοῦταί τε καὶ ὁμοιοῦται κατὰ τὸ εἶδος καὶ τὰς ὁμοιότητας, καὶ κατὰ τὴν αἴσθησίν ἐστι γνώριμον. ἕως γὰρ ἔτι μένει τῶν κιρναμένων ἑκάτερον ἐπὶ τῆς οἰκείας οὐσίας, ἡ ὑπ' ἀλλήλων γινομένη διάκρισις αὐτῶν καὶ ἀπὸ τῆς τῶν χρωμάτων διαφορᾶς γίνεται γνώριμος· ὑγρὰ ὄντα καὶ εὐδιαίρετα καὶ ἀνόμοια ὑπὸ τῆς πληγῆς τῆς κατὰ τὴν ἐπίχυσιν θατέρῳ θάτερον ἀρχὴν λαβόντα τοῦ διαιρεῖν ἄλληλα, ὄντα καὶ ἀντισόρροπα, εἰ οὕτως τύχοι, τὸ μὲν βαρύτερον αὐτῶν διαιροῦν φέρεται κάτω, τοῦ δὲ κουφοτέρου τὰ μόρια ὑποχωροῦντα τοῖς βαρυτέροις ἐπιπολῆς αὐτῶν σπεύδει γενέσθαι. ἣν τοπικὴν μετάβασιν αὐτῶν ἵστησι φθάνουσαν ἡ κατὰ πάθη μεταβολή, ἑνοῦσα αὐτὰ τῇ κατὰ πάντα ὁμοιότητι, ὃ καὶ αὐτὸ τῇ ὄψει γίνεται γνώριμον.

XVI Ἐπεὶ δὲ πρὸς κατασκευὴν τοῦ σῶμα διὰ σώματος χωρεῖν χρῶνται καὶ ταῖς τῶν ζῴων διὰ τῆς τροφῆς αὐξήσεσιν (εἰ γὰρ [αὔξησις] τῇ προσθήκῃ τῆς τροφῆς πάντῃ καὶ αὔξεται τὰ αὐξανόμενα, πάντῃ ἂν ἡ τροφὴ προσκρίνοιτο τῷ ὑπάρχοντι σώματι· οὐχ οἷόν τε δὲ πάντῃ προσκριθῆναι τὴν μὴ διὰ παντός τε καὶ πρὸς πᾶν ἐνεχθεῖσαν· ἀλλ' εἰ διὰ παντὸς ἡ τροφὴ τοῦ σώματος φέρεται, σῶμα οὖσα, ἀναγκαῖον εἶναι δόξει, σῶμα διὰ σώματος χωρεῖν, εἴ γε μόνως οὕτως οἷόν τε τὴν ἐκ τῆς τροφῆς προσθήκην παντὶ τῷ τρεφομένῳ γίνεσθαι σώματι), ὅτι οὐν μὴ οὕτως τὸ τρέφεσθαί τε καὶ αὔξεσθαι γίνεται (οὐδὲν γὰρ τῶν ἀδυνάτων γίνεται) φέρε † καὶ ὧν ἐκθέμενος τὴν Ἀριστοτέλους δόξαν τὴν περὶ αὐξήσεώς τε καὶ τροφῆς. ποιήσομαι δὲ τὸν λόγον ἐπὶ τῶν κυρίως αὔξεσθαι λεγομένων. ἐπὶ τούτων γὰρ καὶ ἡ ἀπορία πρόεισιν· ἔστι δὲ ταῦτα τὰ διὰ τοῦ τρέφεσθαι τὴν προσθήκην λαμβάνοντα. τρέφεται δὲ ὅσα τὴν θρεπτικὴν ἔχει δύναμιν ἐν αὑτοῖς, | 618 τοιαῦτα δὲ τὰ φυτὰ καὶ τὰ ζῷα. ὅσα δὴ τοῖς οὕτως αὐξανομένοις ὑπάρχει καὶ ὅσα δεῖ φυλάττειν τοὺς περὶ αὐξήσεως λέγοντας, ἀνάγκη ταῦτα πρῶτον ἐκθέσθαι· ταῦτα γὰρ ἡμῖν ὄντα γνώριμα συντελέσει πρὸς τὴν τῶν ῥηθησομένων κρίσιν. τὰ δὴ αὐξανόμενα πάντα προσιόντος γέ τινος αὐτοῖς ἔξωθεν αὔξεται, εἴ γε διὰ τοῦ τρέφεσθαι τὸ αὔξεσθαι γίνεται, ἔτι τε ⟨οὐ⟩ κατὰ μόριον τὴν ἐπίδοσιν λαμβάνει. οὐ γὰρ ἕν τι ἡ αὔξησις τοῖς αὐξανομένοις κατὰ φύσιν, ὥσπερ οἷς ἔξωθέν τι

1 κοινοὺς a 1. 2 Ἀριστοτέλους Ra 2 λόγου a 3 τὰ addidi διαιροῦντά Schwartz: διαιρεῖταί libri 4 εὐπαθέστερα Apelt: ἀπαθέστερα libri 5 ὁμοιότητας] fortasse ποιότητας 7 τῆς] τὰς Ideler 8 fortasse ὑγρὰ ⟨γάρ⟩ 10 τύχοι] τύχῃ a 11 κουφοτάτου Ra 13 ἑνοῦσα] ἑνοῦσα sic A: ἑνοῦσαν P 15 αὐξήσεσιν, ⟨καὶ περὶ τούτων διαλεκτέον⟩ Ideler εἰ scripsi: ἡ libri 16 αὔξησις delevi τροπῆς a πάντῃ] fortasse πάντα 17 ὑπάρχοντι A[1]BPSC (signo praeposito): προυπάρχοντι A[2]Ra 17 et 18 πάντῃ] fortasse παντὶ 18 μὴ scripsi: μίαν libri πρὸς ἐνεχθεῖσαν a: προσενεχθεῖσαν Ideler 23 φέρε καὶ ⟨νῦν ἀποδειξώμεθα⟩ ἐκθέμενοι Ideler: fortasse φέρ' εἴπωμεν ἐκθέμενοι ἐκθέμενοι BCPS 27 ἔχει coll. post αὑτοῖς Ra δὴ] δεῖ Apelt 28 ὑπάρχει scripsi: ὑπάρχειν libri δεῖ Ideler: δὴ libri τοὺς A[2]Ra: τῆς A[1]BCPS 29 ὄντα om. Ideler 32 αὐξάνεσθαι Ra ἔτι τε οὐ scripsi: ἔτι τε libri: ἔτι δὲ Ideler: οὔτι δὲ Apelt 33 fortasse ⟨καθ'⟩ ἕν τι: ἐστι Apelt

προσπλάσσεται (οὐ γὰρ τῶν αὐξομένων τινὸς ὁ ποὺς αὔξεται μόνος), ἀλλὰ καὶ πάντων τῶν μορίων ἐπίδοσις κατ' ἀναλογίαν γίνεται. καὶ γὰρ ταὐτὸν ὑπομένον τε καὶ σῷζον τὴν οἰκείαν φύσιν τὸ αὐξόμενον τὴν προσθήκην λαμβάνει. οὔτε γὰρ μὴ ὑπομένοντος τοῦ αὔξεσθαι λεγομένου αὔξησις τὸ γινόμενον * * * εἰς ὄγκον μεταβάλλειν μείζονα (διὰ τοῦτο γὰρ οὔτε τῶν χιρναμένων τι αὔξεσθαι λέγεται μεταβαλλόντων εἰς ἄλλο τι σῶμα ὂν ἐπ' ὄγκου μείζονος, ὡς ὁρῶμεν γινόμενον ἐκ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς, ἀλλ' ἐνταῦθα μὲν γένεσις καὶ φθορά, ὕδατος μὲν φθορά, γένεσις δὲ ἀέρος, ἐκεῖ δὲ μίξίς τε καὶ κρᾶσις), οὔτε τὸ τυχὸν τῶν εἰς τὴν αὔξησιν συντελούντων αὔξεται, ἀλλὰ τὸ σωζόμενόν τε αὐτῶν καὶ ὑπομένον, καὶ ἔτι τὴν αὐξητικήν τε καὶ θρεπτικὴν ἔχον δύναμιν ἐν αὑτῷ. διὰ ταῦτα γὰρ οὐχ ἡ τροφὴ αὐξανόμενον, καίτοι καὶ αὐτὴ σῶμα καὶ γινομένη τῆς αὐξήσεως αἰτία, ἀλλ' ᾧ ἡ τροφὴ προσκρίνεται. ἡ μὲν γὰρ μεταβάλλει, τὸ δὲ σώζεται· καὶ ἡ θρεπτικὴ δύναμις, ἡ μεταβλητικὴ δὴ καὶ προσκριτικὴ τῆς τροφῆς, ἐστὶν ἐν τούτῳ. ⟨τούτων⟩ τοίνυν τοῖς αὐξανομένοις ὑπαρχόντων ζητεῖται, ἐπεὶ ἡ αὔξησις προστιθεμένῳ γίνεται, τί ἐστι ⟨τὸ⟩ προστιθέμενον; ἢ γὰρ σῶμα ἢ ἀσώματον εἶναι δεῖ τὸ προστιθέμενον. οὔτε δὲ ἀσωμάτῳ τὴν αὔξησιν εἶναι λέγειν εὔλογον, οὔτε σώματι εἶναι δοκεῖ. ἀσωμάτῳ μέν, ὅτι οὐκ ἀσώματος ἡ τροφή, ἀκολουθήσει τε τοῖς κατὰ ἀσωμάτου τινὸς προσθήκην τὴν αὔξησιν εἶναι λέγουσι † κατέχειν τόπον· οὐ κατεῖχε δὲ τόπον τὸ αὐξῆσαν αὐτό· ὃν γὰρ ἐπιλαμβάνει τὸ αὐξανόμενον, οὗτός ἐστι πρὸ τῆς αὐξήσεως αὐτοῦ κενός, | 619 εἴ γε μόνων σωμάτων τὸ κατέχειν τινὰ τόπον. εἰ δὲ σώματι λέγοιτο ἡ αὔξησις γίνεσθαι προστιθεμένῳ, ἔσται σῶμά τε διὰ σώματος χωροῦν καὶ † γινόμενον σώματι, εἴ γε καθὸ μὲν αὔξεταί τι, κατὰ τοῦτο τὴν προσθήκην λαμβάνει, κατὰ πάντα δὲ τὸ αὐξόμενον αὔξεται, ὥστε κατὰ πᾶν καὶ προσθήκην λήψεται. ἀλλ' εἰ σῶμα ὂν κατὰ πᾶν ἑαυτὸ τὴν προσθήκην λαμβάνει, δεήσει διὰ παντὸς αὐτὸ χωροῦν τὸ προστιθέμενον αὐτῷ (τοῦτο δ' ἐστὶν ἡ τροφή) τὴν αὔξησιν αὐτοῦ ποιεῖσθαι. εἰ γὰρ λέγει τις διά τινων κενῶν γενέσθαι τὴν δίοδον τῆς τροφῆς, ἀνάγκη τούτῳ λέγειν, πᾶν τὸ τρεφόμενον σῶμα εἶναι κενόν, εἰ καθ' ὃ μὲν ἡ πάροδος τῆς τροφῆς, κενὸν κατὰ τοῦτο, κατὰ πάντα δ' αὐτοῦ ἡ πάροδος τῆς τροφῆς, εἰ δὴ κατὰ πάντα αὔξεται. τῷ δὴ μέλλοντι φυλάττειν τε τὰ τοῖς αὐξανομένοις ὑπάρχοντα καὶ λύσειν τὰ ἀπορούμενα ἀναγκαῖον πρῶτον, τί ποτέ ἐστι τὸ αὐξόμενον λαβεῖν, καὶ κατὰ

1 αὐξανομένων RSa 2 τῶν om. Ra ταὐτὸν Apelt: τοιοῦτον Ideler: τρίτον libri 5 εἰς] fortasse ⟨εἰ καὶ⟩ εἰς fortasse μεταβάλλει μεῖζον A[1] 6 λέγεται ⟨οὔτε τῶν⟩ Apelt 7 ἐκ] fortasse ἐπὶ 9 τῶν om. a 10 ἐπιτελούντων Ra ὑπομένον scripsi: ὑποκείμενον libri 12 αὐξανομένη Ra 14 δὴ scripsi: δὲ libri 14. 15 προκριτικὴ Ra 15 ἐστιν ἐν τούτῳ. ⟨τούτων⟩ scripsi: ἐστιν. τούτων Apelt 16 ἐπεὶ] ἐπὶ? A προστιθεμένῳ scripsi: προστιθεμένου libri τὸ add. Diels 19 μὲν ⟨οὐ⟩ Apelt 20 intellegerem λέγουσι ⟨τὸ αὐξῆσαν αὐτὸ μὴ λέγειν⟩ κατέχειν τόπον· [οὐ] κατεῖχε δὲ 23 δὲ Apelt: τε libri 24 γινόμενον σώματι] fortasse δεχόμενον σῶμά τι 28 αὐτὸ] αὐτοῦ Apelt δ' om. BCPSR 30 τούτῳ scripsi: τοῦτο libri 32 post αὔξεται add. Ideler: κενὸν ἄρα κατὰ πάντα 33 τε] δὲ a 34 πρῶτον ⟨μὲν⟩ Ideler λαβεῖν] λέγειν Ra

ποῖα μόρια τῶν αὐξομένων τῆς προσθήκης γινομένης τὰ ὅλα αὔξεται. ἐπεὶ τοίνυν ἐν τοῖς αὐξομένοις ἐστὶ τῶν μερῶν τὰ μὲν ἀνομοιομερῆ, τὰ δὲ ὁμοιομερῆ (καὶ ἀνομοιομερῆ μὲν τὰ ἐκ διαφερόντων μερῶν συνεστῶτα, ὡς πρόσωπον καὶ χείρ, ὁμοιομερῆ δὲ σάρξ τε καὶ ὀστᾶ, μῦς καὶ αἷμα καὶ φλέψ, καὶ ὅλως ὧν τὰ μόρια τοῖς ὅλοις ἐστὶ συνώνυμα), καὶ σύγκειται ἐκ τῶν ὁμοιομερῶν τὰ ἀνομοιομερῆ, ἀλλ' οὐκ ἀνάπαλιν (οὐ γὰρ ἐκ προσώπων ἡ σάρξ, ἀλλ' ἐκ σαρκῶν τε καὶ ὀστῶν τὸ πρόσωπον), ἡ αὔξησις κατὰ τὴν τοῖς ὁμοιομερέσι προσθήκην γίνεται. τούτοις γὰρ αὐξομένοις ἕπεται καὶ ἡ τῶν ἀνομοιομερῶν ἐπίδοσις. οὐ γὰρ ἡ προσκρινομένη τροφή, πρόσωπον ἢ χεὶρ γινομένη, προσκρίνεται, ἀλλ' εἰς σάρκα καὶ ὀστοῦν καὶ τῶν ἄλλων τῶν ὁμοιομερῶν ἕκαστον μεταβάλλουσά τε καὶ προσκρινομένη τούτοις τῆς τοῦ παντὸς αὐξήσεως σώματος αἰτία γίνεται. εἰ τοίνυν ἡ μὲν αὔξησις τοῦ αὐξανομένου σωζομένου τε καὶ μένοντος, αὔξεται δὲ τὰ ὁμοιομερῆ, δῆλον ὅτι ταῦτα σώζεσθαί τε καὶ μένειν δεῖ. | [620] ἀκόλουθον τοίνυν τούτοις ἰδεῖν, πῶς τις λέγων ὑπομένειν ταῦτα ἀληθεύσει. καθὸ γὰρ ὑπομένειν οἷόν τε ταῦτα, κατὰ τοῦτ' αὐτῶν καὶ τὴν αὔξησιν ἀναγκαῖον εἶναι λέγειν. πᾶν δὴ τὸ ἐξ ὕλης τε καὶ εἴδους συγκείμενον καθ' ἑκάτερον τῶν ἐξ ὧν ἐστιν εἶναι λέγεται· καὶ γὰρ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ εἶδος. ἐκ τούτων δὲ καὶ τὰ ὁμοιομερῆ, καθ' ἃ λέγομεν τὴν τῶν ζῴων αὔξησιν γίνεσθαι. διὸ καὶ ταῦτ' ἔχει τὸ διττόν. καὶ λέγεται ἕκαστον αὐτῶν ποτὲ μὲν κατὰ τὴν ὕλην, ποτὲ δὲ κατὰ τὸ εἶδος. ὅταν μὲν γὰρ λέγωμεν τὴν σάρκα ῥεῖν καὶ εἶναι ἐν συνεχεῖ ἀποκρίσει τε καὶ προσκρίσει, κατὰ τὴν ὕλην τὴν σάρκα ταῦτα πάσχειν λέγομεν, ὅταν δ' αὖ πάλιν λέγωμεν τὴν σάρκα τὴν αὐτὴν μένειν, ἀπὸ τοῦ εἴδους καὶ τὴν κατὰ τὸ εἶδος σάρκα λαβόντες ταῦτα αὐτῇ μαρτυροῦμεν. πάντα γὰρ τὰ ἐν ὕλῃ τὸ εἶναι ἔχοντα κατὰ μὲν τὴν ὕλην ἄλλοτε ἄλλα γίνεται, διὰ τὸ μὴ μένειν ταύτην κατὰ τὸν ἀριθμὸν μίαν, συνεχῶς κατὰ τὰ μόρια μεταβάλλουσάν τε καὶ γινομένην ἄλλοτε ἄλλην, κατὰ δὲ τὸ εἶδος ἐν αὐτῷ κατ' ἀριθμὸν ἕκαστον μένει. κατὰ γὰρ τὸ εἶδος ἡ σὰρξ ἡ αὐτὴ κατ' ἀριθμὸν μένει. κἂν τὸ μὲν ἀπορρέῃ τῆς ὑποβεβλημένης ὕλης αὐτῇ, τὸ δὲ ἐπιρρέῃ, † ἔστι μένον αὐτῆς ἐν αὐτῷ, φυλάσσει τὸ τῆς σαρκὸς εἶδος, τῇ κατὰ διάδοσιν μονῇ κωλῦον αὐτοῦ τὴν παντελῆ φθοράν. οὐ γὰρ τὸ εἶναι τῇ σαρκὶ ἐν τῷ τόσῳδε μεγέθει, ὃ οὐ ταὐτὸ μένει διὰ τὴν τῆς ὕλης ῥύσιν, ἀλλ' ἐν τῷ εἴδει τῷ τοιῷδε, ὃ ταὐτὸν μένει, ἔστ' ἂν σώζηταί τι τῆς σαρκός. οὕτως τοίνυν

2 ὁμοιομερῆ A[1] 2. 3 τὰ δὲ—καὶ ἀνο add. A[2] in mg. 4 τε] τις Ra μῦς a: ex corr. AR: om. BPS: om. cum indicio lacunae C 5 pr. καὶ om. Ra 6 ἀνομοιομερῆ A[2]Ra: ὁμοιομερῆ A[1]B (post ὁ spatium 2 litt.) CPS 6. 7 ἐκ προσώπων scripsi: εἰς πρόσωπον libri: ἐστι πρόσωπον sive ἐκ προσώπου Apelt 10 εἰς καὶ σ. κ. Ra 14 δεῖ Diels: διὸ libri 17 δὲ a 23 λέγωμεν a 24 ἀπὸ] αὐτὸ Ra τὸ εἶδος] τοῦ εἴδους Ra 25 μαρτηροῦμεν Ra 29 κατὰ τὸν ἀρ. Ideler 30 ἔστι μένον] ἔτι μενον Ideler: εἴ τι μένοι Apelt: fortasse ἔστ' ἄν τι μένῃ cf. v. 34 32 αὐτοῦ Apelt: αὐτὸ libri 32. 33 ἐν τῷ τοσῷδε Apelt: ἐντὸς τόσῳ δὲ libri 33 μεγέθη Ra ὃ οὐ Apelt: οὐ libri εἴδη a 34 ὃ Apelt: οὐ libri

τούτων ἐχόντων, κειμένου δὲ καὶ τοῦ τὸ αὐξανόμενον δεῖν ὑπομένειν, ἂν μὲν κατὰ τὴν ὕλην τις λέγῃ γίνεσθαι τὴν τῆς σαρκὸς αὔξησιν, ἀναιρήσει τὸ τὸ αὐξόμενον τὸ αὐτὸ σωζόμενον κατ' ἀριθμὸν αὔξεσθαι (αὐτὴ γὰρ ἄλλοτε ἄλλη), εἰ δέ τις κατὰ τὸ εἶδος λέγοι τὴν αὔξησιν γίνεσθαι, οὐκέτι ἂν ὁ λόγος ἐμποδίζοιτο. τοῦτο γὰρ ὑπομένει, τοῦ δὲ ὑπομένοντος ἦν. κειμένου δὲ τοῦ τὰ αὐξανόμενα κατὰ τὸ εἶδος αὔξεσθαι, ἐπὶ τούτοις ἄξιον ἰδεῖν, πῶς τῆς τοῦ αὔξοντος αὐτὰ προσκρίσεως αὐτοῖς γινομένης αὔξεται.

εἰ μὲν οὖν κατὰ τὴν ὕλην ἡ αὔξησίς τε καὶ ἡ πρόσκρισις ἐγίνετο, ἀναγ- 621
καῖον ἂν ἦν λέγειν τῷ κατὰ πᾶν μόριον αὔξεσθαι τὰ αὐξανόμενα λέγοντι, κατὰ πᾶσαν τὴν ὕλην γενέσθαι τὴν προσθήκην τὴν ἀπὸ τῆς τροφῆς, ἥτις οὐκ ἄλλως ἐδύνατο γίνεσθαι (τῆς γε ὕλης τῆς αὐτῆς ὑπομενούσης), ⟨ἢ⟩ σώματος χωροῦντος διὰ σώματος, εἴ γε σῶμα ἡ τροφή· ἐπεὶ δὲ κατὰ τὸ εἶδος ἡ αὔξησις, οὐκέτι ἀναγκαῖον, εἰ καὶ κατὰ πᾶν τὸ εἶδος αὔξεται, τοῦτο γίνεσθαι σώματος χωροῦντος διὰ σώματος. οὐδὲ γὰρ τὴν ἀρχὴν προϋπάρχον ὑπομένει, ὥστε γίνεσθαι τῷ αὔξοντι σώματι δι' αὐτοῦ τὴν ὁδόν, ἀλλὰ γίνεται μὲν ἡ τροφὴ τῆς σαρκὸς ὕλη, προσκρινομένη δὲ κατὰ μέρη τινὰ τῇ τῆς προϋπαρχούσης ἔτι, μενούσης δὲ καὶ τὸ εἶδος φερούσης, εἰ μὲν εἴη ἐλάττων ἢ ἴση τῆς ἀπορρεούσης, σώζει οὐ μόνον τό, ᾧ προσκρίνεται, τρέφουσα αὐτὸ καὶ κωλύουσα πᾶν διαφθαρῆναί τε καὶ φθαρῆναι διὰ τὴν συνεχῆ ῥύσιν, ὅταν δὲ πλείων ἡ ὑπὸ τῆς θρεπτικῆς δυνάμεως κατεργαζομένη τε καὶ προσκρινομένη ὕλη τῆς ἐπαναλισκομένης τε καὶ ἀπορρεούσης, τότε πρὸς τῷ τρέφεσθαι τὸ ὑποκείμενον καὶ αὔξεται, τῆς μὲν οὐσίας τοῦ σώζοντος εἰς τὸ εἶναί τε καὶ σώζεσθαι συντελούσης τῷ τρεφομένῳ, τῆς δὲ ποσότητος εἰς αὔξησίν τε καὶ μέγεθος. διὸ ὅταν μὲν ἐνεργῇ καθὸ τροφή, τότε μόνον σώζει τὸ ὑποκείμενον, ὅταν δὲ καὶ ὡς ποσή, πρὸς τῷ σώζειν καὶ συναύξει. [μὴ] πάντῃ δὲ τῆς προσκρίσεως γινομένης, αὔξεται πάντως, ὅτι τῆς θρεπτικῆς δυνάμεως τῆς ἀλλοιούσης τε τὴν τροφὴν καὶ ἐξομοιούσης καὶ προσκρινούσης τῷ τρεφομένῳ ἴδιον ὥσπερ τὸ σώζειν τὸ ὑπ' αὐτοῦ τρεφόμενον, οὕτω δὲ καὶ μετὰ τοῦ ἰδίου αὐτὸ τηρεῖν σχήματος· μᾶλλον δὲ ἕπεται καὶ τούτῳ τὸ σώζειν. τότε γὰρ κυρίως σώζεταί τι, ὅταν τηρῆται μετὰ παντὸς τοῦ κατὰ φύσιν ὑπάρχοντος αὐτῷ, ὧν ἐστι καὶ τὸ σχῆμα. πᾶν γὰρ ἔμψυχον αὐτό τε μετά τινός ἐστι οἰκείου σχήματος καὶ τῶν | μερῶν ἕκαστον αὐτοῦ, ὃ φυλάσσεται τότε 622
σχῆμα, ὅταν προσκρινόμενον ἐκ τῆς τροφῆς μὴ μένῃ τὴν καθὸ προσετέθη

---

2 μὲν om. Ra λέγῃ corr. ex λέγει A^1 3 τὸ τὸ ACPSa: τὸ RB αὐξανόμενον Ra τὸ τὸ αὐτὸ A 4 τὸ om. Ra 7 αὐτοῖς] corr. in αὐτοὺς B: αὐτὰ Ideler 9 τῷ Apelt: τὸ libri 11 τῆς αὐτῆς ὕλης Ra 12 ⟨ἢ⟩ σώματος Ideler 13 εἰ καὶ Ideler: εἶναι libri: om. a cum indicio lacunae 17 τῇ] τῆς σαρκὸς Ideler 18 σώζει Ideler: σώζειν libri 22 ἐπιρρεούσης a πρὸς — τότε (25) om. Ideler 26 ποσή A^2R: πόσει A^1: ποσ. BC: ποσ PS: πόση a τὸ Ra συναύξειν Ideler μὴ del. Ideler 27 πάντως A: πάντῃ BCPS: πάντα Ra 29 alt. τὸ om. Ideler 34 fortasse ὅταν ⟨τὸ ἀεὶ⟩ ἐκ om. Apelt μένει Ra προσετάθη Ra

χώραν φυλάσσον καὶ κατὰ τοῦτο προσκείμενον, ἀλλὰ προωθῇ τὸ πρὸ αὐτοῦ, κἀκεῖνο τὸ πρὸ αὐτοῦ πάλιν, μέχρι τοσούτου, ἕως ἂν ἕκαστον τῶν μορίων αὐτοῦ κατὰ ἀναλογίαν προστιθεμένου τοῦ τρέφοντός τε καὶ αὔξοντος ἴσην ἐπίδοσιν λαβὸν ταὐτὸν ἔχοντα σχῆμα μείνῃ, ὃ ἔχει καὶ πρὸ τῆς προσκρίσεως τοῦ τρέφοντος. ὡς γὰρ τῆς γῆς βαρέος ὄντος σώματος καὶ κάτω τε καὶ ἐπὶ τὸ μέσον φερομένου καὶ κατὰ τὴν αὑτοῦ φύσιν καὶ τῷ ἰδίῳ μέσῳ τὸ τοῦ παντὸς κατέχοντος μέσον τε καὶ κέντρον, ἂν βάρος ἐπ' αὐτῇ τι μεῖζον τεθῇ κατὰ θάτερον ἡμισφαίριον, οὐ διὰ τῆς προϋπαρχούσης γῆς διαδύεται τοῦτο τῆς ἐν τῷ μέσῳ μενούσης, ὡς τῆς ἰδίας ῥοπῆς τὸ κέντρον ἔχειν κατὰ τὸ τοῦ παντὸς μέσον, ἀλλ' ἄνωθεν τῇ προϋπαρχούσῃ γῇ μέχρι τοσούτου τὸ πρὸς αὐτὸ μόριον τῆς γῆς προωθεῖ, ἕως ἂν τὸ γενόμενον τοῦ τῆς γῆς βάρους κέντρον διὰ τὴν προσθήκην τοῦ βάρους γένηται κατὰ τοῦ παντὸς μέσον (τοῦτο γὰρ κατὰ φύσιν τοῖς βαρέσι τε καὶ κάτω φερομένοις σώμασιν· οὗ γινομένου καὶ τὸ σχῆμα ἅμα ἡ γῆ φυλάσσει τὸ σφαιρικόν, ὃ εἶχε καὶ πρὸ τοῦ), οὕτως ὑποληπτέον καὶ ἐπὶ τῶν ὁμοιομερῶν [γίνεσθαι], τῶν αὐξομένων διὰ τὴν ἀπὸ τῆς τροφῆς πρόσκρισιν, εὐθὺ τῇ προσκρίσει τε καὶ ἐξομοιώσει πρὸς τὸ τρεφόμενον τῆς τροφῆς παρ' αὐτῶν τῶν μερῶν τοῦ τρεφομένου πρόσοδόν τινα γίνεσθαι καὶ μετάστασιν ἄλλου προωθοῦντος ἄλλο, ἕως ἂν τὸ πᾶν, ἐν ᾧ πρότερον ἦν σχήματι, ἐν τούτῳ καὶ μετὰ τὴν ἀπὸ τῆς τροφῆς προσθήκην γένηται. ὡς γὰρ αὔξεταί τε καὶ φυλάσσεται τὰ τῶν ὁμοιομερῶν τοῦ τρεφομένου σχήματα ἐν τῇ τῶν ὁμοιομερῶν αὐξήσει, οὕτως καὶ τὰ τῶν ἀνομοιομερῶν ὑποληπτέον φυλάσσεσθαι σχήματα τῆς κατὰ μόρια προσκρινομένης αὐτοῖς τροφῆς ὑπὸ τῆς ἐν αὐτῇ θρεπτικῆς δυνάμεως εἰς πάντα αὐτὰ ἀγομένης ἀναλόγως. καθ' ἣν | 623 ἀναλογίαν μετὰ τῆς τοῦ σώματος σωτηρίας ἕκαστον αὐτῶν πᾶν αὔξεται, καὶ δεῖ τὸ γινόμενον ὑπὸ τῆς φύσεώς τε καὶ θρεπτικῆς δυνάμεως τοῖς διὰ τῆς τροφῆς αὐξανομένοις ὑπολαβεῖν ὅμοιον εἶναι, ὡς ἂν εἰ οἰνόν τις ἐπινοήσαι διά τινος σωλῆνος φερόμενον, φυλάσσοντος μὲν τὸ σχῆμα ταὐτόν, δι' ὑγρότητα δὲ καὶ μαλακότητα, ὅταν μὲν ἔλαττον ᾖ τὸ δι' αὐτοῦ φερόμενον ὑγρόν, συστελλομένου τε καὶ τὸ σχῆμα ἐπὶ ἐλάττονι σῴζοντος ὄγκῳ, ὅταν δὲ πλεῖον ᾖ τούτων, ἀνευρυνομένου τε πάντῃ καὶ μείζονα τὸν ὄγκον λαμβάνοντος. ὡς γὰρ ἐπὶ τοῦ σωλῆνος τοῦ τοιούτου οὐ τὸ ὕδωρ τὸ αὐξανόμενόν ἐστιν, ὅ γε τὴν ἀρχὴν οὐδὲ ὑπομένει,

---

3 τοῦ Apelt: καὶ libri 4 ἔχοντα] ἔχον τὸ Ideler μείνῃ] μένῃ Ideler ἔχει] εἶχε Ideler 6 τὸ om. Ideler 8 τι Diels: ᾗ libri: del. Apelt 9 τοῦτο Apelt: τὸ ὑπὸ libri: del. Ideler 10 ἄνωθεν ⟨ἐν⟩ Schwartz 11 πρὸς αὐτὸ] πρὸ αὐτοῦ Apelt 13 fortasse κατὰ ⟨τὸ⟩ τοῦ 14. 15 φυλάσσειν ἡ γῆ Ra 16 γίνεσθαι delevi αὐξανομένων BPRa 18 γενέσθαι Ra 19 ἄλλου προωθοῦντος Apelt: ἀλλ' οὐ προοδοῦντος libri 21 ὁμοιομερῶν Apelt: ἀνομοιομερῶν libri 21. 22 σχήματος Ra 22 pr. τῶν] τῆς Ra ὁμοιομερῶν A (corr. ex ἀνομοιομερῶν) BRa: ἀνομοιομερῶν CPS 23 σχήματα A: σχηματι rel. 26 δεῖ Apelt: διὰ libri 27 τῆς om. a 28 εἰ ⟨ὕδωρ πρὸς⟩ οἶνον sive εἰ ⟨ὕδωρ ἢ⟩ οἶνον Diels τις Ra: τις εἰς A: τις εἰς BCPS διὰ om. A[1] 29 ὑγρότητος Ra μαλακότητος Ra 31 ᾖ Ra: ἦν ABCPS

ἀλλὰ ἄλλο τι γίνεται, καὶ ποτὲ μὲν πλέον, ποτὲ δὲ ἔλαττον, τὸ δ' ἐπὶ τῷ ὕδατι σχῆμά ἐστι τὸ μένον καὶ τὴν ἐπίδοσίν τε καὶ τὴν συστολὴν λαμβάνον, οὕτως ὑποληπτέον γίνεσθαι καὶ ἐπὶ τῶν αὐξανομένων φύσει· τὴν μὲν ὕλην, ἐφ' ἧς τὸ αὐξόμενον εἶδος, ἄλλοτε ἄλλην εἶναι δεῖ διὰ τὰς συνεχεῖς ἀποκρίσεις, τὸ δὲ εἶδος τὸ μὲν ἐπὶ τῇ ὕλῃ τῇ ῥεούσῃ ἀναλόγως τῷ σωλῆνος σχήματι μειοῦσθαι μέν, ὅταν ἐλάττων ἡ ὕλη γένηται, αὔξεσθαι δέ, πλείονος τῆς κατὰ τὴν ὕλην προσκρίσεως γινομένης, μετὰ τῆς τοῦ οἰκείου σχήματος σωτηρίας. τὸ γὰρ ἐπὶ πλείονι ὕλῃ ταὐτὸν εἶδος μεῖζον τοῦ ἐπ' ἐλάττονι, ὡς καὶ τὸ σχῆμα τοῦ σωλῆνος, τοῦ δι' ὑγρότητα συμμεταπίπτοντος τῷ δι' αὐτοῦ ῥέοντι. ἡ δὲ πρόσκρισις ἡ τῆς τροφῆς τοῖς τρεφομένοις γίνεται μὲν κατὰ μεταβολὴν ἐξομοιουμένης αὐτῆς τῷ τρεφομένῳ, οὐ γενομένη δὲ πρῶτον ἡ αὐτὴ τῷ τρεφομένῳ, ἔπειτ' αὐτῷ προσκρίνεται. γένεσις γὰρ τοῦτο σαρκός, ἀλλ' οὐ τροφή. ἀλλ' ἡ ἐσχάτη τροφή, ὅπερ ἐστὶν ἐπὶ τῶν ἐναίμων τὸ αἷμα, ἐπὶ δὲ τῶν ἄλλων τὸ ἀνάλογον, ἑκάστῳ τῷ τρεφομένῳ διὰ τῶν ἀγγείων φερομένη τῶν καθηκόντων ἐπ' αὐτὰ καὶ ἐπιρρέουσα ὑπὸ τῆς ἐν ἑκάστῳ δυνάμεως, μεταβάλλεταί τε καὶ ἐξομοιοῦται τῷ τρεφομένῳ. καὶ δεῖ τὸ γινόμενον ἐπινοῆσαι, ὡς εἰ οἴνῳ ἐπιχεομένου ὕδατος | ἡ ἐν τῷ οἴνῳ δύναμις ἀεὶ τὸ ἐμπῖπτον εἰς 624 αὐτὸν ὕδωρ οἶνον ποιοῦσα, σώζει τε καὶ αὔξει τὸν οἶνον. ὅπερ ὁρᾶται καὶ τὸ πῦρ ποιοῦν, ἐπειδὰν αὐτῷ γειτνιάσῃ τι τῶν καυστῶν. οὕτως δὲ γινομένης τῆς αὐξήσεως οἶμαι φανερὸν εἶναι τὸ μηδὲ τὴν αὔξησιν συντελεῖν τοῖς σῶμα διὰ σώματος χωρεῖν λέγουσιν πρὸς τὴν κατασκευὴν τοῦ παραδόξου τε καὶ θαυμαστοῦ δόγματος.

---

1 fortasse ἀλλ' ⟨ἀεὶ⟩ πλεῖον a 3 οὕτως om. A[1] 4 fortasse δεῖν 10 συμμεταπίπτοντος] σύμμετρα πίπτοντος Ra 12 γενομένην a 13 ἡ Ideler: ἢ libri 14 ἐναίμων om. cum indicio lacunae BCPS 15 φερόμενα Ra 18 οἴνῳ ἐπιχεομένου Apelt: οἶνον, ᾧ ἐπιχέον οὗ libri: οἶνον ᾧ ἐπιχεομένη Ideler 19 αὐτὸ Ra σώζει τε Apelt: σώζεται libri 21 μηδὲ] μὴ Ideler 22 σώματα Ra 23 τε om. Ra

INDICES

I INDEX VERBORUM

II INDEX NOMINUM

[1]) Praeter Simplicii verba p. 101,10 adn. citata cf. eiusdem in Ar. De caelo comm. (ed. *Karsten*) p. 128b 12

III LOCI ARISTOTELICI

[Asterisco notata sub falsa specie interpretationis verborum Aristotelicorum De an. II 413a20—22 et 416b32—33 tradita sunt cf. Praef. c. I.]

Digitized by Google

Stanford University Libraries
3 6105 027 086 425

CECIL H. GREEN LIBRARY
STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA 94305-6004
(650) 723-1493
grncirc@sulmail.stanford.edu
All books are subject to recall.

DATE DUE

JUN 3 0 2004
JUL 1 9 2004
JUN 3 0 2004

Digitized by Google

Digitized by Google